Notes du mont Royal

www.notesdumontroyal.com

Cette œuvre est hébergée sur « *Notes du mont Royal* » dans le cadre d'un exposé gratuit sur la littérature.

SOURCE DES IMAGES

Google Livres

2. E

FLAVII JOSEPHI

DE BELLO JUDAIC

LIBRI SEPTEM.

AD FIDEM CODICUM EMENDAVIT,

VARIIS LECTIONIBUS INSTRUXIT

ET

NOTIS PARTIM ALIORUM PARTIM SUI

ILLUSTRAVIT

EDVARDUS CARDWELL, S.T.

AULÆ SANCTI ALBANI PRINCIPALIS.

VOL. I.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXVII.

Lg VII je



40 g

LECTORI.

MULTO tempore consumpto habes tandem, L. B., novam Belli Judaici Editionem ceteris, quæcunque ei præiverint, auctiorem aliquatenus et accuratiorem, nequaquam vero omnibus quibus volui numeris absolutam. Jacuit enim a viris doctis neglectus diu Flavius Josephus, cujus operum nulla post Hudsonianam Editio prodierit, unde, sive dictio ejus ad veritatem criticam reducenda foret, sive ex aliis Scriptoribus illustranda rerum gestarum historia, peti lectoribus posset aliquid sive explicationis sive subsidii. Rem vero gravem et insperatam præterire non possum, quin pluribus describam.

Et optime quidem de Josepho meritus est Hudsonus, cujus labores in opere suo insumptos, et quum jam manus ei extrema accedebat, morbo demum impeditos, his verbis exposuit vir doctus, qui, moriente Hudsono, ipse quæ restarent peragenda suscepit, et Editionem ejus anno 1720 adjecta Præfatione complevit: "Hudsono ad manus erant omnes veterum Josephi Interpretum et Textus Græci Editiones. Codices MSS. itidem fere omnes vel ipse oculis lustraverat, vel lectiones ex iis ab aliis collectas possidebat. Criticorum etiam scrinia post litteras instauratas præstantissimorum diligenter excusserat, et si quod lucis inde ad Josephum suum illustrandum hauriri potuerat, id omne in notas suas transtulerat. Quas qui studiose perlegerit, facile judicabit quanti Josephus Hudsono nostro constitit: nihil esse litterarum deprehendet sive veteris sive recentioris ævi, nihil librorum sive sacri sive profani argumenti, ad quod ille animum oculosque non converterat."

"Textum Josephi diligentissime recognovit, et ad Codices correxit; errores typographicos, qui in priores Editiones irrepserant, studiose sustulit; nonnullos tamen aut ipse reliquit, aut fortasse etiam admisit, quos nihilominus omnes, quanta fieri potuit cura, ad finem operis emendatos reperies. Josephus Scaliger, recentiorum doctissimus, veterem Flavii Interpretem

imperitissimum appellat; neque Sigismundus Gelenius, vir alioquin laude sua minime fraudandus, qui emendare et ad Græca Josephi refingere veterem illam versionem conatus est, hac in parte eruditis satisfecit. Hinc novus Hudsono labor surgebat; nova versione ab ipso donandus erat Josephus; quam tam pure tamque Latine elaboratam nobis dedit, ut cum scriptis hujus generis præstantissimis conferri posse videatur."

Magna profecto laus Hudsono est, quod Græcos Codices multos conquisivit et ad lectiones eorum conferendas se gnaviter adplicavit; magna quoque quod observationibus hic illic adpositis Josephi fidem vindicavit et narrationibus ejus sæpenumero lucem adtulit; melius vero idem profecturus, si modo variantes Codd. lectiones ita descripsisset, ut posteri etiam de iis judicium possent facere, et veterem Rufini versionem ad fidem exemplarium Latinorum eo usque revocavisset, ut, (id quod fieri et potuit et oportuit) auctoritate æquari putaretur cum ipsis Græcis Codicibus. Sed aliam plane viam instituit. Notatis enim tantummodo quas ipse magni æstimavit, lectionibus, ceteras omnes, ad Josephum illustrandum, et ad artem criticam excolendam imprimis idoneas, missas fecit; et posthabita veteri illa Rufini versione, quæ, si forte sordibus purgari posset, multum Græco textui subveniret, ipse novam interpretationem adjecit, eo scilicet consilio, ne quis parcius Græce sciens in Josephi sensu aperiendo laboraret. Hudsono autem superest honor insignis et commendatio; neque in aliquem conferenda est culpa, quicunque sive in artibus sive in scientiis instruendis neque ultra suæ ætatis fines progressus fuerit, neque opus omni parte expletum et absolutum reliquerit.

Enimvero non cuivis homini contingit onus tantum humeris impositum sustinere: quinetiam recenti exemplo a Josepho curando defecerat, qui ingenii subtilitate, rerum antiquarum cognitione, et familiaritate quadam omnes omnium generum scriptores complexa enituit, Edvardus Bernardus. Floruit ille vir Oxonii quo tempore Academiam suam ornabat Fellus, et ad ingenuas disciplinas et litterarum cultum ope sua et exemplo acuebat omnium animos. Sed secutæ sunt brevi fautorum defectio et iniqua temporum ratio; et ab opere multum prius intermisso destitit denique Bernardus, quum libros quin-

que Archæologiæ Judaicæ notis suis et Dissertationibus necdum omnino illustraverat.

Defecerat etiam vir, si quis alius, omni laude nominandus, Aldrichius, qui Fello, amplissimo eidem Collegio præfectus, ingenio virtutibus bonorum omnium consuetudine parem se rettulit, et pene dixerim, præstantiorem. Aldrichii autem supersunt notæ quædam in priores duos Judaici Belli libros conscriptæ, quibus nihil expeti potest sive in difficultatibus explicandis prudentius sive in sensibus animi proponendis clarius et venustius.

Exstiterunt alii multi, tum Angli tum exteri, qui eundem laborem aggressi vel magnitudine ejus deterriti sunt, vel alia quacunque demum caussa ab incepto avocati.

Infelix profecto Josephus, qui interpretes, ingenium ejus callentes et summa fide expedituros, amiserit; infelix pariter, qui Editorem nactus sit Havercampum, copias istas in unum corpus conjecturum, et ceteris omnibus laudem Josephi nova forma proferendi prærepturum.

Grandes fuerunt typorumque luxu splendidi Editionis Havercampianæ Tomi gemini, et quos ob collatos undique adparatus facile credideris voluntati omnium quam maxime satisfecisse. Præsto enim fuit quodcunque ex Hudsoni aliorumque Editorum laboribus percipi posset adjumenti; præsto etiam Bernardi, Aldrichii, Combefisii, Gronovii, Cocceii, Spanhemii, Relandi observationes cum Dissertationibus omnimodis de ipso Josepho et de monumentis Hebræorum conscriptis; quod vero præstantissimum fuit, præsto multorum Codicum Parisiensium collationes, qui tum primum penitus perspecti erant. Et plurimum profecto aliorum diligentiæ debuit Havercampus, de suo nihil æqui adjiciens. Optaveris etiam, ut ne quod alii contulerant, ipse tetigisset. Ea enim typorum confusione impressa sunt omnia, ut neque de verbis Josephi, ubicunque oritur difficultas, securus esse possis, neque in citata lectionum varietate ullam omnino fiduciam ponere.

Post Havercampum in Josepho edendo sudarunt Oberthur et Richter, quorum vero hic nihil ausus est, nisi ut textum solum, sublevatis typorum erroribus, vulgaret; ille autem operosius quiddam molitus, textum, quem adeptus est, eundem edidit, et quo minus cetera perficeret, nescio qua causa impeditus est.

Restat igitur Flavius Josephus quasi ab integro publici juris faciendus. Conferendi sunt Codices, describendæ lectionum varietates, adornandus ad eorum fidem textus, purganda vetus Rufini versio, instruenda notarum supellex. Quibus demum peractis, fortunam habebit, quam meritus est, Scriptor omnium pene Historicorum ob rerum narratarum magnitudinem et momentum præstantissimus.

Et quantulum, ut ea laus aliquando comparari possit, studii et operæ navavi, paucis dicendum est.

Sumpta est Belli Judaici Historia, ut quæ prima a Josepho conscripta fuerit, et scitu eadem sit dignissima.

Collati sunt, quos infra descripsi, sex Codices cum Editione Lipsiensi anno 1826. curante Richter impressa (quæ quidem inter variantes littera E signata est), et lectiones eorum summa qua possit cura in tabulas relatæ.

L. Cod. 19. Plut. 69. Biblioth. Laurent. Florentiæ. Sæc. 11^mi. Membranaceus; in 4^to. quod aiunt, minori; constans foliis scriptis 363. Suppleta sunt nova manu primum et ultimam.

M. Cod. 36. Plut. 69. Biblioth. Laurent. Florentiæ. Sæc. 14^ti. Papyraceus; in 4^to, constans foliis scriptis 214.

N. Cod. 17. Plut. 69. Biblioth. Laurent. Florentiæ. Sæc. 12^mi. Membranaceus; in 4^to, constans foliis scriptis 225. Inter paginas 208 et 209 magno hiatu intercidit finis libri 6^ti et initium 7^mi. Suppleta sunt manu recentiori folia primum et ultimum.

P. Cod. N°. 1425 Biblioth. Reg. Parisiensis. Sæc. 10^mi. Membranaceus; in fol. singulis paginis distinctus; optime scriptus; inter pag. 378. quæ finit in his verbis *ἰησοῦς ὄνομα λαβὼν περὶ σωτηρίας* (vi. 8. 3.) et pag. 379. quæ incipit *ἐπέδωκαν, καὶ τῇ κατασκευῇ* (vii. 3. 3.) aliquot folia exciderunt. In ultimis foliis scriptura primarum et ultimarum linearum valde corrupta humiditate. Videtur in Bibliothecam ineunte sæculo decimo octavo Constantinopoli adlatus esse, et nunc primum usu critico tractatus.

R. Cod. N°. 1429. Biblioth. Reg. Paris. Sæc. 12^mi. Membranaceus; in fol. singulis paginis distinctus; vetustate multis in locis exesus; sed litteræ ita impressæ sunt membranæ, ut consumpto atramento singuli tamen ductus oculo

acuto possint distingui; ordo foliorum admodum confusus, et aliquot eorum perdita. Incipit his verbis τοῖς ἄλλοις προσεοικὼς (2. 8. 1.) et finem habet ad lib. 4. c. 1. §. 8. dispositis ultimis verbis forma pyramidali.

T. Cod. hodie in Biblioth. viri litteratissimi Thomæ Phillipps Baronetti adservatus, quondam vero e libris Comitis de Guildford, a quo videtur comparatus esse, quo tempore Corcyræ commorabatur: membranaceus; in 4^to.; Sæc. 12^mi; optimæ notæ; integer a principio Historiæ usque ad finem; et in calce [a] ejus adscriptum est eadem manu notum illud de Jesu Christo testimonium, his verbis: ——— τοῦ ὀκτωκαιδεκάτου λόγου τῆς Ἰωσήπου ἀρχαιολογίας περὶ τοῦ Χ̄ῡ μαρτυρία.

Γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς ἀνήρ· εἴγε αὐτὸν ἄνδρα λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητής· διδάσκαλος ἀνῶν τῶν ἡδονῇ τἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο· ὁ χ̄ς̄ οὗτος ἦν· καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σ̄τ̄ρ̄ῳ̄ ἐπιτετιμηκότος πιλάτου οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν· τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων· εἰς ἔτι τε νῦν τῶν χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον. Qui denique Codex humanissime mihi commodatus est, donec facta fuerit collatio.

Horum omnium maxime notandus est Cod. P. ut qui multas insignes lectiones præbeat, et ex ipsa mendorum natura argumentum struat, unde vetustatem ejus confirmare possis. Quod autem præcipue animadvertas velim, mira inter hunc Codicem et veterem Rufini versionem intercedit adfinitas, adeo ut mihi videar ductum ejus ægrius quam par fuit, secutus esse.

Accedit Editionis Basiliensis exemplar variis lectionibus MSS. ad utramque paginæ oram instructum, quod mecum summa benignitate communicavit vir venerabilis Martinus Josephus Routh S. T. P. Quas vero lectiones, quum habita

[a] Idem testimonium alii ejusdem Historiæ exemplari MS. (quod e libris fuit Rostgardi Nobilis. Dani) in calce adscriptum esse memorat Haverocampus. Præfat. p. 3.

comparatione unam earum seriem e Cod. N. derivatam esse ausim adfirmare, de altera, unde ducta fuerit, nihil compertum habens, non eas esse statui, quæ, sive de hac sive de illa judicium feras, sua quapiam auctoritate niti queant.

Exstant autem in Biblioth. Reg. Paris. alii aliquot Codices numeris 1423, 1426, 1427, et 1428 signati, quos silentio nequeo prætèrire. Dices eos esse, quos in Tomo sui operis secundo cum Editione Genevensi collatos præstitit Havercampus, nullis vero descriptis ab eo indiciis unde lectiones cuique suæ adtribui possent. Et vere. Habita enim examinatione, Codicem A, qua littera ab Havercampo signatus est, cum N°. 1427 eundem esse comperui, Cod. B. cum N°. 1423, Cod. D. cum N°. 1426, et Cod. E. cum N°. 1428; neque vero eos esse statui, quos sive vetustatem eorum reputes, ab Havercampo pluris æquo æstimatam, sive quantum in illis sit ponderis et auctoritatis, fas est in collationem iterum referre.

In textu ordinando Codd. scripturam religiose secutus, satius nonnunquam veterem errorem typis mandare duxi, quam meram conjecturam Josephi auctoritate donare, officio meo me satisfacturum esse arbitratus, si quodcunque de meo haberem, inter notas adjicerem. Ea vero est in nominibus Hebræorum tum locorum tum hominum Græce reddendis varietas, ea inter criticos de justa vocalium elisione lis et disceptatio, ut de rebus ejusmodi nihil amplius molitus sim, nisi ut constanti quadam norma digererentur. Si quis autem exquisitiorem scribendi modum optaverit, noverit neque e Codd. neque e vetustissimis Inscriptionibus peti eum posse, neque doctorum hominum consensu aliquo stabiliri.

[b] Latina Belli Judaici versio, quæ ab aliis Ambrosio, ab aliis

[b] De Rufini et Gelenii versionibus his verbis disseruit Thomas Ittigius in Prolegomenis suis:

"Æqualis Hieronymi RUFINUS Aquileiensis Presbyter Josephi Antiquitates et historiam belli Judaici et duos contra Apionem libros Latinitate donasse perhibetur. Unde antiqua illa et vulgata istorum librorum versio in Latinis Josephi editionibus Rufino passim tribuitur. Nec refragantur codices manuscripti, et in his antiquissimus ille, qui Mediolani in Ambrosiana bibliotheca extat, laudatus a Burneto in suis epistolis de itinere suo Italico, et Mabillonio, qui hoc volumen ex charta Ægyptiaca constare, et aliquot libros Josephi de antiquitatibus Judaicis continere scribit, et Boschæ quidem non consentit, qui ab annis mille trecentis hoc volumen scriptum suspicatur, antiquissimum tamen illud esse, et ante mille et centum annos exaratum judicat. Num vero recte Rufino versio ἀρχαιολογίας Ἰουδαϊκῆς et duorum librorum contra Apionem tribuatur, haud immerito dubitari possit. De libris ἁλώσεως minor dubitandi ratio existit. Etsi enim eo-

Hieronymo adscribi solet, a plerisque autem Rufino, Aquileiensi Presbytero, qui claruit exeunte sæculo quarto, ejus est

rum versio, ut ex Cassiodori divinis lectionibus seu institutione divinarum literarum patet, ab aliis Ambrosio, ab aliis Hieronymo, ab aliis Rufino adscriberetur, vicit tamen sententia pro Rufino, neque styhus ab aliis Rufini operibus discrepat. At cum idem CASSIODORUS ibidem dicat, quod Josephi Antiquitatum libros 22. [intelligit libros viginti ἀρχαιολογίας et duos ἀρχαιότητος contra Apionem] per Amicos suos non sine magno labore Latine reddi curaverit, ex eo haud obscure colligi potest, Cassiodori ævo, quem integro et amplius seculo Rufinus antecessit, nullam adhuc illorum Josephi librorum versionem extitisse. Quorsum enim amicis suis tantum laborem imposuisset, si jam olim a Rufino susceptus fuisset. Saltem istam Rufini versionem silentio prætermissurus non fuisset, si forte illi meliorem et fideliorem substituere voluisset. Fatendum autem est, antiquam Josephi versionem tam in historia belli Judaici quam in antiquitatibus et duobus libris, quibus famosum illum πλειστονίκην Apionem superavit, plurimis in locis Græco Josephi textui parum respondere, sive corruptos codices habuerit Interpres, sive bonos malo sensu corruperit. Κομίζειν ἐπικουρικὸν seu adducere auxiliares copias Antiquo illi interpreti idem est ac per Coricum transire. (Antt. 14. 16.) Vicum Emmauntem seu Ammauntem Josephus (B. J. 7. 27.) ab Hierosolymis stadiis ἑξήκοντα dissitum dicit, quod cum Luca (xxiv. 13.) convenit, et parum tamen abfuit, quin Vir quidam doctissimus, cujus Bochartus (l. 2. c. 16) meminit, Lucam falsi argueret, cum apud Latinum Josephi interpretem triginta stadia legisset. Alibi antiquus ille Josephi interpres χιόνα seu nivem per æstus explicat, ut plura alia hujusmodi taceam, in quibus interpres Josephi cum ipso Josepho non magis convenit, quam cum ex bubone, quem supra Agrippæ paulo post morituri caput adstitisse Josephus tradidit, Eusebius (H. E. 2. 10.) Angelum formavit. Non est hic prolixe disserendi locus, qualem in aliis Scriptoribus vertendis Rufinus se gesserit. Notum est quod in Eusebio multa omiserit, multa de suo adjecerit, multa denique pessime reddiderit, ut cum Zachariam Johannis Baptistæ Patrem, cujus Eusebius vel Lugdunenses in sua epistola apud Eusebium obiter meminerant, in Martyrem Lugduni sub Antonino passum transmutavit. Quali perfidia Origenis scripta tractaverit, non opus est, ut Erasmi, Dallæi, et aliorum verbis exponamus. Habemus enim confitentem reum, siquidem ipse Rufinus in præfationibus ad libros περὶ ἀρχῶν, item in præfatione et epilogo Origeniani in epistolam ad Romanos Commentarii non dissimulat, quantum sibi in Origene interpretando licere existimaverit. Sed, ut ad Josephum redeamus, nec hoc tacendum est, antiquam versionem interdum saniorem esse, quam novam, et ipsi Græco, qualis nunc est, textui præferendam. Unicum libet adducere exemplum. Refert Josephus, quod Boozus, cum Ruthem ducturus esset, coacto Senatu et adducto Ruthis cognato, qui eam ducere recusabat, mulierem jusserit accedere cognatum suum, et juxta legem calceum ei detrahere, καὶ τύπτειν εἰς τὸ πρόσωπον (Antt. 5. 11.) Rectius antiquus interpres in suo exemplari legit: Καὶ πτύειν εἰς τὸ πρόσωπον. Sic enim vertit: Booz testificans Seniores, jussit mulieri, ut ejus calceamentum solveret juxta legem, et in faciem ejus exspueret. Respexit nimirum Josephus ad legem de fratria ducenda, quæ extat Deut. xxv. 9. etsi ea ad præsentem causam non spectaret, ut post Drusium Seldenus observavit. Sed hæc de antiquioribus Josephi interpretibus dixisse sufficiat. Nunc ad recentiores pergendum, e quorum numero SIGISMUNDUS GELENIUS libros 20. antiquitatum nova versione donavit. Cum enim Arnoldus Arlenius in Græca sua Josephi editione libros antiquitatum juxta duos codices ex diversissimis terræ tractibus petitos, quorum uterque alterius lacunas explere poterat, edidisset, non deerant, qui novam hujus operis interpretationem ad Græcos fontes exactam desiderarent. Gelenius autem tanto lubentius id operis in se suscepit, quod antiquitatum libros non perinde ac historiam Belli Judaici a Rufino versos animadverteret, siquidem non referrent hominem utriusque linguæ peritum, qualis Rufinus seculo suo fuit, nec stylo libros de bello Judaico æquarent. Novo igitur stylo hos libros reddidit, et nonnulla a veteri interprete omissa supplevit. Idem et

antiquitatis et ponderis, ut ceteris omnibus præstare, et Græco etiam textu sanior interdum esse pronuntiata sit. Quum vero miris et immanibus pene erroribus depravatæ sint, quæcunque ejus exstent Editiones, neque passi sint temporis gravioribus rebus occupati fines, ut ad Codd. Latinorum fidem denuo revocaretur, nihil reliqui erat, nisi ut an Gelenii an Hudsoni potior sit versio quæreretur. Quæ quæstio, etsi Bernardi ætate in certamen et discrimen venerit, hoc ipso argumento mihi quidem visa est concludi, quod Rufini versionem, ubicunque cum Græcis Codd. consentiret, sectari professus sit Gelenius, Hudsonus autem ex ipsis Græcis novam prorsus concinnare. Hoc enim persuasum habens, e veteri versione multum luminis ad textum Josephi eliciendum adferri posse, eo interprete usus sum, qui constantius Rufini vestigiis ingressus erat, haud æque sollicitus, siquando vulgatum Josephi textum minus apte consequeretur. Typothetæ igitur commissa est Gelenii versio ex Editione Genevensi anno 1635 impressa.

Repetitæ sunt Aldrichii notæ ex Editione Havercampiana, ut quæ nullius fere emendationis indigeant, neque ullo quopiam adjumento locupletari possint. Dolendum est, quod paucis tantum frui licuit. Adjectæ sunt ex aliorum scriptis et periculo meo aliæ, eo tamen consilio, ut locum asperum libentius silentio præterirem, quam ut res faciles et manifestas ambitiose exponerem. Neque vitio vertatur, quod Eusebius, Suidas, alii, qui Josephum sæpenumero citaverint, rarissime in textu ejus reficiendo adhibiti sunt; quum in locis exscribendis, sicut certo compertum est, verba ejus soliti sint vel immutare, vel omittere, vel si quando eos memoria fefellerit, sua quædam propria illorum loco suppeditare.

Reliquum est, ut de ipso Josepho nonnihil enarretur; id quod optime præstitum fore arbitror, exscriptis Jo. Alberti Fabricii verbis e Bibliotheca Græca. Vale.

Josephi librum de vita sua in Latinam linguam transtulit. In historia autem Belli Judaici et libris contra Apionem veterem versionem ad Græcum textum castigavit, quod tamen ubivis factum non esse collatio ostendit, quemadmodum etiam nova, quam fecit, Antiquitatum versio eruditorum censuram effugere non potuit, unde Vorstius egregiam reipublicæ literariæ navaturum operam judicat, si quis Flavii Josephi versionem, in pluribus a Græco textu discedentem, ad limam revocaturus esset."

EXCERPTA QUÆDAM

E NARRATIONE

JO. ALBERTI FABRICII

DE FLAVIO JOSEPHO.

Vide Edit. Havercamp. tom. ii. p. 57.

JOSEPHUS prænomen Flavii[a] accepit a Flavio Vespasiano manumissore ac patrono suo, a quo etiam civitate Romana donatus est, gente Judæus, secta Pharisæus, filius Matthatiæ[b], sive Matthiæ potius, e genere sacerdotali et regio[c] Asmonæorum, natus Hierosolymis[d] anno primo Caii Caligulæ Cæsaris, qui fuit post natum Christum trigesimus septimus. Ex ejus fortasse majoribus ac propinquis fuere Josephus ad Ptolemæum Philadelphum missus legatus et Josephus ἀνεψιὸς sive consobrinus Herodis regis de quo XVII. 12. 9. p. 282. Ipse quidem lib. XVI. cap. 7. (al. 11.) p. 763. reges se Assamonæos testatus cognatione contingere, tanto magis ait turpe sibi visum mentiri. Ἡμεῖς δὲ καὶ γένους ὄντες ἀγχοῦ τοῦ ἐξ Ἀσαμωναίων βασιλέων, καὶ διὰ τοῦτο σὺν τιμῇ τὴν ἱερωσύνην ἔχοντες, τὸ ψεύσασθαί τι ὑπὲρ αὐτῶν οὐκ εὐπρεπὲς ὑπειληφότες, καθαρῶς καὶ δικαίως ἐκτίθεμεν τὰς πράξεις.

In litteris una cum fratre Germano Matthia institutus ita profecit, ut quatuordecim annorum cum esset, jam a sacerdoti-

[a] Flavius vocatur non tantum in editionibus a Codicibus MSS. sed etiam apud Clementem I. Strom. p. 341. Origenem, Minucium Felicem, Photium aliosque. Conf. Nicephorum Gregoram vii. 5. p. 146. Salmasium funere linguæ Hellenisticæ p. 381. seq. et Tillemontium T. i. Hist. des Empereurs p. 967. De Matthiæ nomine Valesius ad Euseb. p. 47.

[b] Scriptor Græcos hypotheseos sive argumenti in XII. Prophetas p. 300. in asse fatidico Conradi Rittershusii. Et Josephus ipse in vita sua.

[c] Genus suum ipse recenset Josephus in vita, e publicis tabulis (δημοσίαις δέλτοις) p. 998. Conf. de his Clariss. Perizonium in triade Diss. I. Tales fuere δημόσιαι κύρβεις, e quibus genus suum refert Synesius Epist. 57.

[d] Cretensem Josephum falso tradit Maximus Margunius procemio notarum in Nomocanonem Photii: licet uxorem ille fecundam duxerit ex Creta insula.

bus et primoribus civitatis quærendo de lege exerceretur[e], et anno ætatis sexto decimo trium apud Judæos sectarum placita cognoscere inciperet. Hinc Banuni eremitæ se addixit, ejusque austerum vivendi genus per triennium imitatus rediit Hierosolymam, et vitam civilem ac Pharisæorum hæresin amplexus est, quam testatur leges patrias diligentius[f] reliquis coluisse, et vitæ instituto proxime ad Græcorum Stoicos accessisse[g]. Anno ætatis vicesimo sexto, Christi LXIII.[h] Romam accessit, et per mimum quendam Judæum Neroni carum insinuans se in favorem Poppeæ libertatem impetravit amicis quibusdam suis, quos Felix procurator captivos illuc miserat. Reversus domum omnia tumultu plena reperit, et frustra civibus suis graves injurias ulcisci cupientibus et qualicunque successu elatis suasit, ut pacem cum Romanis colerent. Missus deinde anno ætatis tricesimo, Christi LXVII. cum potestate in Galilæam, ut rebus turbidis prospiceret, utriusque Galilææ rector (ii. 25. de Bello Judaico p. 822.) multa fortiter et prudenter gessit, archistrategi sive ducis functus munere, e multis periculis feliciter evasit, adversus æmulos, inimicos et perfidos magna moderatione usus est. Inter alia Judæos nolentes ferre inter se, nisi qui circumcidi se paterentur, prohibuit, professus *oportere suo quemque consilio Deum colere, non ab aliis coactum*[i]. Tandem capta a Vespasiano Jotapata anno eodem LXVII. Neronis XIII. Kalendis Julii post aliquot dies, quibus delituerat, vivus venit, in Victoris potestatem[k], ab eoque, cum mox ipsi et Tito filio præsagisset imperium, in[l] vinculis habitus est, donec biennio interjecto eventus veritatem vaticinii comprobasset. Tum enim a Vespasiano solutus, catenæque ejus securi confractæ ut[m] mos

e Ita accipio verba Josephi: *συνιόντων ἀεὶ τῶν ἀρχιερέων καὶ τῶν τῆς πόλεως πρώτων ὑπὲρ τοῦ παρ' ἐμοῦ περὶ τῶν νομίμων ἀκριβέστερόν τι γνῶναι.* Confer quæ de JESU duodecenni Luc. ii. 46.

f Josephus in vita p. 1023.

g Id. p. 999.

h Male in Clariss. Cavei Hist. literaria excusum 93.

i Pag. 1007. *οὐκ εἴασα βιασθῆναι, φάσκων δεῖν ἕκαστον ἄνθρωπον κατὰ τὴν ἑαυτοῦ προαίρεσιν τὸν Θεὸν εὐσεβεῖν, ἀλλὰ μὴ κατὰ βίας.*

k Josephus iii. de bello Judaico c. 14. (in Græco 24. sq.)

l Ib. iii. 14. et v. 12. p. 854. 901. 961. Sueton. Vespas. c. 5. Xiphilinus p. 203. Suid. in *Ἰώσηπος*. De hoc vaticinio Josephi lectu digna et erudita exstat D. Gotfredi Olearii *τοῦ μακαρίτου* diss. edita Lips. A. 1699. qua hoc totum callidæ prudentiæ tribuit. Pro Messia habitum per aliquod temporis a Josepho Vespasianum, persuasit sibi J. Crullius in diss. adjuncta Historicæ Judaicæ ex Josepho et aliis collectæ, et Anglice Londini 1708. 8 editæ.

m Lib. v. de bello Judaico c. 12. (in Græco 39.)

erat facere in illis, qui præter fas vincti fuerant. Ex Alexandria profectus Tito adfuit in obsidione Hierosolymæ [n] anno Christi LXX, ætatis Josephi XXXIII, ubi singula diligenter annotavit, et postea Romæ otium nactus Græcæ linguæ dedit operam[o], et ad concinnandam historiam animum appulit. Vespasiani, Titi, et Domitiani gratiam constanter expertus non obstantibus invidorum accusationibus [p]. Vixit ultra tertium decimum Domitiani annum, in quo Antiquitatum libri desinunt: fuit autem ille ætatis Josephi LVI. Christi XCIII. Et post hoc opus etiamnum composuit libros contra Apionem. Forte tamen haud diu superfuit patrono suo Epaphrodito, cujus casum, (interfectus hic est anno Christi XCV, a Domitiano) in ipsius etiam Josephi perniciem ab inimicis versum suspicatur H. Dodwellus diss. 6. ad Irenæum p. 468.

II. Scripsit ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ [q] *περὶ ἁλώσεως De bello Judaico et eversa Hierosolyma libros VII.* quod opus ante libros [r] viginti Antiquitatum compositum est. Imperante adhuc Vespasiano, et in illis subinde allegatur. Bini insignes hujus operis MSti Codices in Bibl. Segvieriana sive Coisliniana p. 202. et 281. Compositum est a Josepho Hebræo patria lingua primum [s], in civium suorum usus, deinde Græce obla-

[n] Lib. I. contra Apion. p. 1037. In schebet jehuda, quem Latine vertit Georgius Gentius, exstat p. 179—187. Oratio Josephi qua Hierosolymitanis suasit, ut Tito se dederent. Hæc locutum Judæi de muro ingenti saxo petunt: ille periculum cedendo declinavit.

[o] XX. ult. Antiq.

[p] In vita p. 1031. 1032.

[q] Eusebius III. 9. Hist. Eccles. *ἱστορίαν τοῦ κατ' αὐτὸν Ἰουδαϊκοῦ πολέμου* vocat, atque ita Josephus ipse non uno in loco, et Steph. in *φασαηλίς*. Isiodorus Pelus. IV. Ep. 75. *Ἰωσήπου (ἀνδρὸς Ἰουδαίου μὲν, φιλαλήθους δὲ) περὶ τῆς ἁλώσεως ἱστορίαν.* In Codice Bodleiano: *περὶ ἁλώσεως Ἰουδαίας καὶ τῆς μεγάλης πόλεως.* Porphyrius libro IV. *περὶ ἀποχῆς ἐμψύχων* p. 381. allegat Josephum *ἐν τῷ δευτέρῳ Ἰουδαϊκῆς ἱστορίας ἣν δι' ἑπτὰ βιβλίων συνεπλήρωσε, καὶ ἐν τῷ ὀκτῷ καὶ δεκάτῳ τῆς ἀρχαιολογίας ἣν διὰ εἴκοσι βιβλίων ἐπραγματεύσατο, καὶ ἐν τῷ δευτέρῳ τοῦ πρὸς τοὺς Ἕλληνας, ἐστὶ δὲ δύο τὰ βιβλία.* Apud Suidam in *Ἰησοῦς*, libri Josephi de bello Judaico vocantur *ὑπομνήματα τῆς ἁλχμαλωσίας.* Photio Cod. 107. *τὰ κατὰ Ἰουδαίους πάθη.* Ipse illos auctor Josephus appellat *τῆς Ἰουδαϊκῆς πραγματείας.* XIII. 9. Antiquitatt. et libros *Ἰουδαϊκῶν* XIII. 18.

[r] Libr. I. Antiquitatt. c. 11. *ὅς μοι καὶ πρότερον λέλεκται τὸν Ἰουδαϊκὸν ἀναγράφοντι πόλεμον.* Etiam nonnulla in libris de bello Judaico tradita, aliter referre in Antiquitatum opere observat Tillemontius, in nota 4. et 5. ad vitam Claudii. Idem de Josepho et ad ejus historiam multa erudite tom. I. Historiæ Imperatorum.

[s] Josephus procemio: *Προὐθέμην ἐγὼ τοῖς κατὰ τὴν Ῥωμαίων ἡγεμονίαν Ἑλλάδι γλώσσῃ μεταβαλὼν, ἃ τοῖς ἄνω βαρβάροις τῇ πατρίῳ συντάξας ἀνέπεμψα πρότερον, ἀφηγήσασθαι.* Quinam sint illi *οἱ ἄνω βάρβαροι* docet idem paucis interjectis: *Πάρθους μὲν καὶ Βαβυλωνίους, Ἀράβων τε τοὺς πορρωτάτω καὶ τὸ ὑπὲρ Εὐφράτην ὁμόφυλον ἡμῖν, Ἀδιαβήνους τε γνῶναι διὰ τῆς ἐμῆς ἐπιμελείας ἀκριβῶς* &c. Nec mirum Judæos a Judæo homine barbaros appellari, cum Christiani etiam hoc nomine appellent

tum Vespasiano, non certe ante annum ejus septimum, Christi LXXV[t]. In Græca lingua adjutum se fuisse aliorum opera non diffitetur lib. 1. in Apion. *Χρησάμενός τισιν πρὸς τὴν ἑλληνίδα φωνὴν συνεργοῖς, οὕτως ἐποιησάμην τῶν πράξεων τὴν παράδοσιν.* Græce tamen bene se peritum esse ait XX. 9. Antiquitt. licet non satis bene linguam illam pronunciaret, *τὴν δὲ περὶ τὴν προφορὰν ἀκρίβειαν πάτριος ἐκώλυσε συνήθεια.* Qua in parte idem Josepho accidisse observat V. C. Michael Rossal. in diss. de Christi nomine in Chrestum mutato p. 87. quod Severiano Syro, de quo Socrates vi. 11. et Evagrius viii. 10. Magna fide versatum se in hac historia, cui ipse interfuit, describenda testatur Josephus tum alibi tum in vita sua pag. 1026. ubi Justi commentariis de eodem argumento compositis fidem detrahit, suum autem opus demonstrat et Tito Imp. probatum fuisse, qui illud subscripto manu sua decreto jusserit[u] vulgari, et Regi Agrippæ, qui LXII. scriptis ad Josephum Epistolis suam illi benevolentiam testatam fecerit. In libro 1. contra Apionem pag. 1037. non tantum Vespasiano ac Tito, Regique Agrippæ, sed Julio Archelao quoque et Herodi et aliis a se monstratam refert, fideique tulisse testimonium. Statua donatum in urbe Roma narrat Eusebius iii. 9. Hist. Eccles. Hieronymus c. 13. Catalogi: *Josephus Romam veniens septem libros Judaicæ captivitatis Imperatoribus Patri filioque obtulit, qui*

quandoque Christianos diversa lingua utentes. Vide Cotelerium ad homiliam iv. Clementin. T. 1. Patrum Apostol. p. 653. Quænam vero sit lingua Josephi patria, non æque perspicuo testimonio ejus constat, itaque alii Syro-Chaldaice Josephum prius libros de bello Judaico scripsisse affirmant. Vide V. C. Samuelem Basnagium Exerc. ad Baronium p. 388. ubi Josephum Hebraice calluisse negat, quod mihi de Judæo legis studiosissimo, et qui ex Hebraicis libris Antiquitates Hebraicas condidit, nullo modo credibile videtur, licet puro Hebraismo usum in scribenda historia nolim contendere. Argumentis plerisque, quibus Hebraismi imperitum nonnulli audacter faciunt ob violentiores aliquas Hebraicorum nominum interpretationes (quas e Josepho collegit Jo. Marcianæus T. 2. Hieronym. p. 170—175.) respondit Isaacus Vossius libro de LXX. Interpretibus. Conf. Paulli Pezronii Antiquitatem temporum restitutam p. 49. Humfredum Hody, de Bibliis Original. p. 223. sq. et Rev. nostri Jo. Christoph. Wolfii Bibl. Hebraicam T. 1. p. 547. seq.

[t] Tillemont. Hist. des Empereurs T. 1. p. 971. edit. Bruxell.

[u] Ita intelligenda verba: *ὅστε χαράξας τῇ ἑαυτοῦ χειρὶ τὰ βιβλία δημοσιεῦσαι προσέταξεν.* Neque aliud sonant Latina Rufini interpretatio, nec Nicephori 11. 28. Hist. Ut fallantur, qui sibi persuaserunt, Titum manu sua libros Josephi descripsisse, vel ut Daubusius p. 12. et 109. repositis in Bibliotheca Romæ libris Josephi, ne fraus subesset, notam manu sua subscripsisse. Confer laudatam Gotfredi Olearii diatribam §. 1. et Tillemontium p. 972. Hist. Imperat. T. 1.

et Bibliothecæ publicæ traditi sunt, et ob ingenii gloriam statuam quoque meruit Romæ.

IV. Fidem Josephi plerique veteres et recentes celebrant, quibus velut proprio nomine appellatur φιλαλήθης. Theodorus Meliteniota in procemio Astronomiæ: Καὶ μέντοι καὶ Ἰώσηπος φιλαλήθης ἀνὴρ ἐν τῇ πρώτῃ ἱστοριῶν ἀρχαιολογίᾳ συγγράφεται. Suidas: Ἰώσηπος Ἰουδαῖος φιλαλήθης λέγων περὶ τοῦ προδρόμου, &c. Theophylactus in Matth. xxii. 7, ὡς καὶ ὁ φιλαλήθης Ἰώσηπος λέγει. Eusebius iii. 9. Hist. ἄξιος πιστεύεσθαι. Theodorit. τὸ μὲν Χριστιανικὸν οὐ δεξάμενος κήρυγμα, τὴν δὲ ἀλήθειαν κρύπτειν οὐκ ἀνεχόμενος. Isidorus Pelusiota iv. Epist. 75. Ἰωσήπου ἀνδρὸς Ἰουδαίου μὲν, φιλαλήθους δὲ et iii. Epist. 19. ὁ ἱστορικώτατος διαρρήδην γράφων. Sozomenus Historiæ libro et capite primo Ἰώσηπος—ἀξιόχρεως ἂν εἴη μάρτυς τῆς περὶ Θεοῦ ἀληθείας. Jornandes de rebus Geticis c. 4. *Josephus quoque Annalium relator verissimus, dum ubique veritatis conservat regulam, et origines causarum a principio revolvit.* Idem Josepho Scaligero celebratur *diligentissimus et* φιλαληθέστατος *omnium scriptorum* præf. in opus de emendatione temporum. Sane Josephus ipse optime intellexit nihil in Historico magis esse necessarium, quam studium veritatis. Testatus etiam est, se ea, quæ de gentis suæ antiquitatibus tradit, non aliunde quam ex sacris libris Moysis ac Prophetarum et ex Hebraicis litteris diligenter transtulisse. Clarissime ait se tantum Metaphrastem agere librorum sacrorum, neque addere illis quippiam de suo, nec detrahere. At si quis Josephi Antiquitates cum Sacris litteris non indiligenter conferat, magna passim et hinc inde vix ferenda libertate vel negligentia usum deprehendet, nam non modo omittit complura, ut adoratum a majoribus suis vitulum in deserto: unde in quodam veteri Codice notatum ad marginem: παραλείπεις Ἰώσηπε τὴν μοσχοποιΐαν αἰδοῖ τῶν προγόνων, teste Ed. Bernhardo p. 160. ad Joseph. ne dicam de cæde infantum Bethlehemiticorum, aliaque a Josepho prætermissa vel secus tradita, quæ notant Wilhelmus Wotton [x] in Miscellaneis Anglice editis diss. de traditionibus Pharisæorum et Andreas Eudæmon Joannes in defensione Baronii lib. ii. c. 16—18. Non minore licentia usus, alia adjungit vel secus

[x] In Miscellaneis diss. Anglice editis de traditionibus Pharisæorum, Bibl. Angloise tom. iv. p. 375. seq. Bibl. ancienne et moderne tom. xii. p. 196.

interpretatur deteritque narrando, (miracula præcipue) quo fidem apud Ethnicos invenirent: [y] sed et aliter non pauca commemorat ut adversa fronte cum Moyse ac Prophetis et cum Scriptoribus Historiæ Maccabæorum (quod vehementer illi vertit vitio exprobratque Jo. Harduinus p. 589. Oper. select.) in narratione rerum quarundam concurrat. Hoc non Jacobo Saliano tantum in Annalibus V. T. qui Josepho iniquiorem (fateor) aliquando se præbet, et Antonio Possevino in Apparatu sacro et lib. 2. Bibl. Selectæ cap. 61. Augustino Mascardo tractat. 2. de arte historica c. 1. p. 112. seq. et c. 2. p. 139. seq., sed innumeris præterea aliis viris doctis observatum, e quibus Jacobus Usserius in Epistola ad Lud. Capellum p. 42. "De ipso quoque Josepho," inquit, "non est prætereundum, quod ex sacris Hebræorum litteris Origenes suas translaturum se est pollicitus, neque subtrahendo quicquam neque addendo, id eum pari fide non præstitisse. Eodem consilio, quo Persis nuper Hieronymus Xaverius Jesuita interpolatam a se Evangelicam dedit Historiam, etiam Græcis ille rerum in V. Testamento gestarum transmisit memoriam: nonnulla quæ erant in Canone supprimens, alia (ut quum Salomoni verbi gratia pro XL. Regni annis [z] LXXX. tribuit et in numero talentorum argenti ad templi usum a Davide relicto 1 Chron. xxii. 14. centum millia pro mille millibus substituit) immutans, atque ex scriptis Apocryphis non pauca adjiciens, uti in ejus de Moyse trienni, de eodem juvene cum Æthiopibus bellum gerente, de Tharbi regis Æthiopum filia connubium ejus expetente et aliis ejusdem farinæ narrationibus licet perspicere." David Blondellus: [a] "Josephus non videtur versatus fuisse in libris Philosophicis, sed valde studuisse moribus Græcorum et Romanorum. Valde propendet in partes Ethnicorum, unde cum judicio legendus. Super scripto Sibyllino non super historia, quæ in lege exstat, struit narrationem tur-

[y] Philostorgius apud Suidam in φλέγων· ὁ Ἰώσηπος καὶ δεδοικότι ἔοικε καὶ εὐλαβουμένῳ ὡς μὴ προσκρούσειεν ἕλλησι. Thomas Pinedo, Judæus notis ad Stephanum Byzantinum p. 766. de Josepho: "Quod S. Scripturæ miracula ad causas naturales conetur deducere, culpandus non est: Philosophia enim sacræ Scripturæ debet ancillari: Ethnici illa aliter credere nolebant." Confer etiam Joannis Gregorii diss. Anglice editam de LXX. Interpretibus, p. 33. sq.

[z] Similia librariis forte rectius imputantur, quam Josepho.

[a] Timannus Gesselius, tom. i. Hist. rerum memorabilium in orbe gestarum, p. 30.

ris Babylonicæ: Salomoni tribuit quædam, quæ certe non conveniunt ipsi, videlicet magiæ operam dedisse, et herbas ad magiam applicuisse. Ubique etiam fere Ethnicorum favorem captat, atque hinc fit, ut magis phrases suas a Græcis et gentibus mutuetur quam ex lege. Item in contextu Historiæ suæ Hellanicum, Hecatæum et Berosum magis sequitur quam S. Scripturam. Itaque moneo Josephum cum judicio legendum esse, nihil quippe ex eo recipi debet, nisi prius Scripturæ Canonicæ consentaneum esse comperiatur. Libri quidem, quos de bello Judaico scripsit, fide dignissimi sunt, quia materia, quam tractat, nupera erat, et cognita omnibus, quorum manibus terenda erant ea scripta, qui aut ex relatione ea accepissent, aut ipsis rebus interfuissent, et magnam calamitatum partem ipsi sensissent. Hos cum videret magno omnium applausu excipi, alios attexuit de antiquitate Judæorum, sed non pari fide: utpote in quibus nimium in partes Ethnicorum propendet, et in eorum gratiam quædam a veritate aliena admiscet. Præterea etiam a Christianis, [b] ut alios ad suam religionem allicerent, quædam piis fraudibus ipsius scriptis addita sunt, unde non adeo tuto ipsius historiæ fidere licet, sed judicium adhibendum, ut vera a falsis distinguamus." Plura exempla Historiarum sacrarum a Josepho non optima fide relatarum collegit nuper Cl. Vir Anton. Vandalen libro adversus historiam Aristeæ cap. x. et xi. et p. 500. tum in libro de origine ac progressu idololatriæ c. vii. Errores quosdam morales et Theologicos notat B. Ittigius in laudatis prolegomenis c. 5. seq. Historicos alios errores Petrus Brinch, Pastor Arendalensis Ecclesiæ in Norwagia, in Historiæ Josephi examine: Hafniæ 1701. 4.

V. Utcunque autem ista se habeant, nihilominus in rebus, quæ circa ipsius tempora atque jam inde gesta sunt, ubi Historia Biblica desinit, et universe de rebus gentis suæ, ne de aliis in præsenti dicam, plurima annotavit scitu dignissima: et quis cordatus propter ætatem, eruditionem, judiciumque non libenter ei plus quam multorum Rabbinorum testimoniis tribueret? Errores autem, ut non admisit nullos (homo enim fuit) attamen tot tantique illi non sunt, ut velut intestabilis, propterea

[b] Respicit Blondellus locum Josephi de CHRISTO, de quo infra.

de ponte sit dejiciendus. "Nullam occasionem (verba Casauboni sunt Exerc. XII. num. 2.) prætermittit Baronius sive justam sive injustam detrahendi Josepho, historico nobilissimo, quicquid ingrati Josephomastiges imaginentur.—Si omnes Josephi errores, hallucinationes aut ablepsiæ (de iis non loquor, in quibus discedit a Bibliis, in quo excusari non potest) in unam summam contrahantur, vix centesima ea pars fuerit culparum ab uno Eusebio admissarum sive in Chronico sive in aliis scriptis. Cur igitur tanta cura et tanta cum iniquitate Josepho insultabimus? cujus libros, nisi providentia Dei singularis ad nostra servasset tempora, in quantis rerum Judaicarum tenebris hodie versaremur? Quot fabulas, quot mendacia jubar Historiæ Josephi discutit?" Evangelicam quoque et Apostolicam Historiam Josephus confirmat in multis, etiamsi vel maxime ponamus dubitandum esse de γνησιότητι locorum de CHRISTO Servatore lib. XVIII. Antiq. cap. 4. pag. 621. de Joanne Baptista lib. XVIII. c. 7. p. 626.

Adversus Joannis Harduini objectiones, qui in Herodum historia fidem Josephi non dubitavit sollicitare, hunc scriptorem erudite vindicavit, narrationesque illius a νοθείας suspicione asserens cum antiquis nummis conciliavit vir egregius Christophorus Cellarius in singulari diss. Halæ Sax. edita A. 1696. quæ in ejus exercitationibus Academicis Lipsiæ 1712. 8. junctim vulgatis undecima p. 207. seqq. legitur, atque ad calcem Josephi Hudsoniani recusa exstat.

HERODIS M. CHRONOLOGIA.

A. U. C.

682. Natus est Herodes Magnus.

714. Rex a Senatu declaratus, suadente Antonio. Antt. XIV. 14. 5. B. J. I. 14. 4.

717. Rex Hierosolymis declaratus, capta urbe, et devicto Antigono. Antt. XV. 1. 2. B. J. I. 18. 3.

723. Actiaca victoria; qua reportata Augustus Herodi regnum confirmat. Antt. XV. 6. 7. B. J. I. 20. 3.

724. Herodis ditioni adjicit Augustus Gadara Hippon Samariam Gazam Anthedona Joppen et Stratonis turrim. Antt. XV. 7. 3. B. J. I. 20. 3.

731. Herodis ditioni adjicit Augustus Trachonem, Batanæam et Auranitidem. Antt. XV. 10. 3. B. J. I. 20. 4.

734. Herodes Templi instaurationem aggreditur. Antt. XV. 11. 1. B. J. I. 21. 1.

737. Roma reversus filios domum revehit. Antt. XVI. 1. 2. B. J. I. 23. 4.

742. Iterum cum filiis Romam navigat. Antt. XVI. 4. 1. B. J. I. 22. 3.

750. Herodes moritur. Antt. XVII. 8. 1. B. J. I. 33. 8.

HERODIS MAGNI PROSOPIA

SEC. EZECH. SPANHEM.

Antipatri et Cyprus (e quibus natus est Herodes Magnus) Liberi.

1. PHASAELUS fil. Maximus. ἀρχ. lib. 14. c. 9. §. 2. princ. Hierosolym. et vicinæ Regionis Dux. Ibid.

Tetrarcha a M. Anton. ἀρχ. lib. 14. c. 13. §. 1. paul. ante fin.

A Parthis captus. ἀρχ. lib. 14. c. 13. §. 6. pr.

Adliso ad saxum capite mortuus. ἀρχ. lib. 14. c. 13. §. 10. med.

Uxor SALAMPSUS. Eorum filiæ et liberi. ἀρχ. lib. 17. c. 1. §. 3. paul. post med.

2. HERODES fil. secundus. ἀρχ. lib. 14. c. 9. §. 2. paul. post princ.

Galilææ Præfectus a patre. Ibid.

Tetrarcha Judææ a M. Antonio. ἀρχ. lib. 14. c. 13. §. 1. paul. ante fin.

Rex a Senatu declaratus. ἀρχ. lib. 14. c. 14. §. 5. med.

ab Augusto confirmatus. ἀρχ. lib. 15. c. 6. §. 7. princ.

Mors ejus. ἀρχ. lib. 17. c. 8. §. 1. med.

3. JOSEPHUS Antigoni Judæorum Regis jussu cæsus. ἀρχ. lib. 14. c. 15. §. 10. paul. post med.

4. PHEROBAS, ei Regni cura ab Herode relicta. ἀρχ. lib. 15. c. 6. §. 5. paul. ante med.

Tetrarcha factus ab Augusto. ἀρχ. lib. 15. c. 10. §. 3. paulo ante fin. lib. 17. c. 1. §. 2. paul. post med.

Uxor MARIAMNE Herodis uxoris soror. ἀλ. lib. 1. c. 24. §. 5. paul. ante fin. lib. 15. c. 3. §. 9. circ. fin.

Mortuus. ἀρχ. lib. 17. c. 4. §. 3. med. ἀλ. lib. 1. c. 30. §. 1. med.

5. SALOME Nupta.

JOSEPHO Herodis patruo. ἀρχ. lib. 15. c. 3. §. 9. paul. ante med. lib. 16. c. 9. §. 1. paul. ante med. ἀλ. lib. 1. c. 24. §. 5. paul. ante fin.

2. COSTOBARO Idumæo. ἀρχ. lib. 15. c. 7. §. 9. pr. ἀλ. lib. 1. c. 20. §. 3.

3. ALEXÆ. ἀλ. lib. 1. c. 28. §. 6. paul. ante fin. et c. 33. §. 6. med.

Eadem cum ALEXANDRO Herodis M. et Mariamnes filio stupro commissa. ἀλ. lib. 1. c. 24. §. 1. paul. post pr.

Herodis Magni Uxores.

1. DORIS Judæa. ἀρχ. lib. 14. c. 12. §. 1. paul. ante fin. ἀλ. lib. 1. c. 22. paul. post pr.

Ab Herode repudiata, ducta Mariamne. ἀλ. lib. 1. c. 22. mox post pr.

2. MARIAMNE filia Alexandri, Aristobuli, Regis Judææ filii, et Alexandræ, filiæ Hyrcani. ἀρχ. lib. 15. c. 2. §. 5.

3. MARIAMNE Simonis Boethi summi Pontificis Filia. ἀρχ. lib. 15. c. 9. §. 3. med. lib. 18. c. 6. §. 1. paul. post pr. lib. 18. c. 6. §. 4. med.

4. Filia fratris PHERORÆ eadem sterilis. ἀρχ. lib. 1. c. 2. §. 2. pr.

5. Consobrina sterilis. Ibid.

6. ΜΑΡΘΑΚΗ aut ΜΑΛΘΑΚΗ Samaritis. ἀρχ. lib. 17. c. 12. §. 1. paul. post pr. ἀλ. lib. 1. c. 20. §. 4. med. lib. 2. c. 2. §. 1. pr.

7. CLEOPATRA Hierosolymitana. ἀρχ. lib. 17. c. 1. §. 3. med.

8. PALLAS. ἀρχ. lib. 17. c. 1. §. 3. paul. post med.

9. PHÆDRA. Ibid.

10. ELPIS. Ibid.

Herodis M. Successores.

De HERODIS M. Progenie. ἀρχ. 885. seq.

De ejusdem uxoribus, liberis, posteris. ἀρχ. 771. 827. seq. 884. seq. ἀλως. 127.

HERODES, filius, e MARIAMNE filia Simonis Pontificis, successor ab Herode M. designatus post Antipatrum. ἀρχ. 831.

.... Ob Matris insidias e Tabulis a Patre deletus. ἀλ. 132.

..... Uxor ejus HERODIAS filia Aristobuli Herodis e Mariamne, et Berenice Salomes filia. ἀρχ. 882. seq.

ANTIPAS, idem Herodes dictus, MALTHACES Samaritidis filius natorum minimus, cui prioribus tabulis, post mortem Antipatri, Herodes M. Regnum reliquerat. ἀρχ. 841. seq. 846. seq.

..... Tetrarcha Galilææ ac Perææ a Patre relictus. ἀρχ. 847. seq.

..... Dimidia Archelai ditionis pars ei et Philippo fratri data ab Augusto. ἀρχ. 161.

..... Joannem Baptistam capite mulctat. ἀρχ. 883. seq.

..... Uxores 1. Aretæ Arabum Regis filia quæ ad Patrem fugit. ἀρχ. ibid. 2. HERODIAS Aristobuli Herodis M. filii filia, et Agrippæ M. soror, quam superstite fratre Herode, cui illa nupserat, duxit. ἀρχ. 897. seq.

..... Lugdunum in Galliam a Caio relegatus. ἀρχ. 897. seq. in Hispania obiit. ἀλ. 169.

..... Tetrarchia ejus Agrippæ M. regno addita. ἀρχ. 897.

..... Idem Antipas de Regno juxta prioris Herodis tabulas Romæ cum Archelao disceptat. ἀλ. 275.

..... Tiberiada urbem in ora Lacus Genesirhetici condit in honorem Tiberii. ἀρχ. 694.

ARCHELAUS Rex ultimis tabulis ab Herode M. declaratus. ἀρχ. 671. seq.

..... Ethnarcha cum dimidia parte Herodis Regni factus ab Augusto. ἀρχ. 686. seq.

..... Judæa, Idumæa, Samaria, item Stratonis Turris, Sebaste, Joppe, Hierosolyma ei ab Augusto relicta. ἀρχ. 686. seq.

..... Viennam ab Augusto relegatus. ἀρχ. 689. seq.

..... Regio ejus contributa Syriæ ab Augusto. ἀρχ. 690. seq.

..... Uxores, 1. MARIAMNE Aristobuli filia, et cum ea divortium. ἀρχ. 689. seq. 761. seq. 2. GLAPHYRA, prius Alexandri Herodis, et Mariamnes Filii uxor. ἀρχ. 689. seq. 761. seq.

PHILIPPUS Archelai γνήσιος frater dicitur. ἀρχ. 674. qui tamen ex alia matre, Cleopatra nempe, natus. ἀρχ. 659. ἀλ. 127.

..... Tetrarcha Trachonitidis, Gaulanitidis, Bataneæ, Panead. ἀρχ. 674.

..... Batanæa, Trachonitis, Auranitis, et cum Zenodori parte ei ab Augusto relicta. ἀρχ. 686.

..... Cæsarea Paneas ab eo condita. ἀρχ. 693.

..... Mortuus Anno Tiberii XXI. quum XXVIII. præfuisset Trachonitidi, Gaulanitidi, Bataneæ. ἀρχ. 700.

..... Ejus Tetrarchia, eo mortuo, Syriæ a Tiberio addita. ἀρχ. 701. quæ Agrippæ M. data a Claudio. ἀρχ. 771.

..... Uxor ejus SALOMÉ Herodis Chalcidos Dynastæ et Mariamnes Josephi filiæ et Olympiados Herodis M. filiæ. ἀρχ. 703.

Syro-Macedonum Menses juxta Norisium Epoch. Syro-Macedon. pag. 18.

	Dies. Init.
I. Dius	30—24 Septembr.
II. Appellæus	30—24 Octobr.
III. Audynæus	31—23 Novembr.
IV. Peritius	30—24 Decembr.
V. Dystrus	30—23 Januarii.
VI. Xanthicus	31—22 Februarii.
VII. Artemisius	31—25 Martii.
VIII. Dæsius	30—25 Aprilis.
IX. Panemus	30—25 Maii.
X. Lous	31—24 Junii.
XI. Gorpiæus	31—25 Julii.
XII. Hyperberetæus	30—25 Augusti.

PRESIDENTS OF SYRIA, PROCURATORS OF JUDÆA, AND JEWISH HIGH PRIESTS,

according to Greswell.

Presidents of Syria.

From U. C. 691. B. C. 63. to U. C. 828. A. D. 75[a].

	U.C.	B.C.
I. Scaurus. *By Pompey the Great*	691	63
II. (L.) Marcius Philippus. *Ex Prætura*	*693	61
III. (Cn. Corn.) Lentulus Marcellinus[b]. *Ex Prætura*	695	59
IV. Aulus Gabinius[c]. *Ex Consulatu*	697	57
V. Marcus Licinius Crassus. *Ex Consulatu*	700	54
VI. C. Cassius[d]	701	53

[a] [The above table extends from the year of the reduction of Syria to the form of a Roman province, to the close of the history of the Jewish war. The dates marked with an asterisk must be received not as absolutely the true ones, but as the nearest approximation to the true, which our data allow us to make.]

[b] These two were consuls together U. C. 698. See Dio, xxxix. 16. 40.

[c] When Gabinius left his province to restore Ptolemy, king of Egypt, U. C. 699, Sisenna, his son, was legate of Syria in his absence. Dio, xxxix. 56.

[d] Cassius was quæstor of Crassus, at the time of his death U. C. 701; and, having escaped with the wreck of his army into Syria, of course held the province only until the arrival of Bibulus.

	U.C.	B.C.
VII. Marcus Calpurnius Bibulus[e]. *Ex Consulatu*	702	52
VIII. Q. Cæcilius Metellus Pius Scipio[f]. *Ex Consulatu*	705	49
IX. Sextus Julius Cæsar[g]. *Appointed by Julius Cæsar*	707	47
X. Q. Cæcilius Bassus[h]	709	45
XI. C. Cassius[i]. *Ex Prætura*	710	44
XII. Decidius Saxa[k]. *By Antony*	713	41
XIII. P. Ventidius[l]. *By Antony*	715	39
XIV. C. Sosius[m]. *By Antony*	*716	38
XV. L. Munatius Plancus[n]. *By Antony*	*719	35
XVI. L. Calpurnius Bibulus. *By Antony*	*721	33
XVII. Quintus Didius. *By Antony*	*722	32

e Valerius Maximus (iv. i. 15.) mentions an anecdote in relation to this Bibulus, which shews that Cleopatra was queen of Egypt sometime during his term of office in the government of Syria. Cleopatra was actually queen, U. C. 702, or U. C. 703.

f Bibulus left his province U. C. 704. Cicero, ad Atticum, vii. 3: Bibulus de provincia decessit, Veientonem præfecit. Veiento therefore was *locum tenens*, until the arrival of Scipio.

g When Scipio left his province, U.C. 706, to join Pompey before the battle of Pharsalia, either Rheginus (Appian, B. C. iv. 40.) or L. Hirrus (Ulcillis, Cæsar, De Bello Civili, iii. 82. i. 15.) was appointed *locum tenens* in his stead.

h Cæcilius Bassus was no regular governor; having assassinated, or procured the assassination of his predecessor. See the auctores citati, and cf. Strabo, xvi. 2. §. 10. 317.

i Josephus, (Ant. Jud. xiv. xi. De Bello, i. x. 10. xi.) speaks of a Marcus, as associated with Cassius in the government of Syria: by whom he means probably, either Lucius Statius Murcus, or Marcus Crispus, as Dio calls him, (xlvii. 27,) though his proper name was Q. Marcius Crispus; see Cicero, Philippica, xi. 12. Ad Familiares, xii. 11: Velleius Paterculus, ii. 69: Appian, De Bellis, iv. 58: both *viri prætorii*, who were waging war upon Bassus, for the assassination of Sextus, and the usurpation of the government, when Cassius arrived.

It must also be observed that the government of Syria was claimed this same year, U. C. 710, by P. Cornelius Dolabella, *ex consulatu*. Cassius was the first to arrive in the province, and so obtained possession before him; in which the senate confirmed him, U. C. 711. See Dio xlvii. 29.

k When Cassius quitted his province to join Brutus, U. C. 711, he left his ἀδελφιδοῦς or nephew (L. Cassius), *legatus* in his stead: Appian, De Bellis Civilibus, iv. 63.

l During the intermediate year between Saxa and Ventidius, U. C. 714, Syria was occupied by Labienus and Pacorus, who made Saxa prisoner in Cilicia, and put him to death: Dio, xlviii. 24—26: Ant. Jud. xiv. xiii. 3: De Bello, i. xiii. 1. &c. Velleius Paterculus, ii. 78. Florus (iv. ix. §. 5.) calls him Saxa, and says he died by his own hand, to avoid being taken by the Parthians.

m Antony himself was in Syria, commanding at the siege of Samosata, U. C. 716, (cf. Ant. Jud. xiv. xv. 8. De Bello, i. xvi. 7. besides the other authorities, vol. i. 270, &c.,) and Ventidius was at Rome, October 26, U. C. 716, when he triumphed. See the Fasti Triumphales. But Antony cannot be reckoned among the regular governors.

Sosius was probably appointed U. C. 716 *exeunte*.

n Sosius was at Rome, and triumphing, September 3, U. C. 720.

	U.C.	B.C.
XVIII. M. Valerius Messalla Corvinus. *By Cæsar Octavianus*	*724	30
XIX. Varro. *By Augustus*	*727	27
XX. M. Vipsanius Agrippa[o]. *By Augustus*	731	23
XXI. M. Tullius Cicero[p]	*734	20
XXII. M. Vipsanius Agrippa	738	16
XXIII. M. Titius	*742	12
XXIV. C. Sentius Saturninus	*746	8
XXV. P. Quinctilius Varus	*750	4
XXVI. L. Volusius Saturninus[q]	*755	A.D. 2
XXVII. P. Sulpicius Quirinus	760	7
XXVIII. Q. Cæcilius Metellus Creticus Silanus	765	12
XXIX. Gn. Piso[r]. *By Tiberius*	770	17
XXX. Cn. Sentius[s]	772	19
XXXI. L. Pomponius Flaccus Græcinus[t]	*775	22
XXXII. L. Vitellius[u]	787	34
XXXIII. P. Petronius Turpilianus. *By Caius*	792	39
XXXIV. Vibius Marsus. *By Claudius*	*795	42
XXXV. C. Cassius Longinus	*797	44
XXXVI. T. Ummidius Quadratus	*802	49
XXXVII. Cn. Domitius Corbulo[x]. *By Nero*	813	60

[o] It must be here observed that Agrippa probably governed Syria, both on this occasion and that, U. C. 738, not in person, but by his legati, or ὑποστράτηγοι.

[p] Augustus himself was in the East, U. C. 733 and 734: and probably appointed Cicero, on his departure thence.

[q] Augustus' adopted son, C. Julius Cæsar Vipsanianus, was sent into the East, U. C. 753, with proconsular authority over all the provinces, Syria, as well as the rest. See vol. i. 533. 545. iv. 8, 9. Also Orosius, vii. 3.

[r] Germanicus was dispatched into the East, with proconsular authority, U. C. 771, (Tacitus, Annales, ii. 53:) and by him Piso was deposed, U. C. 772: (Tacitus, Ibid. 70. 75—81.)

[s] Cn. Sentius was appointed by the council of Germanicus, upon his death, U. C. 772, as *locum tenens*, until some other governor should be sent by Tiberius.

[t] Pomponius Flaccus was at Rome, U. C. 769, on Sept. 10 and 13, when Libo's conspiracy was detected: (Tacitus, Annales, ii. 32:) he was appointed to Mœsia U. C. 772: (ibid. 66:) but must have been superseded before U. C. 778, by Pomponius Labeo. Tacitus Annales, iv. 46, 47; vi. 29. Cf. vol. iii. 380, 381.

[u] Between Flaccus and Vitellius, there was a nominal governor of Syria, appointed indeed, but not permitted to enter upon the office, L. Ælius Lamia. (Tacitus, Annales, vi. 27: Cf. vol. iii. 420.) Perhaps he was appointed U. C. 780. Flaccus of course continued in office until his death, U. C. 786.

[x] Quadratus died in office, U. C. 813. There is a coin of his extant, U. C. 812. *ab auctumno:* (Eckhel, iii. 280;) and Pliny (H. N. ii. 72.) Corbulo was commanding in Armenia, April 30, U. C. 812. He was appointed to that command, U. C. 807: (Tacitus, Annales, xiii. 8. Cf. xiii. 34—41: xiv. 12. 23—26: Statius, Silvæ, v. ii. 30—47.) Quadratus was thus kept in office from U. C. 802—813, eleven years; the rea-

	U. C.	A. D.
XXXVIII. C. Cestius Gallus Camerinus[y]	*818	65
XXXIX. M. Licinius Crassus Mucianus[z]	820	66
XL. Cæsennius Pætus[a]. *By Vespasian*	824	71
XLI. (M.) Ulpius Trajanus (*Pater*)[b]	*829	76

Procurators of Judæa.

From U. C. 760. A. D. 7—U. C. 828. A. D. 75[c].

	U. C.	A. D.
I. Coponius. *By Augustus*	760	7
II. Marcus Ambivius	*763	10
III. Annius Rufus	*766	13
IV. Valerius Gratus. *By Tiberius.*	768	15
V. Pontius Pilatus	779	26
VI. Marcellus. *By Vitellius, president of Syria*	789	36

son of which seems to have been, that U. C. 808, he was to have been superseded by P. Anteius, who, however, was not permitted to depart to his province: Tacitus, Annales, xiii. 22. His continuance then in office answers to that of Flaccus, under similar circumstances. U. C. 808, would have been about the usual time of relieving him.

y When Corbulo was absent upon the expedition into Armenia U. C. 816—arising out of the war, U. C. 815. (Tacitus, Annales, xv. 1—31.) Cincius was appointed Legatus of Syria: Ibid. xv. 25. But he was not absent more than one campaign. The date of the appointment of Cestius cannot be later than U. C. 818, if it be true, as Josephus reports, that he was in Jerusalem at the Passover, U. C. 819. His coins, too, extend from U. C. 818—819 *ab auctumno:* (Eckhel, iii. 281, 282.)

The only difficulty connected with this date is that, of which a solution is attempted iv. 254, 255. Josephus, Vita, 67. 71. implies that he was still in office, U. C. 820 *ineunte* at least. This is possible; as Nero did not dispatch Vespasian, until he heard of Cestius' defeat; viz. in the spring, after October, U. C. 819. Cestius either killed himself, or died a natural death this year; not an impossible event, even in the latter case, if he was consul U. C. 788.

z Mucian was most probably sent to supersede Cestius in Syria, when Vespasian was sent to take the command in Judæa; both by Nero. His coins extend from U. C. 821—822. *ab auctumno* Eckhel, iii. 282.

a Mucian certainly quitted his province to march into Italy U. C. 822. Who was left to command in Syria does not appear, except that Cneus Collega was acting there as deputy, U. C. 823: see De Bello, vii. iii. 4. A Caius Cæcina Pætus was cons. suff. U. C. 823. Perhaps Josephus means him. A Cæsonius Pætus, however, was consul U. C. 814.

b There is one coin of Trajan's extant, which shews that he was in office U. C. 829. *ab auctumno:* Eckhel, iii. 282: vi. 434. Josephus also shews that a Trajan, most probably the same, was a commander of a legion, under Vespasian, in the Jewish war, U. C. 821: De Bello, iv. viii. 1.

c [The following list is intended to exhibit the succession of procurators of Judæa from the time of their first appointment, to the conclusion of Josephus' History of the Jewish War. The dates, which are marked with an asterisk, are conjectural: being intended to express the nearest approximation to the true.]

	U. C.	A. D.
VII. Maryllus[d]. *By Caius*	790	37
VIII. Cuspius Fadus. *By Claudius*	*797	44
IX. Tiberius Alexander	*799	46
X. Ventidius Cumanus	*801	48
XI. Antonius Felix	*803	50
XII. Porcius Festus. *By Nero*	811	58
XIII. Albinus	815	62
XIV. Gessius Florus	817	64
XV. Marcus Antonius Julianus[e]. *Probably by Vespasian*	*823	70
XVI. Liberius Maximus[f]	*825	72

Jewish High Priests.

From U. C. 717. B. C. 37—U. C. 823. A. D. 70.[g]

	U. C.	B. C.
I. Ananelus (of Babylon). *Appointed by Herod*	717	37

[d] I have given Maryllus a place in this list, though he was not, strictly speaking, procurator, or civil governor; only hipparchus, or the emperor's fiscal procurator.

[e] An Antonius Julianus is mentioned by Minucius Felix, and, I believe, by Jerome, as the author of an History of the Jewish War. If so, it was probably this person.

[f] Between Antonius and Maximus, Josephus mentions Terentius Rufus, (De Bello, vii. ii. i.): Cerealis Vitellianus, (vii. vi. 1.): and Lucilius Bassus, (ibid.) as military commanders in Judæa, the first in the same year with the destruction of Jerusalem, but after that event, U. C. 823; the last, as superseding Cerealis, about the fourth of Vespasian, U. C. 825. But as he distinguishes Bassus, (vii. vi. 6.) expressly from Liberius Maximus, calling the latter the ἐπίτροπος or procurator, while he recognises the other, notwithstanding, as the commander of the forces; we must do the same; and not reckon any of those three among the procurators of Judæa as such. For the same reason, neither is Flavius Silva, who succeeded to the command of Bassus, upon *his* death, probably U. C. 825—(see De Bello, vii. viii. 1: ix. 1.) to be reckoned among the procurators. Antonius Julianus was probably the next procurator *as such*, after Gessius Florus, whose term of office was cut short by the rebellion, U. C. 819; and Liberius Maximus after Antonius, who might be appointed in U. C. 823 itself, when Titus was dispatched by Vespasian against Jerusalem. If Maximus was appointed in U. C. 825, he might not be superseded until U. C. 828: and so his procuratorship would extend to the close of the history of Josephus; which ends, as I have shewn, in the same year.

Until the breaking out of the war, U. C. 819, the procurator had the command of the forces also, which were any where stationed in Judæa. After the rebellion, and in consequence of the state of things which rendered it necessary to keep up an extraordinary military force in the country, it seems to have been thought necessary to have an extraordinary military commander: and the fact that we find such an officer associated with, yet distinguished from, the civil governor, from U. C. 823, down to U. C. 826 at least, is among the other arguments that the war had not ceased until then at least.

[g] In the following table, every per-

	U.C.	B.C.
II. Aristobulus (son of Alexander and grandson of Aristobulus II.)	718	36
III. Ananelus (reappointed)	719	35
IV. Jesus (son of Phabes)	date unknown	
V. Simon (son of Boethus)	733	21
VI. Matthias (son of Theophilus)	750	4
VII. Josephus (son of Ellemus). *Appointed for the νηστεία*	750	4
VIII. Joazarus (son of Boethus)	751	3
IX. Eleazarus (brother of Joazar). *Appointed by Archelaus*	*751	3
X. Jesus (son of Sie)	date unknown	
XI. Joazarus (son of Boethus). *Reappointed*	date unknown	
XII. Ananus (son of Seth). *By Quirinius*	760	A.D. 7
XIII. Ismaelus (son of Phabi). *By Gratus*	775	22
XIV. Eleazarus (son of Ananus)	777	24
XV. Simon (son of Camithus)	778	25
XVI. Josephus (or Caiaphas)	779	26
XVII. Jonathan (son of Ananus). *By Vitellius*	790	37
XVIII. Theophilus (brother of Jonathan)	790	37
XIX. Simon Cantheras (son of Boethus). *By Herod Agrippa*	*794	41
XX. Matthias (son of Ananus)	*795	42
XXI. Elionæus, or Cantheras (son of Cantheras)	*796	43
XXII. Josephus (son of Cami, or Camudus). *By Herod of Chalcis*	*797	44
XXIII. Ananias (son of Nebedæus)	*799	46
XXIV. Jonathan (son of Ananus). *Probably by Quadratus*	802	49
XXV. Ismaelus (son of Phabei). *By Agrippa the younger*	*809	56
XXVI. Josephus Cabi (son of Simon)	814	61
XXVII. Ananus (son of Ananus)	815	62

son is mentioned, whose name I have observed in Josephus, as having filled the office of high priest, whether for a longer or for a shorter time, whether for the first time, or as reappointed. The dates, which are marked with an asterisk, are conjectural; that is, they are probably, but not certainly, the true.]

	U. C.	A. D.
XXVIII. Jesus (son of Damnæus)	815	62
XXIX. Jesus (son of Gamaliel, or of Gamalas)	*816	63
XXX. Matthias (son of Theophilus)	818	65
XXXI. Phanasus or Phannias (son of Samuel).		
By the zealots	820	67

CHRONOLOGY OF THE JEWISH WAR,

According to Greswell, Dissert. XIII. vol. I. p. 579.

I. In the month Artemisius, which answers to the second month in the Jewish sacred year, and not later than the sixteenth day of that month A. U. [a]819, in the twelfth of Nero, the war began: on the fifteenth of the Lous, or the sixth of the Gorpiæus following, three or four months afterwards, the [b]fortress of Masada was seized by the partisans of Manahem; on the eighth of Dius, two or three months after that occupation, Cestius Gallus, the president of Syria, who had come before Jerusalem first on the last day of Hyperberetæus, the preceding month, [c]was finally routed in his retreat.

II. On the first of Panemus, which answers to the fourth month in the Jewish year, A. U. [d]820, in the thirteenth of Nero, Jotapata was reduced: and on the 23rd of the Hyperberetæus following, which answers to the seventh, [e]Gamala also.

III. The course of events is brought down [f]to the time of the death of Nero; that is, to the second week in June, A. U. 821.

IV. Vespasian was now proclaimed emperor; that is, the History of the [g]War is brought down to July 1, A. U. 822.

V. In the month Xanthicus, which answers to Nisan in the Jewish year, between the 14th and the 21st day of the month,

[a] Bel. Jud. II. 14. 4. II. 15. 2.
[b] Bel. Jud. II. 17. 2—8.
[c] Bel. Jud. II. 19. 4. II. 19. 9.
[d] Bel. Jud. III. 7. 36.
[e] Bel. Jud. IV. 1. 9.
[f] Bel. Jud. IV. 9. 2.
[g] Bel. Jud. IV. 10. 4. Suet. Vesp. 6. Tac. Hist. II. 79.

and even on the 14th itself, while the Jewish passover was going on, A. U. 823. in the first year of Vespasian, Titus Cæsar [h]sat down to the siege of Jerusalem.

VI. On the seventeenth of the ensuing Panemus, which answers to the Jewish [i]Thamuz, the daily sacrifice failed: on the [k]twenty-fourth of the same month fire was first set to the temple; on the tenth of Lous, [l]the ensuing month, the temple was burnt to the ground: and on the eighth of Gorpiæus, the month after that, which, according to Dio, was a [m]sabbath-day, Jerusalem itself was taken and destroyed.

VII. The birth-day of Domitian is mentioned as celebrated by Titus, and subsequently that of Vespasian, both in the same year as the destruction of Jerusalem just before; that is, the course [n]of events is brought down to the 9 kal. of November, and to the 15 kal. of December, A. U. 823.

VIII. After this there is an account of [o]the triumph of Titus at Rome; the time of which it is impossible to place earlier than the spring, or the midsummer of the next year, A. U. 824. This triumph would therefore take place either in the last half of the second, or in the first half of the third, of Vespasian; and the History of the War in each case, it is manifest, would thus be brought down to the close of the fourth, and the commencement of the fifth, of its continuance. But this is not all: in the next chapter mention is made of the [p]fourth of Vespasian, which would begin July the 1st, A. U. 825, and end June the 30th, A. U. 826. and A. D. 73. the seventh year of the war, *exeunte*, the History [q]places the recapture of Masada, the last act of the war in Judæa; but not the last act of the war ἁπλῶς, (as the very continuation of the history beyond [r]this period would by itself be sufficient to prove,) nor consequently, the last act of the predicted desolation, before it had reached its completion.

The tenth and eleventh chapters of the seventh book give

[h] Bel. Jud. V. 3. 1. V. 13. 7. VI. 9. 3.
[i] Bel. Jud. VI. 2. 1. Mishna II. 7. 382.
[k] Bel. Jud. VI. 2. 9.
[l] Bel. Jud. VI. 4. 5.
[m] Bel. Jud. VI. 8. 5. VI. 10. 1. Dio. 66. 7.
[n] Bel. Jud. VII. 3, 1. Suet. Dom. 1. Vesp. 2.
[o] Bel. Jud. VII. 5. 5.
[p] Bel. Jud. VII. 7. 1.
[q] Bel. Jud. VII. 9. 1.
[r] Bel. Jud. VII. 10. 1. VII. 11. 5.

an account, the former of the desecration of the temple of Onias, in Egypt, and the latter of the destruction of the false prophet Jonathan, with his followers, at Cyrene in Africa; both of them events which arose directly out of the war; in both of which the Zealots, who had escaped from the wreck of Judæa, were mainly concerned; and both no more than accessory to the fulfilment of the measure of the Jewish calamities. The time of these two transactions was nearly synchronous; and the time of the former is ascertained by the assertion that the temple, before its desecration, had [s]been 343 years in existence; in which number the centenary figure is manifestly an error, and the true date, as it came from the author, I have no doubt, was 243.

[s] Bel. Jud. VII. 10. 4.



ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Α'.

ARGUMENTUM LIB. I.

ΠΡΟΟΙΜΙΟΝ. 1. Ὅπως ἠρεῖτο Ἱεροσολύμων πόλις, καὶ περὶ τῶν Μακκαβαίων Ματθία καὶ Ἰούδα. 2. Περὶ Ἰωνάθου, Σίμωνος καὶ Ἰωάννου τοῦ Ὑρκανοῦ. 3. Ὡς Ἀριστόβουλος τελευτᾷ. 4. Περὶ Ἀλεξάνδρου Ἰανναίου. 5. Περὶ Ἀλεξάνδρας καὶ περὶ Φαρισαίων τὴν ἀρχὴν ἐχόντων. 6. Περὶ Ὑρκανοῦ καὶ Ἀριστοβούλου, καὶ ὡς Πομπήϊος τῶν διαφορῶν αὐτῶν γίνεται διαιτητής. 7. Οἷα Πομπήϊος ἐν Ἰουδαίᾳ ἔπραξεν. 8. Περὶ Γαβινίου καὶ Κράσσου καὶ Κασσίου. 9. Ἀριστόβουλος καὶ Ἀλέξανδρος ἀναιροῦνται. Ἀντίπατρος θεραπεύει Καίσαρα. 10. Οἷα Ἀντίπατρος ἐν Ἰουδαίᾳ ἔπραξεν. 11. Ἡρώδης ἀποδείκνυται Συρίας ἁπάσης ἐπιμελητής. 12. Ἡρώδην καὶ Φασάηλον Ἀντώνιος τετράρχας ἀποδείκνυσι. 13. Οἷα ἔπασχον Ὑρκανὸς καὶ Φασάηλος ὑπὸ Πάρθων. 14. Ἀντώνιος καὶ Καῖσαρ συμπράττονται Ἡρώδην βασιλέα καθιστᾶν Ἰουδαίων. 15. Οἷα Ἡρώδης ἀπὸ Ῥώμης ἐπανελθὼν ἐν Ἰουδαίᾳ ἔπραξεν. 16. Ἡρώδης Σέπφωριν αἱρεῖ, καὶ τοὺς λῃστὰς χειροῦται. 17. Ἡρώδης Ἱεροσόλυμα πολιορκεῖ, καὶ Μαριάμμην γαμεῖ. 18. Ἡρώδης Ἱεροσόλυμα κατὰ κράτος αἱρεῖ, 19. καὶ νικᾷ τοὺς Ἄραβας. Περὶ σεισμοῦ μεγάλου. 20. Ἡρώδης ὑπὸ Καίσαρος βασιλεύειν κελεύεται, 21. καὶ πολλὰς πόλεις οἰκοδομεῖ. 22. Ἀριστοβούλου καὶ Ὑρκανοῦ καὶ Μαριάμμης τελευτή. 23. Διαβολαὶ εἰς τοὺς υἱοὺς Μαριάμμης. 24. Ἔχθραι τῶν Ἡρώδου συγγενῶν πρὸς ἀλλήλους. 25. Ἀλέξανδρον καὶ Φερώραν τῷ Ἡρώδῃ διαλλάττει Ἀρχέλαος. 26. Ὡς τοὺς Μαριάμμης υἱοὺς διαβάλλει Εὐρυκλῆς. 27. Τελευτὴ τῶν Ἡρώδου υἱῶν. 28. Ὅπως Ἀντίπατρος ἐμισήθη παρὰ πάντων, καὶ περὶ τῶν Ἡρώδου γάμων καὶ παίδων. 29. Ἀντίπατρος εἰς Ῥώμην πέμπεται τὴν Ἡρώδου διαθήκην κομίζων. Φερώρας οἴκοι τελευτᾷ. 30. Ἡρώδης εὑρίσκει Ἀντίπατρον φάρμακον αὐτῷ σκευάσαντα, 31. καὶ δίκην αὐτῷ ἐπάγει. 32. Τιμωρίαν Ἀντιπάτρου Ἡρώδης ἀνεβάλλετο ἕως ῥαΐσῃ, καὶ ἐν τούτῳ τὴν διαθήκην μεταγράφει. 33. Ἡρώδης καὶ ἄλλους πολλοὺς καὶ Ἀντίπατρον κτείνεσθαι κελεύει, καὶ ὡς αὐτὸς ἐπιβιοὺς πέντε ἡμέρας τελευτᾷ.

ΠΡΟΟΙΜΙΟΝ.

ΕΠΕΙΔΗ τὸν Ἰουδαίων πρὸς Ῥωμαίους πόλεμον συ- 1
στάντα μέγιστον οὐ μόνον τῶν καθ' ἡμᾶς, σχεδὸν δὲ καὶ ὧν
ἀκοῇ παρειλήφαμεν, ἢ πόλεων πρὸς πόλεις ἢ ἐθνῶν ἔθνεσι
συρραγέντων, οἱ μὲν οὐ παρατυχόντες τοῖς πράγμασιν, ἀλλ'
ἀκοῇ συλλέγοντες εἰκαῖα καὶ ἀσύμφωνα διηγήματα, σοφι-
στικῶς ἀναγράφουσιν, οἱ παραγενόμενοι δὲ, ἢ κολακείᾳ τῇ
πρὸς Ῥωμαίους, ἢ μίσει τῷ πρὸς Ἰουδαίους, καταψεύδονται
τῶν πραγμάτων, περιέχει δὲ αὐτοῖς ὅπου μὲν κατηγορίαν,
ὅπου δὲ ἐγκώμιον τὰ συγγράμματα, τὸ δὲ ἀκριβὲς τῆς
ἱστορίας οὐδαμοῦ· προεθέμην ἐγὼ τοῖς κατὰ τὴν Ῥωμαίων 2
ἡγεμονίαν Ἑλλάδι γλώσσῃ μεταβαλὼν ἃ τοῖς ἄνω βαρβά-
ροις τῇ πατρίῳ συντάξας ἀνέπεμψα πρότερον, ἀφηγήσασθαι,
Ἰώσηπος Ματθίου παῖς, γένει Ἑβραῖος ἐξ Ἱεροσολύμων,
ἱερεὺς, αὐτός τε Ῥωμαίοις πολεμήσας τὰ πρῶτα, καὶ τοῖς
ὕστερον παρατυχὼν ἐξ ἀνάγκης.

2. Γενομένου γὰρ, ὡς ἔφην, μεγίστου τοῦδε τοῦ κινήματος, 3
ἐν Ῥωμαίοις μὲν ἐνόσει τὰ οἰκεῖα, Ἰουδαίων τε τὸ νεωτερίζον
τότε τεταραγμένοις ἐπανέστη τοῖς καιροῖς, ἀκμάζον κατά τε
χεῖρα καὶ χρήμασιν, ὡς δι' ὑπερβολὴν θορύβων, τοῖς μὲν ἐν
ἐλπίδι κτήσεως, τοῖς δ' ἐν ἀφαιρέσεως δέει γίνεσθαι τὰ πρὸς
τὴν ἀνατολήν· ἐπειδὴ Ἰουδαῖοι μὲν ἅπαν τὸ ὑπὲρ Εὐφράτην 4
ὁμόφυλον συνεπαρθήσεσθαι σφίσιν ἤλπισαν, Ῥωμαίους δὲ οἵ
τε γείτονες Γαλάται παρεκίνουν, καὶ τὸ Κελτικὸν οὐκ ἠρέ-
μει, μεστὰ δὲ ἦν πάντα θορύβων μετὰ Νέρωνα, καὶ πολλοὺς
μὲν βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε, τὰ στρατιωτικὰ δὲ ἦρα
μεταβολῆς ἐλπίδι λημμάτων. Ἄτοπον οὖν ἡγησάμην περι- 5
ἰδεῖν πλαζομένην ἐπὶ τηλικούτοις πράγμασι τὴν ἀλήθειαν, καὶ

1 ἢ πόλεως πρὸς P. ἀσύμφωνα σοφ. ἀναγ. διηγήματα N. ξυγγράμματα N. τὸ δ' ἀκριβὲς P. 2 προυθέμην L.M.N. ἃ τοῖς βαρβάροις P. γένει Ἑβραῖος desunt P. Ῥωμαίους πολ. M. 3 τοῖς μὲν ἐλπίδι P.T. 4 ὁμόφυλον ἡμῖν συνεπ. L.M.N.E. ξυνεπαρθήσασθαι L.N. πολλοὺς μὲν βασιλεῖς ὁ P. βασιλείαν L. 5 Ἄτοπον ἡγησάμην T.

Πάρθους μὲν, καὶ Βαβυλωνίους, Ἀράβων τε τοὺς πορρωτάτω, καὶ τὸ ὑπὲρ Εὐφράτην ὁμόφυλον ἡμῖν, Ἀδιαβηνούς τε γνῶναι διὰ τῆς ἐμῆς ἐπιμελείας ἀκριβῶς, ὅθεν τε ἤρξατο, καὶ δι' ὅσων ἐχώρησε παθῶν ὁ πόλεμος. καὶ ὅπως κατέστρεψεν, ἀγνοεῖν δὲ Ἕλληνας ταῦτα καὶ Ῥωμαίων τοὺς μὴ ἐπιστρατευσαμένους, ἐντυγχάνοντας ἢ κολακείαις ἢ πλάσμασι.

6 3. Καίτοι γε ἱστορίας αὐτὰς ἐπιγράφειν τολμῶσιν, ἐν αἷς, πρὸς τῷ μηδὲν ὑγιὲς δηλοῦν, καὶ τοῦ σκοποῦ δοκοῦσιν ἐμοί γε διαμαρτάνειν. Βούλονται μὲν γὰρ μεγάλους τοὺς Ῥωμαίους ἀποδεικνύειν, καταβάλλουσι δὲ ἀεὶ τὰ Ἰουδαίων καὶ ταπεινοῦσιν· οὐχ ὁρῶ δὲ, πῶς ἂν εἶναι μεγάλοι δοκοῖεν οἱ
7 μικροὺς νενικηκότες. Καὶ οὔτε τὸ μῆκος αἰδοῦνται τοῦ πολέμου, οὔτε τὸ πλῆθος τῆς καμούσης Ῥωμαίων στρατιᾶς, οὔτε τὸ μέγεθος τῶν στρατηγῶν, οἳ πολλὰ περὶ τοῖς Ἱεροσολύμοις ἱδρώσαντες, οἶμαι, ταπεινουμένου τοῦ κατορθώματος αὐτοῖς, ἀδοξοῦσιν.

8 4. Οὐ μὴν ἐγὼ τοῖς ἐπαίρουσι τὰ Ῥωμαίων ἀντιφιλονεικῶν, αὔξειν τὰ τῶν ὁμοφύλων διέγνων, ἀλλὰ τὰ μὲν ἔργα μετ' ἀκριβείας ἑκατέρων διέξειμι, τοὺς δ' ἐπὶ τοῖς πράγμασι λόγους ἀνατίθημι τῇ διαθέσει, καὶ τοῖς ἐμαυτοῦ πάθεσι διδοὺς
9 ἐπολοφύρεσθαι ταῖς τῆς πατρίδος συμφοραῖς. Ὅτι γὰρ αὐτὴν στάσις οἰκεία καθεῖλε, καὶ τὰς Ῥωμαίων χεῖρας ἀκούσας καὶ τὸ πῦρ ἐπὶ τὸν ἅγιον ναὸν εἵλκυσαν οἱ Ἰουδαίων τύραννοι, μάρτυς αὐτὸς ὁ πορθήσας Τίτος Καῖσαρ, ἐν παντὶ τῷ πολέμῳ τὸν μὲν δῆμον ἐλεήσας ὑπὸ στασιαστῶν φρουρούμενον, πολλάκις δὲ ἑκὼν τὴν ἅλωσιν τῆς πόλεως ὑπερτιθέμενος, καὶ διδοὺς τῇ πολιορκίᾳ χρόνον εἰς μετάνοιαν τῶν αἰτίων.

Ἀρράβων L. τοὺς ἐπιστρατ. L. τοὺς μὴ στρατ. T. 6 βούλονται γὰρ μεγάλους μὲν L.M.N.T.E. δὲ τὰ Ἰουδ. M. δὲ ἀεὶ τὸ Ἰουδ. T. οὐχ ὁρῶσι L.M.N.E.T. 7 τῆς Ῥωμαίων καμούσης P. πολλὰ παρὰ τοῖς E. ταπεινου— hic desinit recens Scriptura et vetus incipit L. 8 τὰ Ῥωμαικὰ M. ἔργα δι' ἀκριβείας L.T sed in hujus marg. μετὰ. ἔργα καὶ μετὰ M. καὶ τοῖς ἐμαυτοῦ πάθεσι desunt M. ἀπολοφύρεσθαι P. 9 ἅγιον deest P. εἵλκυσαν Ἰουδαίων T. Καῖσαρ Τίτος M. ὑπὸ τῶν στασιαστῶν L.M.N.T. sed in hujus marg. στρατιωτῶν. ἑκὼν καὶ τὴν N.

Εἰ δέ τις ὅσα πρὸς τοὺς τυράννους ἢ τὸ ληστρικὸν αὐτῶν 10
κατηγορικῶς λέγομεν τοῖς ἀτυχήμασι τῆς πατρίδος ἐπιστέ-
νοντες, συκοφαντοίη, διδότω παρὰ τὸν τῆς ἱστορίας νόμον
συγγνώμην τῷ πάθει. Πόλιν γὰρ δὴ τῶν ὑπὸ Ῥωμαίοις
πασῶν τὴν ἡμετέραν ἐπὶ πλεῖστόν τε εὐδαιμονίας συνέβη
προελθεῖν, καὶ πρὸς ἔσχατον συμφορῶν αὖθις καταπεσεῖν.
Τὰ γοῦν πάντων ἀπ' αἰῶνος ἀτυχήματα πρὸς τὰ Ἰουδαίων 11
ἡττᾶσθαί μοι δοκεῖ κατὰ σύγκρισιν, καὶ τούτων αἴτιος οὐδεὶς
ἀλλόφυλος, ὥστε ἀμήχανον ἦν ὀδυρμῶν ἐπικρατεῖν. Εἰ δέ
τις οἴκτου σκληρότερος εἴη δικαστὴς, τὰ μὲν πράγματα τῇ
ἱστορίᾳ προσκρινέτω, τὰς δ' ὀλοφύρσεις τῷ γράφοντι.

5. Καίτοι γε ἐπιτιμήσαιμι ἂν αὐτὸς δικαίως τοῖς Ἑλλή- 12
νων λογίοις, οἳ τηλικούτων κατ' αὐτοὺς πραγμάτων γεγενη-
μένων, ἃ κατὰ σύγκρισιν ἐλαχίστους ἀποδείκνυσι τοὺς πάλαι
πολέμους, τούτων μὲν κάθηνται κριταὶ τοῖς φιλοτιμουμένοις
ἐπηρεάζοντες, ὧν εἰ καὶ τῷ λόγῳ πλεονεκτοῦσι, λείπονται
τῇ προαιρέσει· αὐτοὶ δὲ τὰ Ἀσσυρίων ἢ τὰ Μήδων συγγρά- 13
φουσιν, ὥσπερ ἧττον καλῶς ὑπὸ τῶν ἀρχαίων συγγραφέων
ἀπηγγελμένα. Καίτοι τοσούτῳ τῆς ἐκείνων ἡττῶνται δυνά-
μεως ἐν τῷ γράφειν, ὅσῳ καὶ τῆς γνώμης. Τὰ γὰρ καθ'
αὐτοὺς ἐσπούδαζον ἕκαστοι γράφειν, ὅπου καὶ τὸ παρατυ-
χεῖν τοῖς πράγμασιν ἐποίει τὴν ἀπαγγελίαν ἐναργῆ, καὶ τὸ
ψεύδεσθαι παρ' εἰδόσιν αἰσχρὸν ἦν. Τό γε μὴν μνήμῃ τὰ 14
προϊστορηθέντα διδόναι, καὶ τὰ κατὰ τὸν ἴδιον χρόνον τοῖς
μετ' αὐτὸν συνιστάνειν, ἐπαίνου καὶ μαρτυρίας ἄξιον· φιλο-

10 ἢ τὸ ληστήριον αὐτῶν sed in marg. ληστρικὸν L.T. λέγοι ἢ τοῖς N. λέγομεν ἢ τοῖς E.T. τοῖς δυστυχήμασι P. συκοφαντῴη L. Πόλιν μὲν γὰρ τῶν P. ὑπὸ Ῥωμαίους N.P.E. 11 ἀτυχήματα πρὸς post hæc verba exciderunt omnia usque ad cap. 3. §. 14. ὑπ' ἀκράτου τῆς λύπης P. τὰ Ἰουδαίων desinit in his verbis recens Scriptura N. 12 ἐπιτιμήσαιμ' ἂν L.N. αὐτὸς τοῖς Ἑλ. M. τηλικούτων οὐχ ὁμοίως πρ. L. πραγμάτων κατ' αὐτοὺς L.N. πραγμάτων οὐχ ὁμοίως κατ' αὐτοὺς T. ἐλαχίστοις E. λείπεται τῇ M. 13 Ἀσσυρίων καὶ τὰ T. sed ἢ in marg. Καίτοι τοσοῦτον L.N. καίτοι καὶ τοσούτῳ M. ἕκαστοῖ T. τὴν ἐπαγγελίαν M.E. 14 τὰ μὴ προϊστορηθέντα E. τὰ τῶν ἰδίων χρόνων sed in marg. τὰ κατὰ τὸν ἴδιον χρόνον T. τοῖς μεθ' ἑαυτὸν L.N.E.T.

πονος δὲ οὐχ ὁ μεταποιῶν οἰκονομίαν καὶ τάξιν ἀλλοτρίαν, ἀλλ' ὁ μετὰ τοῦ καινὰ λέγειν καὶ τὸ σῶμα τῆς ἱστορίας
15 κατασκευάζων ἴδιον. Καὶ ἐγὼ μὲν ἀναλώμασι καὶ πόνοις μεγίστοις, ἀλλόφυλος ὤν, Ἕλλησί τε καὶ Ῥωμαίοις τὴν μνήμην τῶν κατορθωμάτων ἀνατίθημι· τοῖς δὲ γνησίοις, πρὸς μὲν τὰ λήμματα καὶ τὰς δίκας, κέχηνεν εὐθέως τὸ στόμα καὶ ἡ γλῶσσα λέλυται, πρὸς δὲ τὴν ἱστορίαν, ἔνθα χρὴ τὰ ἀληθῆ λέγειν, καὶ μετὰ πολλοῦ πόνου τὰ πράγματα συλλέγειν, πεφίμωνται, παρέντες τοῖς ἀσθενεστέροις καὶ μηδὲ γινώσκουσι τὰς πράξεις τῶν ἡγεμόνων γράφειν. Τιμάσθω δὴ παρ' ἡμῖν τὸ τῆς ἱστορίας ἀληθὲς, ἐπεὶ παρ' Ἕλλησιν
16 ἀμελεῖται. 6. Ἀρχαιολογεῖν μὲν δὴ τὰ Ἰουδαίων, τίνες τε ὄντες, καὶ ὅπως ἀπανέστησαν Αἰγυπτίων, χώραν τε ὅσην ἐπῆλθον ἀλώμενοι, καὶ πόσα ἐξῆς κατέλαβον, καὶ πῶς μετανέστησαν, νῦν ἄκαιρον ᾠήθην εἶναι καὶ ἄλλως περιττόν· ἐπειδὴ καὶ Ἰουδαίων πολλοὶ πρὸ ἐμοῦ τὰ τῶν προγόνων συνετάξαντο μετὰ ἀκριβείας, καί τινες Ἑλλήνων, ἐκεῖνα τῇ πατρίῳ φωνῇ μετα-
17 βάλοντες, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. Ὅπου δὲ οἵ τε τούτων συγγραφεῖς ἐπαύσαντο καὶ οἱ ἡμέτεροι προφῆται, τὴν ἀρχὴν ἐκεῖθεν ποιήσομαι τῆς συντάξεως· τούτων δὲ τὰ μὲν τοῦ κατ' ἐμαυτὸν πολέμου διεξοδικώτερον, καὶ μεθ' ὅσης ἂν ἐξεργασίας δύνωμαι δίειμι, τὰ δὲ προγενέστερα τῆς ἐμῆς ἡλικίας ἐπιδραμῶ συντόμως.
18 7. Ὡς Ἀντίοχος, ὁ κληθεὶς Ἐπιφανὴς, ἑλὼν κατὰ κράτος Ἱεροσόλυμα, καὶ κατασχὼν ἔτεσι τρισὶ καὶ μησὶν ἓξ, ὑπὸ τῶν Ἀσαμωναίου παίδων ἐκβάλλεται τῆς χώρας· ἔπειθ' ὡς οἱ τούτων ἔγγονοι, περὶ τῆς βασιλείας διαστασιάσαντες, εἰλ-

15 Καγὼ μὲν L.M.N. μεγίστοις καὶ πόνοις L.N.T. Ἕλλησί τε καὶ Βαρβάροις M.E. ταληθῆ λέγειν πεφίμωνται desunt media M. πολλοῦ χρόνου τὰ N.T. sed in hujus marg. πόνου. καὶ μὴ γινῶσ. L. N.T.E. 16 τὰ Ἰουδαϊκὰ sed in marg. τὰ Ἰουδαίων T. καὶ τινὲς ὄντες L. τῶν Αἰγυπτίων T. ἐκεῖνα δὴ τῇ M. τῇ πατρώᾳ L.N.T. μεταβάλλοντες E. 17 ἐκεῖθεν τὴν ἀρχὴν E. ἐξεργασίας ὡς ἂν δύναμαι L. ἐξερ. ὡς δύναμαι N.T.

κυσαν εἰς τὰ πράγματα Ῥωμαίους καὶ Πομπήϊον· καὶ ὡς Ἡρώδης ὁ Ἀντιπάτρου κατέλυσε τὴν δυναστείαν αὐτῶν, ἐπαγαγὼν Σόσσιον· ὅπως τε ὁ λαὸς μετὰ τὴν Ἡρώδου 19
τελευτὴν κατεστασίασεν, Αὐγούστου μὲν Ῥωμαίων ἡγεμονεύοντος, Κουϊντιλίου δὲ Οὐάρου κατὰ τὴν χώραν ὄντος· καὶ ὡς ἔτει δωδεκάτῳ τῆς Νέρωνος ἀρχῆς ὁ πόλεμος ἀνερράγη, τά τε συμβάντα κατὰ Κέστιον, καὶ ὅσα περὶ τὰς πρώτας ὁρμὰς ἐπῆλθον οἱ Ἰουδαῖοι τοῖς ὅπλοις·

8. Ὅπως τε τὰς περιοίκους ἐτειχίσαντο· καὶ ὡς Νέρων, 20
ἐπὶ τοῖς Κεστίου πταίσμασι δείσας περὶ τῶν ὅλων, Οὐεσπασιανὸν ἐφίστησι τῷ πολέμῳ· καὶ ὡς οὗτος μετὰ τοῦ πρεσβυτέρου τῶν παίδων εἰς τὴν Ἰουδαίων χώραν ἐνέβαλεν, ὅση τε χρώμενος Ῥωμαίων στρατιᾷ, καὶ ὅσοι σύμμαχοι ἐκόπησαν εἰς ὅλην τὴν Γαλιλαίαν· καὶ ὡς τῶν πόλεων αὐτῆς ἃς μὲν ὁλοσχερῶς καὶ κατὰ κράτος, ἃς δὲ δι' ὁμολογίας ἔλαβεν· ἔνθα δὴ καὶ τὰ περὶ τῆς Ῥωμαίων ἐν πολέμοις εὐταξίας, καὶ 21
τὴν ἄσκησιν τῶν ταγμάτων, τῆς τε Γαλιλαίας ἑκατέρας τὰ διαστήματα, καὶ τὴν φύσιν, καὶ τοὺς τῆς Ἰουδαίας ὅρους, ἔτι τε τῆς χώρας τὴν ἰδιότητα, λίμνας τε καὶ πηγὰς τὰς ἐν αὐτῇ, καὶ τὰ περὶ ἑκάστην πόλιν τῶν ἁλισκομένων πάθη μετ' ἀκριβείας, ὡς εἶδον ἢ ἔπαθον, δίειμι. Οὐδὲ γὰρ τῶν ἐμαυτοῦ τι συμφορῶν ἀποκρύψομαι, μέλλων γε πρὸς εἰδότας ἐρεῖν.

9. Ἔπειθ' ὡς, ἤδη καμνόντων Ἰουδαίοις τῶν πραγμάτων, 22
θνήσκει μὲν Νέρων, Οὐεσπασιανὸς δὲ ἐπὶ Ἱεροσολύμων ὡρμημένος, ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται· τά τε γενόμενα περὶ ταύτης αὐτῷ σημεῖα, καὶ τὰς ἐπὶ Ῥώμης καταβάσεις· καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδείκνυται· καὶ ὡς, τούτου ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν Αἴγυπτον, ἐστασιάσθη τὰ Ἰουδαίων· ὅπως τε ἐπα-

18 Σόσιον E. 19 Κνῖντιλλίου L.M. Κνῖντιλίου T. κατὰ Σόσσιον καὶ L.T. κατὰ σίσσιον καὶ N. ὅσα παρὰ τὰς L.N.T.E. 20 ὁλοσχερῶς καὶ desunt L.N. καὶ deest T. 21 τῆς τῶν Ῥωμαίων E. ἔν τε πολέμοις L.N.T. ἄσκησιν τῶν πραγμάτων sed in marg. ταγμάτων T. ἑκάτερα διαστήματα N.T. τῶν ἀναλισκομένων L.N.T. 22 τοῖς Ἰουδαίοις M. αὐτοκράτωρ ἐπιδείκνυται M. τούτου deest L.N.

νέστησαν αὐτοῖς οἱ τύραννοι· καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφοράς.

23 10. Καὶ ὡς ἄρας ἀπὸ τῆς Αἰγύπτου Τίτος δεύτερον εἰς τὴν χώραν ἐνέβαλεν· ὅπως τε τὰς δυνάμεις, καὶ ὅπου συνήγαγε, καὶ πόσας· καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις διέκειτο παρόντος αὐτοῦ, προσβολάς τε ὅσας ἐποιήσατο, καὶ πόσα χώματα, περιβόλους τε τῶν τριῶν τειχῶν καὶ τὰ μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρότητα, καὶ τοῦ ἱεροῦ καὶ τοῦ ναοῦ τὴν
24 διάθεσιν· ἔτι δὲ καὶ τούτων καὶ τοῦ βωμοῦ τὰ μέτρα, πάντα μετ' ἀκριβείας, ἔθη τε τῶν ἑορτῶν ἔνια, καὶ τὰς ἑπτὰ ἁγνείας, καὶ τὰς τῶν ἱερέων λειτουργίας· ἔτι δὲ τὰς ἐσθῆτας τῶν ἱερέων καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν οὔτε ἀποκρυπτόμενος οὔτε προστιθεὶς τοῖς πεφωραμένοις.

25 11. Ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς ὁμοφύλους ὠμότητα, καὶ τὴν Ῥωμαίων φειδὼ πρὸς τοὺς ἀλλοφύλους· καὶ ὁσάκις Τῖτος σῶσαι τὴν πόλιν καὶ τὸν ναὸν ἐπιθυμῶν, ἐπὶ δεξιὰς τοὺς στασιάζοντας προεκαλέσατο· διακρινῶ δὲ τὰ πάθη τοῦ δήμου καὶ τὰς συμφοράς, ὅσα τε ὑπὸ τοῦ πολέμου, καὶ ὅσα ὑπὸ τῆς στάσεως, καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ
26 κακωθέντες ἐάλωσαν. Παραλείψω δὲ οὐδὲ τὰς τῶν αὐτομόλων ἀτυχίας, οὐδὲ τὰς τῶν αἰχμαλώτων κολάσεις· ὅπως τε ὁ ναὸς ἄκοντος ἐνεπρήσθη Καίσαρος, καὶ ὅσα τῶν ἱερῶν κειμηλίων ἐκ τοῦ πυρὸς ἡρπάγη, τήν τε τῆς ὅλης πόλεως ἅλωσιν, καὶ τὰ πρὸ ταύτης σημεῖα καὶ τέρατα, καὶ τὴν αἰχμαλωσίαν
27 τῶν τυράννων, τῶν τε ἀνδραποδισθέντων τὸ πλῆθος, καὶ εἰς ἣν ἕκαστοι τύχην διενεμήθησαν· καὶ ὡς Ῥωμαῖοι μὲν ἐπεξῆλθον τὰ λείψανα τοῦ πολέμου, καὶ τὰ ἐρύματα τῶν χωρίων καθεῖλον, Τῖτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώραν κατεστήσατο· τήν τε ὑποστροφὴν αὐτοῦ τὴν εἰς Ἰταλίαν, καὶ τὸν θρίαμβον.

23 καὶ ὁπόσας L. ὅπου καὶ πόσας συνήγαγε E. καὶ περιβόλους τε L. ναοῦ διάθεσιν L.N.T. 24 ἔθη τε ἑορτῶν L.N.E.T. ἔτι δὲ καὶ τὰς E. ἐσθῆτας τῶν ἀρχιερέων καὶ οἷον L.N.T. 25 ἐπὶ τὰς δεξιὰς N. διακρίνων δὲ τὰ M.N.T. διακρίνων τὰ E. 26 ἀτυχίας οὔτε τὰς L.N.

12. Ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις, καὶ μη- 28
δεμίαν τοῖς ἐπισταμένοις τὰ πράγματα, καὶ παρατυχοῦσι τῷ πολέμῳ καταλιπὼν ἢ μέμψεως ἀφορμὴν ἢ κατηγορίας, τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ μὴ πρὸς ἡδονήν, ἀνέγραψα. Ποιήσομαι δὲ ταύτην τῆς ἐξηγήσεως ἀρχήν, ἣν καὶ τῶν κεφαλαίων ἐποιησάμην.

CAP. I.

Antt. 12. 5. usque ad fin. lib.

1. Στάσεως τοῖς δυνατοῖς Ἰουδαίων ἐμπεσούσης, καθ' ὃν 1
καιρὸν Ἀντίοχος, ὁ κληθεὶς Ἐπιφανὴς, διεφέρετο περὶ ὅλης Συρίας πρὸς Πτολεμαῖον τὸν ἕκτον,—ἡ φιλοτιμία δ' ἦν αὐτοῖς περὶ δυναστείας, ἑκάστου τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτετάχθαι,—Ὀνίας μὲν εἷς τῶν ἀρχιερέων, ἐπικρατήσας, ἐξέβαλε τῆς πόλεως τοὺς Τωβία υἱούς. Οἱ δὲ 2
καταφυγόντες πρὸς Ἀντίοχον ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον εἰς τὴν Ἰουδαίαν εἰσβαλεῖν. Πείθεται δὲ ὁ βασιλεὺς ὡρμημένος πάλαι, καὶ μετὰ πλείστης δυνάμεως αὐτὸς ὁρμήσας τήν τε πόλιν αἱρεῖ κατὰ κράτος, καὶ πολύ τι πλῆθος τῶν Πτολεμαίῳ προσεχόντων ἀνεῖλε, ταῖς τε ἁρπαγαῖς ἀνέδην ἐπαφεὶς τοὺς στρατιώτας αὐτὸς καὶ τὸν ναὸν ἐσύλησε, καὶ τὸν ἐνδελεχισμὸν τῶν καθ' ἡμέραν ἐναγισμῶν ἔπαυσεν ἐπ' ἔτη τρία καὶ μῆνας ἕξ. Ὁ δὲ ἀρχιερεὺς Ὀνίας πρὸς Πτο- 3
λεμαῖον διαφυγών, καὶ παρ' αὐτοῦ λαβὼν τόπον ἐν τῷ Ἡλιουπολίτῃ νομῷ, πολίχνην τε τοῖς Ἱεροσολύμοις εἰκασμένην, καὶ ναὸν ἔκτισεν ὅμοιον· περὶ οὗ αὖθις κατὰ χώραν δηλώσομεν.

2. Ἀντιόχῳ γε μὴν οὔτε τὸ παρ' ἐλπίδα κρατῆσαι τῆς 4
πόλεως, οὔθ' αἱ ἁρπαγαὶ καὶ ὁ τοσοῦτος φόνος ἤρκεσεν, ὑπὸ δὲ ἀκρασίας παθῶν, καὶ κατὰ μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθεν, ἠνάγκαζεν Ἰουδαίους καταλύσαντας τὰ πάτρια, βρέφη τε αὐτῶν φυλάττειν ἀπερίτμητα, καὶ σῦς ἐπιθύειν τῷ

28 τοῖς τε τὴν L.T. ταύτης τῆς ἐξ. E. 1 τοὺς υἱοὺς Τωβία E. 2 τῶν τῷ Πτολ. E. ἐνδελεχησμὸν L.T. ἐναγισμῶν L.N.E. 3 νομῷ sed in marg. eadem manu τόπῳ N. ἀπεικασμένην E. 4 φόνος, ὑπὸ δὲ M.

βωμῷ· πρὸς ἃ ἅπαντες μὲν ἐπείθουν, ἐσφάττοντο δὲ οἱ δοκι-
5 μώτατοι. Καὶ Βακχίδης, ὁ πεμφθεὶς ὑπ' Ἀντιόχου φρού-
ραρχος, τῇ φυσικῇ προσλαβὼν ὠμότητι τὰ ἀσεβῆ παραγ-
γέλματα, παρανομίας οὐδεμίαν παρέλιπεν ὑπερβολήν, καὶ
κατ' ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος, καὶ κοινῇ καθ' ἡμέ-
ραν ἐνδεικνύμενος ὄψιν ἀλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερ-
βολαῖς τῶν ἀδικημάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν
ἠρέθισε.

6 3. Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου, τῶν ἱερέων εἷς, ἀπὸ
κώμης Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας, πέντε
γὰρ υἱεῖς ἦσαν αὐτῷ, κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην. Καὶ
παραχρῆμα μὲν δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη
7 καταφεύγει. Προσγενομένων δὲ ἀπὸ τοῦ δήμου πολλῶν
αὐτῷ, ἀναθαρρήσας κάτεισι, καὶ συμβαλὼν μάχῃ νικᾷ τοὺς
8 Ἀντιόχου στρατηγοὺς, καὶ τῆς Ἰουδαίας ἐξελαύνει. Παρελ-
θὼν δὲ ἀπὸ τῆς εὐπραγίας εἰς δυναστείαν, καὶ διὰ τὴν ἀπαλ-
λαγὴν τῶν ἀλλοφύλων ἄρξας τῶν σφετέρων ἑκόντων, τε-
λευτᾷ, Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν
ἀρχήν.

9 4. Ὁ δὲ—οὐδὲ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμβανε—
τάς τ' ἐπιχωρίους συνεκρότει δυνάμεις, καὶ πρὸς Ῥωμαίους
πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ, πάλιν εἰς τὴν
10 χώραν εἰσβαλόντα, μετὰ καρτερᾶς πληγῆς ἀνέστειλεν. Ἀπὸ
δὲ θερμοῦ τοῦ κατορθώματος ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρου-
ρὰν, οὔπω γὰρ ἐκκέκοπτο, καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως,
συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω,—τοῦτο δὲ τοῦ
ἄστεος τὸ μέρος Ἄκρα κέκληται,—κυριεύσας δὲ τοῦ ἱεροῦ,
τόν τε χῶρον ἐκάθηρε πάντα, καὶ περιετείχισε, καὶ τὰ πρὸς
τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας εἰς τὸν ναὸν εἰσ-
ήνεγκεν, ὡς τῶν προτέρων μεμιασμένων, βωμόν τε ᾠκοδό-

πρὸς ἃ πάντες E. ἠπείθουν T. 5 παρέλειπεν L.N. ἀμύνης τρόπον sed in marg. τόλμαν T. 6 Μωδεεὶμ T. ὄρη φεύγει L.N.T. 8 διὰ τὴν ἁρπαγὴν τῶν ἀλ. N.T. παίδων τὴν ἀρχὴν καταλιπών L.N. 9 μετὰ κρατερᾶς L.N. 10 θερμοῦ κατορθώματος M. μεμιαμμένων T. καὶ τῶν καθαγισμῶν ἤρξατο manu recen. T.

μησεν ἕτερον, καὶ τῶν ἐναγισμῶν ἤρξατο. Λαμβανούσης δὲ 11
ἄρτι τὸ ἱερὸν κατάστημα τῆς πόλεως, τελευτᾷ μὲν Ἀντίοχος,
κληρονόμος δὲ τῆς βασιλείας αὐτοῦ, καὶ τῆς πρὸς Ἰουδαίους
ἀπεχθείας ὁ υἱὸς Ἀντίοχος γίνεται.

5. Συναγαγὼν οὖν πεζῶν μυριάδας πέντε, ἱππεῖς δὲ εἰς 12
πεντακισχιλίους, ἐλέφαντας δὲ ὀγδοήκοντα ἐμβάλλει διὰ τῆς
Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὸν μὲν οὖν πολίχνην
αἱρεῖ, κατὰ δὲ τὸν τόπον, ὃς καλεῖται Βεθζαχαρίας, στενῆς
οὔσης τῆς παρόδου, Ἰούδας ὑπήντα μετὰ τῆς δυνάμεως. Πρὶν 13
δὲ συνάψαι τὰς φάλαγγας Ἐλεάζαρος ὁ ἀδελφὸς αὐτοῦ,
προϊδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων, πύργῳ τε μεγάλῳ
καὶ περιχρύσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ'
αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τε ἰδίων ἐκτρέχει πολὺ, καὶ
διακόψας τὸ στίφος τῶν πολεμίων ἐπὶ τὸν ἐλέφαντα διήνυσεν.
Ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως οὐχ οἷός τε 14
ἦν διὰ τὸ ὕψος, ὁ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας, ἐπι-
κατέσεισεν ἑαυτῷ, καὶ συντριβεὶς ἐτελεύτησε, μηδὲν πλέον δρά-
σας τοῦ μεγάλοις ἐπιβαλέσθαι, θέμενος εὐκλείας ἐν δευτέρῳ
τὸ ζῆν. Ὃ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα ἰδιώτης ἦν· κἂν 15
εἰ συνέβη δὲ εἶναι τὸν Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ἂν ὁ
τολμήσας τοῦ δοκεῖν, ἐπ' ἐλπίδι μόνῃ λαμπροῦ κατορθώ-
ματος ἑλέσθαι τὸν θάνατον. Γίνεται δὲ καὶ κληδὼν τῷ
ἀδελφῷ τῆς ὅλης παρατάξεως· καρτερῶς μὲν γὰρ οἱ Ἰουδαῖοι 16
καὶ μέχρι πολλοῦ διηγωνίσαντο, πλήθει δὲ ὑπερέχοντες οἱ
βασιλικοὶ, καὶ δεξιᾷ χρησάμενοι τύχῃ, κρατοῦσι. Καὶ πολ-
λῶν ἀναιρεθέντων, τοὺς λοιποὺς ἔχων Ἰούδας εἰς τὴν Γοφνι-
τικὴν τοπαρχίαν φεύγει. Ἀντίοχος δὲ παρελθὼν εἰς Ἱερο- 17
σόλυμα, καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ, κατὰ σπάνιν

11 ἀπεχθείας υἱὸς L.N. υἱὸς Ἀντιόχου M. 12 ἱππεῖς δὲ εἰς πεντακ. L.N. ἱππεῖς δὲ π. ex litura T. Βηθσουρὰν N.E. πολίχνην deest L. κατὰ δὲ τόπον L.M.N.T. Βεθ' ζαχαρίας L. 13 Ἐλεάζαρος ἀδελφὸς N.T. ἰδίων προεκτρέκει E. 14 οὐχ οἷόν τε N. et T. in marg. μηδὲν δράσας πλεὸν τοῦ L.N.T. 15 καὶ ἂν εἰ E. κληδὼν τ' ἀδελφῷ L.N.T. 16 γὰρ Ἰουδαῖοι E. βασιλικοὶ δεξιᾷ T. Γνοφιτικὴν N.

τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν, ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν χειμεριοῦσαν εἰς τὴν Συρίαν.

18 6. Πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως Ἰούδας οὐκ ἠρέμει· προσγενομένων δ' ἐκ τοῦ ἔθνους πολλῶν, καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας, κατὰ κώμην Ἀκέδασαν συμβάλλει τοῖς Ἀντιόχου στρατηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην, πολλούς τε τῶν πολεμίων ἀποκτείνας, ἀναιρεῖται· καὶ μεθ' ἡμέρας ὀλίγας ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης, ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ Ἀντιόχου φρονούντων τελευτᾷ.

CAP. II.

1 1. Διαδεξάμενος δὲ τοῦτον ὁ ἀδελφὸς Ἰωνάθης, τά τε Antt. 13. 1.
ἄλλα πρὸς τοὺς ἐπιχωρίους καὶ διὰ φυλακῆς ἦγεν ἑαυτὸν, καὶ τῇ πρὸς Ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο, πρός τε τὸν Ἀντίοχον παῖδα διαλλαγὰς ἐποιήσατο. Οὐ μήν τι
2 τούτων ἤρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν. Τρύφων γὰρ ὁ τύραννος, ἐπίτροπος μὲν ὢν τοῦ Ἀντιόχου παιδὸς, ἐπιβουλεύων δ' αὐτῷ, καὶ πρόσθεν ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος, ἥκοντα τὸν Ἰωνάθην σὺν ὀλίγοις εἰς Πτολεμαΐδα πρὸς Ἀντίοχον δόλῳ συλλαμβάνει, καὶ δήσας ἐπὶ Ἰουδαίων στρατεύει· εἶτ' ἀπελαθεὶς ὑπὸ τοῦ Σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωνάθου, καὶ πρὸς τὴν ἧτταν ὠργισμένος, κτείνει τὸν Ἰωνάθην.

3 2. Σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγμάτων, αἱρεῖ μὲν Ζαρά τε καὶ Ἰόππην καὶ Ἰάμνειαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν Ἄκραν, τῶν φρουρῶν κρατήσας. Αὖθις δὲ γίνεται καὶ Ἀντιόχῳ σύμμαχος κατὰ Τρύφωνος, ὃν ἐν
4 Δώροις πρὸ τῆς ἐπὶ Μήδους στρατείας ἐπολιόρκει. Ἀλλ' οὐκ ἐδυσώπησε τὴν τοῦ βασιλέως πλεονεξίαν, συνεξελὼν Τρύ-

18 κώμην Ἀδασὰν E. τελευτᾷ deest L.N. 1 διαδεξάμενος τοῦτον T. ἦγεν αὐτὸν M. ἐκρατύνετο T. τὸν Ἀντιόχου L.M.N.T. οὐ μὴν δέ τι L.N.T.E. 2 πρὸς τὸν Ἀντίοχον M. ἐπὶ Ἰουδαίαν L.T. 3 μὲν Γάζαρά τε E. Ἰάμνιαν M.T. Μήδους στρατιᾶς L.N.T. 4 τὸν Τρύφωνα T.

φωνα· μετ' οὐ πολὺ γὰρ Ἀντίοχος Κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δῃώσοντα τὴν Ἰουδαίαν ἀνέπεμψε καὶ καταδουλωσόμενον Σίμωνα. Ὁ δέ, καίτοι γηραιὸς ὤν, νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου· τοὺς μέντοι γε υἱεῖς ἐπ' αὐτὸν μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοῖραν τῆς δυνάμεως ἀναλαβὼν ἐπῄει κατ' ἄλλο μέρος. Πολ- 6
λοὺς δὲ πολλαχοῦ καὶ ἐν τοῖς ὄρεσι προλοχίσας, πάσαις κρατεῖ ταῖς ἐπιβολαῖς, καὶ νικήσας λαμπρῶς ἀρχιερεὺς ἀποδείκνυται, καὶ τῆς τῶν Μακεδόνων ἐπικρατείας μετὰ ἑκατὸν καὶ ἑβδομήκοντα ἔτη Ἰουδαίους ἀπαλλάττει.

3. Θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμποσίῳ ὑπὸ 7
Πτολεμαίου τοῦ γαμβροῦ, ὃς, αὐτοῦ τήν τε γυναῖκα καὶ τοὺς δύο παῖδας ἐγκαθείρξας, ἐπὶ τὸν τρίτον Ἰωάννην, ὃς καὶ Ὑρκανὸς ἐκαλεῖτο, τοὺς ἀναιρήσοντας ἔπεμψε. Προγονοὺς 8
δὲ τὴν ἔφοδον ὁ νεανίσκος παραγενέσθαι εἰς τὴν πόλιν ἠπείγετο, πλεῖστον τῷ λαῷ πεποιθὼς, κατά τε μνήμην τῶν πατρῴων κατορθωμάτων, καὶ μῖσος τῆς Πτολεμαίου παρανομίας. Ὥρμησε δὲ καὶ Πτολεμαῖος εἰσελθεῖν καθ' ἑτέραν 9
πύλην, ἐξεκρούσθη γε μὴν ὑπὸ τοῦ δήμου ταχέως δεδεγμένων ἤδη τὸν Ὑρκανόν· καὶ ὁ μὲν παραχρῆμα ἀνεχώρησεν ἐπί τι τῶν ὑπὲρ Ἱεριχοῦντος ἐρυμάτων, ὃ Δαγὼν καλεῖται. Κομισάμενος δὲ τὴν πατρῴαν ἀρχιερωσύνην Ὑρκανὸς, καὶ θύσας τῷ θεῷ, μετὰ τάχους ἐπὶ Πτολεμαῖον ὥρμησε, τιμωρήσων τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς.

4. Προσβαλὼν δὲ τῷ φρουρίῳ τὰ μὲν ἄλλα κρείττων ἦν, 10
ἡττᾶτο δὲ δικαίου πάθους. Ὁ γὰρ Πτολεμαῖος, ὁπότε καταπονοῖτο, τήν τε μητέρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προανάγων ἐπὶ τοῦ τείχους εἰς εὐσύνοπτον ἠκίζετο, καὶ διακρημνιεῖν, εἰ μὴ θᾶττον ἀπανασταίη, διηπείλει. Πρὸς ἃ τὸν μὲν 11

διώξοντα sed in marg. δῃώσοντα T. Ἰουδαίαν ἔπεμψε L. 5 καίτοι γε γηρ. L.T. ἐρρωμενεστέρων T. 6 πολλαχοῦ κἀν τοῖς L.M.N. προλοχήσας L. τῆς Μακεδόνων L.N.T. ἑκατὸν ἑβδομήκοντα N.T. 7 καθείρξας L.N.T. 8 εἰς πόλιν M. 9 δεδεγμένου L.E. ἐρυμάτων Δαγὼν L.N. τὴν ἀρχαίαν ἀρχιερ. sed in marg. πατρῴαν L. 10 εἰ μὴ τάχος, sed in marg. θᾶττον T.

Ὑρκανὸν ὀργῆς πλείων οἶκτος εἰσῆει καὶ δέος, ἡ δὲ μήτηρ οὐδὲν οὔτε πρὸς τὰς αἰκίας, οὔτε πρὸς τὸν ἀπειλούμενον αὐτῇ θάνατον ἐνδιδοῦσα, χεῖρας ὤρεγε, καὶ κατηντιβόλει τὸν παῖδα, μὴ πρὸς τὴν αὐτῆς ὕβριν ἐπικλασθέντα φείσασθαι τοῦ δυσσεβοῦς, ὡς αὐτῇ γε κρείττονα τὸν ἐκ Πτολεμαίου θάνατον ἀθανασίας εἶναι, διδόντος δίκας ἐφ' οἷς εἰς τὸν οἶκον αὐτῶν
12 παρηνόμησεν. Ὁ δὲ Ἰωάννης, ὁπότε μὲν ἐνθυμηθείη τὸ παράστημα τῆς μητρὸς αὐτοῦ, καὶ κατακούσειε τῆς ἱκεσίας, ὥρμητο προσβάλλειν· ἐπειδὰν δὲ κατίδοι τυπτομένην τε καὶ
13 σπαραττομένην, ἐθηλύνετο, καὶ τοῦ πάθους ὅλος ἦν. Τριβομένης δὲ διὰ ταῦτα τῆς πολιορκίας, ἐπέστη τὸ ἀργὸν ἔτος, ὃ κατὰ ἑπταετίαν ἀργεῖται παρὰ Ἰουδαίοις ὁμοίως ταῖς
14 ἑβδομάσιν ἡμέραις. Καὶ ἐν τούτῳ Πτολεμαῖος ἀνεθεὶς τῆς πολιορκίας ἀναιρεῖ τοὺς ἀδελφοὺς Ἰωάννου σὺν τῇ μητρὶ, καὶ φεύγει πρὸς Ζήνωνα, τὸν ἐπικληθέντα Κοτυλᾶν· Φιλαδελφείας δ' ἦν τύραννος.

15 5. Ἀντίοχος δὲ, κατ' ὀργὴν ὧν ὑπὸ Σίμωνος ἔπαθε, στρατεύσας εἰς τὴν Ἰουδαίαν, ἐπολιόρκει τὸν Ὑρκανὸν προσκαθεζόμενος τοῖς Ἱεροσολύμοις. Ὁ δὲ τὸν Δαβίδου τάφον ἀνοίξας, ὃς δὴ πλουσιώτατος βασιλέων ἐγένετο, καὶ ὑφελόμενος ὑπὲρ τρισχίλια τάλαντα χρημάτων, τόν τε Ἀντίοχον ἀπανίστησι τῆς πολιορκίας πείσας τριακοσίοις ταλάντοις. Καὶ δὴ καὶ ξενοτροφεῖν πρῶτος Ἰουδαίων ἐκ τῆς περιουσίας ἤρξατο.

16 6. Αὖθίς γε μὴν ὡς Ἀντίοχος, ἐπὶ Μήδους στρατεύσας, καιρὸν ἀμύνης αὐτῷ παρεῖχεν, εὐθέως ὥρμησεν ἐπὶ τὰς ἐν Συρίᾳ πόλεις, κενὰς, ὅπερ ἦν, τῶν μαχιμωτέρων ὑπολαμβάνων εὑρήσειν. Μεδάβην μὲν οὖν καὶ Σαμαίαν ἅμα ταῖς πλη-
17 σίον, ἔτι δὲ Σίκιμα καὶ Γαριζὶν αὐτὸς αἱρεῖ. Πρὸς αἷς τὸ

11 παῖδα μήτε πρὸς L.N. μηδὲ T. διδούντος M. 12 μητρὸς, καὶ E. προσβαλεῖν L.N.T. σπαρασσομένην T. 13 κατὰ ἑπτὰ ἔτη L.N.T. 14 Φιλαδελφίας L.N. 15 καὶ ἀνελόμενος ὑπὲρ L.N. T.E. καὶ ἀνελόμενος καὶ ὑφελόμενος ὑπὲρ M. 16 ὑπολαμβάνων εὑρήσειν τῶν μαχιμ. L.N.T. μαχιμωτάτων T. σίκιμα ἀργαρίζειν L. σίκιμα καὶ ἀργ. N.T.

Χουθαίων ἔθνος, οἳ περιῴκουν τὸ εἰκασθὲν τῷ ἐν Ἱεροσολύμοις ἱερῷ. Αἱρεῖ δὲ καὶ τῆς Ἰδουμαίας ἄλλας τε οὐκ ὀλίγας, καὶ Ἀδωρεὸν καὶ Μάρισσαν.

7. Προελθὼν δὲ καὶ μέχρι Σαμαρείας, ἔνθα νῦν ἐστι Σε- 18
βαστὴ πόλις, ὑφ' Ἡρώδου κτισθεῖσα τοῦ βασιλέως, καὶ πάντοθεν αὐτὴν ἀποτειχίσας, τοὺς υἱεῖς ἐπέστησε τῇ πολιορκίᾳ, Ἀριστόβουλον καὶ Ἀντίγονον· ὧν οὐδὲν ἀνιέντων, λιμοῦ μὲν εἰς τοσοῦτον προῆλθον οἱ κατὰ τὴν πόλιν, ὡς ἅψασθαι καὶ τῶν ἀηθεστάτων. Ἐπεκαλοῦντο δὲ βοηθὸν Ἀντίοχον τὸν 19
ἐπικληθέντα Ἀσπένδιον· καὶ ἐκεῖνος ἑτοίμως ὑπακούσας ὑπὸ τῶν περὶ Ἀριστόβουλον ἡττᾶται. Καὶ ὁ μὲν μέχρι Σκυθοπόλεως διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν ἐκφεύγει, οἱ δ' ἐπὶ τῆς Σαμαρείας ὑποστρέψαντες, τό τε πλῆθος πάλιν εἰς τὸ τεῖχος συγκλείουσι, καὶ τὴν πόλιν ἑλόντες αὐτήν τε κατασκάπτουσι, καὶ τοὺς ἐνοικοῦντας ἐξηνδραποδίσαντο. Προχωρούν- 20
των δὲ τῶν κατορθωμάτων, τὴν ὁρμὴν οὐ κατέψυξαν, ἀλλὰ προελθόντες ἅμα τῇ δυνάμει μέχρι τῆς Σκυθοπόλεως, ταύτην τε κατέδραμον, καὶ τὴν ἐντὸς Καρμήλου τοῦ ὄρους χώραν ἅπασαν κατενείμαντο.

8. Πρὸς δὲ τὰς εὐπραγίας αὐτοῦ τε Ἰωάννου καὶ τῶν παί- 21
δων φθόνος ἐγείρει στάσιν τῶν ἐπιχωρίων, καὶ πολλοὶ κατ' αὐτῶν συνελθόντες οὐκ ἠρέμουν, μέχρι καὶ πρὸς φανερὸν πόλεμον ἐκριπισθέντες ἡττῶνται. Τὸ λοιπὸν δ' ἐπιβιοὺς ἐν 22
εὐδαιμονίᾳ Ἰωάννης, καὶ τὰ κατὰ τὴν ἀρχὴν κάλλιστα διοικήσας, ἐν τρισὶν ὅλοις καὶ τριάκοντα ἔτεσιν, ἐπὶ πέντε υἱέσι τελευτᾷ, μακαριστότατος ὄντως καὶ κατὰ μηδὲν ἐάσας ἐφ' ἑαυτῷ μεμφθῆναι τὴν τύχην. Τρία γοῦν τὰ κρατιστεύοντα 23

17 Χουθαίων γένος, οἳ L.N.T.E. καὶ τῆς Ἰουδαίας ἄλλας M. Ἰδουμαίας τε ἄλλας E. καὶ Δωρεὸν M. Μάρισαν L.N. ita etiam T; sed manu rec. Μάρησαν. 18 δὲ μέχρι L.N. ἔνθα δὴ νῦν L.N. T.E. ὑπὸ Ἡρώδου L.N. 19 βοηθὸν Ἀντίγονον τὸν M.N. Ἀσπόνδιον L.M.N.T. Κυζικηνόν E. ἑτοίμως ἐπακούσας N. πάλιν εἰς τὴν πόλιν συγκ. M. πάλιν συγκλείουσιν εἰς τὸ τεῖχος, καὶ L.N.T. 20 Καρμήλου χώραν N. 21 πολλοὶ τῶν κατ' αὐτὸν L.N.T. sed o ex correctione. 22 ἐν τρισὶ καὶ τριάκοντα ὅλοις L.N.T. πέντε υἱοῖς L.N.T.

μόνος εἶχε, τήν τε ἀρχὴν τοῦ ἔθνους, καὶ τὴν ἀρχιερωσύνην, καὶ προφητείαν· ὡμίλει γὰρ αὐτῷ τὸ δαιμόνιον, ὡς μηδὲν τῶν μελλόντων ἀγνοεῖν, ὅς γε καὶ περὶ δύο τῶν πρεσβυτάτων υἱῶν, ὅτι μὴ διαμενοῦσι κύριοι τῶν πραγμάτων, προεῖδέ τε καὶ προεφήτευσεν· ὧν τὴν καταστροφὴν ἄξιον ἀφηγήσασθαι, παρόσον τῆς πατρῴας εὐδαιμονίας ἀπέκλιναν.

CAP. III.

1 1. Μετὰ γὰρ τὴν τοῦ πατρὸς τελευτὴν ὁ πρεσβύτερος Antt. 13. αὐτῶν Ἀριστόβουλος τὴν ἀρχὴν εἰς βασιλείαν μεταθεὶς, 11. περιτίθεται μὲν διάδημα πρῶτος μετὰ τετρακοσιοστὸν καὶ ἑβδομηκοστὸν πρῶτον ἔτος, πρὸς δὲ μῆνας τρεῖς, ἐξ οὗ κατῆλθεν ὁ λαὸς εἰς τὴν χώραν, ἀπαλλαγεὶς τῆς ἐν Βαβυλῶνι 2 δουλείας· τῶν δὲ ἀδελφῶν τὸν μὲν μετ' αὐτὸν Ἀντίγονον— ἐδόκει γὰρ ἀγαπᾶν—ἦγεν ἰσοτίμως, τοὺς δ' ἄλλους εἴργνυσι δήσας. Δεσμεῖ δὲ καὶ τὴν μητέρα διενεχθεῖσαν περὶ τῆς ἐξουσίας—ταύτην γὰρ δὴ κυρίαν τῶν ὅλων ὁ Ἰωάννης ἀπολελοίπει,—καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν, ὥστε καὶ λιμῷ διαφθεῖραι δεδεμένην.

3 2. Περιέρχεται δὲ αὐτῷ ἡ τίσις εἰς τὸν ἀδελφὸν Ἀντίγονον, ὃν ἠγάπα τε καὶ τῆς βασιλείας κοινωνὸν εἶχε· κτείνει γὰρ καὶ τοῦτον ἐκ διαβολῶν, ἃς οἱ πονηροὶ τῶν κατὰ τὸ βασίλειον ἐνεσκευάσαντο. Τὰ μὲν δὴ πρῶτα διηπίστει τοῖς λεγομένοις ὁ Ἀριστόβουλος, ἅτε δὴ καὶ τὸν ἀδελφὸν ἀγα- 4 πῶν, καὶ διδοὺς φθόνῳ τὰ πολλὰ τῶν λογοποιουμένων. Ὡς δὲ ὁ Ἀντίγονος λαμπρὸς ἀπὸ τῆς στρατιᾶς ἦλθεν εἰς τὴν ἑορτὴν, ἐν ᾗ σκηνοποιεῖσθαι πάτριον τῷ θεῷ, συνέβη μὲν κατ' ἐκείνας τὰς ἡμέρας νόσῳ χρήσασθαι τὸν Ἀριστόβουλον· τὸν δὲ Ἀντίγονον ἐπὶ τέλει τῆς ἑορτῆς ἀναβάντα μετὰ τῶν περὶ

23 καὶ ἀρχιερωσύνην E. ἀγνοεῖν, ὅς γε L.M.N.E. 1 μεταθεὶς ἐπιτίθεται L.N.T. τετρακόσια καὶ ἑβδομήκοντα καὶ ἓν L.N.T. τρεῖς, ἐκ τοῦ E. 2 τὸν μὲν μεθ' ἑαυτὸν T. γὰρ κυρίαν L.N.T. ὅλων Ἰωάννης L. διαφθαρῆναι sed in marg. διαφθεῖραι T. 3 Περιέρχεται δὲ αὐτὸν ἡ M.E. Τὰ μὲν οὖν πρῶτα E. ἅτε καὶ L.N.T. 4 ἀπὸ στρατιᾶς L.N.T.

αὐτὸν ὁπλιτῶν, ὡς ἐνῆν μάλιστα κεκοσμημένον, προσκυνῆσαι τὸ πλέον ὑπὲρ τοῦ ἀδελφοῦ. Καὶ ἐν τούτῳ προσιόντες οἱ πονηροὶ τῷ βασιλεῖ τήν τε πομπὴν τῶν ὁπλιτῶν ἐδήλουν, καὶ τὸ παράστημα τοῦ Ἀντιγόνου, μεῖζον ἢ κατ' ἰδιώτην, ὅτι τε παρήει μετὰ μεγίστων συνταγμάτων ἀναιρήσων αὐτὸν, 'οὐ γὰρ ἀνέχεσθαι τιμὴν μόνον ἐκ βασιλείας ἔχειν, παρὸν αὐτὴν κατασχεῖν.'

3. Τούτοις κατὰ μικρὸν ἄκων ἐπίστευσεν Ἀριστόβουλος, καὶ προνοῶν τοῦ μήθ' ὑποπτεύων φανερὸς γενέσθαι καὶ προησφαλίσθαι πρὸς τὸ ἄδηλον, διΐστησι μὲν τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογαίων ἀλαμπεῖ,—κατέκειτο δ' ἐν τῇ Βάρει πρότερον καλουμένῃ, αὖθις δ' Ἀντωνίᾳ μετονομασθείσῃ,—προστάξας ἀνόπλου μὲν ἀπέχεσθαι, κτείνειν δὲ τὸν Ἀντίγονον, εἰ μετὰ ὅπλων προσίοι. Καὶ πρὸς αὐτὸν ἔπεμψε τοὺς προεροῦντας ἄνοπλον ἐλθεῖν. Πρὸς τοῦτο πάνυ πανούργως ἡ βασίλισσα συντάσσεται μετὰ τῶν ἐπιβούλων· τοὺς γὰρ πεμφθέντας πείθουσι τὰ μὲν παρὰ τοῦ βασιλέως σιωπῆσαι, λέγειν δὲ πρὸς τὸν Ἀντίγονον, ὡς 'ὁ ἀδελφὸς ἀκούσας ὅπλα τε αὐτῷ κατεσκευακέναι κάλλιστα, καὶ πολεμικὸν κόσμον ἐν τῇ Γαλιλαίᾳ, διὰ μὲν τὴν ἀσθένειαν αὐτὸς ἐπιδεῖν ἕκαστα κωλυθείη, νῦν δ' ἐπεὶ καὶ χωρίζεσθαι μέλλοις, θεάσαιτ' ἂν ἥδιστά σε ἐν τοῖς ὅπλοις.'

4. Ταῦτ' ἀκούσας ὁ Ἀντίγονος,—ἐνῆγε δὲ ἡ τοῦ ἀδελφοῦ διάθεσις μηδὲν ὑποπτεύειν πονηρὸν,—ἐχώρει μετὰ τῶν ὅπλων ὡς πρὸς ἐπίδειξιν. Γενόμενος δὲ κατὰ τὴν σκοτεινὴν πάροδον, ἣ Στράτωνος ἐκαλεῖτο πύργος, ὑπὸ τῶν σωματοφυλάκων ἀναιρεῖται, βέβαιον ἀποδείξας, ὅτι πᾶσαν εὔνοιαν καὶ

προσκυνῆσαι πλέον N.T. 5 Κὰν τούτῳ L. Καὶ τούτῳ N. ὅτι τε παρείη N.E. μεγίστου συντάγματος E. βασιλείας ἔχειν sic L. 6 προσησφαλίσθαι L. προσφαλίσασθαι M. καθίστησι E. διίστησι sic L. 7 Βάρει τῇ πρότερον αὖθις δὲ L. προστάξας ὅπλων μὲν L. ὅπλου N. ὅπλω" T. ὅπλων προίοι L.N.T. 8 ἡ βασίλισσα μ. τ. ἐ. συντάσσεται L.N.T. πρὸς Ἀντίγονον L.N.T. ὡς ἀδελφὸς L.N.E. 9 πάροδον· Στράτωνος L.N.

φύσιν κόπτει διαβολὴ, καὶ οὐδὲν οὕτω τῶν ἀγαθῶν παθῶν ἰσχυρὸν, ὃ τῷ φθόνῳ μέχρι παντὸς ἀντέχει.

10 5. Θαυμάσαι δ' ἄν τις ἐν τούτῳ καὶ Ἰούδαν, — Ἐσσαῖος ἦν γένος, οὐκ ἔστιν ὅτε πταίσας ἢ ψεύσθεὶς ἐν τοῖς προαγγέλμασιν, — ὃς ἐπειδὴ καὶ τότε τὸν Ἀντίγονον ἐθεάσατο παριόντα διὰ τοῦ ἱεροῦ, πρὸς τοὺς γνωρίμους ἀνέκραγεν, ἦσαν δ' οὐκ ὀλίγοι παρεδρεύοντες αὐτῷ τῶν μανθανόντων,
11 " Παπαί. Νῦν ἐμοὶ καλὸν," ἔφη, " τὸ θανεῖν, ὅτι μοι προτέθνηκεν ἡ ἀλήθεια, καί τι τῶν ὑπ' ἐμοῦ προρρηθέντων διέψευσται. Ζῇ γὰρ Ἀντίγονος οὑτοσὶ σήμερον ὀφείλων ἀπο-
12 θανεῖν· χωρίον δὲ αὐτῷ πρὸς σφαγὴν Στράτωνος πύργος εἵμαρτο· καὶ τοῦτο μὲν ἀφ' ἑξακοσίων ἐντεῦθεν σταδίων ἐστίν· ὧραι δὲ τῆς ἡμέρας ἤδη τέσσαρες. ὅδε δὴ χρόνος ἐκ-
13 κρούει τὸ μάντευμα." Ταῦτ' εἰπὼν, σκυθρωπὸς ἐπὶ συννοίας ὁ γέρων διεκαρτέρει, καὶ μετ' ὀλίγον ἀνηρημένος ὁ Ἀντίγονος ἠγγέλλετο κατὰ τὸ ὑπόγαιον χωρίον, ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύργος, ὁμωνύμως τῇ παραλίῳ Καισαρείᾳ. Τοῦτο γοῦν τὸν μάντιν διετάραξεν.

14 6. Ἀριστοβούλῳ γε μὴν εὐθὺς ἡ περὶ τοῦ μύσους μεταμέλεια νόσον ἐνσκήπτει, καὶ πρὸς ἐννοίαις τοῦ φόνου τὴν ψυχὴν ἔχων ἀεὶ τεταραγμένην συνετήκετο, μέχρι τῶν σπλάγχνων
15 ὑπ' ἀκράτου τῆς λύπης σπαραττομένων ἄθροον αἷμα ἀνα-βάλλει. Τοῦτό τις τῶν ἐν τῇ θεραπείᾳ παίδων ἐκφέρων, δαιμονίῳ προνοίᾳ σφάλλεται, καθ' ὃν τόπον ὁ Ἀντίγονος ἔσφακτο, καὶ φαινομένοις ἔτι τοῖς ἀπὸ τοῦ φόνου σπίλοις τὸ
16 αἷμα τοῦ κτείναντος ἐπεξέχεεν. Ἤιρθη δ' εὐθὺς οἰμωγὴ τῶν θεασαμένων, ὥσπερ ἐπίτηδες τοῦ παιδὸς ἐκεῖ ἐπικατασπείσαντος τὸ αἷμα· τῆς δὲ βοῆς ἀκούσας ὁ βασιλεὺς, τὴν αἰτίαν

10 Θαυμάσοι L.N.T. ἐν προαγγέλμασιν L.N.T.E. 11 ὀφείλων ἀνηρῆσθαι L.N.T. 12 σταδίων ἐντεῦθεν L.N.T.E. ὁ δὴ χρόνος N.T. ὁ δὴ χρόνος L. 13 σκυθρωπὸς ὑπὸ E. ἀνηρημένος Ἀντίγονος M.E. 14 μὴν εὐθέως ἡ L.N.T. περὶ τοῦ μίσους M. σπαρασσομένων N. διάθρουν L. 15 τῶν πρὸς τῇ L.M.N.T.E. ἐν P. τόπον Ἀντίγονος T. ἐπέχεεν P. 16 ἐπισπείσαντος N.T. κατα ἐπισπείσαντος L.

ἐπυνθάνετο, καὶ μηδενὸς τολμῶντος εἰπεῖν, μᾶλλον ἐνέκειτο μαθεῖν ἐθέλων. Τέλος δ' ἀπειλοῦντι καὶ βιαζομένῳ τὸ ἀλη- 17
θὲς εἶπον. Ὁ δὲ τοὺς ὀφθαλμοὺς ἐμπίπλησι δακρύων, καὶ στενάξας, ὅσον ἦν αὐτῷ δύναμις, εἶπεν· "Οὐκ ἄρα θεοῦ μέγαν ὀφθαλμὸν ἐπ' ἔργοις ἀθεμίτοις λήσειν ἔμελλον, ἀλλά με ταχεῖα μέτεισι δίκη φόνου συγγενοῦς. Μέχρι ποῦ μοι 18
σῶμα ἀναιδέστατον τὴν ἀδελφῷ καὶ μητρὶ κατάκριτον ψυχὴν καθέξεις; Μέχρι ποῦ δ' αὐτὸς ἐπισπείσω κατὰ μέρος τὸ ἐμὸν αἷμα; Λαβέτωσαν ἀθρόον τοῦτο, καὶ μηκέτι ταῖς ἐκ τῶν ἐμῶν σπλάγχνων χοαῖς ἐπειρωνευέσθω τὸ δαιμόνιον." Ταῦτα εἰπὼν, εὐθέως τελευτᾷ, βασιλεύσας οὐ πλεῖον ἐνιαυτοῦ.

CAP. IV.

Antt. 13. 11.

1. Λύσασα δὲ ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ βασιλέα καθί- 1
στησιν Ἀλέξανδρον, τὸν καὶ καθ' ἡλικίαν καὶ μετριότητα προέχειν δοκοῦντα. Ὁ δὲ παρελθὼν εἰς τὴν ἐξουσίαν τὸν 2
ἕτερον μὲν τῶν ἀδελφῶν βασιλειῶντα κτείνει, τὸν δὲ καταλειπόμενον, ἀγαπῶντα τὸ ζῆν, δίχα πραγμάτων εἶχε.

2. Γίνεται δ' αὐτῷ καὶ πρὸς τὸν Λάθουρον ἐπικληθέντα 3
Πτολεμαῖον συμβολὴ, πύλιν Ἀσωχὶν ἠρηκότα· καὶ πολλοὺς μὲν ἀνεῖλε τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς Πτολεμαῖον ἔρρεψεν. Ἐπεὶ δὲ οὗτος ὑπὸ τῆς μητρὸς Κλεοπάτρας διω- 4
χθεὶς εἰς Αἴγυπτον ἀνεχώρησεν, Ἀλέξανδρος Γαδάρων τε πολιορκίᾳ κρατεῖ, καὶ Ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἔρυμα τῶν ὑπὲρ Ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν Θεοδώρου τοῦ Ζήνωνος κτημάτων ἦν ἐν αὐτῷ. Ἐπελθὼν δ' ἐξαίφνης 5
ὁ Θεόδωρος, τά τε σφέτερα καὶ τὴν τοῦ βασιλέως ἀποσκευὴν αἱρεῖ, τῶν τε Ἰουδαίων εἰς μυρίους κτείνει. Γίνεται

ἐπέκειτο P. 17 ὁ δὴ τοὺς L. τούς τε ὀφθαλμοὺς M.E. ἐμπίμπλησι L. N. 18 μηκέτι ταῖς ἐμῶν L.N. οὐ πλεῖον βασιλεύσας tr. N.
1 τοὺς αὐτοῦ ἀδελφοὺς L. T. τοὺς ἀδελφοὺς τοῦ βασιλέως P. τὸν καθ' ἡλ. L.M.N. 2 βασιλιῶντα N. Ἀσωχὴν T. καταλιμπανόμενον P. εἶχεν ἐν τιμῇ. E. 3 ἀνεῖλε πολεμίων P. πρὸς τὸν Πτολ. L.N.
4 ἐπεὶ δ' ὑπὸ P. Ἀμμαθοῦντος L. τῶν περὶ Ἰορδάνην E. τιμιώτατά τε P. 5 καὶ τοῦ βασ. E. τῶν δ' Ἰουδαίων P.

δ' ἐπάνω τῆς πληγῆς Ἀλέξανδρος, καὶ τραπόμενος εἰς τὴν παράλιον, αἱρεῖ Ῥαφίαν τε καὶ Γάζαν, καὶ Ἀνθηδόνα, τὴν αὖθις ὑφ' Ἡρώδου τοῦ βασιλέως Ἀγριππιάδα ἐπικληθεῖσαν.

6 3. Ἐξανδραποδισαμένῳ δὲ ταύτας ἐπανίσταται τὸ Ἰουδαϊκὸν ἐν τῇ ἑορτῇ· μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἅπτεται. Καὶ ἐδόκει μὴ ἂν κρείττων γενέσθαι τῆς ἐπιβουλῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει, — Πισίδαι καὶ Κίλικες ἦσαν. Σύρους γὰρ οὐκ ἐδέχετο μισθοφόρους, διὰ 7 τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχθειαν. Κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ ἑξακισχιλίους, Ἀραβίας ἥπτετο· καὶ ταύτης ἐλὼν Γαλααδίτας τε καὶ Μωαβίτας, φόρον τε αὐτοῖς ἐπιτάξας, ἀνέστρεψεν ἐπὶ Ἀμαθοῦντα. Θεοδώρου δὲ πρὸς τὰς εὐπραγίας αὐτὸν καταπλαγέντος, ἔρημον λαβὼν τὸ φρούριον κατέσκαψεν.

8 4. Ἔπειτα συμβαλὼν Ὀβόδῃ τῷ Ἀράβων βασιλεῖ προλοχίσαντι κατὰ τὴν Γαυλάνην, ἐνέδρας αὐτῷ γενομένης, πᾶσαν ἀποβάλλει τὴν στρατιάν, συνωσθεῖσαν κατὰ βαθείας 9 φάραγγος, καὶ πλήθει καμήλων συντριβεῖσαν. Διαφυγὼν δὲ αὐτὸς εἰς Ἱεροσόλυμα, τῷ μεγέθει τῆς συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. Γίνεται δὲ καὶ τότε κρείττων, καὶ μάχαις ἐπαλλήλοις οὐκ ἔλαττον πεντα- 10 κισμυρίων Ἰουδαίων ἀνεῖλεν ἐν ἓξ ἔτεσιν· οὐ μὴν ηὐφραίνετό γε ταῖς νίκαις, τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων· ὅθεν, παυσάμενος τῶν ὅπλων, λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς 11 ὑποτεταγμένους. Οἱ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐ-

παραλίαν L.M.N.T.E. Ῥαφείαν L.M. et T. in marg. γάζαν τε καὶ ῥαφίαν P. 6 ἐν ἑορτῇ L.M.N.T.E. στάσις ἔπεται sed in marg. ἅπτεται T. καὶ δοκεῖ μὴ N.T. καὶ ἐδόκει μὲν ἂν M. κρείττων γίνεσθαι L.M.N.T.E. 7 ὑπὲρ ὀκτακοσίους Ἀραβίας M. καὶ ταύτην ἑλὼν L.E. Γαλααδίτας M. Γαλααδίτας καὶ L.N.T. Ἀμμαθοῦν L. N.P. εὐπραγίας αὐτοῦ E. αὐτῶν T. 8 Βοήθᾳ sed in marg. καὶ Ὀβόδᾳ L. Βόνδᾳ M.N.T. Ὀβαΐδα P. γαυλήνην T. ἐνέδρας αὐτῶν T. συνωθεῖσαν M.E. 9 πάλαι μισῶν L. πεντακισμυρίους L. M.N.T.E. Ἰουδαίους L.N.T. 10 εὐφραίνετο P. ἀναλίσκων, ὅστε M.E.

τοῦ, καὶ τοῦ τρόπου τὸ ἀνώμαλον. Πυνθανομένῳ δὲ τὸ αἴτιον, καὶ ‘τί ἂν ποιήσας καταστείλειεν αὐτούς,’ ‘ἀποθανὼν’ ἔλεγον· νεκρῷ γὰρ ἂν διαλλαγῆναι μόλις τῷ τοσαῦτα δράσαντι· ἅμα δὲ καὶ τὸν Ἄκαιρον ἐπικληθέντα Δημήτριον ἐπεκαλοῦντο. Ῥαδίως δ' ὑπακούσαντος κατ' ἐλπίδα μειζό- 12
νων, καὶ μετὰ στρατιᾶς ἥκοντος, συνέμισγον οἱ Ἰουδαῖοι τοῖς συμμάχοις περὶ Σίκιμα.

5. Δέχεται δ' ἑκατέρους Ἀλέξανδρος, ἱππεῦσι μὲν χιλίοις, 13
μισθοφόροις δὲ πεζοῖς ὀκτακισχιλίοις· παρῆν δὲ αὐτῷ καὶ τὸ εὐνοοῦν Ἰουδαϊκὸν εἰς μυρίους. Τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζῶν δὲ μύριοι τετρακισχίλιοι. Καὶ πρὶν 14
εἰς χεῖρας ἐλθεῖν διακηρύσσοντες οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων· Δημήτριος μὲν τοὺς Ἀλεξάνδρου μισθοφόρους, Ἀλέξανδρος δὲ τοὺς ἅμα Δημητρίῳ Ἰουδαίους μεταπείσειν ἐλπίσας. Ὡς δ' οὔτε οἱ Ἰουδαῖοι θυμῶν, 15
οὔτε οἱ Ἕλληνες ἐπαύοντο πίστεως, διεκρίνοντο ἤδη τοῖς ὅπλοις συμπεσόντες. Κρατεῖ δὲ τῇ μάχῃ Δημήτριος, καίπερ πολλὰ τῶν Ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. Χωρεῖ δὲ τὸ τέλος τῆς παρατά- 16
ξεως παρὰ δόξαν ἀμφοτέροις· οὔτε γὰρ Δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατ' οἶκτον τῆς μεταβολῆς Ἀλεξάνδρῳ προσεχώρησαν, εἰς τὰ ὄρη καταφυγόντι, Ἰουδαίων ἑξακισχίλιοι. Ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκε Δημή- 17
τριος, ἀλλ' ὑπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν Ἀλέξανδρον, μεταρρεῖν δὲ καὶ πᾶν τὸ ἔθνος εἰς αὐτὸν, ἀνεχώρησεν.

6. Οὐ μὴν τό γε λοιπὸν πλῆθος, ἀναχωρησάντων τῶν 18
συμμάχων, κατέθεντο τὰς διαφοράς· συνεχὴς δὲ πρὸς Ἀλέξανδρον ἦν αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀποκτείνας

11 πυνθανομένῳ δὲ L. πυνθανομένου δὲ N. πυνθανομένῳ τε M.P.E. αἴτιον, τί ἂν L.N.P.T.E. μόγις τῷ L.N.T. τὸν Εὔκαιρον P.E. 12 περὶ Σίκημα M.P. 13 πεζοῖς δὲ L.T. εὔνουν L.N.E. ἦσαν ρ πεζῶν P. 14 πρὶν μὲν εἰς N.T. διὰ κηρύσσοντας E. 15 Ἰουδαῖοι εὐθύμουν L.N.T. Ἰουδαῖοι ὅρκων P. οὔτε Ἕλληνες T. 18 ὑποχωρησάντων M.

τοὺς λοιποὺς ἀπήλασεν εἰς Βεμέσελιν πόλιν· καὶ ταύτην καταστρεψάμενος αἰχμαλώτους ἀνήγαγεν εἰς Ἱεροσόλυμα.
19 Προέκοψε δ' αὐτῷ δι' ὑπερβολὴν ὀργῆς εἰς ἀσέβειαν τὰ τῆς ὠμότητος· τῶν γὰρ ληφθέντων εἰς ὀκτακοσίους ἀναστανρώσας ἐν μέσῃ τῇ πόλει, γυναῖκάς τε καὶ τέκνα αὐτῶν ἀπέσφαξε ταῖς ὄψεσι· καὶ ταῦτα πίνων καὶ συγκατακείμενος ταῖς παλ-
20 λακίσιν ἀφεώρα. Τοσαύτη δὲ κατάπληξις ἔσχε τὸν δῆμον, ὥστε τῶν ἀντιστασιαστῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα φυγεῖν ὀκτακισχιλίους ἔξω Ἰουδαίας ὅλης, οἷς ὅρος τῆς φυγῆς ὁ
21 Ἀλεξάνδρου θάνατος κατέστη. Τοιούτοις ἔργοις ὀψὲ καὶ μόλις ἡσυχίαν τῇ βασιλείᾳ πορίσας, ἀνεπαύσατο τῶν ὅπλων.

22 7. Γίνεται δὲ αὐτῷ πάλιν ἀρχὴ θορύβων Ἀντίοχος, ὁ καὶ Διόνυσος ἐπικληθείς, Δημητρίου μὲν ἀδελφὸς ὤν, τελευταῖος δὲ τῶν ἀπὸ Σελεύκου. Τοῦτον γὰρ δείσας, στρατεύεσθαι ἐπὶ τοὺς Ἄραβας ὡρμημένον, τὸ μὲν μεταξὺ τῆς Ἀντιπατρίδος παρορίου καὶ τῶν Ἰόππης αἰγιαλῶν διαταφρεύει φάραγγι βαθείᾳ, πρὸ δὲ τῆς τάφρου τεῖχος ἤγειρεν ὑψηλὸν, καὶ ξυλίνους πύργους ἐνετεκτήνατο, τὰς εὐμαρεῖς ἐμβολὰς
23 ἀποφράττων. Οὐ μὴν εἶρξαί γε τὸν Ἀντίοχον ἴσχυσεν· ἐμπρήσας γὰρ τοὺς πύργους καὶ τὴν τάφρον χώσας, διήλαυνε μετὰ τῆς δυνάμεως· θέμενος δ' ἐν δευτέρῳ τὴν πρὸς τὸν
24 κωλύσαντα ἄμυναν, εὐθὺς ἐπὶ τοὺς Ἄραβας ἦει. Τῶν δὲ ὁ βασιλεὺς, ἀναχωρῶν εἰς τὰ χρησιμώτερα τῆς χώρας πρὸς τὴν μάχην, ἔπειτα τὴν ἵππον ἐξαίφνης ἐπιστρέψας, μυρία δ' ἦν τὸν ἀριθμὸν, ἀτάκτοις ἐπιπίπτει τοῖς περὶ τὸν Ἀντίοχον.

Βεμεσέλην P. μίσελιν sed in marg. βεμέσελιν T. 19 προύκοψε L.M.N.P. ἀσέβειαν τὸ τῆς L.N.P. ληφθέντων ὀκτακοσίους L.N. P.T. κατέσφαξε L.N. ἀφεωρᾶτο M.N.T.E. 20 ἀντιστασιωτῶν L.N. κατὰ νύκτα L. νύκτα φεύγειν L.N. ἐξ Ἰουδαίας T.E. κατέστη. Τέλος δὲ τοιοῦ. E. κατέστη. Τέλος τοιοῦ. M.N.T. 22 αὐτῷ deest P. Διονύσιος L.M.N.P.T. τοῦ μὲν μεταξὺ T. τῆς ὑπὲρ Ἀντιπατρίδος παρορείου καὶ τὸν Ἰόππης αἰγιαλὸν P. ἐτεκτήνατο P.T. κωλύσοντα T. 24 ἀναχωρήσας ἦν εἰς L.N.T. μυρία δ' ἦσαν prima manu, ἦν ex correct. T. ἀτάκτος περιπίπτει N. ἀτάκτως περιπίπτει L.

Καρτερᾶς δὲ μάχης γενομένης, ἕως μὲν περιῆν Ἀντίοχος, 25
ἀντεῖχεν ἡ δύναμις αὐτοῦ, καίπερ ἀνέδην ὑπὸ τῶν Ἀράβων
φονευόμενοι. Πεσόντος δὲ, καὶ γὰρ προεκινδύνευεν ἀεὶ τοῖς 26
ἡττωμένοις παραβοηθῶν, ἐκκλίνουσι πάντες, καὶ τὸ μὲν πλεῖ-
στον αὐτῶν, ἐπί τε τῆς παρατάξεως, καὶ τῆς φυγῆς διαφθεί-
ρεται, τοὺς δὲ λοιποὺς, καταφυγόντας εἰς Κανὰ κώμην,
σπάνει τῶν ἐπιτηδείων ἀναλωθῆναι συνέβη πλὴν ὀλίγων
ἅπαντας.

8. Ἐκ τούτου Δαμασκηνοὶ διὰ τὸ πρὸς Πτολεμαῖον τὸν 27
Μενναίου μῖσος Ἀρέταν ἐπάγονται, καὶ καθιστῶσι Κοίλης
Συρίας βασιλέα. Στρατεύεται δὲ οὗτος ἐπὶ τὴν Ἰουδαίαν,
καὶ μάχῃ νικήσας Ἀλέξανδρον, κατὰ συνθήκας ἀνεχώρησεν.
Ἀλέξανδρος δὲ, Πέλλαν ἑλὼν, ἐπὶ Γέρασαν ᾔει πόλιν, τῶν
Θεοδώρου κτημάτων γλιχόμενος. Καὶ τρισὶ περιβόλοις 28
τοὺς φρουροὺς ἀποτειχίσας, διὰ μάχης τὸ χωρίον παραλαμ-
βάνει. Καταστρέφεται δὲ καὶ Γαυλάνην, καὶ Σελεύκειαν,
καὶ τὴν Ἀντιόχου φάραγγα καλουμένην· πρὸς οἷς Γάμαλα
φρούριον καρτερὸν ἑλὼν, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ
περιδύσας ἐκ πολλῶν ἐγκλημάτων, ἐπάνεισιν εἰς Ἰουδαίαν,
τρία πληρώσας ἔτη τῆς στρατείας. Ἀσμένως δὲ ὑπὸ τοῦ 29
ἔθνους προσεδέχθη διὰ τὴν εὐπραγίαν, καὶ λαμβάνει τὴν ἀνά-
παυσιν τοῦ πολεμεῖν, ἀρχὴν νόσου. Τεταρταίαις δὲ περιό-
δοις πυρετῶν ἐνοχλούμενος, ᾠήθη διακρούσασθαι τὴν νόσον,
πάλιν ἀψάμενος πραγμάτων. Διὸ δὴ στρατείαις ἀκαίροις 30
ἑαυτὸν ἐπιδιδοὺς, καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα
πρὸς τὰς ἐνεργείας, ἀπήλλαξε. Τελευτᾷ γοῦν ἐν μέσοις
τοῖς θορύβοις στρεφόμενος, βασιλεύσας ἑπτὰ πρὸς τοῖς
εἴκοσιν ἔτη.

25 καίπερ ἀναίδην N. καίπερ ἀναίδην L. 26 καὶ τῇ φυγῇ P. καὶ ἐν τ. φ. E. καὶ φυγῆς T. εἰς ἄννα κώμην L. εἰς ἀνὰν κ. P. 27 τὸν Μιναίους M. τὸν μέννaίου sic T. ᾔει πάλιν L.N.P.E. 28 τοὺς φρουροὺς περιβόλοις tr. L.M.N.T.E. αὐτῷ περιλύσας P. εἰς τὴν Ἰουδαίαν L.N.T. τῆς στρατιᾶς M.N.P.T.E. 29 ἔθνους ἐδέχθη L.N.P.T. ἀρχὴ νόσου M.P.T. Τεταρταίοις M. τὴν ἀρρωστίαν πάλιν L.N.T. πραγμάτων ἀψάμενος P. 30 στρατιαῖς P. ἐπιδοὺς N.T. ἀναστρεφόμενος T.

CAP. V.

1 1. Καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικὶ, πεπεισμένος ταύτῃ μάλιστ' ἂν ὑπακοῦσαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα, καὶ ταῖς παρανομίαις ἐνισταμένη, τὸν δῆμον εἰς εὔνοιαν προσηγάγετο. 2 Καὶ οὐ διήμαρτε τῆς ἐλπίδος· ἐκράτησε γὰρ τῆς ἀρχῆς τὸ γύναιον διὰ δόξαν εὐσεβείας· ἠκρίβου γὰρ δὴ τοῦ ἔθνους μάλιστα τὰ πάτρια, καὶ τοὺς πλημμελοῦντας εἰς τοὺς ἱεροὺς 3 νόμους ἐξ ἀρχῆς ἀπεβάλλετο. Δύο δὲ αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου, τὸν μὲν πρεσβύτερον Ὑρκανὸν, διά τε τὴν ἡλικίαν ἀποδείκνυσιν ἀρχιερέα, καὶ ἄλλως ὄντα νωθέστερον, ἢ ὥστε ἐνοχλεῖν περὶ τῶν ὅλων· τὸν δὲ νεώτερον Ἀριστόβουλον διὰ θερμότητα κατεῖχεν ἰδιώτην.

4 2. Παραφύονται δὲ αὐτῇ εἰς τὴν ἐξουσίαν Φαρισαῖοι, συνταγμά τι Ἰουδαίων, δοκοῦν εὐσεβέστερον εἶναι τῶν ἄλλων, καὶ τοὺς νόμους ἀκριβέστερον ἀφηγεῖσθαι. Τούτοις περισσὸν δή τι προσεῖχεν ἡ Ἀλεξάνδρα, σεβομένη περὶ τὸ θεῖον. 5 Οἱ δὲ τὴν ἀπλότητα τῆς ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες, ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγίνοντο, διώκειν τε καὶ κατάγειν 6 οὓς ἐθέλοιεν, λύειν τε καὶ δεῖν. Καθόλου δὲ αἱ μὲν ἀπολαύσεις τῆς βασιλείας ἐκείνων ἦσαν, τὰ δὲ ἀναλώματα καὶ αἱ 7 δυσχέρειαι τῆς Ἀλεξάνδρας. Δεινὴ δὲ ἦν τὰ μείζω διοικεῖν, δύναμίν τε ἀεὶ συγκροτοῦσα, διπλασίονα κατέστησε, καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην· ὡς μὴ μόνον κρατύνεσθαι τὸ οἰκεῖον ἔθνος, ἀλλὰ καὶ φοβερὰν τοῖς ἔξωθεν εἶναι δυνάσταις. Ἐκράτει δὲ τῶν μὲν ἄλλων αὐτὴ, Φαρισαῖοι δὲ αὐτῆς.

8 3. Διογένην γοῦν τινα τῶν ἐπισήμων, φίλον Ἀλεξάνδρῳ

δ

1 νῦν ἐπακοῦσαι N. ἐπακοῦσαι L. παρανομίαις ἀνθισταμένη P.E. 2 μάλιστα τοῦ ἔθνους L.N.T. μάλιστα τοῦ νόμου P. ἀπεβάλετο E.

λ

προεβάλετο L. προεβάλλετο N.P. 3 ἡλικίαν αὐτοῦ δείκνυσιν L.N.T. 4 αὐτῆς εἰς τὴν P. εἰς ἐξουσίαν M. καὶ τοῦ νόμου ex rasura L. 5 λύειν τε καὶ δεσμεῖν M.P. 6 ἀπολαύσεις τῶν βασιλειῶν P. 7 δύναμιν δὲ L.N.T. κρατύνασθαι L. ἔθνος, φοβερὰν δὲ καὶ M.P.

γεγενημένον, κτείνουσιν αὐτοὶ, σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν ἀνασταυρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. Ἐνῆγον δὲ τὴν Ἀλεξάνδραν εἰς τὸ καὶ τοὺς ἄλλους διαχειρίσασθαι τῶν παροξυνάντων ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον. Ἐνδιδούσης δ' ὑπὸ δεισιδαιμονίας, ἀνήρουν οὓς ἐθέ- 9
λοιεν αὐτοί. Προσφεύγουσι δ' Ἀριστοβούλῳ τῶν κινδυνευόντων οἱ προέχειν δοκοῦντες. Καὶ ἐκεῖνος πείθει τὴν μητέρα φείσασθαι μὲν διὰ τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἐκπέμψαι δὲ αὐτοὺς, εἰ μὴ καθαροὺς ὑπείληφεν, ἐκ τῆς πόλεως. Οἱ μὲν 10
οὖν, δοθείσης ἀδείας, ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν. Ἀλεξάνδρα δὲ ἐκπέμψασα ἐπὶ Δαμασκὸν στρατιὰν, πρόφασις δ' ἦν Πτολεμαῖος ἀεὶ θλίβων τὴν πόλιν, ταύτην μὲν ὑπεδέξατο μηδὲν ἀξιόλογον ἐργασαμένην. Τιγράνην δὲ τὸν Ἀρμε- 11
νίων βασιλέα, προσκαθεζόμενον Πτολεμαΐδι, καὶ πολιορκοῦντα Κλεοπάτραν, συνθήκαις καὶ δώροις ὑπηγάγετο. Φθάνει δ' ἐκεῖνος ἀπαναστὰς διὰ τὰς οἴκοι ταραχὰς, ἐμβεβληκότος εἰς τὴν Ἀρμενίαν Λευκούλλου.

4. Καὶ ἐν τούτῳ νοσούσης Ἀλεξάνδρας, ὁ νεώτερος τῶν 12
παίδων Ἀριστόβουλος τὸν καιρὸν ἁρπάσας μετὰ τῶν οἰκετῶν, εἶχε δὲ πολλοὺς καὶ πάντας εὔνους διὰ τὴν θερμότητα, κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων. Τοῖς δ' ἐκ τούτων χρή- 13
μασι μισθοφόρους ἀθροίσας ἑαυτὸν ἀποδείκνυσι βασιλέα. Πρὸς ταῦτα ὀδυρόμενον τὸν Ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα, τήν τε γυναῖκα καὶ τοὺς παῖδας Ἀριστοβούλου καθείργνυσιν εἰς τὴν Ἀντωνίαν, — φρούριον δ' ἦν τῷ βορείῳ κλίματι τοῦ ἱεροῦ προσκείμενον, πάλαι μὲν, ὡς ἔφην, Βάρις ὀνομαζόμενον, 14
αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας, ἐπικρατήσαντος Ἀντωνίου, καθάπερ ἀπό τε τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα Σεβαστὴ καὶ Ἀγριππιὰς πόλεις ἕτεραι μετωνομάσθησαν. Πρὶν 15

9 ἐθέλοιεν δ' αὐτοί E. 10 ταύτην μὲν ἀπεδέξατο L.N.T. εἰργασμένην L.N.T. 11 Τιγράνην δὲ τῶν P. ἐκεῖνος ἐπαναστὰς L. Λευκόλλου P. 12 πάντων τῶν ἐρυμάτων L.N.T. 13 παῖδας τοὺς Ἀριστ. L.N. εἰς Ἀντωνίαν L.N.E. 14 ταύτης τυχὼν P. πόλεις ἐπωνομάσθησαν P.

δ' ἐπεξελθεῖν Ἀλεξάνδρον τὸν Ἀριστόβουλον τῆς τοῦ ἀδελφοῦ καταλύσεως, τελευτᾷ, διοικήσασα τὴν ἀρχὴν ἔτεσιν ἐννέα.

CAP. VI.

1 1. Καὶ κληρονόμος μὲν ἦν τῶν ὅλων Ὑρκανὸς, ᾧ καὶ ζῶσα Antt. 14. τὴν βασιλείαν ἐνεχείρισε· δυνάμει δὲ καὶ φρονήματι προεί- 2. 1. χεν ὁ Ἀριστόβουλος. Γενομένης δὲ αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ Ἰεριχοῦντα, καταλιπόντες οἱ πλεῖστοι τὸν 2 Ὑρκανὸν, μεταβαίνουσι πρὸς τὸν Ἀριστόβουλον. Ὁ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν Ἀντωνίαν, καὶ κυριεύσας τῶν πρὸς σωτηρίαν ὁμήρων, ταῦτα δ' ἦν ἡ Ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων, ἀμέλει πρὶν ἀνηκέστου πάθους διελύθησαν, ὥστε βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δ' ἐκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς, ὥσπερ 3 ἀδελφὸν βασιλέως. Ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ, καὶ τοῦ λαοῦ περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι, διήμειψαν τὰς οἰκίας· Ἀριστόβουλος μὲν γὰρ εἰς τὰ βασίλεια, Ὑρκανὸς δ' ἀνεχώρησεν εἰς τὴν Ἀριστοβούλου οἰκίαν.

4 2. Δέος δὲ τοῖς τε ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος, καὶ μάλιστα Ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. Γένος δ' ἦν Ἰδουμαῖος, προγόνων τε ἕνεκα καὶ πλούτου καὶ τῆς ἄλλης ἰσχύος πρωτεύων 5 τοῦ ἔθνους. Οὗτος ἅμα καὶ τὸν Ὑρκανὸν, Ἀρέτᾳ προσφυγόντα τῷ βασιλεῖ τῆς Ἀραβίας, ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθε, καὶ τὸν Ἀρέταν δέξασθαί τε τὸν Ὑρκανὸν, καὶ 6 καταγαγεῖν ἐπὶ τὴν ἀρχήν. Πολλὰ μὲν τὸν Ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν Ὑρκανὸν, παρήνει δέξασθαι, καὶ ὡς πρέπον εἴη τὸν οὕτω λαμπρᾶς προεστῶτα βασιλείας ὑπερέχειν χεῖρα τῷ ἀδικουμένῳ, ἀδικεῖσθαι

15 Ἀλεξάνδρα P. 1 Γενομένοις L. 2 βασιλεύειν Ἀριστ. L. τιμῆς, ὡς παρ' ἀδελφοῦ N.T. 4 Δέος δὲ τοῖς Ἀριστ. διαφόροις ἐμπίπτει P. ἔθνους. Ὁ αὐτὸς δὲ ἅμα L.N.E. et T. prima manu, sed ex correct. οὗτος. 6 παρήνει δέχεσθαι L.N.T. βασιλείας καὶ παρέχειν M. τοῖς ἀδικουμένοις L.N.T.E.

δὲ Ὑρκανὸν, στερηθέντα τῆς κατὰ τὸ πρεσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. Προκατασκευάσας δὲ ἀμφοτέρους, νύκτωρ 7
ἀναλαβὼν τὸν Ὑρκανὸν ἐκ τῆς πόλεως ἀποδιδράσκει, καὶ συντόνῳ φυγῇ χρώμενος εἰς τὴν καλουμένην Πέτραν διασώζεται· βασίλειον αὕτη τῆς Ἀραβίας ἐστίν. Ἔνθα τῷ 8
Ἀρέτᾳ τὸν Ὑρκανὸν ἐγχειρίσας, καὶ πολλὰ μὲν καθομιλήσας, πολλοῖς δὲ δώροις ὑπελθὼν, δοῦναι δύναμιν αὐτῷ πείθει τὴν κατάξουσαν αὐτόν. Ἦν δὲ αὕτη πεζῶν τε καὶ ἱππέων 9
πέντε μυριάδες· πρὸς ἣν οὐκ ἀντέσχεν Ἀριστόβουλος, ἀλλ' ἐν τῇ πρώτῃ συμβολῇ λειφθεὶς, εἰς Ἱεροσόλυμα συνελαύνεται. Καὶ ἂν ἔφθη κατὰ κράτος ληφθεὶς, εἰ μὴ Σκαῦρος ὁ 10
Ῥωμαίων στρατηγὸς, ἐπαναστὰς αὐτῶν τοῖς καιροῖς, ἔλυσε τὴν πολιορκίαν· ὃς ἐπέμφθη μὲν εἰς Συρίαν ἀπὸ Ἀρμενίας ὑπὸ Πομπηΐου Μάγνου, πολεμοῦντος πρὸς Τιγράνην. Παρα- 11
γενόμενος δὲ εἰς Δαμασκὸν, ἐαλωκυῖαν προσφάτως ὑπὸ Μετέλλου καὶ Λολλίου, καὶ τούτους μεταστήσας, ἐπειδὴ τὰ κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, καθάπερ ἐφ' ἕρμαιον ἠπείχθη.

3. Παρελθόντος γοῦν εἰς τὴν χώραν, πρέσβεις εὐθέως 12
ἦκον παρὰ τῶν ἀδελφῶν, ἑκατέρου βοηθεῖν αὐτῷ δεομένου. Γίνεται δ' ἐπίπροσθεν τοῦ δικαίου τὰ παρὰ Ἀριστοβούλου τριακόσια τάλαντα. Τοσοῦτον γὰρ λαβὼν Σκαῦρος ἐπικη- 13
ρυκεύεται πρός τε Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ἀπειλῶν Ῥωμαίους καὶ Πομπήϊον, εἰ μὴ λύσειαν τὴν πολιορκίαν. Ἀνεχώρησε δ' ἐκ τῆς Ἰουδαίας εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγείς, καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος. Ἀριστοβούλῳ 14
δ' οὐκ ἀπέχρησε τὸ μὴ ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας, εἵπετο τοῖς πολεμίοις, καὶ περὶ τὸν καλούμενον Πα-

κατὰ πρεσβεῖον L.T. προσηκούσης τιμῆς sed in marg. ἀρχῆς T. 7 ἀναλαβὼν Ὑρκανὸν N.P.T.E. Ὑρκανὸν τῆς M.E. Ὑρκανὸν ἀπὸ τῆς P. ἀποδιδράσκει συντόνῳ P. φυγῇ χρησάμενος M. 10 αὐτῷ τοῖς καιροῖς T. 11 ἐπεὶ καὶ τὰ κατὰ M.T.E. ἐπείχθη T. 12 ἀδελφῶν ἑκατέρου δεομένου L.N. ἀδελφῶν ἑκατέρων, ἑκάστου δεομένου βοηθ. M.E. δικαίου παρὰ L.N. et T. sed in hoc suprascriptum τὰ. 13 Τοσοῦτο M. ἀνεχώρει δὲ ἐκ P. Φιλαδελφίαν L.N. 14 ἁλῶσθηναι L.N.P.E. πᾶσάν τε τὴν L.N.

πυρῶνα συμβαλὼν αὐτοῖς, ὑπὲρ ἑξακισχιλίους κτείνει, μεθ' ὧν καὶ τὸν ἀδελφὸν τὸν Ἀντιπάτρου Φαλλίωνα.

15 4. Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος, τῶν Ἀράβων ἀφαιρεθέντες, μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα. Καὶ ἐπειδὴ Πομπήϊος ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἦκεν, ἐπ'
16 αὐτὸν καταφεύγουσι. Καὶ δίχα δώρων, αἷς καὶ πρὸς Ἀρέταν δικαιολογίαις χρώμενοι κατηντιβόλουν, μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δ' ἐπὶ τὴν βασιλείαν τὸν καὶ
17 τῷ τρόπῳ καὶ καθ' ἡλικίαν προσήκοντα. Οὐ μὴν οὐδ' ὁ Ἀριστόβουλος ὑστέρει, πεποιθὼς τῇ Σκαύρου δωροδοκίᾳ. Παρῆν τε καὶ αὐτὸς, ὡς οἷόν τε ἦν βασιλικώτατα κεκοσμη-
18 κὼς ἑαυτόν. Ἀδοξήσας δὲ πρὸς τὰς θεραπείας, καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος, ἀπὸ Διοσπόλεως χωρίζεται.

19 5. Πρὸς ταῦτ' ἀγανακτήσας Πομπήϊος, πολλὰ καὶ τῶν περὶ Ὑρκανὸν ἱκετευόντων, ὥρμησεν ἐπ' Ἀριστόβουλον, ἀναλαβὼν τήν τε Ῥωμαϊκὴν δύναμιν, καὶ πολλοὺς ἐκ τῆς Συρίας
20 συμμάχους. Ἐπεὶ δὲ παρελαύνων Πέλλαν καὶ Σκυθόπολιν ἦκεν εἰς Κορέας, ὅθεν ἡ Ἰουδαίων ἄρχεται χώρα κατὰ τὴν μεσόγειον ἀνιόντων, ἀκούσας συμπεφευγέναι τὸν Ἀριστόβουλον εἰς Ἀλεξάνδρειον, —τοῦτο δέ ἐστι φρούριον τῶν πάνυ φιλοτίμως ἐξησκημένων, ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον, —πέμ-
21 ψας καταβαίνειν αὐτὸν ἐκέλευσε. Τῷ δὲ ἦν μὲν ὁρμὴ, καλουμένῳ δεσποτικώτερον, διακινδυνεύειν μᾶλλον ἢ ὑπακοῦσαι, καθεώρα δὲ τὸ πλῆθος ὀρρωδοῦν, καὶ παρήνουν οἱ φίλοι σκέ-
22 πτεσθαι τὴν Ῥωμαίων ἰσχὺν, οὖσαν ἀνυπόστατον. Οἷς πει-

ὑπὲρ ὀκτακισχιλίους M. κτείνει· καὶ τὸν L.N. Φαλίωνα L.E. Φιλλίωνα P. 15 ἐπ' αὐτὸν ex his verbis incipiunt duæ membranæ scripturæ recentioris L. 16 δίχα δωρεῶν L. ταῖς πρὸς Ἀρέταν N.T. ταῖς καὶ πρὸς Ἀ. E. προσήκοντα· οὐδὲ Ἀρ. L. 17 οὐδὲ Ἀριστόβουλος L. M.N. οὐ μὴν δὲ Ἀρ. T. πεπειθὼς L. παρῆν δὲ καὶ L. οἷόν τε βασιλικώτατα L.P. 18 ταπεινότερος L.P. ἀπὸ διὸς ἡλιουπόλεως L.P. 19 περὶ τὸν Ὑρκανὸν N. ἐπαναλαβὼν L.P. 20 παρελαύνων Πέλαν L. ἡ Ἰουδαία L. Ἀλεξάνδρειαν L. Ἀλεξάνδριον N. ἐκέλευε M.N.E. 21 ἰσχὺν ἀρχὴν οὖσαν L.P.

σθεὶς κάτεισι πρὸς Πομπήϊον, καὶ πολλὰ περὶ τοῦ δικαίως ἄρχειν ἀπολογηθεὶς, ὑπέστρεψε πρὸς τὸ ἔρυμα· πάλιν τε τοῦ ἀδελφοῦ προκαλουμένου καταβὰς, καὶ διαλεχθεὶς περὶ τῶν δικαίων, ἄπεισι μὴ κωλύοντος τοῦ Πομπηΐου. Μέσος δ' 23 ἦν ἐλπίδος καὶ δέους· καὶ κατήει μὲν, ὡς δυσωπήσων Πομπήϊον πάντ' ἐπιτρέπειν αὐτῷ, πάλιν δ' ἀνέβαινεν εἰς τὴν ἄκραν, ὡς μὴ προκαταλύειν δόξειεν ἑαυτόν. Ἐπεὶ μέντοι 24 Πομπήϊος ἐξίστασθαί τε τῶν φρουρίων ἐκέλευσεν αὐτῷ, καὶ, παράγγελμα τῶν φρουράρχων ἐχόντων μόναις πειθαρχεῖν ταῖς αὐτογράφοις ἐπιστολαῖς, ἠνάγκαζεν αὐτὸν ἑκάστοις γράφειν ἐκχωρεῖν, ποιεῖ μὲν τὸ προσταχθὲν, ἀγανακτήσας δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ παρεσκευάζετο πολεμεῖν πρὸς Πομπήϊον.

6. Ὁ δὲ — οὐ γὰρ ἐδίδου χρόνον ταῖς παρασκευαῖς — εὐ- 25 θέως εἶπετο· καὶ προσεπέρρωσε τὴν ὁρμὴν ὁ Μιθραδάτου θάνατος, ἀγγελθεὶς αὐτῷ περὶ Ἰεριχοῦντα, ἔνθα τὸ τῆς Ἰουδαίας πιότατον φοίνικά τε πάμπολυν καὶ βάλσαμον τρέφει· τοῦτο, λίθοις ὀξέσιν ἐπιτέμνοντες τὰ πρέμνα, συλλέγουσι 26 κατὰ τὰς τομὰς ἐκδάκρυον. Καὶ στρατοπεδευσάμενος ἐν τῷ χωρίῳ μίαν ἐσπέραν, ἕωθεν ἠπείγετο πρὸς τὰ Ἱεροσόλυμα. Καταπλαγεὶς δὲ τὴν ἔφοδον Ἀριστόβουλος, ἱκέτης ὑπήντα· 27 χρημάτων τε ὑποσχέσει, καὶ τῷ μετὰ τῆς πόλεως ἐπιτρέπειν καὶ ἑαυτὸν, χαλεπαίνοντα καταστέλλει τὸν Πομπήϊον. Οὐ 28 μήν τι τῶν ὡμολογημένων ἔπραττε· τὸν γὰρ ἐπὶ τῇ κομιδῇ

22 πρὸς τὸν Πομπήϊον N.T. περὶ τῆς τοῦ P. ὑπέστρεψεν εἰς τὸ L. πάλιν δὲ τοῦ N.T. καὶ διενέχθεις περὶ N. et T. sed in hujus marg. διαλεχθεὶς. δικαίων ἄνεισι μὴ N.T. 23 Μέσον δὲ ἦν N.T. δόξειν ἑαυτόν. E. δόξειεν αὐτὸν P.T. 24 φρουρίων ἐκέλευεν L.M.P.T. αὐτῷ prima manu, sed ex correct. αὐτὸν T. ἑκάστοις γράφων M. τὰ προσταχθέντα L.P. παρασκευάζεται N.T. πρὸς τὸν Πομπήϊον N. 25 οὐδὲ γὰρ P. ἐδίδου χώραν in textu, sed in marg. χρόνον T. Μιθρηδάτου L. Μιθριδάτου M. Μιτριδάτου N. ἀπαγγελθεὶς ex correct. T. ἔνθα δὴ τῆς Ἰουδαίας τὸ M. idem omisso δὴ L.P. πιώτατον P. πάμπολυ P. 26 τὰ ἄκρα πρέμνα L.P. τὰ ἄκρα sed πρέμνα etiam in marg. ἄκρα N. τὰ πρέμνα sic T. πρέμνα συνάγουσι L. ἐκ δακρύων L.M.N.P.E. στρατοπαιδευσάμενος L. 27 ὑπαντᾷ L.N.T. ἀπαντᾷ P. 28 ὡμολογημένων ἐγένετο L.P. ἐπὶ τὴν κομιδὴν L.P.

τῶν χρημάτων πεμφθέντα Γαβίνιον οἱ τὰ Ἀριστοβούλου φρονοῦντες οὐδὲ τῇ πόλει δέχονται.

CAP. VII.

1 1. Πρὸς ταῦτα ἀγανακτήσας Πομπήϊος Ἀριστόβουλον μὲν ἐφρούρει, πρὸς δὲ τὴν πόλιν ἐλθὼν περιεσκόπει, ποῖ προσβάλλῃ, τήν τε ὀχυρότητα τῶν τειχῶν δυσμεταχείριστον ὁρῶν, καὶ τὴν πρὸ τούτων φάραγγα φοβερὰν, τό τε ἱερὸν ἐντὸς τῆς φάραγγος ὀχυρώτατα τετειχισμένον, ὥστε τοῦ ἄστεος ἁλισκομένου δευτέραν εἶναι καταφυγὴν τοῦτο τοῖς πολεμίοις. Antt. 14. 4. 2.

2 2. Διαπορουμένου δ' ἐπὶ πολὺν χρόνον, στάσις τοῖς ἔνδον ἐμπίπτει, τῶν μὲν Ἀριστοβούλου πολεμεῖν ἀξιούντων καὶ ῥύεσθαι τὸν βασιλέα, τῶν δὲ τὰ Ὑρκανοῦ φρονούντων ἀνοίγειν Πομπηΐῳ τὰς πύλας. Πολλοὺς δὲ τούτοις ἐποίει τὸ 3 δέος, ἀφορῶντας εἰς τὴν τῶν Ῥωμαίων εὐταξίαν. Ἡττώμενον δὲ τὸ Ἀριστοβούλου μέρος εἰς τὸ ἱερὸν ἀνεχώρει, καὶ τὴν συνάπτουσαν ἀπ' αὐτοῦ τῇ πόλει γέφυραν ἀποκόψαντες 4 ἀντισχεῖν εἰς ἔσχατον παρεσκευάζοντο. Τῶν δὲ ἑτέρων δεχομένων Ῥωμαίους τῇ πόλει, καὶ τὰ βασίλεια παραδιδόντων, ἐπὶ μὲν ταῦτα Πομπήϊος ἕνα τῶν ὑφ' ἑαυτὸν στρατη- 5 γῶν Πείσωνα εἰσπέμπει μετὰ στρατιᾶς· ὃς διαλαβὼν φρουρῷ τὴν πόλιν, ἐπειδὴ τῶν εἰς τὸ ἱερὸν καταπεφευγότων οὐδένα λόγοις ἔπειθε συμβῆναι, τὰ πέριξ εἰς προσβολὰς ἠτρέπιζεν, ἔχων τοὺς περὶ τὸν Ὑρκανὸν εἴς τε τὰς ἐπινοίας καὶ τὰς ὑπηρεσίας προθύμους.

ἐκπεμφθέντα L. οὐδὲ ἐν τῇ πόλει M.E. 1 ποῖ προσβάλλει M. λ ποῖ προσβάλει T. ὅπως δεῖ προσβαλεῖν L.P. ποία προσβάλει N. δυσμ. ἑώρα καὶ N.T. τὴν πρὸ τούτου L. ἱερὸν ἐγγὺς τῆς L. ἄστεος τετειχισμένου, δευτέραν L. 2 Διαπορουῦντες M. στάσις ἔνδον sed in marg. τοῖς T. Πομπ. τὴν πόλιν sed in marg. τὰς πύλας T. πύλας· πολὺ δὲ τούτοις L.P. πολὺ δὲ τούτους M. εἰσήει δέος M. ἀφορῶντας τὴν Ῥωμαίων L. 3 ἀνεχώρησε L.P. συνάπτουσαν ἐπ' αὐτοῦ M. ἀντισχεῖν ἔσχατον L. et T. sed in hoc suprascriptum εἰς. 4 τῶν ὑφ' ἑαυτῷ L. 5 φρουραῖς L.P. ἱερὸν καταφυγόντων L.N P.T. ἔχων τοῖς P.

3. Αὐτὸς δὲ κατὰ τὸ προσάρκτιον κλίμα τήν τε τάφρον 6
ἔχου καὶ τὴν φάραγγα πᾶσαν, ὕλην συμφορούσης τῆς δυνά-
μεως. Χαλεπὸν δ' ἦν τὸ ἀναπληροῦν διὰ βάθος ἄπειρον, καὶ
τῶν Ἰουδαίων πάντα τρόπον εἰργόντων ἄνωθεν. Καὶ ἂν 7
ἀτέλεστος ἔμεινε τοῖς Ῥωμαίοις ὁ πόνος, εἰ μὴ τὰς ἑβδομά-
δας ἐπιτηρῶν ὁ Πομπήϊος, ἐν αἷς παντὸς ἔργου διὰ τὴν
θρησκείαν χεῖρας ἀπίσχουσιν Ἰουδαῖοι, τὸ χῶμα ὕψου, τῆς
κατὰ χεῖρα συμβολῆς εἴργων τοὺς στρατιώτας. Ὑπὲρ μό- 8
νου γὰρ τοῦ σώματος ἀμύνονται τοῖς σαββάτοις. Ἤδη δ'
ἀναπεπληρωμένης τῆς φάραγγος, πύργους ὑψηλοὺς ἐπιστή-
σας τῷ χώματι, καὶ προσαγαγὼν τὰς ἐκ Τύρου κομισθείσας
μηχανὰς, ἐπειρᾶτο τοῦ τείχους. Ἀνέστελλον δὲ οἱ πετρο- 9
βόλοι τοὺς καθύπερθε κωλύοντας. Ἀντεῖχον δ' ἐπὶ πλεῖστον
οἱ κατὰ τοῦτο τὸ μέρος πύργοι, μεγέθει τε καὶ κάλλει δια-
φέροντες.

4. Ἔνθα δὴ, τῶν Ῥωμαίων πολλὰ κακοπαθούντων, ὁ 10
Πομπήϊος τά τε ἄλλα τῆς καρτερίας τοὺς Ἰουδαίους ἀπε-
θαύμασε, καὶ μάλιστα τοῦ μηδὲν παραλῦσαι τῆς θρησκείας
ἐν μέσοις τοῖς βέλεσιν ἀνειλουμένους. Ὥσπερ γὰρ εἰρήνης 11
βαθείας κατεχούσης τὴν πόλιν, αἵ τε θυσίαι καθ' ἡμέραν, καὶ
οἱ ἐναγισμοὶ, καὶ πᾶσα θεραπεία κατὰ τὸ ἀκριβὲς ἐπετελεῖτο
τῷ θεῷ. Καὶ οὐδὲ κατ' αὐτὴν τὴν ἅλωσιν περὶ τῷ βωμῷ 12
φονευόμενοι τῶν καθ' ἡμέραν νομίμων εἰς τὴν θρησκείαν ἀπέ-
στησαν. Τρίτῳ γὰρ μηνὶ τῆς πολιορκίας μόλις ἕνα τῶν
πύργων καταρρίψαντες εἰσέπιπτον εἰς τὸ ἱερόν. Ὁ δὲ 13
πρῶτος ὑπερβῆναι τολμήσας τὸ τεῖχος Σύλλα παῖς ἦν Φαῦ-

6 τάφρον ἐπλήρου καὶ L.P. τάφρον ἔχωνε καὶ M. συμφερούσης L.P. διὰ βάθους P.E. et T. sed in hoc ex correct. βάθος. 7 κἂν ἀτελέστατος P. ἀποτηρῶν in textu, sed in marg. ἐπιτ. ἢ ὑποτ. T. ἐπιτηρῶν Πομπήϊος M. ἔργου χεῖρας omissis quæ interjacent L. εἶργον P. εἴργων T. 8 ἀμύνονται καὶ τοῖς M.N.E.T. τοῖς σάββασιν E. et T. in marg. 9 αἱ πετροβολοι L.P.T. αἵ τε πετροβόλοι N. ἐπὶ πλεῖον P. 10 πολλὰ τῶν Ῥωμαίων transpos. L.N.P.T. ἀπεθαύμαζε L.P. τοῖς βέλεσιν ex his verbis denuo incipit vetus scriptura L. ἀνειλημμένους P. 11 ἐξετελεῖτο L.N.P.E.T. τῷ θεῷ· οὐδὲ P. 12 καθ' ἡμέραν, τῶν νομίμων E. μόγις ἕνα L.N.T. καταρίψαντες L.P. 13 τὸ τεῖχος τολμήσας transpos. M.

στος Κορνήλιος, καὶ μετ' αὐτὸν ἑκατοντάρχαι δύο, Φούριος
14 καὶ Φάβιος. Εἴπετο δὲ ἑκάστῳ τὸ ἴδιον στῖφος, καὶ περι-
σχόντες πανταχῇ τοὺς Ἰουδαίους ἔκτεινον, οὓς μὲν τῷ ναῷ
προσφεύγοντας, οὓς δὲ ἀμυνομένους πρὸς ὀλίγον.
15 5. Ἔνθα πολλοὶ τῶν ἱερέων ξιφήρεις τοὺς πολεμίους ἐπι-
όντας βλέποντες, ἀθορύβως ἐπὶ τῆς θρησκείας ἔμειναν. Σπέν-
δοντες δὲ καὶ θυμιῶντες ἀπεσφάττοντο, καὶ τῆς πρὸς τὸ
16 θεῖον θεραπείας ἐν δευτέρῳ τὴν σωτηρίαν τιθέμενοι. Πλεῖ-
στοι δὲ ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀνῃροῦντο, καὶ
κατὰ τῶν κρημνῶν ἐρρίπτουν ἑαυτοὺς ἄπειροι. Καὶ τὰ περὶ
τὸ τεῖχος δ' ἔνιοι, μανιῶντες ἐν ταῖς ἀμηχανίαις, ὑπέπρησαν
17 καὶ συγκαταφλέγονται. Ἰουδαίων μὲν οὖν ἀνῃρέθησαν μύ-
ριοι καὶ δισχίλιοι· Ῥωμαίων δὲ ὀλίγοι μὲν πάνυ νεκροί,
τραυματίαι δ' ἐγένοντο πλείους.
18 6. Οὐδὲν δὲ οὕτως ἐν ταῖς τότε συμφοραῖς καθήψατο τοῦ
ἔθνους, ὡς τὸ τέως ἀόρατον ἅγιον ἐκκαλυφθὲν ὑπὸ τῶν ἀλ-
λοφύλων. Παρελθὼν γοῦν σὺν τοῖς περὶ αὐτὸν ὁ Πομπήϊος
εἰς τὸν ναὸν, ἔνθα μόνῳ θεμιτὸν ἦν παριέναι τῷ ἀρχιερεῖ, τὰ
ἔνδον ἐθεάσατο, λυχνίαν τε καὶ λύχνους, καὶ τράπεζαν, καὶ
σπονδεῖα, καὶ θυμιατήρια, ὁλόχρυσα πάντα, πλῆθός τε ἀρω-
μάτων σεσωρευμένων, καὶ τῶν ἱερῶν χρημάτων εἰς τάλαντα
19 δισχίλια. Οὔτε δὲ τούτων, οὔτ' ἄλλου τινὸς τῶν ἱερῶν κει-
μηλίων ἥψατο· ἀλλὰ καὶ μετὰ μίαν τῆς ἁλώσεως ἡμέραν,
καθᾶραί τε τὸ ἱερὸν τοῖς νεωκόροις ἐκέλευσε, καὶ τὰς ἐξ
ἔθους ἐπιτελεῖν θυσίας· αὐτὸς δὲ ἀποδείξας τὸν Ὑρκανὸν
ἀρχιερέα, τά τε ἄλλα προθυμότατον ἑαυτὸν ἐν τῇ πολιορκίᾳ

δύο, Φρούριος N.P.T. 14 πανταχοῦ L.N.P.T. πανταχοῦ τὸ ἱερὸν, ἔκτεινον P. 15 ἀπεσφάττοντο καὶ θυμιῶντες transp. L.N.P.T. 16 ὁμοφύλων στασιαστῶν M. ἔρριπτον L.N.P.T. μηνιῶντες T. συγκατεφλέγοντο P. et T, sed in hoc ex correct. 18 οὕτως ἐστὶν ὁ τότε τῶν συμφορῶν καθήψατο L.N. ὡς τὸ ἀόρατον L.N. et T. sed in hujus marg. adscriptum τέως. παρελθὼν οὖν T. περὶ ἑαυτὸν M. ἔνθα μόνον P. ἔνδον ἐθεᾶτο L.N.T. σπονδία L. θυριατήριον N. θυμιατήριον T. καὶ ἱερῶν L.N.T. 19 καθᾶραι τὸ ἱερὸν L.N.P.T. νεωκόροις προσέταξε, καὶ P. αὖθις δὲ ἀποδ. M.E. αὐτὸς ἀποδ. P. προθυμότατα P. αὐτὸν ἐν τῇ L.N.T.

παρασχόντα, καὶ διότι τὸ κατὰ τὴν χώραν πλῆθος ἀπέστησεν Ἀριστοβούλου συμπολεμεῖν ὡρμημένον, ἐκ τούτου, ὅπερ 20
ἦν προσῆκον ἀγαθῷ στρατηγῷ, τὸν λαὸν εὐνοίᾳ πλέον ἢ
δέει προσηγάγετο. Ἐν δὲ τοῖς αἰχμαλώτοις ἐλήφθη καὶ ὁ
Ἀριστοβούλου πενθερὸς, ὁ δ' αὐτὸς ἦν καὶ θεῖος αὐτῷ. Καὶ 21
τοὺς μὲν αἰτιωτάτους τοῦ πολέμου πελέκει κολάζει. Φαῦ-
στον δὲ καὶ τοὺς μετ' αὐτοῦ γενναίως ἀγωνισαμένους λαμ-
προῖς ἀριστείοις δωρησάμενος, τῇ τε χώρᾳ καὶ τοῖς Ἱεροσο-
λύμοις ἐπιτάττει φόρον.

7. Ἀφελόμενος δὲ τοῦ ἔθνους καὶ τὰς ἐν Κοίλῃ Συρίᾳ 22
πόλεις, ὅσας εἶλον, ὑπέταξε τῷ κατ' ἐκεῖνο καιροῦ Ῥωμαίων
στρατηγῷ κατατεταγμένῳ, καὶ τοῖς ἰδίοις ὅροις περιέκλεισεν.
Ἀνακτίζει δὲ καὶ Γάδαρα, ὑπὸ Ἰουδαίων κατεστραμμένην,
Γαδαρίτῃ τινὶ τῶν ἰδίων ἀπελευθέρων Δημητρίῳ χαριζόμενος.
Ἠλευθέρωσε δ' ἀπ' αὐτῶν καὶ τὰς ἐν τῇ μεσογείῳ πόλεις, 23
ὅσας μὴ φθάσαντες κατέσκαψαν, Ἵππον, Σκυθόπολίν τε καὶ
Πέλλαν, καὶ Σαμάρειαν, καὶ Μάρισσαν, πρὸς αἷς Ἄζωτον,
καὶ Ἰάμνειαν, καὶ Ἀρέθουσαν, ὁμοίως δὲ καὶ τὰς παραλίους,
Γάζαν, Ἰόππην, Δῶρα, καὶ τὴν πάλαι μὲν Στράτωνος πύρ-
γον καλουμένην, ὕστερον δὲ μετακτισθεῖσαν ὑφ' Ἡρώδου
βασιλέως λαμπροτάτοις κατασκευάσμασι, καὶ μετονομασθεῖ-
σαν Καισάρειαν. Ἃς πάσας τοῖς γνησίοις ἀποδοὺς πολί- 24
ταις, κατέταξεν εἰς τὴν Συριακὴν ἐπαρχίαν. Παραδοὺς δὲ
ταύτην τε καὶ τὴν Ἰουδαίαν καὶ τὰ μέχρις Αἰγύπτου καὶ
Εὐφράτου Σκαύρῳ διέπειν, καὶ δύο τῶν ταγμάτων, αὐτὸς

κατὰ τῆς χώρας L.N.T. ἀπέστησαν M.N. et T. prima manu. Ἀριστοβούλῳ P. et T. ex correct. Ἀριστ. συμπονεῖν M. 20 ὁ δ' αὐτὸς καὶ E. τοὺς αἰτιω. μὲν P. πέλεκι N. πέλυκι δικάζει in textu, sed in marg. πελέκει κολάζει T. 21 τοὺς μετ' αὐτὸν M. ἐπιτάσσει L.N. P.T. 22 Συρίας P. ὅσας εἶλεν P.E. κατεκείνω Ῥωμαίων L.P. κατ' ἐκείνο Ῥω. ex rasura N. κατεκεῖνο ex ras. et καιροῦ in marg. T. κατατεταγμένῳ, αἳ νῦν εἰσὶ χρηματίζουσαι τῶν κατὰ τὴν κοίλην συρίαν ἑλληνίδων πόλεων, καὶ μόνοις αὐτοὺς τοῖς ἰδίοις M. καὶ μόνοις αὐτοῖς τοῖς ἰδίοις L. N.T. Γάδαραν P.T. 23 μεσογείᾳ L.N.P. Μάρισαν L.N. Ἰαμνιαν M.N.T. Σαμάρειαν καὶ Ἰαμνιαν καὶ Μάρισαν, Ἄζωτόν τε καὶ Ἀρέθουσαν P. Ἰόππην Δωρὰν P.T. μετακτισθεῖσάν τε ὑφ' P. 24 ταύτην καὶ Ἰουδαίαν P.

διὰ Κιλικίας εἰς Ῥώμην ἠπείγετο, τὸν Ἀριστόβουλον ἄγων μετὰ τῆς γενεᾶς αἰχμάλωτον. Δύο δὲ ἦσαν αὐτῷ θυγατέρες, καὶ δύο υἱεῖς, ὧν ὁ ἕτερος μὲν Ἀλέξανδρος ἐκ τῆς ὁδοῦ διαδιδράσκει, σὺν δὲ ταῖς ἀδελφαῖς ὁ νεώτερος Ἀντίγονος εἰς Ῥώμην ἐκομίζετο.

CAP. VIII.

1 1. Καὶ ἐν τούτῳ Σκαῦρος, εἰς τὴν Ἀραβίαν ἐμβαλὼν, τῆς μὲν Πέτρας εἴργετο ταῖς δυσχωρίαις. Ἐπόρθει δὲ καὶ τὰ 2 περὶ Πέλλαν, καὶ ἐν τούτῳ κακοπαθῶν· ἐλίμωττε γὰρ ἡ στρατιὰ, καὶ πρὸς τοῦτο Ὑρκανὸς ἐπεβοήθει δι' Ἀντιπάτρου τὰ ἐπιτήδεια πέμπων, ὃν καὶ καθίησι Σκαῦρος ὄντα συνήθη πρὸς Ἀρέταν, ὅπως ἐπὶ χρήμασι διαλύσαιτο τὸν πόλε- 3 μον. Πείθεται δὲ ὁ Ἄραψ τριακόσια δοῦναι τάλαντα, καὶ ἐπὶ τούτοις Σκαῦρος ἐξῆγε τῆς Ἀραβίας τὴν δύναμιν. Antt. 14. 5. 1.

4 2. Ὁ δὲ ἀποδρὰς τῶν Ἀριστοβούλου παίδων Πομπήϊον Ἀλέξανδρος, χρόνῳ συναγαγὼν χεῖρα συχνὴν, βαρὺς ἦν Ὑρ- 5 κανῷ, καὶ τὴν Ἰουδαίαν κατέτρεχεν. Ἐδόκει δ' ἂν ταχέως καταλῦσαι αὐτὸν, ὅς γε ἤδη καὶ τὸ καταρριφθὲν ὑπὸ Πομπηΐου τεῖχος ἐν Ἱεροσολύμοις ἀνακτίζειν ἐθάρρει προσελθὼν, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρῳ διάδοχος, τά τε ἄλλα γενναῖον ἀπέδειξεν ἑαυτὸν ἐν πολλοῖς, καὶ ἐπ' Ἀλέξαν- 6 δρον ὥρμησεν. Ὁ δὲ δείσας πρὸς τὴν ἔφοδον δύναμίν τε πλείω συνέλεγεν, ὡς γενέσθαι μυρίους μὲν ὁπλίτας, χιλίους δὲ καὶ πεντακοσίους ἱππεῖς, καὶ τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἀλεξάνδρειόν τε καὶ Ὑρκάνειον, καὶ Μαχαιροῦντα πρὸς τοῖς Ἀραβίοις ὄρεσι.

7 3. Γαβίνιος δὲ μετὰ μέρους τῆς στρατιᾶς Μάρκον Ἀντώνιον προπέμψας, αὐτὸς εἵπετο τὴν ὅλην ἔχων δύναμιν. Οἱ

1 ταῖς δυσχερείαις N. et T. sed in hujus marg. δυσχωρίαις. ἐπόρθει δὲ τὰ P.E. ἐπόρθει δὲ τὰ πέριξ πολλὰ, κἀν P. τούτῳ δὲ κακοπαθῶν L.M. 2 ὃν καὶ καθίστησι, sed in marg. καθίησι T. εἵπως—διαλύσει T. διαλύσῃ τὸν L.N. 3 Ἀραβίας δύναμιν. M.E. 5 ἐδόκει τε ἂν P. καταλῦσαι ταχέως L.N.T. καταρριφὲν M. καταριφθὲν P. Γαβίνιος L. Σκαύρου M. 6 δύναμιν πλείω L.N.T. Ἀλεξάνδριον L. Ὑρκάνιον L.E.

δὲ περὶ Ἀντίπατρον ἐπίλεκτοι, καὶ τὸ ἄλλο τάγμα τῶν Ἰουδαίων, ὧν Μάλιχος ἦρχε καὶ Πειθόλαος, συμμίξαντες τοῖς περὶ Μάρκον Ἀντώνιον ἡγεμόσιν, ὑπήντων Ἀλεξάνδρῳ. Καὶ 8 μετ' οὐ πολὺ παρῆν ἅμα τῇ φάλαγγι Γαβίνιος. Ἐνουμένην δὲ τὴν τῶν πολεμίων δύναμιν οὐχ ὑπομείνας Ἀλέξανδρος ἀνεχώρει, καὶ πλησίον ἤδη Ἱεροσολύμων γενόμενος ἀναγκάζεται συμβαλεῖν· καὶ κατὰ τὴν μάχην ἑξακισχιλίους ἀποβαλών, ὧν τρισχίλιοι μὲν ἔπεσον, τρισχίλιοι δὲ ἐζωγρήθησαν, φεύγει σὺν τοῖς καταλειφθεῖσιν εἰς Ἀλεξάνδρειον.

4. Γαβίνιος δὲ πρὸς τὸ Ἀλεξάνδρειον ἐλθών, ἐπειδὴ πολ- 9 λοὺς εὗρεν ἐστρατοπεδευμένους, ἐπειρᾶτο συγγνώμης ὑποσχέσει περὶ τῶν ἡμαρτημένων πρὸ μάχης αὐτοὺς προσαγαγέσθαι. Μηδὲν δὲ μέτριον φρονούντων ἀποκτείνας πολλοὺς, 10 τοὺς λοιποὺς κατέκλεισεν εἰς τὸ ἔρυμα. Κατὰ ταύτην ἀριστεύει τὴν μάχην ὁ ἡγεμὼν Μάρκος Ἀντώνιος, πανταχοῦ μὲν γενναῖος ἀεὶ φανεὶς, οὐδαμοῦ δὲ οὕτως. Γαβίνιος δὲ, τοὺς 11 ἐξαιρήσονταs τὸ φρούριον καταλιπὼν, αὐτὸς ἀπῄει, τὰς μὲν ἀπορθήτους πόλεις καθιστάμενος, τὰς δὲ κατεστραμμένας ἀνακτίζων. Συνεπολίσθησαν γοῦν, τούτου κελεύσαντος, Σκυ- 12 θόπολίς τε καὶ Σαμάρεια, καὶ Ἀνθηδὼν, καὶ Ἀπολλωνία, καὶ Ἰάμνεια, καὶ Ῥαφεία, καὶ Μάρισσα, καὶ Ἀδώρεος, καὶ Γάμαλα, καὶ Ἄζωτος, ἄλλαι τε πολλαὶ, τῶν οἰκητόρων ἀσμένως ἐφ' ἑκάστην συνθεόντων.

5. Μετὰ δὲ τὴν τούτων ἐπιμέλειαν ἐπανελθὼν πρὸς τὸ 13 Ἀλεξάνδρειον, ἐπέρρωσε τὴν πολιορκίαν, ὥστε Ἀλέξανδρος, ἀπογνοὺς περὶ τῶν ὅλων, ἐπικηρυκεύεται πρὸς αὐτὸν, συγγνωσθῆναί τε τῶν ἡμαρτημένων δεόμενος, καὶ τὰ συμμένοντα

8 εἰς Ἀλεξάνδρειον desunt L.N. 9 Ἀλεξάνδριον L.N. 10 Καὶ κατὰ ταύτην P. γενναῖος φανεὶς E. γενναῖος φανεὶς ἀεὶ L. 11 αὐτὸς ἐπῄει L.N. ἀπῄει sic T. τὰς δὲ καθισταμένας T. 12 συνεπολίσθη γοῦν L.N.T. Σκυθόπολις καὶ T. Ἰάμνια M.P.T. Ῥαφία P.E. καὶ Μάρισα καὶ Δωρεὸς L.T. Μάρισσά τε καὶ Δωρεὸς M. Μαρισά τε καὶ Ἀδώρεως P. καὶ ἄλλαι πολλαὶ P. 13 ἐπανελθὼν εἰς τὸ M. Ἀλεξάνδριον L. atque ita semper. καὶ τὰ συλληφθέντα φρούρια P. συμμένοντα παραδιδοὺς φρούρια L.N.T.

14 φρούρια παραδιδοὺς Ὑρκάνειον καὶ Μαχαιροῦντα· αὖθις δὲ καὶ τὸ Ἀλεξάνδρειον ἐνεχείρισεν. Ἅπαντα γοῦν Γαβίνιος, ἐναγούσης τῆς Ἀλεξάνδρου μητρὸς, κατέσκαψεν, ὡς μὴ πάλιν ὁρμητήριον γένοιτο δευτέρου πολέμου· παρῆν δὲ μειλισσομένη τὸν Γαβίνιον κατὰ δέος τῶν ἐπὶ τῆς Ῥώμης αἰχμα-
15 λώτων, τοῦ τε ἀνδρὸς καὶ τῶν ἄλλων τέκνων. Μετὰ δὲ ταῦτα εἰς Ἱεροσόλυμα Γαβίνιος Ὑρκανὸν καταγαγὼν, καὶ τὴν τοῦ ἱεροῦ παραδοὺς κηδεμονίαν αὐτῷ, καθίστησι τὴν ἄλ-
16 λην πολιτείαν ἐπὶ προστασίᾳ τῶν ἀρίστων. Διεῖλε δὲ πᾶν τὸ ἔθνος εἰς πέντε συνόδους, τὸ μὲν Ἱεροσολύμοις προστάξας, τὸ δὲ Γαδάροις, οἱ δ' ἵνα συντελῶσιν εἰς Ἀμαθοῦντα, τὸ δὲ τέταρτον εἰς Ἱεριχοῦντα κεκλήρωτο, καὶ τῷ πέμπτῳ
17 Σέπφωρις ἀπεδείχθη πόλις τῆς Γαλιλαίας. Ἀσμένως δὲ τῆς ἐξ ἑνὸς ἐπικρατείας ἐλευθερωθέντες, τὸ λοιπὸν ἀριστοκρατίᾳ διῳκοῦντο.

18 6. Μετ' οὐ πολύ γε μὴν αὐτοῖς ἀρχὴ γίνεται θορύβων Ἀριστόβουλος ἀποδρὰς ἐκ Ῥώμης, ὃς αὖθις πολλοὺς Ἰουδαίων ἐπισυνίστη, τοὺς μὲν ἐπιθυμοῦντας μεταβολῆς, τοὺς δ' ἀγαπῶντας αὐτὸν πάλαι. Καὶ τὸ μὲν πρῶτον καταλαβό-
19 μενος τὸ Ἀλεξάνδρειον, ἀνατειχίζειν ἐπειρᾶτο. Ὡς δὲ Γαβίνιος ὑπὸ Σισέννᾳ καὶ Ἀντωνίῳ καὶ Σερουϊλίῳ στρατιὰν
20 ἔπεμψεν ἐπ' αὐτὸν, γνοὺς ἀνεχώρει ἐπὶ Μαχαιροῦντος. Καὶ τὸν μὲν ἄχρηστον ὄχλον ἀπεφορτίσατο, μόνους δ' ἐπήγετο τοὺς ὡπλισμένους, ὄντας εἰς ὀκτακισχιλίους, ἐν οἷς καὶ Πειθόλαος ἦν ὁ ἐξ Ἱεροσολύμων ὑποστράτηγος αὐτομολήσας μετὰ χιλίων. Ῥωμαῖοι δ' ἐπηκολούθουν, καὶ γενομένης συμβολῆς, μέχρι πολλοῦ μὲν οἱ περὶ τὸν Ἀριστόβουλον διεκαρ-

Ὑρκανίαν L.M.N.T. Ὑρκάνιον E. 14 ἐνεχείρησεν L.N. ἅ πάντα Γαβίνιος M.P.E. μητρὸς κατέστρεψεν, ὡς P. γένοιντο L.M.N.T. ἐπὶ Ῥώμης L.N.T. 15 αὐτῷ καθίστατο P. 16 Γαδώροις N. et T. prima manu. τέταρτον Ἱεριχοῦντα N.T. Σέμφωρις M. 17 ἀριστοκρατείᾳ M.P.E. 18 ἐπισυνίστησι L. ἐπισυνίστει N. 19 Σεσέννᾳ L.M.N. [et T. in textu, sed in marg. σισέννα.] Σισιννᾶ P. Ἀντωνίῳ καὶ Σερουανῷ P. ἐπ' αὐτὸν ἔπεμψε L.N.T. ἀνεχώρει γνοὺς T. Μαχαιροῦντα. M. 20 μόνους δὲ ἐπείγετο L.

τέρουν γενναίως ἀγωνιζόμενοι. Τέλος δὲ βιασθέντες ὑπὸ 21
τῶν Ῥωμαίων, πίπτουσι μὲν πεντακισχίλιοι, περὶ δὲ δισχι-
λίους ἀνέφυγον εἴς τινα λόφον, οἱ δὲ λοιποὶ χίλιοι σὺν Ἀρι-
στοβούλῳ, διακόψαντες τὴν φάλαγγα τῶν Ῥωμαίων, εἰς
Μαχαιροῦντα συνελαύνονται. Ἔνθα δὴ τὴν πρώτην ἐσπέ- 22
ραν ὁ βασιλεὺς τοῖς ἐρειπίοις ἐναυλισάμενος, ἐν ἐλπίσι μὲν ἦν
ἄλλην συναθροίσειν δύναμιν, ἀνοχὴν τοῦ πολέμου διδόντος,
καὶ τὸ φρούριον κακῶς ὠχύρου. Προσπεσόντων δὲ Ῥω- 23
μαίων, ἐπὶ δύο ἡμέρας ἀντισχὼν ὑπὲρ δύναμιν, ἁλίσκεται, καὶ
μετ' Ἀντιγόνου τοῦ παιδὸς, ὃς ἀπὸ Ῥώμης αὐτῷ συναπέδρα,
δεσμώτης ἐπὶ Γαβίνιον ἀνήχθη, καὶ ἀπὸ Γαβινίου πάλιν εἰς
Ῥώμην. Τοῦτον μὲν οὖν ἡ σύγκλητος εἶρξε, τὰ τέκνα δὲ 24
αὐτοῦ διῆγεν εἰς Ἰουδαίαν, Γαβινίου δι' ἐπιστολῶν δηλώσαν-
τος, τῇ Ἀριστοβούλου γυναικὶ τοῦτο ἀντὶ τῆς παραδόσεως
τῶν ἐρυμάτων ὡμολογηκέναι.

7. Γαβινίῳ δ' ἐπὶ Πάρθους ὡρμημένῳ στρατεύειν γίνεται 25
Πτολεμαῖος ἐμπόδιον, ὃν ὑποστρέψας ἀπ' Εὐφράτου κατ-
ῆγεν εἰς Αἴγυπτον, ἐπιτηδείοις εἰς ἅπαντα χρώμενος κατὰ
τὴν στρατιὰν Ὑρκανῷ καὶ Ἀντιπάτρῳ. Καὶ γὰρ χρήματα,
καὶ ὅπλα, καὶ σῖτον, καὶ ἐπικούρους ὁ Ἀντίπατρος προσῆγε·
καὶ τοὺς ταύτῃ Ἰουδαίους, φρουροῦντας τὰς κατὰ τὸ Πηλού- 26
σιον ἐμβολὰς, παρεῖναι Γαβίνιον ἔπεισε. Τῆς δ' ἄλλης
Συρίας πρὸς τὸν Γαβινίου χωρισμὸν κινηθείσης, καὶ Ἰου-
δαίους πάλιν ἀπέστησεν Ἀλέξανδρος ὁ Ἀριστοβούλου. Με- 27
γίστην δὲ συγκροτήσας δύναμιν, ὥρμητο πάντας τοὺς κατὰ
τὴν χώραν Ῥωμαίους ἀνελεῖν. Πρὸς ὃ Γαβίνιος δείσας, ἤδη
δὲ παρὴν ἀπ' Αἰγύπτου τοῖς τῇδε θορύβοις ἠπειγμένος, ἐπί
τινας μὲν τῶν ἀφεστώτων Ἀντίπατρον προπέμψας μετέ-

21 πίπτουσι πεντ. L.N.T. 22 Ἔνθα δὲ τὴν E. ἔνθα τὴν L.N.T. ἐριπίοις L. ἄλλην ἀθροίσειν L.N.T. καὶ φρούριον L.N. 23 ἁλίσκεται, μετ' Ἀντιγόνου P. 24 εἶρξε· τέκνα N. 25 ὃς ὑποστρέψας L. M.N.T. ἐπικούρους Ἀντίπ. P. 26 τοὺς ταύτης P. ἐμβολὰς παρεᾶσαι Γαβ. L.M.N.E.T. 27 μεγίστην οὖν συγκ. E. πρὸς ὃν P. ἐπί τινάς τε τῶν L.N. παρέπεισε, sed in marg. μετέπεισε T.

28 πεισε. Συνέμενον δὲ Ἀλεξάνδρῳ τρεῖς μυριάδες, καὶ ἐκεῖνος ὥρμητο πολεμεῖν. Οὕτως ἔξεισι πρὸς μάχην. Ὑπήντων δὲ οἱ Ἰουδαῖοι· καὶ συμβαλόντων περὶ τὸ Ἰταβύριον ὄρος, μύριοι
29 μὲν ἀναιροῦνται, τὸ δὲ λοιπὸν πλῆθος ἐσκεδάσθη φυγῇ. Καὶ Γαβίνιος ἐλθὼν εἰς Ἱεροσόλυμα, πρὸς τὸ Ἀντιπάτρου βούλημα κατεστήσατο τὴν πολιτείαν. Ἔνθεν ὁρμήσας, Ναβαταίων τε μάχῃ κρατεῖ, καὶ Μιθραδάτην καὶ Ὀρσάνην φυγόντας ἐκ Πάρθων κρύφα μὲν ἀπέπεμψε, παρὰ δὲ τοῖς στρατιώταις ἔλεγεν ἀποδράναι.

30 8. Καὶ ἐν τούτῳ Κρᾶσσος αὐτῷ διάδοχος ἐλθὼν παραλαμβάνει Συρίαν. Οὗτος εἰς τὴν ἐπὶ Πάρθους στρατείαν, τόν τε ἄλλον τοῦ ἐν Ἱεροσολύμοις ναοῦ χρυσὸν πάντα περιεῖλε, καὶ τὰ δισχίλια τάλαντα ἦρεν, ὧν ἀπέσχετο Πομπήϊος.
31 Διαβὰς δὲ τὸν Εὐφράτην αὐτός τε ἀπώλετο, καὶ ὁ στρατὸς αὐτοῦ. Περὶ ὧν οὐ νῦν καιρὸς λέγειν.

9. Πάρθους δὲ, μετὰ τὸν Κράσσον ἐπιδιαβαίνειν εἰς Συρίαν ὡρμημένους, ἀνέκοπτε Κάσσιος εἰς τὴν ἐπαρχίαν διαφυ-
32 γών. Περιποιησάμενος δὲ αὐτὴν ἐπὶ Ἰουδαίαν ἠπείγετο, καὶ Ταριχαίας μὲν ἑλὼν εἰς τρισμυρίους Ἰουδαίων ἀνδραποδίζεται. Κτείνει δὲ καὶ Πειθόλαον, τοὺς Ἀριστοβούλου στασιαστὰς ἐπισυνιστάντα. Τοῦ φόνου δὲ ἦν σύμβουλος Ἀντί-
33 πατρος. Τούτῳ γήμαντι γυναῖκα τῶν ἐπισήμων ἐξ Ἀραβίας, Κύπρον τὸ ὄνομα, τέσσαρες μὲν υἱεῖς γίνονται, Φασάηλος, καὶ ὁ βασιλεὺς αὖθις Ἡρώδης, πρὸς οἷς Ἰώσηπος καὶ
34 Φερώρας, καὶ Σαλώμη θυγάτηρ. Ἐξοικειούμενος δὲ τοὺς πανταχοῦ δυνατοὺς φιλίαις τε καὶ ξενίαις, μάλιστα προσηγάγετο τὸν Ἀράβων βασιλέα διὰ τὴν ἐπιγαμίαν. Καὶ ἐπειδὴ τὸν πρὸς Ἀριστόβουλον ἀνείλετο πόλεμον, ἐκείνῳ

28 κἀκεινοὺς ὥρμητο P. οἱ Ἰουδαίων L.N. 29 Μιθριδάτην L.M.N. P.T. μὲν ἔπεμψε L.N.T. 30 διάδοχος ἐλθὼν in his verbis incipit recens scriptura L. Πάρθους στρατιὰν L.N.E.T. 31 περὶ οὗ νῦν L. ὧν νῦν οὐ T. Κάσιος L. 32 ἐπὶ Ἰουδαίας L.N.T. εἰς τρεῖς μυριάδας L.P. κτείνει δὴ καὶ P.E. καὶ Πεισίλαον N.T. ἐπιστομίσαντα in textu, sed in marg. ἐπισυνίστασθαι T. ἦν σύμμαχος Ἀντίπ. L. 33 Κύπριν L.M.N.P.T. τέσσαρες μὲν υἱοὶ L. Φερώρας, Σαλώμη δὲ N. E.T. 34 ἐξοικειώμενος P. διὰ τὴν ἐπιγαμβρίαν P. Ἀ. εἵλατο πόλεμον N.

παρακαταθήκην ἔπεμψε τὰ τέκνα. Κάσσιος δὲ κατὰ συνθή- 35
κας ἡσυχάζειν Ἀλέξανδρον ἀναγκάσας, ἐπὶ τὸν Εὐφράτην
ὑπέστρεψε, Πάρθους διαβαίνειν ἀνείρξων. Περὶ ὧν ἐν ἑτέ-
ροις ἐροῦμεν.

CAP. IX.

Antt. 14. 7. 4.

1. Καῖσαρ δὲ, Πομπηΐου, καὶ τῆς συγκλήτου φυγόντων 1
ὑπὲρ τὸν Ἰόνιον, Ῥώμης καὶ τῶν ὅλων κρατήσας, ἀνίησι
μὲν τῶν δεσμῶν τὸν Ἀριστόβουλον· παραδοὺς δὲ αὐτῷ δύο
τάγματα, κατὰ τάχος ἔπεμψεν εἰς Συρίαν, ταύτην τε ῥᾳδίως
ἐλπίσας, καὶ τὰ περὶ τὴν Ἰουδαίαν δι' αὐτοῦ προσάξεσθαι.
Φθάνει δὲ ὁ φθόνος καὶ τὴν Ἀριστοβούλου προθυμίαν καὶ 2
τὰς Καίσαρος ἐλπίδας. Φαρμάκῳ γοῦν ἀναιρεθεὶς ὑπὸ τῶν
τὰ Πομπηΐου φρονούντων, μέχρι πολλοῦ μὲν οὐδὲ ταφῆς ἐν
τῇ πατρῴᾳ χώρᾳ μετεῖχεν· ἔκειτο δ' ἐν μέλιτι συντηρού- 3
μενος ὁ νεκρὸς αὐτοῦ, ἕως ὑπ' Ἀντωνίου Ἰουδαίοις ἐπέμφθη,
τοῖς βασιλικοῖς μνημείοις ἐνταφησόμενος.

2. Ἀναιρεῖται δὲ καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος πελέκει 4
ὑπὸ Σκιπίωνος ἐν Ἀντιοχείᾳ, Πομπηΐου τοῦτ' ἐπιστείλαν-
τος, καὶ γενομένης κατηγορίας πρὸ τοῦ βήματος ὧν Ῥω-
μαίους ἔβλαψε. Τοὺς δ' ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ
Μενναίου παραλαβὼν, ὃς ἐκράτει τῆς ὑπὸ τῷ Λιβάνῳ Χαλ-
κίδος, Φιλιππίωνα τὸν υἱὸν ἐπ' αὐτοὺς εἰς Ἀσκάλωνα πέμπει.
Καὶ ἐκεῖνος ἀποσπάσας τῆς Ἀριστοβούλου γυναικὸς Ἀν- 5
τίγονον, καὶ τὰς ἀδελφὰς αὐτοῦ πρὸς τὸν πατέρα ἀνήγαγεν.
Ἄλοὺς δ' ἔρωτι γαμεῖ τὴν νεωτέραν, καὶ μετὰ ταῦτα ὑπὸ 6
τοῦ πατρὸς δι' αὐτὴν κτείνεται· γαμεῖ γὰρ Πτολεμαῖος τὴν

35 Κάσιος L. Πάρθους διαβαίνειν εἶρξον manu prima; διαβαίνειν ἀνείρξον manu secunda P. 1 Ῥώμης τε καὶ E. παραδοὺς αὐτῷ P. ταύτην δὲ ῥᾳδίως L. 2 φαρμάκῳ γὰρ ἀναιρ. L. μέχρι μὲν πολλοῦ T. πατρῴᾳ μετεῖχεν E. 3 ἔκειτο δὲ μέλιτι L.P. ἐν μελίτῃ in textu, sed in marg. -τι T. 4 πελύκει ὑπὸ N. πέλυκι T. τοὺς ἀδελφοὺς M. N.T. ὁ Μωναίου T.E. ὁ Μιναίου M. ὑπὸ τῶν Λιβάνων M. Φιλιππίονα P. 5 πατέρα ἀνήγεν M. 6 γαμεῖ τὴν ἑτέραν P. κτείνεται δι' αὐτήν. T. Πτολ. Ἀλεξάνδραν L. Πτολ. τὴν Ἀλεξάνδρου N.

Ἀλεξάνδραν, ἀνελὼν τὸν υἱὸν, καὶ διὰ τὸν γάμον κηδεμονικώτερος αὐτὸς ἦν πρὸς τοὺς αὐτῆς ἀδελφούς.

7 3. Ἀντίπατρος δὲ μετὰ τὴν Πομπηΐου τελευτὴν μεταβὰς ἐθεράπευε Καίσαρα· καὶ ἐπειδή περ Μιθραδάτης ὁ Περγαμηνὸς, μεθ' ἧς ἦγεν ἐπ' Αἴγυπτον δυνάμεως, εἰργόμενος τῶν κατὰ τὸ Πηλούσιον ἐμβολῶν, ἐν Ἀσκάλωνι κατείχετο, τούς τε Ἄραβας ξένος ὢν ἔπεισεν ἐπικουρῆσαι, καὶ αὐτὸς ἦκεν
8 ἄγων Ἰουδαίων εἰς τρισχιλίους ὁπλίτας. Παρώρμησε δὲ καὶ τοὺς ἐν Συρίᾳ δυνατοὺς ἐπὶ τὴν βοήθειαν, τόν τ' ἔποικον τοῦ Λιβάνου Πτολεμαῖον, καὶ Ἰάμβλιχον· δι' οὓς αἱ ταύτῃ πό-
9 λεις ἑτοίμως συνεφήψαντο τοῦ πολέμου. Καὶ θαρρῶν ἤδη Μιθραδάτης τῇ προσγενομένῃ δι' Ἀντίπατρον ἰσχύϊ, πρὸς τὸ Πηλούσιον ἐξελαύνει, κωλυόμενός τε διεξελθεῖν, ἐπολιόρκει
10 τὴν πόλιν. Γίνεται δὲ καὶ ἐν τῇ προσβολῇ διασημότατος Ἀντίπατρος· τὸ γὰρ καθ' ἑαυτὸν μέρος τοῦ τείχους διαρρήξας, πρῶτος εἰσεπήδησεν εἰς τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ.

11 4. Καὶ τὸ Πηλούσιον μὲν ἑάλω· πρόσω δ' αὐτοὺς ἰόντας, εἶργον αὖθις οἱ τὴν Ὀνίου προσαγορευομένην χώραν κατέχοντες Ἰουδαῖοι καὶ Αἰγύπτιοι. Τούτους δὲ Ἀντίπατρος οὐ μόνον μὴ κωλύειν ἔπεισεν, ἀλλὰ καὶ τὰ ἐπιτήδεια τῇ δυνά-
12 μει παρασχεῖν. Ὅθεν οὐδ' οἱ κατὰ Μέμφιν ἔτι εἰς χεῖρας ἦλθον, ἑκούσιοι δὲ προσέθεντο Μιθραδάτῃ. Καὶ ἐκεῖνος ἤδη τὸ Δέλτα περιελθὼν, συνέβαλλε τοῖς λοιποῖς Αἰγυπτίοις εἰς μάχην κατὰ χῶρον, ὃς Ἰουδαίων στρατόπεδον καλεῖται.

ἦν αὐτὸς transp. E. αὐτὸς supra lin. P. ἀδελφοὺς αὐτῆς transp. L. αὐτῆς deest P. 7 τὴν τοῦ Πομπηΐου M. ἐπειδὴ Μιθριδάτης L.N.P.T. Περγαμενὸς P. ἦγεν εἰς Αἰγ. N.T. εἰργόμενος ὑπὸ τῶν M. Ἀσκαλῶνι P. ἄγων Ἰουδαίους εἰς L.N.T. 8 τῶν τε ἐποίκων τοῦ Λιβ. N.E. Ἰάμβλιχον, καὶ Πτολεμαῖον· δι' οὓς N.E.T. αἱ ταύτης πόλεις N.T. συνεφήπτοντο L. 9 Μιθριδάτης L.M.N.P.T. et sic deinceps. προσγινομένῃ L. διελθεῖν L. ἐξελθεῖν N.T. 10 γίνεται καὶ P.E. καθ' αὐτὸν L.P.E. 11 Καὶ Πηλούσιον M.N.E.T. πρόσω δ' αὐτὸν ἰόντα P. τὴν Ὄνιον L.P. κατέχοντες· ἦσαν δὲ Ἰουδαῖοι L.P. Ἰουδαῖοι Αἰγύπτιοι E. τούτους Ἀντίπατρος L.M.P. μὴ μόνον μὴ M. 12 κατὰ τὴν Μέμφιν E. εἰς χεῖρας ἦλθον ἔτι T. Δέλτα περιελὼν συνέλαβε τοῖς L. συμβάλλει τοῖς N.T.

Κινδυνεύοντα δὲ αὐτὸν ἐν τῇ παρατάξει, σὺν ὅλῳ τῷ δεξιῷ 13
κέρατι, ῥύεται περιελθὼν Ἀντίπατρος παρὰ τὸν αἰγιαλὸν
τοῦ ποταμοῦ· τῶν γὰρ καθ' ἑαυτὸν ἐκράτει τὸ λαιὸν ἔχων
κέρας. Ἔπειτα προσπεσὼν τοῖς διώκουσι Μιθραδάτην, 14
ἀπέκτεινέ τε πολλοὺς, καὶ μέχρι τοσούτου τοὺς καταλειπο-
μένους ἐδίωξεν, ὡς καὶ τὸ στρατόπεδον αὐτῶν ἑλεῖν. Ὀγδοή-
κοντα δὲ μόνους τῶν ἰδίων ἀπέβαλε, καὶ Μιθραδάτης ἐν τῇ
τροπῇ περὶ ὀκτακοσίους. Σωθεὶς δὲ αὐτὸς παρ' ἐλπίδα, 15
μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρου
κατορθωμάτων.

5. Ὁ δὲ τότε μὲν τὸν ἄνδρα τοῖς ἐπαίνοις καὶ ταῖς ἐλπί- 16
σιν εἰς τοὺς ὑπὲρ ἑαυτοῦ κινδύνους ἐπέρρωσεν· ἐν οἷς πᾶσι
παραβολώτατος ἀγωνιστὴς γενόμενος, καὶ πολλὰ τρωθεὶς,
ἐφ' ὅλου σχεδὸν τοῦ σώματος εἶχε τὰ σημεῖα τῆς ἀρετῆς.
Αὖθις δὲ καταστησάμενος τὰ κατὰ τὴν Αἴγυπτον, ὡς ἐπανῆ- 17
κεν εἰς Συρίαν, ὀλιτείᾳ τε αὐτὸν τῇ Ῥωμαίων ἐτίμησε καὶ
ἀτελείᾳ, τῆς τε ἄλλης τιμῆς καὶ φιλοφρονήσεως ἕνεκεν
ζηλωτὸν ἐποίησε, καὶ τὴν ἀρχιερωσύνην δὲ δι' αὐτὸν ἐπεκύρω-
σεν Ὑρκανῷ.

CAP. X.

Antt. 14. 8. 4.

1. Κατ' αὐτὸ δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου πρὸς 1
τὸν Καίσαρα παρὼν, γίνεται παραδόξως Ἀντιπάτρῳ μείζο-
νος προκοπῆς αἴτιος. Δέον γοῦν ἀποδύρεσθαι περὶ τοῦ πα-
τρὸς πεφαρμάχθαι δοκοῦντος ἐκ τῶν πρὸς Πομπήϊον διαφο-
ρῶν, καὶ περὶ τοῦ ἀδελφοῦ τὴν Σκιπίωνος ὠμότητα μέμφε-
σθαι, καὶ μηδὲν εἰς τὸν ἔλεον παραμίξαι φθονερὸν πάθος, ὁ 2
δ' ἐπὶ τούτοις Ὑρκανοῦ καὶ Ἀντιπάτρου κατηγόρει παρελ-

13 *συνόλῳ τῷ δεξιῷ* P. *ἔχων τὸ λαιὸν* transp. M. 14 *ἀπέκτεινε πολλοὺς* L.P. *καταλιπομένους* P. *τοσούτου καταλειπόμενος* N.T., sed in hoc ex correct. *τοὺς καταλιπομένους. ἐν τῇ πρώτῃ περὶ* P. 15 *παρ' ἐλπίδας* M. *Καίσαρα τὸν*, sed ex correct. *τῶν* T. 16 *εἰς τοὺς ἑαυτοῦ* L. *παραβολότατος* P. *τρωθεὶς καθ' ὅλου* M.T. 17 *τὰ περὶ τὴν Αἴγυπτον* N.T. *Αἴγυπτον, ἐπανῆκεν* P. *εἰς τὴν Συρίαν* T. *Ῥωμαίων ἐδωρήσατο καὶ* L.P. et T in marg. 1 *Κατὰ ταὐτὸ* E. *Ἀριστοβούλου* ex hoc iterum incipit vetus scriptura L. *Δέον γὰρ* P. *ἀποδύρασθαι* L.N. et T. prima manu. *πρὸς Πομπηΐου* M. *διαφόρων* M.N.

θὼν, ὡς 'παρανομώτατα μὲν αὐτὸν μετὰ τῶν ἀδελφῶν πάσης ἀπελαύνοιεν τῆς πατρίου γῆς, πολλὰ δ' εἰς τὸ ἔθνος αὐτοὶ
3 διὰ κόρον ἐξυβρίζοιεν· καὶ ὅτι τὴν εἰς Αἴγυπτον συμμαχίαν οὐκ ἐπ' εὐνοίᾳ αὐτῷ πέμψειαν, ἀλλὰ κατὰ δέος τῶν πάλαι διαφόρων, καὶ τὴν πρὸς τὸν Πομπήϊον φιλίαν ἀποσκευαζόμενοι.'

4 2. Πρὸς ταῦθ' ὁ 'Αντίπατρος ἀπορρίψας τὴν ἐσθῆτα, τὸ πλῆθος ἐπεδείκνυε τῶν τραυμάτων, καὶ 'περὶ μὲν τῆς εἰς Καίσαρα εὐνοίας οὐκ ἔφη λόγου δεῖν αὐτῷ, κεκραγέναι γὰρ
5 τὸ σῶμα σιωπῶντος· 'Αντιγόνου δὲ θαυμάζειν τὴν τόλμαν, εἰ πολεμίου 'Ρωμαίων υἱὸς ὢν καὶ 'Ρωμαίων δραπέτου, καὶ τὸ νεωτεροποιὸς εἶναι καὶ στασιώδης αὐτὸς πατρῷον ἔχων, παρὰ τῷ 'Ρωμαίων ἡγεμόνι κατηγορεῖν ἐπικεχείρηκεν ἑτέρων, καὶ
6 πειρᾶται τυχεῖν ἀγαθοῦ τινος, δέον ἀγαπᾶν ὅτι ζῇ· καὶ γὰρ νῦν ἐφίεσθαι πραγμάτων οὐ τοσοῦτον δι' ἀπορίαν, ἀλλ' ἵνα Ἰουδαίους διαστασιάσῃ παρελθὼν, καὶ χρήσηται κατὰ τῶν δόντων ταῖς ἀφορμαῖς.'

7 3. Τούτων Καῖσαρ ἀκούσας 'Υρκανὸν μὲν ἀξιώτερον τῆς ἀρχιερωσύνης ἀπεφήνατο, 'Αντιπάτρῳ δὲ δυναστείας αἵρεσιν ἔδωκεν. 'Ο δ' ἐπὶ τῷ τιμήσαντι τὸ μέτρον τῆς τιμῆς θέμενος, πάσης ἐπίτροπος Ἰουδαίας ἀποδείκνυται, καὶ προσεπιτυγχάνει τὰ τείχη τῆς πατρίδος ἀνακτίσαι κατεστραμμένα.
8 Τὰς μὲν δὴ τιμὰς ταύτας Καῖσαρ ἀπέστελλεν ἐν τῷ Καπιτωλίῳ χαραχθῆναι, τῆς τε αὐτοῦ δικαιοσύνης σημεῖον, καὶ τῆς τοῦ ἀνδρὸς ἐσόμενον ἀρετῆς.

9 4. 'Αντίπατρος δὲ, Καίσαρα προπέμψας ἐκ τῆς Συρίας, εἰς Ἰουδαίαν ὑπέστρεψεν. Καὶ πρῶτον μὲν τὸ τεῖχος ἀνε-

2 τῆς πατρώου γῆς L.N. et T. prima manu. 3 καὶ διότι τὴν L.N.T. εὐνοίᾳ αὐτῶν L.N.T. πάλαι διαφορῶν L.P.E.T. ὑποσκευαζόμενοι L.N.T. 4 ἀπορρίψας ἐσθῆτα L. 5 υἱὸς ἦν καὶ L.T. παρὰ τῶν 'Ρωμαίων L. καὶ παρατυχεῖν ἀγαθοῦ L.N. et T. in marg. 6 τοσοῦτον κατὰ ἀπορ. L.N.T. διαστασιάσει L.N. 7 'Υρκανοῦ, sed in marg. 'Υρκανὸν T. τῇ ἀρχιερωσύνῃ prima manu T. 8 Καῖσαρ ἐπέστελλεν L.N.P.T. Καπετωλίῳ L.N.P.E.T. ἐσομένης ἀρετῆς P. ἀρετῆς ἐσόμενον L.N.E.T. 9 Συρίας, ὡς εἰς τὴν Ἰουδαίαν ὑπέσ. πρῶτον L.N. et ex correct. T.

δείματο τῆς πατρίδος ὑπὸ Πομπηΐου κατεστραμμένον, καὶ τοὺς ἀνὰ τὴν χώραν θορύβους ἐπιὼν κατέστελλεν, ἀπειλητὴς ἅμα καὶ σύμβουλος ὢν ἑκάστοις, ὅτι 'τὰ μὲν Ὑρκανοῦ φρο- 10
νοῦντες ἐν ὅλβῳ καὶ καθ' ἡσυχίαν βιώσονται, τῶν τε ἰδίων κτημάτων καὶ κοινῆς εἰρήνης ἀπολαύοντες. Εἰ δὲ πείθοιντο ταῖς ψυχραῖς ἐλπίσι τῶν νεωτερίζειν ἐπὶ κέρδεσιν οἰκείοις ἐθελόντων, αὐτόν τε πειράσουσιν ἀντὶ κηδεμόνος δεσπότην, 11
καὶ Ὑρκανὸν ἀντὶ βασιλέως τύραννον, Ῥωμαίους γε μὴν καὶ Καίσαρα πολεμίους ἀνθ' ἡγεμόνων καὶ φίλων· οὐ γὰρ ἀνέξεσθαι μετακινούμενον ἐκ τῆς ἀρχῆς, ὃν αὐτοὶ κατέστησαν.'
Ἅμα δὲ ταῦτα λέγων δι' ἑαυτοῦ καθίστατο τὴν χώραν, ὁρῶν 12
τὸν Ὑρκανὸν νωθῆ τε καὶ βασιλείας ἀτονώτερον. Φασάηλον 13
μὲν δή, τῶν παίδων τὸν πρεσβύτατον, Ἱεροσολύμων καὶ τῶν πέριξ στρατηγὸν καθίστησι· τὸν δὲ μετ' αὐτὸν Ἡρώδην ἐπὶ τοῖς ἴσοις ἔστειλεν εἰς τὴν Γαλιλαίαν κομιδῇ νέον.

5. Ὁ δὲ, ὢν φύσει δραστήριος, ὕλην εὐθέως εὑρίσκει τῷ 14
φρονήματι. Καταλαβὼν οὖν Ἐζεκίαν τὸν ἀρχιλῃστὴν, τὰ προσεχῆ τῇ Συρίᾳ κατατρέχοντα μετὰ μεγίστου στίφους, αὐτόν τε συλλαβὼν ἀποκτείνει καὶ πολλοὺς τῶν λῃστῶν· ὃ 15
δὴ μάλιστα τοῖς Σύροις κατώρθωκε κεχαρισμένον. Ὑμνεῖτο γοῦν ἀνά τε τὰς κώμας καὶ ἐν ταῖς πόλεσιν Ἡρώδης, ὡς εἰς εἰρήνην αὐτοῖς παρὼν καὶ τὰς κτήσεις ἀνασεσωκώς. Γίνεται 16
δ' ἐκ τούτου καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος, καὶ διοικοῦντι τὴν Συρίαν. Πρὸς 17
δὲ τὸν ἀδελφὸν εὐδοκιμοῦντα καὶ Φασάηλος ἐφιλοτιμεῖτο τὴν ἀγαθὴν ἔριν, τοὺς ἐν τοῖς Ἱεροσολύμοις εὐνουστέρους

10 κτημάτων κοινῆς N. εἰρήνης ἀπολαύσονται E. οἰκείοις θελόντων M. 11 ὡς αὐτόν τε P. 12 λέγων καὶ δι' αὐτοῦ P. νωθῆ τε καὶ L.N. βασιλείας ἀνώτερον sed in marg. ἀτονώτερον L. κατώτερον M.N. sed in hujus marg. eadem manu ἀνώτερον. et T. sed in hujus marg. ἀτονώτερον. 13 μετὰ τὸν Ἡρώδην L. εἰς Γαλιλαίαν M. 14 προσεχῆ τῇ στρατίᾳ N.L. sed in hujus margine τῇ Συρίᾳ. et T. sed in hujus marg. κατατρέχοντα ἐν Συρίᾳ. αὐτὸν συλλαβὼν P. αὐτόν τε συλλαμβάνει T. λῃστῶν σὺν αὐτῷ ἀποκτείνει T. 15 Σύροις ἡγεῖτο κεχαρ. P. ὡς εἰρήνην P. et cum rasura in medio L. εἰρήνην αὐτοῖς καὶ τὰς L.P. εἰρήνην αὐτοὺς καὶ τὰς N.T. 16 Καίσαρος, διοικοῦντι L.N.

καθιστάμενος, καὶ δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, μηδὲν δ'
18 ἀπειροκάλως εἰς τὴν ἐξουσίαν ἐξυβριζων. Ἔνθεν Ἀντιπάτρῳ θεραπεία τε ἦν ἐκ τοῦ ἔθνους βασιλικὴ, καὶ τιμαὶ παρὰ πάντων ὡς δεσπότῃ τῶν ὅλων. Οὐ μὴν αὐτὸς τῆς πρὸς Ὑρκανὸν εὐνοίας ἢ πίστεως τι μετεκίνησεν.

19 6. Ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν. Ὑρκανὸς γοῦν ἤδη μὲν καὶ καθ' ἑαυτὸν ἡσυχῇ πρὸς τὸ κλέος τῶν νεανίσκων ἐδάκνετο, μάλιστα δ' ἐλύπει τὰ Ἡρώδου κατορθώ-
20 ματα. Καὶ κήρυκες ἐπάλληλοι τῆς καθ' ἕκαστον εὐδοξίας προστρέχοντες, πολλοὶ δὲ τῶν ἐν τοῖς βασιλείοις βασκάνων ἠρέθιζον, οἷς ἢ τὸ τῶν παίδων ἢ τὸ Ἀντιπάτρου σωφρονικὸν προσίστατο, λέγοντες, ὡς "Ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ παραχωρήσας τῶν πραγμάτων, καθέζοιτο τὸ ὄνομα μόνον
21 βασιλέως ἔχων ἔρημον ἐξουσίας. Καὶ μέχρι ποῦ πλανη-
22 θήσεται καθ' ἑαυτοῦ βασιλεῖς ἐπιτρέφων; Οὐδὲ γὰρ εἰρωνεύεσθαι τὴν ἐπιτροπὴν αὐτοὺς ἔτι, φανεροὺς δ' εἶναι δεσπότας παρωσαμένους ἐκεῖνον· εἴ γε μήτε ἐντολὰς δόντος, μήτε ἐπιστείλαντος αὐτοῦ, τοσούτους παρὰ τὸν Ἰουδαίων νόμον ἀνῄρηκεν Ἡρώδης, ὃν, εἰ μὴ βασιλεύς ἐστιν ἀλλ' ἔτι ἰδιώτης, δεῖν ἐπὶ δίκην ἥκειν, ἀποδώσοντα λόγον αὐτῷ τε καὶ τοῖς πατρίοις νόμοις, οἳ κτείνειν ἀκρίτως οὐκ ἀφιᾶσι."

23 7. Τούτοις κατὰ μικρὸν Ὑρκανὸς ἐξεκαίετο, καὶ τὴν ὀργὴν τελευταῖον ἐκρήξας, ἐκάλει κριθησόμενον τὸν Ἡρώδην.
24 Ὁ δὲ καὶ τοῦ πατρὸς παραινοῦντος, καὶ τῶν πραγμάτων διδόντων παρρησίαν, ἀνῄει, φρουραῖς διαλαβὼν πρότερον τὴν Γαλιλαίαν· ἦει δὲ μετὰ καρτεροῦ στίφους, ὡς μήτε καταλύειν δόξειεν Ὑρκανὸν ἀδρὰν ἄγων δύναμιν, μήτε γυμνὸς ἐμ-

17 καθιστανόμενος L.N.T. καὶ δι' αὐτοῦ M. 18 ἐκ τοῦ ἔθνους ἦν transp. L.N.T. 19 ἐλύπει τὰ Φασαήλου κατορ. M.N.T.L. sed in hujus marg. Ἡρώδου. 20 εὐδοξίας προτρέχοντες M.N.E. συν προ τρέχοντες sic T. πολλοὺς δὲ τῶν P. σωφρονητικὸν, sed in marg. σωφρονικὸν T. προίστατο N.T. 22 παρωσομένους N. et T. prima manu. τὸν τῶν Ἰουδαίων P. ἀκρίτως οὐκ ἐφιᾶσι P. et L. ex correctione. 23 τελευταίος N. 24 καταλύειν δόξειν P.E. Ὑρκανὸν λαμπρὰν ἄγων P.

πεσοι τῷ φθόνῳ. Σέξτος δὲ Καῖσαρ δείσας περὶ τῷ νεανίᾳ, 25
μή τι παρὰ τοῖς ἐχθροῖς ἀπολῃφθεὶς πάθῃ, πέμπει πρὸς
Ὑρκανὸν τοὺς παραγγελοῦντας διαρρήδην, ἀπολύειν Ἡρώδην
τῆς φονικῆς δίκης. Ὁ δὲ καὶ ἄλλως ὡρμημένος, ἠγάπα γὰρ
Ἡρώδην, ἀποψηφίζεται.

8. Καὶ ὃς, ὑπολαμβάνων ἄκοντος τοῦ βασιλέως διαφυ- 26
γεῖν, εἰς Δαμασκὸν ἀνεχώρησε πρὸς Σέξτον, παρασκευαζό-
μενος οὐδ' αὖθις ὑπακοῦσαι καλοῦντι. Καὶ πάλιν οἱ πονηροὶ
παρώξυνον Ὑρκανὸν, κατ' ὀργήν τε οἴχεσθαι τὸν Ἡρώδην
λέγοντες, καὶ παρεσκευασμένον κατ' αὐτοῦ. Πιστεύων δὲ ὁ 27
βασιλεὺς οὐκ εἶχεν ὅ τι χρὴ δρᾶν, ὡς ἑώρα μεῖζονα τὸν διά-
φορον. Ἐπειδὴ δὲ ὑπὸ Σέξτου Καίσαρος στρατηγὸς ἀνε-
δείχθη Κοίλης Συρίας καὶ Σαμαρείας, οὐ μόνον τε κατ' εὔ-
νοιαν τὴν ἐκ τοῦ ἔθνους, ἀλλ' ὅτι καὶ δυνάμει φοβερὸς ἦν, εἰς
ἔσχατον δέους κατέπεσεν, ὅσον οὔπω προσδοκῶν ἐπ' αὐτὸν
ὁρμήσειν μετὰ στρατιᾶς.

9. Καὶ οὐ διήμαρτε τῆς οἰήσεως. Ὁ γὰρ Ἡρώδης κατ' 28
ὀργὴν τῆς περὶ τὴν δίκην ἀπειλῆς στρατιὰν ἀθροίσας, ἐπὶ
Ἱεροσολύμων ἦγε καταλύσων τὸν Ὑρκανόν. Καὶ ἂν ἔφθη 29
τοῦτο ποιήσας, εἰ μὴ προεξελθόντες ὅ τε πατὴρ καὶ ὁ ἀδελ-
φὸς, ἔκλασαν αὐτοῦ τὴν ὁρμὴν, παρακαλοῦντες αὐτὸν ' ἀπειλῇ
καὶ ἀνατάσει μόνῃ μετρῆσαι τὴν ἄμυναν, φείσασθαι δὲ τοῦ
βασιλέως, ὑφ' ᾧ μέχρι τοσαύτης ' δυνάμεως προῆλθε· δεῖν τε, 30
εἰ κληθεὶς ἐπὶ δίκην παρώξυνται, καὶ περὶ τῆς ἀφέσεως εὐχα-
ριστεῖν· μὴ πρὸς μὲν τὸ σκυθρωπὸν ἀπαντᾶν, περὶ δὲ τῆς
σωτηρίας ἀχάριστον εἶναι. Εἰ δὲ δὴ λογιστέον εἴη καὶ πο- 31

25 περὶ τούτου μή τι L.N.T. ἀπολειφθεὶς N. ἀπολ̈ειφθεὶς I. ἀπο-
ληφθεὶς ex correct. T. πάθοι T. πρὸς τὸν Ὑρκανὸν L.N.P.E.T.
26 ἀποφυγεῖν T. παρώξυναν L.N.T. τὸν Τρκανὸν P. καὶ παρα-
σκευασάμενον L.N.T. 27 ἐπεὶ δὲ ὑπὸ L.P.T. ἐπειδὴ ὑπὸ N. Καίσα-
ρος καὶ στρα. T. εὔνοιαν τοῦ ἔθνους, ἀλλὰ ante et post ἔθνους apparet
rasura M. ἀλλὰ καὶ δυνάμει M.P. ἀλλ' ὅτι δυνάμει E. 28 τῆς ἐπὶ
τῇ δίκῃ T. καταυλῶν τὸν N.I. sed in hujus margine καταλύσων.
29 εἰ μὴ συνεξελθόντες L.N.E.T. καὶ ἀδελφὸς M.N.E. παρακαλοῦν-
τες καὶ αὐτὸν L.N.P. μετρήσει L. ὑφ' οὗ L.N. 30 εὐχαριστεῖν,
καὶ μὴ E. 31 εἰ δὲ δεῖ λογ. L.

λέμου ῥοπὰς βραβεύεσθαι θεῷ, πλεῖον εἶναι τῆς στρατιᾶς τὸ
32 ἄδικον. Διὸ δὴ καὶ περὶ τῆς νίκης οὐ χρῆναι κατὰ πᾶν εὔελ-
πιν εἶναι, μέλλοντά τε συμβάλλειν βασιλεῖ καὶ συντρόφῳ,
καὶ πολλάκις μὲν εὐεργέτῃ, χαλεπῷ δὲ οὐδέποτε, πλὴν ὅσον
πονηροῖς συμβούλοις χρώμενος ἐπισείσειεν αὐτῷ σκιὰν ἀδι-
33 κήματος.' Πείθεται τούτοις Ἡρώδης, ὑπολαβὼν εἰς τὰς
ἐλπίδας αὔταρκες εἶναι, καὶ τὸ τὴν ἰσχὺν ἐπιδείξασθαι τῷ
ἔθνει.

34 10. Καὶ ἐν τούτῳ γίνεται περὶ Ἀπάμειαν ταραχὴ Ῥω-
μαίων, καὶ πόλεμος ἐμφύλιος, Κεκιλίου μὲν Βάσσου διὰ τὴν
εἰς Πομπήϊον εὔνοιαν δολοφονήσαντος Σέξτον Καίσαρα, καὶ
τὴν ἐκείνου δύναμιν παραλαβόντος, τῶν δ' ἄλλων Καίσαρος
στρατηγῶν ἐπὶ τιμωρίᾳ τοῦ φόνου Βάσσῳ συμβαλόντων
35 μετὰ πάσης τῆς δυνάμεως. Οἷς καὶ διὰ τὸν ἀνῃρημένον καὶ
διὰ τὸν περιόντα Καίσαρα, φίλους ὄντας ἀμφοτέρους, ὁ
Ἀντίπατρος διὰ τῶν παίδων ἔπεμψε συμμαχίαν. Μηκυνο-
μένου δὲ τοῦ πολέμου, Μάρκος μὲν ἀπὸ τῆς Ἰταλίας Σέξτου
παραγίνεται διάδοχος.

CAP. XI.

1 1. Συνίσταται δὲ Ῥωμαίοις κατὰ τοῦτον τὸν καιρὸν ὁ Antt. 14.
μέγας πόλεμος, Κασσίου καὶ Βρούτου ἄφνω κτεινάντων δόλῳ 11. 2.
Καίσαρα, κατασχόντα τὴν ἀρχὴν ἐπ' ἔτη τρία καὶ μῆνας
2 ἑπτά. Μεγίστου δὲ ἐπὶ τῷ φόνῳ γενομένου κινήματος, καὶ
διαστασιασθέντων τῶν δυνατῶν, ἕκαστος ἐλπίσιν οἰκείαις
3 ἐχώρει πρὸς ὃ συμφέρειν ὑπελάμβανε. Καὶ δὴ ἦκε Κάσσιος
εἰς Συρίαν, καταληψόμενος τὰς περὶ Ἀπάμειαν δυνάμεις.

βραβεύεσθαι τῷ θεῷ E. βραβ. θεωρητέον εἶναι L N.P. et T. in marg.
32 καὶ τὸ περὶ τῆς L.N.T. οὐ χρὴ κατὰ πάντα P. συμβαλεῖν P. συμ-
βάλλειν καὶ συντρόφῳ N.L. sed in hujus margine apparet βασιλεῖ.
χαλεπῶς δὲ οὐδέν ποτε N. χρώμενον T. et L. sed in hoc ν ex recenti
correctione. 33 Πείθεται δὲ τούτοις E. καὶ τῷ τὴν ἰσχὺν P.
34 γίνεται πρὸς Ἀπ. P. Κικιλίου L.N.T. Κεκιλλίου M. Κεκελλίου P.
Βάσσου sic P. τοῦ φόνου μετὰ δυνάμεως συνελθόντων οἷς L.N.T.
πάσης δυνάμεως P. 35 Ἰταλίας ἀντὶ Κασσίου παρ. P. 1 Βρούτου
κτείναντος δόλῳ L.N.T. 3 Καὶ δὴ καὶ Κάσσιος P.

Ἔνθα Βάσσῳ Μάρκον τε καὶ τὰ διεστῶτα τάγματα διαλ- 4
λάξας, ἐλευθεροῖ μὲν Ἀπάμειαν τῆς πολιορκίας, ἡγούμενος δὲ
αὐτὸς τῆς στρατιᾶς ἐπήει φορολογῶν τὰς πόλεις, καὶ παρὰ
δύναμιν τὰς εἰσπράξεις ποιούμενος.

2. Κελευσθὲν δὲ καὶ Ἰουδαίοις εἰσενεγκεῖν ἑπτακόσια τά- 5
λαντα, δείσας Ἀντίπατρος τὴν ἀπειλὴν τοῦ Κασσίου, τοῖς
τε υἱοῖς διεῖλεν εἰσπράττειν τὰ χρήματα καί τισιν ἄλλοις
τῶν ἐπιτηδείων κατὰ τάχος, ἐν οἷς καὶ Μαλίχῳ τινὶ τῶν
διαφόρων. Οὕτως ἤπειγεν ἡ ἀνάγκη. Πρῶτος δ' ἀπεμει- 6
λίξατο Κάσσιον Ἡρώδης, τὴν ἑαυτοῦ μοῖραν ἐκ τῆς Γαλι-
λαίας κομίσας ἑκατὸν τάλαντα, καὶ διὰ τοῦτο ἐν τοῖς μάλι-
στα φίλος ἦν. Τοὺς δὲ λοιποὺς εἰς βραδυτῆτα κακίσας,
αὐταῖς ἐθυμοῦτο ταῖς πόλεσι. Γόφναν γοῦν καὶ Ἀμμαοῦν 7
καὶ δύο ἑτέρας τῶν ταπεινοτέρων ἐξανδραποδισάμενος, ἐχώρει
μὲν ὡς καὶ Μάλιχον ἀναιρήσων, ὅτι μὴ σπεύσας εἰσέπραξεν.
Ἐπέσχε δὲ τήν τε τούτου καὶ τὴν τῶν ἄλλων πόλεων ἀπώ- 8
λειαν Ἀντίπατρος, ταχέως ἑκατὸν ταλάντοις θεραπεύσας
Κάσσιον.

3. Οὐ μὴν Μάλιχος, ἀναχωρήσαντος Κασσίου, τῆς χάρι- 9
τος ἀπεμνημόνευσεν Ἀντιπάτρῳ. Κατὰ δὲ τοῦ πολλάκις
σωτῆρος ἐπιβουλὴν ἐνεσκευάζετο, σπεύδων ἀνελεῖν τὸν ἐμπό-
διον αὐτοῦ τοῖς ἀδικήμασιν ὄντα. Ἀντίπατρος δὲ, τήν τε 10
ἰσχὺν καὶ τὸ πανοῦργον τοῦ ἀνδρὸς ὑποδείσας, διαβαίνει τὸν
Ἰορδάνην, στρατὸν ἀθροίσων εἰς τὴν τῆς ἐπιβουλῆς ἄμυναν.
Φωραθεὶς δὲ Μάλιχος ἀναιδείᾳ τῶν Ἀντιπάτρου παίδων πε-
ριγίνεται. Τόν τε γὰρ Ἱεροσολύμων φρουρὸν Φασάηλον, 11
καὶ Ἡρώδην πεπιστευμένον τὰ ὅπλα, πολλαῖς ἀπολογίαις
καὶ ὅρκοις ἐκγοητεύσας, διαλλακτὰς αὐτῷ πρὸς τὸν πατέρα
πείθει γενέσθαι. Πάλιν γοῦν ὑπ' Ἀντιπάτρου σώζεται, 12

4 Βάσσον τε καὶ Μοῦρκον P. στρατιᾶς ἀπήει N. 6 Οὕτως δ' ἤπει-
γεν P. οὕτως γὰρ ἤπ. T. κακίας sic L. 7 Τὸ φναγοῦν L. Τόφνα
γοῦν N. Γόφναν οὖν P. γόφναν γοῦν ex correct. et in marg. γνόφαν.
τόφναν T. 8 τὴν τούτου M.P. καὶ τῶν ἄλλων E. 9 ἀπεμνημό-
νευεν E. ἀνεσκενάζετο E. ὄντα deest P. 10 στρατὸν ἀθροίσας
L.N.T. 11 διαλλακταῖς N. πείθει γίνεσθαι P.

πείσαντος Μάρκον τὸν τότε στρατηγοῦντα Συρίας, ὃς ὥρμητο κτεῖναι Μάλιχον ἐφ' οἷς ἐνεωτέρισε.

13 4. Συστάντος δὲ τοῦ πρὸς Κάσσιον καὶ Βροῦτον πολέμου Καίσαρί τε τῷ νεῷ καὶ Ἀντωνίῳ, Κάσσιος καὶ Μάρκος στρατιὰν ἀθροίσαντες ἐκ τῆς Συρίας, ἐπειδὴ μέγα μέρος εἰς τὰς χρείας Ἡρώδης ἔδοξε συμβεβλῆσθαι, τότε μὲν αὐτὸν Συρίας ἁπάσης ἐπιμελητὴν καθιστᾶσι, δύναμιν πεζήν τε καὶ
14 ἱππικὴν δόντες. Μετὰ δὲ τὴν τοῦ πολέμου κατάλυσιν ἀποδείξειν Κάσσιος ὑπέσχετο καὶ Ἰουδαίας βασιλέα. Συνέβη δ' Ἀντιπάτρῳ τήν τε ἰσχὺν τοῦ παιδὸς καὶ τὴν ἐλπίδα αἰτίαν
15 ἀπωλείας γενέσθαι. Ταῦτα γὰρ δείσας ὁ Μάλιχος, διαφθείρει τινὰ τῶν βασιλικῶν οἰνοχόων χρήμασι δοῦναι φάρμακον
16 Ἀντιπάτρῳ. Καὶ ὁ μέν, ἀγώνισμα τῆς Μαλίχου παρανομίας γενόμενος, μετὰ τὸ συμπόσιον θνήσκει, τά τε ἄλλα δραστήριος ἀνὴρ ἐν ἀφηγήσει πραγμάτων, καὶ τὴν ἀρχὴν ἀνακτησάμενός τε Ὑρκανῷ καὶ διαφυλάξας.

17 5. Μάλιχος δὲ καθ' ὑπόνοιαν τῆς φαρμακείας ὀργιζόμενον τὸ πλῆθος ἀρνούμενος ἔπειθεν. Καὶ δυνατώτερον ἑαυτὸν κατεσκεύαζεν, ὁπλίτας συγκροτῶν· οὐ γὰρ ἠρεμήσειν Ἡρώδην ὑπελάμβανεν· ὃς δὴ καὶ παρῆν αὐτίκα στρατὸν ἄγων ἐπὶ
18 τιμωρίᾳ τοῦ πατρός. Φασαήλου δὲ τοῦ ἀδελφοῦ συμβουλεύσαντος αὐτῷ μὴ φανερῶς τὸν ἄνδρα μετιέναι, διαστασιάσειν γὰρ τὸ πλῆθος, τότε μὲν ἀπολογούμενόν τε προσίεται τὸν Μάλιχον, καὶ τῆς ὑπονοίας ἀπολύειν ὁμολογεῖ, λαμπρὰν δὲ πομπὴν ἐπὶ τῷ πατρὶ κηδείας ἐτέλεσεν.

19 6. Τραπεὶς δ' ἐπὶ Σαμάρειαν στάσει τεταραγμένην, κατεστήσατο τὴν πόλιν. Ἔπειτα καθ' ἑορτὴν ὑπέστρεφεν εἰς Ἱεροσόλυμα, τοὺς ὁπλίτας ἄγων. Καὶ πέμπων Ὑρκα-

12 Μοῦρκον atque ita semper P. 13 *εἰς τὰς χείρας*, sed in marg. *χρείας* L. *συμβεβλῆσθαι* deest L.N.P.T. *ἐπιμ. κατέστησαν* L.N.T. *πεζικὴν καὶ ἱππικὴν* P. 16 *γενόμενος κατὰ τὸ* M.E. *ἀρχὴν κτησάμενος* N.L. sed in hoc *ἀνα* adjecit manus recentissima. *ἀνακτησ. Ὑρκανῷ* P. 17 *Ἡρώδην ἠρεμήσειν* N.T. *ὃς δὲ καὶ* P.E. *στρατιὰν ἄγων* T. 18 *ἀπολογούμενον προσί.* T. *τῆς ἀπονοίας* M. *ὁμολογεῖ* L.M.N.P.T. *λαμπράν τε* L.N.T.

νὸς, ἐνῆγε γὰρ δεδοικὼς τὴν ἔφοδον Μάλιχος, ἐκώλυε τοὺς ἀλλοφύλους εἰσαγαγεῖν ἐφ' ἁγνεύοντας τοὺς ἐπιχωρίους. Ὁ δὲ τῆς προφάσεως καταφρονήσας καὶ τοῦ προστάσσον- 20
τος, εἰσέρχεται διὰ νυκτός. Καὶ πάλιν Μάλιχος προσιὼν ἔκλαιεν Ἀντίπατρον· ἀνθυπεκρίνετο δὲ μόλις Ἡρώδης τὸν θυμὸν ἐπέχων, καὶ Κασσίῳ δι' ἐπιστολῶν τὴν τοῦ πατρὸς ἀναίρεσιν ἀπωδύρετο, καὶ ἄλλως μισοῦντι Μάλιχον. Ὁ δὲ 21
αὐτῷ μετιέναι τὸν φονέα τοῦ πατρὸς ἀντεπιστείλας, καὶ τοῖς ὑφ' ἑαυτὸν χιλιάρχοις λάθρα προσέταξεν Ἡρώδῃ βοηθεῖν εἰς πρᾶξιν δικαίαν.

7. Καὶ ἐπειδὴ Λαοδίκειαν ἐλόντος αὐτοῦ παρῆσαν οἱ παν- 22
ταχόθεν δυνατοὶ, δωρεάς τε καὶ στεφάνους φέροντες, Ἡρώδης μὲν τοῦτον τῇ τιμωρίᾳ τὸν καιρὸν ἀφώρισε. Μάλιχος 23
δ' ὑποπτεύσας, ὡς ἐν Τύρῳ γίνεται, τόν τε υἱὸν ὁμηρεύοντα παρὰ τοῖς Τυρίοις ὑπεξαγαγεῖν ἔγνω λάθρα, καὶ αὐτὸς εἰς τὴν Ἰουδαίαν ἀποδράναι παρεσκευάζετο. Παρώξυνε δ' αὐτὸν 24
ἡ τῆς σωτηρίας ἀπόγνωσις ἐνθυμεῖσθαι καὶ μείζονα. Τό τε γὰρ ἔθνος ἐπαναστήσειν Ῥωμαίοις ἤλπισε, Κασσίου τῷ πρὸς Ἀντώνιον πολέμῳ περισπωμένου, καὶ βασιλεύσειν αὐτὸς, Ὑρκανὸν καταλύσας εὐμαρῶς.

8. Ἐπεγέλα δὲ ἄρα τὸ χρεὼν αὐτοῦ ταῖς ἐλπίσιν. Ὁ 25
γοῦν Ἡρώδης, προειδόμενος αὐτοῦ τὴν ὁρμὴν, τόν τε Ὑρκανὸν καὶ ἐκεῖνον ἐπὶ δεῖπνον καλεῖ. Παρεστῶτα δ' ἔπειτα 26
τῶν οἰκετῶν τινα πρὸς ἑαυτὸν καλέσας, ἐξέπεμψεν ὡς ἐπὶ τὴν τοῦ δείπνου παρασκευὴν, τῷ δὲ ὄντι προειπεῖν τοῖς χι-

19 Μάλιχος, διεκώλυε L.N.T. εἰσάγειν L.N.T. 20 ἐπωδύρετο L.N.E.T. 22 Λαοδίκειαν M. αὐτοῦ ὑπήκοοι πανταχόθεν L.N.T. αὐτοῦ συνῆσαν P. αὐτοῦ συνήεσαν E. φέροντες παρῆσαν αὐτῷ καὶ Ἡρ. L.N.T. Ἡρώδης μὲν τῇ τιμ. N.T.L. sed in hoc suprascriptum est manu rec. τοῦτον, et idem in marg. Cod. T. 23 ὑπεξαγαγεῖν λάθρα N.L. sed in hoc suprascriptum est manu rec. ἔγνω. Ἰουδαίαν παρεσκευάζετο N.L. sed in hujus marg. adjectum est manu rec. ἀποδράναι. 24 Κασσίῳ τῷ πρὸς Ἀ. π. περισπωμένῳ M. τοῦ πρὸς Ἀ. πολέμου P. βασιλεύειν P. et L. sed in hoc adjecit σ manus recens. 25 χρεὼν ταῖς ἐλπίσιν L.N.T. ἐκάλει, ἔπειτα τῶν οἰκετῶν παρεστῶτάς τινας πρὸς αὐτὸν εἰσέπεμψεν P. παρεστῶτα δ' desunt T. 26 προειπεῖν L.

27 λιάρχοις ἐξελθεῖν ἐπὶ τὴν ἐνέδραν. Καὶ ἐκεῖνοι, τῶν Κασσίου προσταγμάτων ἀναμνησθέντες, ἐπὶ τὸν πρὸ τῆς πόλεως αἰγιαλὸν ἐξήεσαν ξιφήρεις. Ἔνθα περιστάντες τὸν Μάλι-
28 χον, πολλοῖς τραύμασιν ἀναιροῦσιν. Ὑρκανὸς δὲ παραχρῆμα μὲν ἐκλυθεὶς ὑπ' ἐκπλήξεως ἔπεσε, μόλις δ' ἀνενεγκὼν Ἡρώ-
29 δην διηρώτα, τίς ὁ κτείνας εἴη Μάλιχον. Ἀποκριναμένου δέ τινος τῶν χιλιάρχων τὸ Κασσίου πρόσταγμα, "Κάσσιος ἄρα," ἔφη, "καὶ ἐμὲ καὶ τὴν πατρίδα μου σώζει, τὸν ἀμφο-
30 τέρων ἐπίβουλον ἀνελών." Εἴτε δὲ φρονῶν Ὑρκανὸς οὕτως, εἴθ' ὑπὸ δέους ὁμόσε τῇ γε πράξει χωρῶν εἶπεν, ἄδηλον ἦν. Ἀλλὰ γὰρ Μάλιχον μὲν οὕτως Ἡρώδης μετῆλθε.

CAP. XII.

1 1. Κασσίου δὲ ἀναχωρήσαντος ἐκ τῆς Συρίας, πάλιν στά- Antt. 14.
σις ἐν Ἱεροσολύμοις γίνεται, Ἕλικος μετὰ στρατιᾶς ἐπα- 11. 7.
2 ναστάντος Φασαήλῳ, καὶ κατὰ τὴν ὑπὲρ Μαλίχου τιμωρίαν ἀμύνεσθαι θέλοντος Ἡρώδην εἰς τὸν ἀδελφόν. Ἡρώδης δὲ
3 ἔτυχε μὲν ὢν παρὰ Φαβίῳ τῷ στρατηγῷ κατὰ Δαμασκόν, ὡρμημένος δὲ βοηθεῖν ὑπὸ νόσου κατείχετο. Καὶ ἐν τούτῳ Φασάηλος, καθ' ἑαυτὸν Ἕλικος περιγενόμενος, Ὑρκανὸν ὠνεί-
4 διζεν εἰς ἀχαριστίαν, ὧν τε Ἕλικι συμπράξειε, καὶ ὅτι περιορῴη τὸν ἀδελφὸν τὸν Μαλίχου τὰ φρούρια καταλαμβάνοντα. Πολλὰ γὰρ ἤδη κατείληπτο, καὶ τὸ πάντων ὀχυρώτατον, Μάσαδα.

5 2. Οὐ μὴν αὐτῷ τι πρὸς τὴν Ἡρώδου βίαν ἤρκεσεν· ὃς ἀναρρωσθεὶς τά τε ἄλλα παραλαμβάνει, καὶ ἐκεῖνον ἐκ τῆς Μασάδας ἱκέτην ἀφῆκεν. Ἐξήλασε δὲ καὶ ἐκ τῆς Γαλιλαίας Μαρίωνα τὸν Τυρίων τύραννον, ἤδη τρία κατεσχηκότα τῶν
6 ἐρυμάτων. Τοὺς δὲ ληφθέντας Τυρίους ἔσωσε μὲν πάντας,

27 Κασσίου πραγμάτων ἀναμ. M. ἐπισταγμάτων T. ἐξίεσαν P. 28 μὲν λυθεὶς L.N.T. ἔπεσεν μόγις L.N. 29 χιλιάρχων τοῦ Κασσίου E. 30 Εἴτε δὴ φρονῶν N.T. ἄδηλον δὲ ἦν N.T. 1 ἐκ Συρίας P. ἐπαναστάντας N. Φασαήλῳ κατὰ N.T. ἀμύνεσθαι μέλλοντος Ἡρ. L.N.T. 3 ὅτι περιορῶν P. 4 πολλὰ γὰρ δὴ P. Μάσαδαν L.N.P.T. 5 Μαρίωνα τῶν Τυρ. P. τῶν ἐλυμάτων M. 6 πάντας, ἔστι δ' οὓς E.

ἦσαν δ' οὓς καὶ δωρησάμενος ἀπέπεμψεν, εὔνοιαν ἑαυτῷ παρὰ τῆς πόλεως καὶ τῷ τυράννῳ μῖσος παρασκευαζόμενος. Ὁ δὲ 7
Μαρίων ἠξίωτο μὲν τῆς τυραννίδος ὑπὸ Κασσίου, τυραννίσι πᾶσαν διαλαβόντος τὴν Συρίαν. Κατὰ δὲ τὸ πρὸς Ἡρώ- 8
δην ἔχθος, συνέλαβεν Ἀντίγονον τὸν Ἀριστοβούλου, καὶ τὸ πλέον διὰ Φάβιον, ὃν Ἀντίγονος χρήμασι προσποιησάμενος βοηθὸν εἶχε τῆς καθόδου. Χορηγὸς δὲ ἦν ἁπάντων ὁ κηδε-
στὴς Πτολεμαῖος Ἀντιγόνῳ.

3. Πρὸς οὓς Ἡρώδης ἀντιταξάμενος ἐπὶ τῶν ἐμβολῶν 9
τῆς Ἰουδαίας κρατεῖ τῇ μάχῃ, καὶ τὸν Ἀντίγονον ἐξελάσας, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα πᾶσιν ἀγαπητὸς ὢν ἐπὶ τῷ κατορθώματι. Καὶ γὰρ οἱ μὴ προσέχοντες πάλαι τότε 10
ᾠκείωντο διὰ τὴν πρὸς Ὑρκανὸν ἐπιγαμίαν αὐτῷ. Πρότε-
ρον μὲν γὰρ ἦκτο γυναῖκα τῶν ἐπιχωρίων οὐκ ἄσημον, Δωρὶς ἐκαλεῖτο, ἐξ ἧς ἐγέννησεν Ἀντίπατρον. Τότε δὲ γήμας τὴν 11
Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, θυγατριδήν τε Ὑρκανοῦ Μαριάμμην, οἰκεῖος τῷ βασιλεῖ γίνεται.

4. Ἐπεὶ δὲ Κάσσιον περὶ Φιλίππους ἀνελόντες ἀνεχώ- 12
ρησαν, εἰς μὲν Ἰταλίαν Καῖσαρ, ἐπὶ δὲ τὴν Ἀσίαν Ἀντώ-
νιος, πρεσβευομένων τῶν ἄλλων πόλεων πρὸς Ἀντώνιον εἰς Βιθυνίαν, ἦκον καὶ Ἰουδαίων οἱ δυνατοί, κατηγοροῦντες Φα-
σαήλου τε καὶ Ἡρώδου, βίᾳ μὲν αὐτοὺς κρατεῖν τῶν πρα-
γμάτων, ὄνομα δὲ μόνον περιεῖναι Ὑρκανῷ τίμιον. Πρὸς ἃ 13
παρὼν Ἡρώδης, καὶ τεθεραπευκὼς οὐκ ὀλίγοις Ἀντώνιον χρήμασιν οὕτω διέθηκεν, ὡς μηδὲ λόγου τῶν ἐχθρῶν ἀνέ-
χεσθαι. Καὶ τότε μὲν οὕτω διελύθησαν.

εὔνοιάν τε ἑαυτῷ E. 7 τυραννίδι sed δ ex correctione L. τυραν-
δι
νίσι M. τυραννήσειν πᾶσαν διαλαβὼν N.T. 8 ἔχθος, συγκατήγαγεν Ἀντ. P. τὸν Ἀντίγονον L.N.T. Ἀντιγόνῳ τῷ Ἀριστ. E. Φάβιον ὁ Ἀντ. T. ἦν πάντων L.N.T. 9 ἀντιπαραταξάμενος P. τὴν μάχην M.
η
τῆς μάχης sic T. ὢν deest L.N. 10 τότε δὴ P. Δωρὶς δ' ἐκαλ. T. 11 θυγατριδὴν δὲ L. θυγατριδῆν Ὑρ. N.T. Μαριὰμ P. Μαριάμμ ceteris abrasis L. 12 Φιλιππου s adjecit manus recens L. τῆς Ἀσίας T. τῶν ἄλλων πρὸς M. Φασαήλου καὶ L.N.P.T. 13 οὕτως διέθη-κεν M. ἀνασχέσθαι P.

14 5. Αὖθις δὲ οἱ ἐν τέλει Ἰουδαίων ἑκατὸν ἄνδρες ἦκον εἰς τὴν πρὸς Ἀντιόχειαν Δάφνην ἐπ' Ἀντώνιον, ἤδη τῷ Κλεοπάτρας ἔρωτι δεδουλωμένον· οἳ, προστησάμενοι τοὺς ἀξιώματι καὶ λόγῳ σφῶν δυνατωτάτους, κατηγόρουν τῶν ἀδελ-
15 φῶν. Ὑπήντα δὲ Μεσσαλᾶς ἀπολογούμενος, συμπαρεστῶτος Ὑρκανοῦ διὰ τὸ κῆδος. Καὶ Ἀντώνιος ἀκούσας ἑκατέρων Ὑρκανοῦ διεπυνθάνετο τοὺς ἐπιτηδειοτέρους ὄντας ἄρ-
16 χειν. Τοῦ δὲ τοὺς περὶ τὸν Ἡρώδην προκρίναντος, ἡσθεὶς —ἦν γὰρ ἤδη καὶ ξένος αὐτοῖς πατρῷος δεχθεὶς ὑπ' Ἀντιπάτρου φιλοφρόνως, ὅτε εἰς τὴν Ἰουδαίαν σὺν Γαβινίῳ παρέβαλε— τετράρχας ἀποδείκνυσι τοὺς ἀδελφοὺς, πᾶσαν διοικεῖν τὴν Ἰουδαίαν ἐπιτρέπων.

17 6. Προσαγανακτούντων δὲ τῶν πρέσβεων, πεντεκαίδεκα μὲν συλλαβὼν εἴργνυσιν, οὓς καὶ ἀνελεῖν ὥρμησε· τοὺς δὲ λοιποὺς μεθ' ὕβρεως ἀπήλασε. Πρὸς ὃ μεῖζον ἐν τοῖς Ἰε-
18 ροσολύμοις γίνεται ταραχή· χιλίους γοῦν πάλιν ἔπεμψαν πρέσβεις εἰς Τύρον, ἔνθα διέτριβεν Ἀντώνιος ἐπὶ Ἱεροσολύμων ὡρμημένος· ἐπὶ τούτους κεκραγότας ἐκπέμπει τὸν ἄρχοντα τῶν Τυρίων, κολάζειν προστάξας οὓς ἂν λάβῃ, συγκατασκευάζειν τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ κατασταθεῖσι τετράρχαις.

19 7. Πρὸ δὲ τούτου πολλὰ παρῄνει προελθὼν ἐπὶ τὸν αἰγιαλὸν Ἡρώδης σὺν Ὑρκανῷ, μήθ' ἑαυτοῖς ἀπωλείας αἰτίους, μήτε τῇ πατρίδι πολέμου γίνεσθαι φιλονεικοῦντας
20 ἀκρίτως. Τῶν δὲ ἔτι μᾶλλον ἀγανακτούντων, Ἀντώνιος ἐκπέμψας ὁπλίτας πολλοὺς μὲν ἀπέκτεινε, πολλοὺς δὲ ἔτρωσεν· ὧν οἵ τε πεσόντες ταφῆς, καὶ οἱ τραυματίαι θεραπείας

14 τὴν πρὸς τὴν Ἀντ. L.N.T. 15 Μασσαλὰς M. Μεσσάλας P. συμπαρεστῶτος δὲ Ὑρκανοῦ διεπυνθάνετο media desunt M. ὄντας ὑπάρχειν T. 16 ἦν γὰρ καὶ M. ἦν γὰρ δὴ καὶ N.T. παρέβαλλε P. ἐπιτρέπων καὶ ἐπιτροπεύειν· παραγανακτούντων L. ἐπιτ. καὶ ἐπιτροπ. προσαγανακ. N.T. 17 πέντε μὲν καὶ δέκα L.N.T. πρὸς ὃ μεῖζον ἐν L. 18 ἔπεμψαν πάλιν transp. T. ἐπὶ τοὺς κεκραγότας P. συγκατασκευάζειν τοῖς N. et L. sed in hoc adjecit δὲ manus recens. τοῖς ὑπ' αὐτοῦ κ. τ. τολμῶσι N. 19 μήθ' ἑαυτοὺς M. πολέμου γενέσθαι N.

ἠξιώθησαν ὑπὸ Ὑρκανοῦ· οὐ μὴν οἱ διαφυγόντες ἠρέμουν, 21
ἀλλὰ τὰ κατὰ τὴν πόλιν συνταράσσοντες, παρώξυναν τὸν
Ἀντώνιον, ὥστε καὶ τοὺς δεσμώτας ἀποκτεῖναι.

CAP. XIII.

Antt. 14. 13. 3.

1. Μετὰ δὲ ἔτη δύο, Βαρζαφάρνου, τοῦ Πάρθων σατράπου, 1
σὺν Πακόρῳ τῷ βασιλέως υἱῷ Συρίαν κατασχόντος, Λυσανίας διαδεδεγμένος ἤδη τὴν ἀρχὴν τοῦ πατρὸς τελευτήσαντος —Πτολεμαῖος δ' ἦν οὗτος ὁ Μενναίου— πείθει τὸν σατράπην ὑποσχέσει χιλίων ταλάντων καὶ πεντακοσίων γυναικῶν, καταγαγεῖν ἐπὶ βασιλείᾳ τὸν Ἀντίγονον, καταλῦσαι δὲ τὸν Ὑρκανόν. Τούτοις ὑπαχθεὶς Πάκορος αὐτὸς μὲν ᾔει κατὰ 2
τὴν παράλιον, Βαρζαφάρνην δὲ διὰ τῆς μεσογείου προσέταξεν ἐμβαλεῖν. Τῶν δ' ἐπιθαλαττίων Τύριοι Πάκορον οὐκ ἐδέξαντο, καίτοι Πτολεμαέων καὶ Σιδωνίων δεδεγμένων. Ὁ 3
δὲ οἰνοχόῳ τινὶ τῶν βασιλικῶν ὁμωνύμῳ μοῖραν τῆς ἵππου παραδοὺς, ἐμβαλεῖν ἐκέλευσεν εἰς τὴν Ἰουδαίαν, κατασκεψόμενόν τε τὰ τῶν πολεμίων, καὶ πρὸς ἃ δέοι βοηθήσοντα Ἀντιγόνῳ.

2. Τῶν δὲ ληΐζομένων τὸν Κάρμηλον, πολλοὶ Ἰουδαῖοι 4
συνδραμόντες πρὸς Ἀντίγονον προθύμους ἑαυτοὺς ἐπὶ τὴν εἰσβολὴν παρεῖχον. Ὁ δὲ αὐτοὺς ἐπὶ τὸν καλούμενον Δρυ- 5
μὸν προέπεμψε, τὸ χωρίον καταλαβεῖν· ἐν ᾧ γενομένης συμβολῆς, ὡσάμενοι τοὺς πολεμίους καὶ διώξαντες ἐπὶ Ἱεροσολύμων ἔθεον· γενόμενοι δὲ πλείους, μέχρι τῶν βασιλείων προῆλθον. Ὑρκανοῦ δὲ καὶ Φασαήλου δεξαμένων αὐτοὺς 6
καρτερῷ στίφει, μάχη κατὰ τὴν ἀγορὰν συρρήγνυται καθ'

παρὰ Ὑρκανοῦ sed ὑπὸ in marg. T. 21 παρώξυνον N.T. 1 Βαρζαφάνου L.N.T. Βαρζαφάνους M. Βαρζαφράνου P. et sic deinceps. Πακόρῳ τοῦ βασιλέως L.N.P.T. ἀναδεδεγμένος P. ὁ Μιννάιου L.N.E. ἐπὶ βασιλείαν M.N.T. ἐπὶ τῇ βασιλείᾳ sic L. καταλῦσαι δὲ Ὑρκανόν. T. 2 μὲν εἴη κατὰ M. καί τι Πτολ. M. 3 ἐμβάλλειν L.N.T. προεμβαλεῖν P. 4 πολλοὶ Ἰουδαίων T. ἑαυτοὺς κατὰ τὴν P. 5 Ὁ δὲ ἑαυτοὺς L. γενόμενοί τε L.N P.T. 6 Ὑρκανοῦ καὶ P. κρατερῷ στίφει P.E. συρρήγνυνται M.

ἦν τρεψάμενοι τοὺς πολεμίους οἱ περὶ Ἡρώδην, κατακλείουσιν εἰς τὸ ἱερὸν, καὶ φρουροὺς αὐτῶν ἄνδρας ἑξήκοντα ταῖς πλη-
7 σίον οἰκίαις ἐγκατέστησαν. Τούτους μὲν οὖν ὁ στασιάζων πρὸς τοὺς ἀδελφοὺς λαὸς ἐπελθὼν ἐμπίπρησιν. Ἡρώδης δὲ τοῦ δήμου πολλοὺς κατ' ὀργὴν τῶν ἀπολωλότων ἀναιρεῖ συμβαλὼν, καὶ καθ' ἡμέραν ἐπεκθεόντων ἀλλήλοις κατὰ λό-
χους φόνος ἦν ἀδιάλειπτος.

8 3. Ἐνστάσης δὲ ἑορτῆς, ἣ Πεντηκοστὴ καλεῖται, τά τε περὶ τὸ ἱερὸν πάντα, καὶ ἡ πόλις ὅλη πλήθους τῶν ἀπὸ τῆς
9 χώρας ἀναπίμπλαται τὸ πλέον ὁπλιτῶν. Καὶ Φασάηλος μὲν τὸ τεῖχος, Ἡρώδης δὲ μετ' οὐ πολλῶν ἐφρούρει τὰ βασί-
λεια, καὶ τοῖς πολεμίοις ἐπιδραμὼν ἀσυντάκτοις κατὰ τὸ προσάρκτιον, πλείστους μὲν ἀναιρεῖ, τρέπεται δὲ πάντας· καὶ τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸ ἱερὸν, τοὺς δὲ εἰς
10 τὸ ἔξω χαράκωμα συγκλείει. Καὶ ἐν τούτῳ διαλλακτὴν μὲν Ἀντίγονος παρακαλεῖ Πάκορον εἰσαφεῖναι. Φασάηλος δὲ πεισθεὶς τῇ τε πόλει καὶ ξενίᾳ τὸν Πάρθον εἰσδέχεται μετὰ
11 πεντακοσίων ἱππέων, προφάσει μὲν ἥκοντα τοῦ παῦσαι τὴν στάσιν, τὸ δ' ἀληθὲς Ἀντιγόνῳ βοηθόν. Τὸν γοῦν Φασάη-
λον ἐνεδρεύων ἀνέπεισε πρὸς Βαρζαφάρνην πρεσβεύσασθαι περὶ καταλύσεως, καίτοι γε πολλὰ ἀποτρέποντος Ἡρώδου, καὶ παραινοῦντος ἀνελεῖν τὸν ἐπίβουλον, ἀλλὰ μὴ ταῖς ἐπι-
βουλαῖς ἑαυτὸν ἐκδιδόναι· φύσει γὰρ ἀπίστους εἶναι τοὺς
12 Βαρβάρους. Ἔξεισι δὲ Ὑρκανὸν παραλαβὼν καὶ Πάκορος, ὡς ἧττον ὑποπτεύοιτο· καὶ καταλιπὼν παρ' Ἡρώδῃ τινὰς τῶν Ἐλευθέρων καλουμένων ἱππέων, τοῖς λοιποῖς προέπεμπε Φα-
σάηλον.

13 4. Ὡς δ' ἐγένοντο κατὰ τὴν Γαλιλαίαν, τοὺς μὲν ἐπιχω-

αὐτῷ ἄνδρας N. 7 Τούτους μὲν ὁ στασ. P. λαὸς ἀπελθὼν P. ὑποπίμπρησιν M.N.T. ὑπεμπίπρησιν L. 8 τὰ περὶ τὸ P. ἀναπίπλαται L. 9 Ἡρώδης δ' οὐ μετὰ L.P. Ἡρώδης δὲ μετὰ sine neg. sed ex rasura N. 10 εἰσαφῆναι M. τῇ πόλει E. Φασάηλός τε T. βοηθῶν M.N.P. βοηθόν ex correct. L.T. βοηθεῖν E. βοηθοῦντα in marg. T. 11 καίτοι πολλὰ L.N.T. ἑαυτὸν ἐπιδιδόναι L.N.T. 12 Ἔξεισιν Ὑρκανὸν L.N.T. ὑποπτεύοιτο, καταλιπὼν L.M.N.P. τῶν καλουμένων Ἐλευθέρων P.

ρίους ἀφεστῶτας καὶ ἐν τοῖς ὅπλοις ὄντας καταλαμβάνουσι, τῷ σατράπῃ δ' ἐνετύγχανον πανούργως σφόδρα, καὶ ταῖς φιλοφρονήσεσι τὴν ἐπιβουλὴν καλύπτειν ἐνεκελεύοντο. Δῶρα 14 γοῦν δοὺς αὐτοῖς, ἔπειτ' ἀναχωροῦντας ἐλόχα. Τοῖς δὲ αἴσθησις γίνεται τῆς ἐπιβουλῆς, καταχθεῖσιν εἴς τι τῶν παραθαλασσίων χωρίων, ὃ καλεῖται Ἐκδίππων· ἐκεῖ γὰρ τήν τε ὑπόσχεσιν ἤκουσαν τῶν χιλίων ταλάντων, καὶ ὡς Ἀντίγονος τὰς πλείστας τῶν παρ' αὐτοῖς γυναικῶν ἐν ταῖς πεντακοσίαις καθωσίωσε Πάρθοις, ὅτι τε προλοχίζοιντο μὲν αὐτοῖς αἱ 15 νύκτες ὑπὸ τῶν Βαρβάρων ἀεί, πάλαι δ' ἂν καὶ συνελήφθησαν, εἰ μὴ περιέμενον ἐν Ἱεροσολύμοις Ἡρώδην πρότερον λαβεῖν, ὡς μὴ προπυθόμενος τὰ κατ' αὐτοὺς φυλάξαιτο. Ταῦτ' οὐκ ἔτι λόγος ἦν μόνον, ἀλλὰ καὶ φύλακας ἤδη πόρρωθεν αὐτῶν ἔβλεπον.

5. Οὐ μὴν Φασάηλος καίτοι πολλὰ παραινοῦντος Ὀφελ- 16 λίου φεύγειν, —πέπυστο γὰρ οὗτος παρὰ Σαραμάλλα τοῦ πλουσιωτάτου τότε Σύρων τὴν σύνταξιν τῆς ἐπιβουλῆς ὅλην —καταλιπεῖν Ὑρκανὸν ὑπέμεινεν, ἀλλὰ τῷ σατράπῃ προσελθὼν ἄντικρυς ὠνείδιζε τὴν ἐπιβουλήν, καὶ μάλισθ' ὅτι γένοιτο τοιούτος χρημάτων ἕνεκεν. Πλείω γε μὴν αὐτὸς ὑπὲρ 17 σωτηρίας ὑπισχνεῖται δώσειν, ὧν Ἀντίγονος ὑπὲρ βασιλείας ὑπέσχηται. Πρὸς ταῦτα πανούργως ὁ Πάρθος ἀπολογίαις τε καὶ ὅρκοις ἀποσκευασάμενος τὴν ὑποψίαν, ᾤχετο πρὸς Πάκορον. Εὐθέως δὲ τῶν καταλειφθέντων Πάρθων οἷς προσε- 18 τέτακτο Φασάηλόν τε καὶ Ὑρκανὸν συνελάμβανον, τά τε

13 τὰς ἐπιβουλὰς L.N.T. καλύπτοντι. Δῶρα P. 14 ἀναχωροῦντος P. ἐπιβουλῆς καὶ καταχθεῖσιν P. καὶ recenti manu. παραθαλ. χωρίον M. τῶν χιλίων ἤκουσαν L.N.P.T. καθωσιώσειε P. καθοσιώσειε ex corr. T. 15 ὅτι δὲ προλ. N.E. προελοχίζοντο L.N.T. συνελήφθεισαν P. περιέμεν' ἐν M. πρότερον λαμβάνειν L.N.T. τὰ κατ' αὐτὸν N. φυλάξοιτο L.N.T. μόνος T. ταῦτα οὐκ μόνος ἀλλὰ L. ἤδη οὐ πόρρωθεν E. 16 καταλειπεῖν P. 17 σωτηρίας δώσειν ὑπισχνεῖτο M.E. σωτηρίας δώσειν, ὧν ἄντικρυς ὑπὲρ β. ὑπέσχετο. Πρὸς P. ὑπισχνεῖται. Πρὸς omissis quæ interjacent L.N. πανοῦργος L.N.E. 18 οἱ καταλειφθέντες Πάρθων M. καταλειφθέντων πάντων οἷς N. et T. in marg. συνελαμβάνοντο P. et man. rec. L.

ἄλλα πρὸς τὴν ἐπιορκίαν καὶ τὸ ἄπιστον αὐτοῖς καταρωμένους.

19 6. Ἐν δὲ τούτῳ καὶ τὸν Ἡρώδην ὁ πεμφθεὶς οἰνοχόος ἐπεβούλευε συλλαβεῖν, ἔξω τοῦ τείχους ἀπατήσας προελθεῖν, 20 ὥσπερ ἐντολὰς εἶχεν. Ὁ δ' ἀπ' ἀρχῆς ὑποπτεύων τοὺς Βαρβάρους καὶ τότε πεπυσμένος εἰς τοὺς πολεμίους ἐμπεπτωκέναι τὰ μηνύοντα τὴν ἐπιβουλὴν αὐτῷ γράμματα, προελθεῖν οὐκ ἐβούλετο, καίτοι μάλα ἀξιοπίστως τοῦ Πακόρου φάσκοντος δεῖν αὐτὸν ὑπαντῆσαι τοῖς τὰς ἐπιστολὰς κομίζουσιν· 21 οὔτε γὰρ ἐαλωκέναι τοῖς πολεμίοις αὐτὰς, καὶ περιέχειν οὐκ 22 ἐπιβουλὴν, ἀλλ' ὁπόσα διεπράξατο Φασάηλος. Ἔτυχε δὲ παρ' ἄλλων προακηκοὼς τὸν ἀδελφὸν συνειλημμένον, καὶ προσήει ἡ Ὑρκανοῦ θυγάτηρ Μαριάμμη, συνετωτάτη γυναικῶν, καταντιβολοῦσα μὴ προϊέναι, μηδ' ἐμπιστεύειν ἑαυτὸν ἤδη φανερῶς ἐπιχειροῦσι τοῖς Βαρβάροις.

23 7. Ἔτι δὲ τῶν περὶ Πάκορον σκεπτομένων, πῶς ἂν κρύφα τὴν ἐπιβουλὴν ἀπαρτίσειαν, οὐ γὰρ ἐκ τοῦ φανεροῦ οἷόν τε ἦν ἀνδρὸς οὕτω συνετοῦ περιγενέσθαι, προλαβὼν Ἡρώδης μετὰ τῶν οἰκειοτάτων προσώπων, νύκτωρ ἐπὶ Ἰδουμαίας ἐχώ- 24 ρει λάθρα τῶν πολεμίων. Αἰσθόμενοι δὲ οἱ Πάρθοι κατεδίωκον. Καὶ ἐκεῖνος τὴν μὲν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν καθωμολογημένην παῖδα μετὰ τῆς μητρὸς καὶ τοῦ νεωτάτου τῶν ἀδελφῶν προστάξας ὁδεύειν, αὐτὸς ἀσφαλῶς μετὰ τῶν θεραπόντων ἀνέκοπτε τοὺς Βαρβάρους· καὶ πολλοὺς κατὰ πᾶσαν προσβολὴν ἀποκτείνας, εἰς Μασάδαν τὸ φρούριον ἀφῖκτο.

πρὸς τῇ ἐπιορκίᾳ M.P.E. ἄπιστον αὐτοὺς T. 19 ἐπεβούλευσε T. 20 γράμματα προσελθεῖν P. 22 προσήει Ὑρκανοῦ P.E. προσῆν ἡ Ὑρκανοῦ N. et T. sed hujus in marg. προσήει. μὴ προσιέναι M. μηδὲ πιστεύειν N.E.T. et L. sed in hoc ex correctione μηδ' ἐμπ. 23 ἐκ φανεροῦ L.N. οὕτω δυνατοῦ περιγ. M. ἐπὶ Ἰδουμαίαν P.N. λάθρα. Αἰσθόμενοι L.N.T. 24 τὴν μητέρα sic T. μητέρα καὶ τοὺς ἀδελφοὺς καὶ L.M.N.T. τοῦ νεωτέρου τῶν M. ὁδεύειν, ἀνέκοπτε τοὺς βαρβάρους αὐτὸς ἀσφαλῶς μετὰ τῶν θεραπόντων transp. M. ἀφίκετο L. ἠπείγετο P.

8. Καὶ βαρυτέρους κατὰ τὴν φυγὴν Πάρθων Ἰουδαίους 25
ἐπείρασεν, ἐνοχλήσαντας μὲν διηνεκῶς, ἀπὸ δ' ἑξήκοντα τῆς
πόλεως σταδίων καὶ παραταξαμένους ἐπιεικῶς πολὺν χρόνον.
Ἔνθα κρατήσας Ἡρώδης καὶ πολλοὺς αὐτῶν ἀποκτείνας, 26
αὖθις εἰς μνήμην τοῦ κατορθώματος ἔκτισε τὸ χωρίον, καὶ
βασιλείοις πολυτελεστάτοις ἐκόσμησε, καὶ ἀκρόπολιν ὀχυρω-
τάτην ἀνεδείματο, Ἡρώδειόν τε ἐκάλεσεν ἀφ' ἑαυτοῦ. Τηνι- 27
καῦτά γε μὴν φεύγοντες, καθ' ἡμέραν αὐτῷ προσεγίνοντο
πολλοί. Καὶ κατὰ Θρῆσσαν γενομένῳ τῆς Ἰδουμαίας Ἰώ-
σηπος ἀδελφὸς ὑπαντήσας, συνεβούλευε ' τοὺς πολλοὺς τῶν
ἑπομένων ἀποφορτίσασθαι· μὴ γὰρ ἂν τοσοῦτον ὄχλον
δέξασθαι τὴν Μασάδαν.' Ἦσαν δ' ὑπὲρ ἐννεακισχι- 28
λίους. Πεισθεὶς οὖν Ἡρώδης τοὺς μὲν βαρυτέρους τῆς
χρείας διαφῆκεν ἀνὰ τὴν Ἰδουμαίαν, δοὺς ἐφόδια· μετὰ δὲ
τῶν ἀναγκαιοτάτων τοὺς ἀλκιμωτάτους κατασχών, εἰς τὸ
φρούριον διασώζεται. Καταλιπὼν δ' ἐνταῦθα ταῖς γυναιξὶν 29
ὀκτακοσίους φύλακας, καὶ διαρκῆ τὰ ἐπιτήδεια πρὸς πολιορ-
κίαν, αὐτὸς εἰς τὴν Ἀραβικὴν Πέτραν ἠπείγετο.

9. Πάρθοι δ' ἐν Ἱεροσολύμοις ἐφ' ἁρπαγὴν τραπόμενοι, 30
τῶν φυγόντων εἰς τὰς οἰκίας εἰσέπιπτον καὶ τὸ βασίλειον,
ἀπεχόμενοι μόνων τῶν Ὑρκανοῦ χρημάτων. Ἦν δ' οὐ πλείω
τριακοσίων ταλάντων. Ἐπετύγχανον δὲ καὶ τῶν ἄλλων οὐχ 31
ὅσοις ἤλπισαν· ὁ γὰρ Ἡρώδης ἐκ πολλοῦ τὴν ἀπιστίαν τῶν
Βαρβάρων ὑφορώμενος, εἰς τὴν Ἰδουμαίαν τὰ λαμπρότατα
τῶν κειμηλίων προανεσκεύαστο, καὶ τῶν αὐτῷ προσεχόντων
ὁμοίως ἕκαστος. Πάρθοι δὲ μετὰ τὰς ἁρπαγὰς ἐπὶ τοσοῦ- 32

25 Βαρυτέρους δὲ κατὰ P. ὀχλήσαντας P. σταδίων παραταξαμέ-
νους M. 26 τῶν κατορθωμάτων L.N.T. βασιλείοις τε πολ. M.E.
Ἡρώδιόν τε L.N. 27 φεύγοντι, καθ' ἡμ. P. καὶ κατὰ τὴν Θρῆσαν
γενομ. L.N.T. καὶ παρῆσαν, γενομ. P. γενομένῳ δ' ἐπὶ τῆς P. ὁ ἀδελ-
φὸς T. ἀδελφὸς ὑπαντιάσας M. συνεβούλευσε L.N. ἑπομένων ἀπο-
φροντίσασθαι L. 28 ἐννακισχ. L.N. τοὺς ἐννακισχ. P. Πεισθεὶς
Ἡρώδης P. διαφῆκεν εἰς τὴν M.T. μετὰ δὲ τὴν Ἰδουμαίαν ἄγων τοὺς
ἀλκι. L.N. τῶν ἀναγκαιοτάτων ex correct. et adjecto in marg. κατα-
σχὼν T. 31 ὁμοίως deest P. 32 Πάρθοι δὲ κατὰ τὰς L.N.T.

τον ὕβρεως ἐχώρησαν, ὡς ἐμπλῆσαι μὲν ἀκηρύκτου πολέμου τὴν χώραν ἅπασαν, ἀνάστατον δὲ ποιῆσαι τὴν Μαρισσαίων πόλιν, μὴ μόνον τε καταστῆσαι βασιλέα Ἀντίγονον, ἀλλὰ καὶ παραδοῦναι αὐτῷ Φασάηλόν τε καὶ Ὑρκανὸν δεσμώτας
33 αἰκίσασθαι. Ὁ δὲ Ὑρκανοῦ μὲν προσπεσὼν αὐτὸς τὰ ὦτα λωβᾶται τοῖς ὀδοῦσιν, ὡς μηδὲ αὖθις ἐν μεταβολῇ ποτὲ δύναιτο τὴν ἀρχιερωσύνην ἀναλαβεῖν· δεῖ γὰρ ὁλοκλήρους ἀρχιερᾶσθαι.

34 10. Τῆς Φασαήλου δὲ ἀρετῆς ὑστερίζει, φθάσαντος πέτρᾳ προσαράξαι τὴν κεφαλὴν, ὥς γε σιδήρου καὶ χειρῶν εἴργετο. Καὶ ἐκεῖνος μὲν, Ἡρώδου γνήσιον ἑαυτὸν ἀποδείξας ἀδελφὸν, καὶ Ὑρκανὸν ἀγενέστατον, ἀνδρειότατα θνήσκει, ποιησάμενος τὴν καταστροφὴν τοῖς κατὰ τὸν βίον ἔργοις πρέπουσαν.
35 Κατέχει δὲ καὶ ἄλλος λόγος, ὡς ἀνενέγκαι μὲν ἐκ τῆς τότε πληγῆς, πεμφθεὶς δ' ἰατρὸς ὑπ' Ἀντιγόνου, θεραπεῦσαι δῆθεν αὐτὸν, ἐμπλήσειε τὸ τραῦμα δηλητηρίων φαρμάκων, καὶ
36 διαφθείρειεν αὐτόν. Ὁπότερον δ' ἂν ἀληθὲς ᾖ, τὴν ἀρχὴν ἔχει λαμπράν. Φασὶ γοῦν αὐτὸν καὶ πρὶν ἐκπνεῦσαι, πυθόμενον παρὰ γυναίου τινὸς, ὡς Ἡρώδης διαφύγοι, "Νῦν," εἰπεῖν, "εὔθυμος ἄπειμι, τὸν μετελευσόμενον τοὺς ἐχθροὺς ζῶντα καταλιπών."

37 11. Ὁ μὲν οὖν οὕτως τελευτᾷ. Πάρθοι δὲ καίτοι διημαρτηκότες ὧν μάλιστα ἐπεθύμουν γυναικῶν, καθιστᾶσι μὲν ἐν Ἱεροσολύμοις Ἀντιγόνῳ τὰ πράγματα, δεσμώτην δὲ Ὑρκανὸν ἀνάγουσιν εἰς τὴν Παρθυηνήν.

Μαρισαίων L.N.P.T. μόνον δὲ κατ. L.N.T. παραδοῦναί τε αὐτῷ N. Φασάηλον καὶ P.E. 33 πρυσπεσόντος M.N.T.E. et L. sed in hoc ex correctione προσπεσὼν. μὴ καὶ αὖθις ex correct. L. μή τε αὖθις P. ἀρχ. ἀπολαβεῖν L.N.T. 34 Φασαήλου τε ἀρ. N. πέτρᾳ προσράξαι L.T. πετ. προσρήξαι P. ὡς καὶ σιδη. P. et L. ex correct. σιδήρου μὲν καὶ L.M.N. ἑαυτὸν Ἡρώδου γνήσιον transp. L.N.T. ἀγεννέστατον L.M.N. 36 ᾗ ἀληθὲς transp. L.N.T. Ἡρ. διαπεφεύγοι P. Νῦν, εἶπεν, P. εὐθύμως N.T. εὐθύμως L. καταλιπὼν ζῶντα. P. 37 οὕτω τελ. L.N.T.

CAP. XIV.

Antt. 14. 14. 1. 1. Ἡρώδης δὲ συντονώτερον ἤλαυνεν εἰς τὴν Ἀραβίαν, ὡς ἔτι τοῦ ἀδελφοῦ ζῶντος ἐπειγόμενος χρήματα παρὰ τοῦ βασιλέως λαβεῖν, οἷς μόνοις πείσειν ὑπὲρ Φασαήλου τὴν τῶν Βαρβάρων ἤλπιζε πλεονεξίαν. Ἐλογίζετο γὰρ, εἰ τῆς 2 πατρῴας φιλίας ἀμνημονέστερος ὁ Ἄραψ γένοιτο, καὶ τοῦ δοῦναι δωρεὰν μικρολογώτερος, δανείσασθαι παρ' αὐτοῦ τὰ λύτρα ῥύσιον θεὶς τὸν τοῦ λυτρουμένου παῖδα· καὶ γὰρ ἐπή- 3 γετο τὸν ἀδελφιδοῦν ὄντα ἐτῶν ἑπτὰ, τάλαντα δὲ ἦν ἕτοιμος τριακόσια δοῦναι, προστησάμενος Τυρίους παρακαλοῦντας. Τὸ χρεὼν δ' ἄρα τὴν αὐτοῦ σπουδὴν ἐφθάκει, καὶ Φασαήλου τεθνηκότος εἰς κενὸν Ἡρώδης φιλάδελφος ἦν· οὐ μὴν οὐδὲ παρὰ Ἄραψιν ηὗρισκε φιλίαν μένουσαν. Ὁ γοῦν βασιλεὺς 4 αὐτῶν Μάλιχος, προπέμψας κατὰ τάχος ἐκ τῆς χώρας προσέτασσεν ἀναστρέφειν, προφάσει μὲν χρώμενος Πάρθοις, ἐπικηρυκεύσασθαι γὰρ αὐτοὺς ἐκβάλλειν Ἡρώδην τῆς Ἀραβίας, τῷ δὲ ὄντι προαιρούμενος κατασχεῖν τὰ Ἀντιπάτρου χρέα, καὶ μηδὲν εἰς τὰς ἐκείνου δωρεὰς ἀντιπαρασχεῖν χρήζουσι τοῖς τέκνοις δυσωπεῖσθαι. Συμβούλοις δ' ἐχρῆτο τῆς 5 ἀναιδείας τοῖς ὁμοίως ἀποστερεῖν τὰς Ἀντιπάτρου παρακαταθήκας ἐθέλουσιν· ἦσαν δὲ περὶ αὐτὸν οἱ δυνατώτατοι.

2. Ἡρώδης μὲν δὴ πολεμίους τοὺς Ἄραβας εὑρὼν, δι' ἃ 6 φιλτάτους ἤλπισε, καὶ τοῖς ἀγγέλοις ἀποκρινάμενος, ὡς ὑπηγόρευε τὸ πάθος, ὑπέστρεψεν ἐπ' Αἴγυπτον. Καὶ τὴν 7

1 συντομώτερον L.N.T. ὡς ἐπὶ τοῦ N. ἤλπισε E. 2 αὐτοῦ λύτρα L. 3 καὶ γὰρ ἐπείγετο P. προστησόμενος P.E. χρεὼν δὲ παρὰ τὴν N. et T. in marg. τὴν σπουδὴν L.N. ἐπεφθάκει P. φιλίαν οὖσαν. Ὁ P. 4 αὐτῶν Μάλχος M.N.P.T. προπέμψας ἐκ τῆς χώρας κατὰ τάχος P. ἀναστρέφειν προσέτασσε L.N.T. πρόφασιν μὲν L.N. πρόφασι' sic T. Πάρθους P. αὐτοὺς ἐκβαλεῖν P.E. κατασχεῖν προαιρούμενος P. δωριὰς ἀντιπάσχειν N. δυσωπεῖσθαι deest M. 5 ὁμοίως ἤλπισε deest M. θέλουσιν P. 6 δι' ἃ καὶ φιλ. L.N.T. φιλτάτους ἔπεισε L. ὑποκρινόμενος P, ὑποκρινομενος sic T. ἐπ' Αἰγύπτου M.N.T.

μὲν πρώτην ἐσπέραν κατά τι τῶν ἐπιχωρίων ἱερῶν αὐλίζεται, τοὺς ἀπολειφθέντας ἀναλαβών· τῇ δ' ἐξῆς εἰς Ῥινοκούρουραν προελθόντι τὰ περὶ τὴν τοῦ ἀδελφοῦ τελευτὴν ἀπαγγέλλε-
8 ται. Προσλαβὼν δὲ πένθος ὅσον ἦν, ὡς ἀπεθήκατο φροντίδων, ἧττον προσωτέρω. Καὶ δὴ βραδέως ὁ Ἄραψ μετανοήσας, ἔπεμψε διὰ τάχους τοὺς ἀνακαλέσοντας τὸν ὑβρισμένον.
9 Ἔφθανε δὲ καὶ τούτους Ἡρώδης εἰς Πηλούσιον ἀφικόμενος, ἔνθα τῆς παρόδου μὴ τυγχάνων ὑπὸ τῶν ἐφορμούντων, τοῖς ἡγεμόσιν ἐντυγχάνει. Καὶ ἐκεῖνοι, τήν τε φήμην καὶ τὸ ἀξίωμα τοῦ ἀνδρὸς αἰδεσθέντες, προπέμπουσιν αὐτὸν εἰς
10 Ἀλεξάνδρειαν. Ὁ δὲ παρελθὼν εἰς τὴν πόλιν ἐδέχθη μὲν λαμπρῶς ὑπὸ Κλεοπάτρας, στρατηγὸν ἐλπιζούσης ἔξειν εἰς
11 ἃ παρεσκευάζετο. Διακρουσάμενος δὲ τὰς παρακλήσεις τῆς βασιλίδος, καὶ μήτε τὴν ἀκμὴν τοῦ χειμῶνος ὑποδείσας, μήτε τοὺς κατὰ τὴν Ἰταλίαν θορύβους, ἐπὶ Ῥώμης ἔπλει.

12 3. Κινδυνεύσας δὲ περὶ τὴν Παμφυλίαν, καὶ τοῦ φόρτου τὸ πλεῖον ἐκβαλὼν, μόλις εἰς Ῥόδον διασώζεται, σφόδρα τῷ
13 πρὸς Κάσσιον πολέμῳ τετρυχωμένην. Δεχθεὶς δὲ ὑπὸ Πτολεμαίου καὶ Σαππινίου τῶν φίλων, καίπερ ἐν ἀπορίᾳ χρημάτων ὤν, ναυπηγεῖται τριήρη μεγίστην· ἐν ᾗ μετὰ τῶν φίλων εἰς Βρεντέσιον καταπλεύσας, καὶ ἐκεῖθεν εἰς Ῥώμην ἐπειχθεὶς, πρώτῳ διὰ τὴν πατρῴαν φιλίαν ἐνετύγχανεν Ἀντωνίῳ, καὶ τάς τε αὐτοῦ καὶ τοῦ γένους συμφορὰς ἐκδιηγεῖ-
14 ται· ὅτι τε τοὺς οἰκειοτάτους ἐν φρουρίῳ καταλιπὼν πολιορκουμένους διὰ χειμῶνος πλεύσειεν ἐπ' αὐτὸν ἱκέτης.

15 4. Ἀντωνίου δὲ ἥπτετο πρὸς τὴν μεταβολὴν οἶκτος, καὶ

7 χωρίων ἱερὸν T. αὐλίζεται τοὺς ἐπιχωρίους ἀναλαμβανων M. et L.T. sed horum in marg. τοὺς ὑπολειφθέντας. ὑπολειφθέντας P. προσελθόντι L M.N.T. 8 πένθους L.N.E. πένθος sic T. ἦν ὧν ἀπεθ. rec. man. L. ὅσον ἀπεθήκατο P. ἀνακαλέσαντας M. 9 ἔφθασε T. ἐφορμώντων L.M.N.P.T. 12 περὶ Παμφυλίαν L.N.P.T. τὸ πλέον ἐκβαλὼν μόγις L.N.T. 13 Δεχθεὶς ὑπὸ P. Σαπφινίου L N. Σαμφινίου M. Σαφηνίου P. καίπερ δ' ἐν M. καίπερ δὲ ὢν ἐν P. χρημάτων ἦν ναυ. L. χρημάτων ναυ. N.P.T. Βρεντήσιον P. et T. ex correct. τάς γε αὐτοῦ L.N.T. τά τε αὐτοῦ sed rec. manu τάς P. ἐκδιηγείτο L. M.N.P.T. 14 ὅτι δὲ τοὺς L.N.

κατὰ μνήμην μὲν τῆς Ἀντιπάτρου ξενίας, τὸ δὲ ὅλον, καὶ διὰ τὴν αὐτοῦ τοῦ παρόντος ἀρετὴν, ἔγνωκε τότε βασιλέα καθιστᾶν Ἰουδαίων, ὃν πρότερον αὐτὸς ἐποίησε τετράρχην. Ἐνῆγε δ' οὐκ ἔλαττον τῆς εἰς Ἡρώδην φιλοτιμίας ἡ πρὸς 16
Ἀντίγονον διαφορά· τοῦτον γὰρ δὴ στασιώδη τε καὶ Ῥωμαίων ἐχθρὸν ὑπελάμβανε. Καίσαρα μὲν οὖν εἶχεν ἑτοιμό- 17
τερον αὐτοῦ, τὰς Ἀντιπάτρου στρατείας ἀνανεούμενον, ἃς κατ' Αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, τήν τε ξενίαν, καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, ὁρῶντά γε μὴν καὶ τὸ Ἡρώδου δραστήριον. Συνῆγε δὲ καὶ τὴν βουλὴν, ἐν ᾗ Μεσσάλας καὶ 18
μετ' αὐτὸν Ἀτρατῖνος, παραστησάμενοι τὸν Ἡρώδην, τάς τε πατρῴας εὐεργεσίας, καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους εὔνοιαν διεξῆσαν, ἀποδεικνύντες ἅμα καὶ πολέμιον τὸν Ἀντίγονον, ἐξ ὧν οὐ μόνον διηνέχθη τάχιον, ἀλλ' ὅτι καὶ τότε διὰ Πάρθων λάβοι τὴν ἀρχὴν, Ῥωμαίους ὑπεριδών. Τῆς δὲ 19
συγκλήτου πρὸς ταῦτα κεκινημένης, ὡς παρελθὼν Ἀντώνιος καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον βασιλεύειν Ἡρώδην συμφέρειν ἔλεγεν, ἐπιψηφίζονται πάντες. Λυθείσης δὲ τῆς 20
βουλῆς, Ἀντώνιος μὲν καὶ Καῖσαρ μέσον ἔχοντες Ἡρώδην ἐξῆσαν· προῆγον δὲ σὺν ταῖς ἄλλαις ἀρχαῖς οἱ ὕπατοι, θύσοντές τε καὶ τὸ δόγμα ἀναθήσοντες εἰς τὸ Καπιτώλιον. Τὴν δὲ πρώτην Ἡρώδου τῆς βασιλείας ἡμέραν Ἀντώνιος εἱστία αὐτόν.

CAP. XV.

Antt. 14. 14. 6.

1. Παρὰ δὲ τὸν χρόνον τοῦτον Ἀντίγονος ἐπολιόρκει 1
τοὺς ἐν Μασάδᾳ, τοῖς μὲν ἄλλοις ἐπιτηδείοις διαρκουμένους, σπανίζοντας δὲ ὕδατος. Διὸ καὶ Ἰώσηπος, ὁ ἀδελφὸς Ἡρώ- 2

15 αὐτοῦ deest P. δι' αὐτοῦ τὴν τοῦ T. ἔγνω καὶ τότε P. 16 τῆς εἰς Ἡρώδη sic P. διαφθορὰ sed eraso θ P. 17 Καῖσαρ μὲν P. στρατιὰς ἀναν. L.N.T. στρατηγίας ἀνανεούμενος P. 18 Συνήγαγε δὲ P. Μεσάλας P. Ἀτραγῖνος M. Ἀτραγαντῖνος L.N.T. Ἀτραντῖνος P. τάς τε πατρώους M.N. Ἀντίγονον, οὐ μόνον ὧν διεν. P. 19 καὶ τὸν κατὰ P. 20 τῆς ἀρχῆς Ἀντώνιος N. et L.T. sed in horum marg. manu rec. γρ. βουλῆς. Ἀντώνιος καὶ P. θύσοντες δὲ καὶ L.N. Καπετώλιον L.N.P.E.T. Ἡρώδη' sic T. Ἀντώνιος εἱστία. Παρὰ M. et T. ex correct. 1 ἐν Μεσάδᾳ L. Μασσάδᾳ T. 2 Ἰώσηπος, ἀδελ-

δου, σὺν διακοσίοις τῶν οἰκείων δρασμὸν ἐβούλευσεν εἰς Ἀραβας, ἀκηκοὼς τῶν εἰς Ἡρώδην ἁμαρτημάτων Μαλίχῳ μετα-
3 μέλειν. Καὶ ἂν ἔφθη καταλιπὼν τὸ φρούριον, εἰ μὴ περὶ τὴν νύκτα τῆς ἐξόδου συνέβη πλεῖστον ὑσαι· τῶν γὰρ ἐκδοχείων ὕδατος ἀναπλησθέντων, οὐκ ἔτ' ἐδέησε φυγῆς, ἀλλ' ἐπεξῆεσαν ἤδη τοῖς περὶ Ἀντίγονον, καὶ τὰ μὲν φανερῶς συμπλεκόμενοι, τὰ δὲ λοχῶντες συχνοὺς διέφθειρον. Οὐ μὴν ἐν ἅπασιν εὐστόχουν, ἔστι δ' ὅπη καὶ αὐτοὶ πταίοντες ἀνέστρεφον.

4 2. Καὶ ἐν τούτῳ Βεντίδιος ὁ Ῥωμαίων στρατηγὸς, πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν, μετ' ἐκείνους εἰς Ἰουδαίαν παρέβαλε, λόγῳ μὲν ὡς βοηθήσων τοῖς περὶ Ἰώσηπον,
5 ἔργῳ δ' Ἀντίγονον ἀργυριούμενος. Ἔγγιστα γοῦν Ἱεροσολύμων αὐλισάμενος, ὡς ἐνεπλήσθη χρημάτων, αὐτὸς μὲν ἀνεχώρει μετὰ τῆς πλείστης δυνάμεως, Σίλωνα δὲ σὺν μέρει τινὶ καταλέλοιπεν, ὡς μὴ κατάφωρον τὸ λῆμμα ποιήσειε
6 πάντας ἀπαναστήσας. Ἀντίγονος δὲ πάλιν ἐλπίζων Πάρθους ἐπαμύνειν αὐτῷ, καὶ Σίλωνα τέως ἐθεράπευσεν, ὡς μηδὲν ἐνοχλοίη πρὸς τὰς ἐλπίδας.

7 3. Ἤδη δὲ Ἡρώδης καταπεπλευκὼς ἐκ τῆς Ἰταλίας εἰς Πτολεμαΐδα, καὶ συναγηοχὼς δύναμιν οὐκ ὀλίγην ξένων τε καὶ ὁμοφύλων, ἤλαυνε διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον, συλλαμβανόντων Βεντιδίου τε καὶ Σίλωνος, οὓς Δέλλιος, ὑπ'
8 Ἀντωνίου πεμφθεὶς, Ἡρώδην συγκατάγειν ἔπεισεν. Ἐτύγχανε δὲ Βεντίδιος μὲν ἐν ταῖς πόλεσι τὰς διὰ Πάρθους

φὸς P. σὺν διακόνοις τῶν N. et T. in marg. ἐβουλεύετο εἰς L.E. ἐβουλεύοντο εἰς P. Μάλχῳ L.N.P.T. 3 πλεῖστον ὗσαι συνέβη T. ἐκδοχίων ἀναπλησθέντων ὕδατος L.N. ἀναπλησθέντων ὕδατος T. οὐ κατέδεησε L.N.T. οὐκ ἔτ' ἔχρηζε P.E. ἀλλ' ἐπεξίασιν in marg. T. ἔστι δ' ὅπου P. 4 Βένδιος N. Πάρθους ἀναιρεῖν N. et L. sed in hoc ex correctione ἀνείργειν. ὡς βοηθῶν N.T. ἔργῳ δὲ τοὺς περὶ Ἀντίγονον T. 5 συμμερίτην κατ. N.T. et L. sed hic ex correct. σὺν μέρει κατ. idem habet P. συμμετρίτην κατ. M. κατάφορον P. 6 ἐθεράπευεν L.N.P.T. πρὸ τῆς ἐλπίδος L.N.P.T. 7 ἀπὸ τῆς Ἰταλ. P. συναγειοχὼς L.N. Βεντιδίου καὶ L.N.P.T. συγκαταγάγειν P. 8 διὰ Πάρθου N. διὰ Πάρθων ex correct. T.

ταραχὰς καθιστάμενος, Σίλων δ' ἐν Ἰουδαίᾳ, χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. Οὐ μὴν Ἡρώδης ἰσχύος ἠπόρει, προϊόντι δὲ αὐτῷ καθ' ἡμέραν ηὔξετο τὰ τῆς δυνάμεως, καὶ πλὴν ὀλίγων πᾶσα ἡ Γαλιλαία προσέθετο. Προέκειτο μὲν οὖν τὸ ἀναγκαιότατον ἀγώνισμα, Μασάδα, καὶ τὸ ῥύσασθαι πρῶτον τοὺς οἰκείους ἐκ τῆς πολιορκίας. Γίνεται δ' ἐμπόδιον Ἰόππη· ταύτην γὰρ ἐχρῆν πολεμίαν οὖσαν ἐξελεῖν πρότερον, ὡς μὴ χωροῦντος ἐπὶ Ἱεροσολύμων κατὰ νώτου τι τοῖς ἐχθροῖς ἔρυμα καταλίποιτο. Συνῆπτε δὲ καὶ Σίλων ἀσμένως τῆς ἀπαναστάσεως πρόφασιν εὑρών. Ὡς δὲ προσέκειντο οἱ Ἰουδαῖοι διώκοντες, ἐπὶ τούτους Ἡρώδης ἐκδραμὼν μετ' ὀλίγου στίφους τρέπεται ταχέως, καὶ Σίλωνα διασώζει κακῶς ἀμυνόμενον.

4. Ἔπειτα Ἰόππην ἑλών, πρὸς τὴν Μασάδαν ῥυσόμενος τοὺς οἰκείους ἠπείγετο. Καὶ τῶν ἐπιχωρίων οὓς μὲν πατρῴα φιλία προσῆγεν, οὓς δὲ τὸ αὐτοῦ κλέος, οὓς δὲ τῆς ἐξ ἀμφοῖν εὐεργεσίας ἀμοιβή, πλείστους γε μὴν ἐλπὶς, ὡς ἐκ βασιλέως βεβαίου. Δυσκίνητος δὲ ἤδη δύναμις ἤθροιστο. Προϊόντα δ' Ἀντίγονος ἐνήδρευε, τὰ ἐπιτήδεια τῶν παρόδων προλοχίζων, ἐν οἷς οὐδὲν ἢ μικρὰ τοὺς πολεμίους ἔβλαπτεν. Ἡρώδης δὲ τούς τε ἐκ Μασάδας οἰκείους παραλαβὼν ῥᾳδίως καὶ Ῥῆσσαν τὸ φρούριον, ἦει πρὸς τὰ Ἱεροσόλυμα. Συνῆπτε δὲ αὐτῷ τὸ μετὰ Σίλωνος στρατιωτικὸν, καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες.

5. Στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν κλίμα τοῦ ἄστεος, οἱ ταύτῃ φύλακες ἐτόξευόν τε καὶ ἐξηκόντιζον αὐτούς· ἄλλοι δὲ κατὰ στίφος ἐκθέοντες ἀπεπειρῶντο τῶν προτεταγμένων. Ἡρώδης δὲ τὸ μὲν πρῶτον κηρύσσειν περὶ τὸ

9 ἠυξεῖτο P. πᾶσα Γαλ. M.E. 10 Μασάδε L. 11 Γίνεται μὲν ἐμ. L.N. δὲ ex correct. T. ἔρυμα λίποιτο L.N.T. ἐρ. καταλείποιτο P. 12 δὲ Σίσων L. δὲ Σίλων N. ἐπαναστάσεως sed ex correctione L. εὑρών. ᾧ προσέκειντο P. προσέκειντο Ἰουδ. L.N.P.E. Ἰουδαῖοι προσήκοντες, ἐπὶ P. ἐπὶ τούτοις L. 13 Μασάδα P. ἐπείγετο P. μὴν ἡ ἐλπὶς L. 15 τοὺς ἐκ P.T. Ῥῆσσαν L.N.P. Πρῆσσαν M. Θρῆσσαν sed in marg. Ῥησσαν T. 16 Στρατοπεδευσαμένους rec. ma. L. καὶ ἠκόντιζον M.T. 17 κηρύσσειν ἐπὶ τὸ L.E.

τεῖχος ἐκέλευεν, ὡς ἐπ' ἀγαθῷ τε παρῄει τοῦ δήμου καὶ ἐπὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μήτε τοὺς φανεροὺς ἐχθροὺς ἀμυ-
18 νόμενος, δώσων δὲ καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν. Ἐπεὶ δὲ ἀντιπαρηγοροῦντες οἱ περὶ τὸν Ἀντίγονον οὔτε κατακούειν τῶν κηρυγμάτων εἴων τινὰς, οὔτε μεταβάλλεσθαι, τὸ λοιπὸν ἀμύνασθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπε τοῖς σφετέροις· οἱ δὲ ταχέως ἅπαντας ἀπὸ τῶν πύργων ἐτρέψαντο τοῖς βέ-
λεσιν.

19 6. Ἔνθα δὴ καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν. Ἐπισκευασάμενος γὰρ πολλοὺς τῶν στρατιωτῶν σπάνιν ἐπιτηδείων ἀναβοᾶν, καὶ χρήματά εἰς τροφὰς ἀπαιτεῖν, ἀπαγαγεῖν τε σφᾶς χειμεριοῦντας εἰς τοὺς ἐπιτηδείους τόπους, ἐπειδὴ τὰ περὶ τὴν πόλιν ἦν ἔρημα, πάντα τῶν περὶ Ἀντί-
γονον προανασκευασαμένων, ἐκίνει τε τὸ στρατόπεδον, καὶ
20 ἀναχωρεῖν ἐπειρᾶτο. Ἡρώδης δ' ἐντυγχάνων τοῖς τε ὑπὸ τὸν Σίλωνα ἡγεμόσι, καὶ κατὰ πλῆθος τοῖς στρατιώταις, ἐδεῖτο ‘μὴ καταλιπεῖν αὐτὸν, ὑπό τε Καίσαρος καὶ Ἀντωνίου καὶ τῆς συγκλήτου προπεμφθέντα· λύσειν γὰρ αὐθημε-
21 ρὸν αὐτῶν τὰς ἀπορίας.’ Καὶ μετὰ τὴν δέησιν εὐθέως ὁρμήσας αὐτὸς εἰς τὴν χώραν, τοσαύτην αὐτοῖς ἐπιτηδείων ἀφθονίαν ἐκόμισεν, ὡς πάσας ἀποκόψαι τὰς Σίλωνος προφάσεις.
22 Εἵς τε τὰς ἑξῆς ἡμέρας μὴ διαλιπεῖν τὴν χορηγίαν προνοούμενος, ἐπέστελλε τοῖς περὶ Σαμάρειαν —ᾠκείωτο δὲ ἡ πόλις αὐτῷ— σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ βοσκήματα κατάγειν
23 εἰς Ἰεριχοῦντα. Ταῦτ' ἀκούσας Ἀντίγονος διέπεμψε περὶ τὴν χώραν, εἴργειν καὶ λοχᾶν τοὺς σιτηγοὺς κελεύων. Οἱ δ'

ἐκέλευσεν L.N.T. παρίη τοῦ δήμου P. 18 περὶ Ἀντίγονον L.N.T. ἀμύνεσθαι M. τοῖς ἀπὸ τοῦ τείχους M.P. τοῖς σφετέροις ἐπέτρεπεν. P. 19 καὶ ὁ Σίλων L.T. χρήματα ταῖς τροφαῖς L.N.T. χρήματά τε εἰς τρόφας E. ἀπάγειν τε M.P. τοὺς ἰδίους τόπους P. πόλιν ἔρημα πάντα ἔρημα N.T. πόλιν ἅπαντα sic. ead. man. L. Ἀντίγονον παρεσκευασμένων P. 20 Ἡρώδης δ' ἐγγὺς τυγχάνων P. τοῖς τε ἐπὶ τὸν N.T. τοῖς τε στρατιώταις P. 21 εὐθέως deest P. 22 οἰκείωτο L. καὶ σῖτον καὶ L.N.T. οἶνον καὶ βοσκήματα M. 23 ὁ Ἀντίγονος T. κατὰ τὴν χώραν L. N.E.T.

ὑπήκουον, καὶ πολὺ πλῆθος ὁπλιτῶν ὑπὲρ τὴν Ἰεριχοῦντα συνηθροίσθη· διεκαθέζοντο δ' ἐπὶ τῶν ὀρέων παραφυλάσσοντες τοὺς τὰ ἐπιτήδεια ἐκκομίζοντας. Οὐ μὴν Ἡρώδης 24
ἠρέμει, δέκα δὲ σπείρας ἀναλαβὼν, ὧν πέντε μὲν Ῥωμαϊκαὶ, πέντε δὲ Ἰουδαίων ἦσαν, ἔχουσαι καὶ μισθοφόρους μιγάδας, πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν Ἰεριχοῦντα παραγίνεται. Καὶ τὴν μὲν πόλιν καταλελειμμένην εὑρίσκει, πεντα- 25
κοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς. Αὐτοὺς μὲν οὖν ἀπολύει λαβών· Ῥωμαῖοι δ' εἰσπεσόντες, τὸ 26
λοιπὸν ἄστυ διήρπαζον, πλήρεις καταλαβόντες τὰς οἰκίας παντοίων κειμηλίων. Ἰεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε, καὶ χειμεριοῦσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας διαφῆκεν Ἰδουμαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν. Ἐπέτυχε δὲ καὶ Ἀντίγονος 27
παρὰ τῆς Σίλωνος δωροδοκίας, ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις, θεραπεύων Ἀντώνιον.

CAP. XVI.

Antt. 14. 15. 4.

1. Καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον, ἀνειμένοι τῶν 1
ὅπλων. Ἡρώδης δ' οὐκ ἠρέμει, ἀλλὰ τὴν μὲν Ἰδουμαίαν δισχιλίοις πεζοῖς, καὶ τετρακοσίοις ἱππεῦσι διαλαμβάνει, πέμψας τὸν ἀδελφὸν Ἰώσηπον, ὡς μή τι νεωτερισθείη πρὸς Ἀντιγόνου· αὐτὸς δὲ τὴν μητέρα, καὶ ὅσους ἐκ Μασάδας οἰκείους 2
ἐξήγαγε, μεταγαγὼν εἰς Σαμάρειαν, καὶ καταστησάμενος ἀσφαλῶς, ἦει τὰ λοιπὰ τῆς Γαλιλαίας καταστρεψόμενος, καὶ τὰς Ἀντιγόνου φρουρὰς ἐξελάσων.

ὁπλιτῶν ὑπὸ τὴν E. διεκαθίζοντο M.E. ἐπὶ τῶν ὀρῶν M. 24 πέντε μὲν Ῥωμαίων L.N.P.T. πρὸς οὓς ὀλίγους N. et L.T. sed in his ex correctione οἷς. ἱππέων παραλαβὼν, ἐπὶ τὴν E. Ἰεριχοῦντα γίνεται L.N.T. 25 πόλιν λελειμμένην L.N.T. κατειληφότες T. γυναιξί τε καὶ L. 26 Αὐτὸς μὲν οὖν N. λαβὼν ἀπολύει L. ἀπολαβὼν ἀπολύει N.T. διήρπασαν πλήρεις καταλαμβάνοντες L.N.P.E.T. φρουρὸν sic T. προκεχωρηκυίας L.N.T. πόλεις διαφῆκεν L.E. διαφῆκεν Ἰουδαίαν καὶ L.M.N.T. 27 Λύδοις T. Λύδδοις, ὡς θεραπεύσων M. 1 διελάμβανε E. ὃς μή τι ex rasura L. εἰ μή τι N. ὡς μή τι ex correct. T. πρὸς Ἀντίγονον L.N.P. et T. in marg.

3 2. Πρὸς δὲ τὴν Σέπφωριν ἐν νιφετῷ σφοδροτάτῳ διανύσας, ἀκμητὶ παραλαμβάνει τὴν πόλιν, πρὸ τῆς ἐφόδου τῶν
4 φυλάκων ἐκφυγόντων. Ἔνθα τοὺς ἑπομένους ὑπὸ τοῦ χειμῶνος κακωθέντας ἀναλαβὼν — πολλὴ δ' ἦν ἀφθονία τῶν ἐπιτηδείων — ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ὥρμητο λῃστὰς, οἳ πολλὴν τῆς χώρας κατατρέχοντες οὐκ ἐλάττω κακὰ πολέμου διετίθε-
5 σαν τοὺς ἐπιχωρίους. Προπέμψας δὲ πεζῶν τρία τέλη, καὶ μίαν ἴλην ἱππέων πρὸς Ἄρβηλα κώμην, αὐτὸς μετὰ τεσσαράκοντα ἡμέρας ἐπῆλθε μετὰ τῆς λοιπῆς δυνάμεως. Οὐ μὴν πρὸς τὴν ἔφοδον ἔδεισαν οἱ πολέμιοι, μετὰ δὲ τῶν ὅπλων ἀπήντων, τὴν μὲν ἐμπειρίαν πολεμικὴν ἔχοντες, τὸ δὲ θράσος
6 λῃστρικόν. Συμβαλόντες γοῦν τῷ σφετέρῳ δεξιῷ τὸ εὐώνυμον κέρας τῶν Ἡρώδου τρέπονται. Περιελθὼν δὲ ταχέως Ἡρώδης ἐκ τοῦ καθ' ἑαυτὸν δεξιοῦ, προσεβοήθει, καὶ τὸ μὲν οἰκεῖον ἐπέστρεφεν ἐκ τῆς φυγῆς, τοῖς δὲ διώκουσιν ἐμπίπτων, ἀνέκοπτε τὴν ὁρμὴν, μέχρι τὰς κατὰ στόμα προσβολὰς μὴ φέροντες ἐνέκλιναν.
7 3. Ὁ δὲ ἕως Ἰορδάνου κτείνων εἵπετο, καὶ πολὺ μὲν αὐτῶν μέρος διέφθειρεν, οἱ λοιποὶ δ' ὑπὲρ τὸν ποταμὸν ἐσκεδάσθησαν, ὥστε τὴν Γαλιλαίαν κεκαθάρθαι φόβων, πλὴν καθόσον οἱ τοῖς σπηλαίοις ἐμφωλεύοντες ὑπελείποντο, καὶ ἐπὶ τού-
8 τοις ἔδει διατριβῆς. Διὸ δὴ πρῶτον τοῖς στρατιώταις τὰς ἐκ τῶν πεπονημένων ἐπικαρπίας ἀπεδίδου, διανέμων ἑκάστῳ δραχμὰς ἑκατὸν πεντήκοντα ἀργυρίου, καὶ τοῖς ἡγεμόσι πολυπλασίονα διέπεμψεν εἰς οὓς ἐχειμέριζον σταθμούς.
9 Φερώρᾳ δὲ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπέστελλε, τῆς τε ἀγο-

3 τὴν ἔπφωριν L. διανύσας, ἀκονητὶ P. 4 πολέμου κακὰ M.T. 5 δύο τέλη sed in marg. τρία T. μίαν εἴλην N. ἀπήντων, ἐμπειρίαν μὲν P. 6 Συμβαλόντων L. κέρας τοῦ Ἡρώδου L.M. τὰς οἰκείας prima ma. P. κατ' αὐτὸν prima manu καθ' αὐτὸν sec. et in marg. καθ' ἑαυτὸν T. ἀνέκοψε L.N.E. ἐξέκλιναν P. ἐπέκλιναν T. 7 κτείνειν E. ἐκκεκαθαρθαι P. κεκ. φόνων M. et T. in marg. καθόσον ἐν τοῖς N.T. οἱ καθόσον ἐν τοῖς L. 8 ἐπεδίδου L. πολλαπλάσιον L.N.T. ἐχειμερίζων P.

ρᾶς αὐτοῖς ποιεῖσθαι πρόνοιαν, καὶ τειχίζειν Ἀλεξάνδρειον. Καὶ ἐκεῖνος ἀμφοτέρων ἐπεμελήθη.

4. Ἐν δὲ τούτῳ περὶ μὲν Ἀθήνας διῆγεν Ἀντώνιος· Βεντίδιος δ' ἐπὶ τὸν πρὸς Πάρθους πόλεμον Σίλωνά τε καὶ Ἡρώδην μετεπέμπετο, καταστήσασθαι πρότερον ἐπιστέλλων τὰ περὶ Ἰουδαίαν. Ἡρώδης δὲ ἀσμένως Σίλωνα πρὸς Βεντίδιον ἀπολύσας, αὐτὸς ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ἐστράτευσεν. Τὰ δὲ σπήλαια ταῦτα πρὸς ἀποκρήμνοις ὄρεσιν ἦν οὐδαμόθεν προσιτά, πλαγίας δὲ ἀνόδους μόνον ἔχοντα στενωτάτας. Ἡ δὲ κατὰ μέτωπον αὐτῶν πέτρα κατέτεινεν εἰς βαθυτάτας φάραγγας, ὀρθίαις ἐπιρρέπουσα ταῖς χαράδραις, ὥστε τὸν βασιλέα μέχρι πολλοῦ μὲν ἀπορεῖν πρὸς τὸ ἀμήχανον τοῦ τόπου, τελευταῖον δ' ἐπινοίᾳ χρήσασθαι σφαλερωτάτῃ. Τοὺς γοῦν ἀλκίμους καθιμῶν ἐν λάρναξιν ἐνίει τοῖς στομίοις· οἱ δὲ ἀπέσφαττόν τε αὐτοὺς σὺν γενεαῖς, καὶ πῦρ ἐνίεσαν τοῖς ἀμυνομένοις. Βουληθεὶς δ' ἐξ αὐτῶν καὶ περισῶσαί τινας Ἡρώδης, ἐκήρυξεν ἀποχωρεῖν πρὸς αὐτόν. Τῶν δὲ ἐθελούσιος μὲν οὐδεὶς προσέθετο, καὶ τῶν βιαζομένων δὲ πολλοὶ τῆς αἰχμαλωσίας προείλοντο θάνατον. Ἔνθα καὶ τῶν γηραιῶν τις ἑπτὰ παίδων πατὴρ μετὰ τῆς μητρὸς δεομένους τοὺς παῖδας ἐπιτρέψαι σφίσιν ἐξελθεῖν ἐπὶ δεξιᾷ, κτείνει τρόπῳ τοιῷδε. Καθ' ἕνα προϊέναι κελεύσας, αὐτὸς ἵστατο παρὰ τὸ στόμιον, καὶ τὸν ἀεὶ προϊόντα τῶν υἱῶν ἀπέσφαττεν. Ἐξ ἀπόπτου δὲ Ἡρώδης ἀποβλέπων, τῷ τε πάθει συνεχεῖτο, καὶ τῷ πρεσβύτῃ δεξιὰν ὤρεγε, φείσασθαι τῶν τέκνων παρακαλῶν. Ὁ δὲ πρὸς οὐδὲν ἐνδοὺς τῶν λεγομένων, ἀλλὰ καὶ προσονειδίσας τὸν Ἡρώδην εἰς ταπεινότητα,

9 Ἀλεξάνδριον L. 10 Ἡρώδης μὲν L.N.E.T. τοῖς σπηλαίοις ὄρεσιν ἦει ληστὰς. ἦν δ' οὐδαμόθεν προσιτὰ P. 11 στενοτάτας P.T.

12 ὄρθιος P.E. et T. ex correct. 13 καθιὼν sic L. συγγενεαῖς L. σὺν γεννεαῖς M. ἀναχωρεῖν P. 14 ἐθελουσίως L.P. προείλαντο L.N. τῶν γηρεῶν L. 15 ἵσταται N.T. ἐπὶ τὸ στόμιον P. καὶ τὸν προϊόντα M. 16 ἀπόπτου τε M. ἐπιβλέπων L.N.P.T.

ἐπὶ τοῖς παισὶν ἀναιρεῖ καὶ τὴν γυναῖκα, καὶ καταβαλὼν κατὰ τοῦ κρημνοῦ τοὺς νεκροὺς τὸ τελευταῖον καὶ ἑαυτὸν ἔρριψεν.

18 5. Χειροῦται μὲν οὕτω τὰ σπήλαια καὶ τοὺς ἐν αὐτοῖς Ἡρώδης. Καταλιπὼν δὲ τοῦ στρατοῦ μοῖραν ὅσην ἀποχρήσειν ὑπελάμβανε πρὸς τὰς ἐπαναστάσεις, καὶ Πτολεμαῖον ἐπ' αὐτῆς, ἐπὶ Σαμάρειαν ὑπέστρεφεν, ὁπλίτας μὲν τρισχι-
19 λίους, ἱππεῖς δὲ ἄγων ἑξακοσίους ἐπ' Ἀντίγονον. Ἔνθα πρὸς τὴν ἀποχώρησιν αὐτοῦ λαβόντες ἄδειαν, οἷς ἔθος ἦν θορυβεῖν τὴν Γαλιλαίαν, κτείνουσι μὲν Πτολεμαῖον τὸν στρατηγὸν ἀδοκήτως προσπεσόντες, ἐπόρθουν δὲ τὴν χώραν ποιούμενοι τὰς ἀναφυγὰς εἰς τὰ ἕλη καὶ τὰ δυσερεύνητα τῶν
20 χωρίων. Πυθόμενος δὲ Ἡρώδης τὴν ἐπανάστασιν, διὰ τάχους ἐπεβοήθει, καὶ πολὺ μὲν αὐτῶν πλῆθος διέφθειρε, τὰ φρούρια δὲ πάντα πολιορκίαις ἑξελών, ἐπιτίμιον τῆς μεταβολῆς εἰσεπράξατο παρὰ τῶν πολεμίων ἑκατὸν τάλαντα.

21 6. Ἤδη δὲ Πάρθων μὲν ἐξεληλαμένων, ἀνηρημένου δὲ Πακόρου, Βεντίδιος, ἐπιστείλαντος Ἀντωνίου, συμμάχους πέμπει Ἡρώδῃ κατὰ Ἀντιγόνου χιλίους ἱππεῖς καὶ δύο τάγ-
22 ματα. Τούτων τὸν στρατηγὸν Μαχαιρᾶν Ἀντίγονος ἱκέτευε δι' ἐπιστολῶν ἑαυτῷ βοηθὸν ἀφικέσθαι, πολλὰ περί τε τῆς Ἡρώδου βίας, καὶ ἐπηρείας τῆς βασιλείας ἀποδυρόμενος,
23 καὶ χρήματα δώσειν ὑπισχνούμενος. Ὁ δὲ — οὐ γὰρ κατεφρόνει τοῦ πέμψαντος, ἄλλως τε καὶ πλέον Ἡρώδου διδόντος — εἰς μὲν τὴν προδοσίαν οὐχ ὑπήκουσεν, ὑποκρινόμενος δὲ φιλίαν, κατάσκοπος ἦει τῶν Ἀντιγόνου πραγμάτων, Ἡρώδῃ
24 μὴ πεισθεὶς ἀποτρέποντι. Προαισθόμενος δὲ αὐτοῦ τὴν διάνοιαν Ἀντίγονος, τήν τε πόλιν ἀπέκλεισε, καὶ ἀπὸ τῶν τει-

17 νεκροὺς τελευταῖον ἑαυτὸν L.N.P.T. 18 ἐπὶ Σαμαρείας P. Θολεμαῖον P. 19 εἴς τε τὰ ἕλη M. καὶ δυσερεύνητα N. 20 ἀνάστασιν sed in marg. ἐπανάστασιν T. διαφθείρει P. φρούρια δὲ αὐτῶν ἐν πολιορκίαις P. πολιορκίας L.M.E. 21 ἐξεληλασμένων N. πέμπει συμμάχους P. 22 Τούτων δὲ τὸν P. ἐπιστολῶν αὐτῷ L.N.T πολλά τε περί τε P. καὶ ἐπηρείας τῆς βασιλείας desunt L.N.P. ὑπισχνούμενος. Οὐδὲ γὰρ M. 23 καὶ πλεῖον P. κατάσκοπος εἴη L. 24 ἀπὸ τειχῶν L.

χῶν ὡς πολέμιον ἠμύνατο, μέχρις αἰδούμενος Μαραιρᾶς εἰς Ἀμμαοῦντα πρὸς Ἡρώδην ἐχώρει, καὶ πρὸς τὴν διαμαρτίαν τεθυμωμένος, ὅσοις ἐπετύγχανεν Ἰουδαίοις ἀνῄρει, μηδεμίαν τῶν Ἡρωδείων φειδὼ ποιούμενος, ἀλλ' ὡς Ἀντιγονείοις χρώμενος ἅπασιν.

7. Ἐφ' οἷς χαλεπήνας Ἡρώδης ὥρμησε μὲν ἀμύνασθαι 25
Μαχαιρᾶν ὡς πολέμιον. Κρατήσας δὲ τῆς ὀργῆς ἤλαυνε πρὸς Ἀντώνιον κατηγορήσων τῆς Μαχαιρᾶ παρανομίας. Ὁ δὲ ἐν διαλογισμῷ τῶν ἡμαρτημένων γενόμενος, ταχέως μεταδιώκει τε τὸν βασιλέα, καὶ πολλὰ δεηθεὶς ἑαυτῷ διαλλάττει. Οὐ μὴν Ἡρώδης ἐπαύσατο τῆς πρὸς Ἀντώνιον ὁρμῆς· ἀκη- 26
κοὼς δὲ αὐτὸν μετὰ πολλῆς δυνάμεως προσπολεμοῦντα Σαμοσάτοις, πόλις δέ ἐστιν Εὐφράτου πλησίον καρτερά, θᾶττον ἠπείγετο, τὸν καιρὸν ἐπιτήδειον ὁρῶν πρός τε ἐπίδειξιν ἀνδρείας, καὶ τοῦ μᾶλλον ἀρέσασθαι τὸν Ἀντώνιον. Γίνεται 27
γοῦν ἐπελθὼν τέλος αὐτοῖς τῆς πολιορκίας, πολλοὺς μὲν τῶν Βαρβάρων ἀποκτείνας, πολλὴν δὲ ἀποτεμόμενος λείαν· ὥστε τὸν μὲν Ἀντώνιον, θαυμάζοντα καὶ πάλαι τῆς ἀρετῆς αὐτὸν, τότε μᾶλλον οὕτως ἔχειν, καὶ πολὺ προσθεῖναι ταῖς τε ἄλλαις τιμαῖς αὐτοῦ καὶ ταῖς εἰς τὴν βασιλείαν ἐλπίσιν, Ἀντίοχον δὲ τὸν βασιλέα ἀναγκασθῆναι τὰ Σαμόσατα παραδοῦναι.

CAP. XVII.

Antt. 14. 15. 10.

1. Καὶ ἐν τούτῳ θραύεται τὰ κατὰ τὴν Ἰουδαίαν Ἡρώ- 1
δου πράγματα. Κατελελοίπει μὲν γὰρ Ἰώσηπον τὸν ἀδελφὸν ἐπὶ τῶν ὅλων, παραγγείλας ' μηδὲν μέχρι τῆς ὑποστροφῆς αὐτοῦ παρακινεῖν πρὸς Ἀντίγονον· οὐ γὰρ δὴ βέβαιον εἶναι Μαχαιρᾶν σύμμαχον, ἐξ ὧν ἔδρασεν.' Ὁ δὲ ὡς ἤκου- 2

Ἀμαοῦντα L. Ἡρώδην ἀνεχώρει L. Ἡρ. ἀναχωρεῖ P. διαμαρτίαν θυμούμενος P. Ἡρωδίων L.P. Ἀντιγονίοις L.P. 25 τῆς ὀρμῆς ἤλαυνε M.T. ἐν ἐπιλογισμῷ E. μεταδιώκει τὸν T. 26 πρὸς ἐπίδειξιν L. N.T. ἀνδρίας T. 27 πολλήν τε P. πάλαι τὰ τῆς ἀρετῆς αὐτοῦ E. et T. sec. man. αὐτόν τε μᾶλλον N. et L. sed in hoc secunda manu τότε. καὶ προσθεῖναι πολὺ P. παραδοῦναι τὰ Σαμόσατα. P. 1 μὲν Ἰώσηπον E. ἔδρασεν sic P.

σεν ὄντα πορρωτάτω τὸν ἀδελφὸν, ἀμελήσας τῶν παραγγελμάτων ἐπὶ Ἰεριχοῦντος ἐχώρει μετὰ πέντε σπειρῶν, ἃς συνέπεμψε Μαχαιρᾶς· ἤει δὲ τὸν σῖτον ἁρπάσων ἐν ἀκμῇ
3 τοῦ θέρους. Ἐπιθεμένων δ' ἐν τοῖς ὄρεσι καὶ ταῖς δυσχωρίαις τῶν ἐναντίων, αὐτός τε θνήσκει, μάλα γενναῖος ἐν τῇ
4 μάχῃ φανεὶς, καὶ τὸ Ῥωμαϊκὸν πᾶν διαφθείρεται· νεοσύλλεκτοι γὰρ ἐκ τῆς Συρίας ἦσαν αἱ σπεῖραι, καὶ οὐδὲν αὐταῖς ἐνεκέκρατο τῶν πάλαι στρατιωτῶν καλουμένων, ἐπαμύνειν τοῖς ἀπείροις πολέμου δυνάμενον.

5 2. Ἀντιγόνῳ δὲ οὐκ ἀπέχρησεν ἡ νίκη· προῆλθε δὲ εἰς τοσοῦτον ὀργῆς, ὥστε καὶ νεκρὸν αἰκίσασθαι τὸν Ἰώσηπον. Κρατήσας γοῦν τῶν σωμάτων ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ, καίτοι πεντήκοντα τάλαντα λύτρον αὐτῆς Φερώρα τοῦ ἀδελ-
6 φοῦ διδόντος. Τὰ δὲ τῆς Γαλιλαίας μετὰ τὴν Ἀντιγόνου νίκην ἐνεωτερίσθη πρὸς τοσοῦτον, ὥστε τοὺς τὰ Ἡρώδου φρονοῦντας τῶν δυνατῶν προσάγοντες εἰς τὴν λίμνην κατέ-
7 δυσαν οἱ προσέχοντες Ἀντιγόνῳ. Μετεβάλλετο δὲ πολλὰ καὶ τῆς Ἰδουμαίας, ἔνθα Μαχαιρᾶς ἀνετείχιζέ τι τῶν ἐρυμάτων· Γιτθᾶ καλεῖται. Τούτων δὲ οὐδέπω πέπυστο Ἡρώ-
8 δης. Μετὰ γὰρ τὴν Σαμοσάτων ἅλωσιν Ἀντώνιος μὲν καταστήσας ἐπὶ τῆς Συρίας Σόσσιον, καὶ προστάξας Ἡρώδῃ βοηθεῖν ἐπ' Ἀντίγονον, αὐτὸς εἰς Αἴγυπτον ἀνεχώρησε· Σόσσιος δὲ δύο μὲν τάγματα προαπέστειλεν εἰς Ἰουδαίαν Ἡρώδῃ συμμαχῶν, αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ἠκολούθει σχεδόν.

9 3. Ὅντι δὲ Ἡρώδῃ κατὰ τὴν πρὸς Ἀντιόχειαν Δάφνην, ὄνειροι σαφεῖς τὸν τοῦ ἀδελφοῦ θάνατον προσημαίνουσι, καὶ μετὰ ταραχῆς ἐκθορόντι τῆς κοίτης εἰσῄεσαν ἄγγελοι τῆς
10 συμφορᾶς. Ὁ δὲ ὀλίγον μὲν προσοιμώξας τῷ πάθει, τὸ πλεῖον δὲ τοῦ πένθους ὑπερθέμενος, ἐπὶ τοὺς ἐχθροὺς ἠπεί-

2 ἃς ἔπεμψε L.N.T. ἤει τὸν σίτον M. 4 ἦσαν ἐκ τῆς Συρίας P. ἀνεκέκρατο P.E. 6 προσαγαγόντες P. 7 Γιδθᾶ L.N. Μιθθὰ M. ὁ Γιτθᾶ E. Γιθθὰ T. 8 Σόσιον E. et sic deinceps. προτάξας sic T. προσαπέστειλεν L. προαπέστειλε τάγματα M. 10 ὀλίγῳ μὲν L.

γετο. Ποιούμενος δὲ τὴν πορείαν ὑπὲρ δύναμιν, καὶ διανύ- 11
σας ἐπὶ τὸν Λίβανον, ὀκτακοσίους μὲν τῶν περὶ τὸ ὄρος
προσλαμβάνει συμμάχους, Ῥωμαίων δὲ ἓν τάγμα ταύτῃ
συνῆψε. Μεθ' ὧν οὐ περιμείνας ἡμέραν εἰς τὴν Γαλιλαίαν 12
ἐνέβαλε, τούς τε πολεμίους ὑπαντιάσαντας εἰς ὃ καταλελοί-
πεσαν χωρίον τρέπεται. Καὶ προσέβαλλε μὲν συνεχῶς τῷ
φρουρίῳ· πρὶν δὲ ἑλεῖν, χειμῶνι βιασθεὶς χαλεπωτάτῳ, ταῖς
πλησίον ἐνστρατοπεδεύεται κώμαις. Ἐπεὶ δὲ αὐτῷ μετ' 13
ὀλίγας μὲν ἡμέρας καὶ τὸ δεύτερον παρ' Ἀντωνίῳ τάγμα
συνέμιξε, δείσαντες τὴν ἰσχὺν οἱ πολέμιοι διὰ νυκτὸς ἐξέλιπον
τὸ ἔρυμα.

4. Καὶ τὸ λοιπὸν ἦει διὰ Ἰεριχοῦντος σπεύδων ᾗ τάχιστα 14
τοὺς τοῦ ἀδελφοῦ φονεῖς μετελθεῖν. Ἔνθα δὴ καὶ διαμόνιον
αὐτῷ συμβαίνει τέρας, ἐξ οὗ παρ' ἐλπίδα σωθεὶς ἀνδρὸς θεο-
φιλεστάτου δόξαν ἀπηνέγκατο. Πολλοὶ μὲν γὰρ αὐτῷ τῶν 15
ἐν τέλει συνειστιάθησαν κατ' ἐκείνην τὴν ἑσπέραν. Διαλυ-
θέντος δὲ τοῦ συμποσίου, μετὰ τὸ πάντας ἐξελθεῖν εὐθέως ὁ
οἶκος συνέπεσεν. Τοῦτο καὶ κινδύνων καὶ σωτηρίας κοινὸν 16
ἐπὶ τῷ μέλλοντι πολέμῳ κρίνας εἶναι σημεῖον, ὑπὸ τὴν ἕω
διεκίνει τὴν στρατιάν. Καὶ τῶν ἐναντίων εἰς ἑξακισχιλίους 17
ἀπὸ τῶν ὀρῶν κατατρέχοντες ἀπεπειρῶντο τῶν προστεταγμέ-
νων, κατὰ χεῖρα μὲν συμπλέκεσθαι τοῖς Ῥωμαίοις οὐ σφόδρα
θαρροῦντες, πόρρωθεν δὲ χερμάσι καὶ παλτοῖς ἔβαλλον, ὥστε
συχνοὺς κατατιτρώσκειν. Ἐν ᾧ καὶ αὐτὸς Ἡρώδης παρ- 18
ελαύνων παλτῷ κατὰ τὴν πλευρὰν ἀκοντίζεται.

5. Βουλόμενος δὲ ὁ Ἀντίγονος μὴ μόνον τόλμῃ τῶν σφε- 19
τέρων, ἀλλὰ καὶ πλήθει περιεῖναι δοκεῖν, Πάππον τινὰ τῶν
ἑταίρων μετὰ στρατιᾶς ἐπὶ Σαμάρειαν ἐπιπέμπει. Τούτων

11 ταύτῃ συνάψας. L.M N.E.T. 12 ἐνέβαλλε T. Καὶ προσέβαλε L. 13 ὀλίγας ἡμέρας P. τάγμα ἔμιξε L. 14 διὰ Ἰεριχ. ἦει P. Ἔνθα καὶ P. δαιμόνιον αὐτῷ P. 15 κατ' ἐκείνην συνειστιάθησαν E. 17 χερμάσι sed in marg. χαλήξ ead. man. L. καὶ χάλιξιν in marg. T. καὶ πελτοῖς L.M.N.P.T. 18 πελτῷ L.M.N.P.T. 19 Βουλόμενος δὲ Ἀντ. P. Πάπον L.N. et sic deinceps. τῶν ἑτέρων μετὰ N. περιπέμπει P. Τούτων μὲν ἦν N. et T. sed in huj. marg. οὖν.

μὲν οὖν ἦν Μαχαιρᾶς ἀγώνισμα. Ἡρώδης δὲ τὴν πολεμίαν καταδραμὼν, πέντε μὲν πολίχνας καταστρέφεται, δισχιλίους δὲ τῶν ἐν αὐταῖς διαφθείρει, καὶ τὰς οἰκίας ἐμπρήσας ὑπέστρεψεν ἐπὶ τὸ στρατόπεδον· ἡῦλιστο δὲ περὶ τὴν καλουμένην Κανᾶ κώμην.

21 6. Προσεγίνετο δὲ αὐτῷ καθ' ἡμέραν πολὺ πλῆθος Ἰουδαίων, ἔκ τε αὐτῆς Ἰεριχοῦντος, καὶ τῆς ἄλλης χώρας, οἱ μὲν διὰ μῖσος τὸ πρὸς Ἀντίγονον, οἱ δ' ἐπὶ τοῖς αὐτοῦ κατορθώ-
22 μασι κεκινημένοι. Τούς γε μὴν πολλοὺς ἐνῆγεν ἐπιθυμία μεταβολῆς ἄλογος· καὶ ὁ μὲν ἠπείγετο συμβαλεῖν, οἱ δὲ περὶ Πάππον, οὔτε πρὸς τὸ πλῆθος, οὔτε περὶ τὴν ὁρμὴν
23 ὑποδείσαντες αὐτοῦ προθύμως ἀντεπεξῆλθον. Γενομένης δὲ τῆς παρατάξεως, τὰ μὲν ἄλλα μέρη πρὸς ὀλίγον ἀντέσχον. Ἡρώδης δὲ κατὰ μῆνιν τοῦ φονευθέντος ἀδελφοῦ παραβαλλόμενος, ὡς ἂν τίσαιτο τοὺς αἰτίους τοῦ φόνου, ταχέως τῶν καθ' ἑαυτὸν ἐκράτει, καὶ μετ' ἐκείνους ἐπὶ τὸ συνεστὸς αἰεὶ
24 τρεπόμενος ἅπαντας διώκει. Φόνος τε ἦν πολὺς, τῶν μὲν εἰς τὴν κώμην συνεξωθουμένων ἐξ ἧς ὥρμηντο, τοῦ δὲ προσκειμέ-
25 νου τοῖς ὑστάτοις καὶ κτείνοντος ἀπείρους. Συνεισπίπτει δὲ τοῖς πολεμίοις εἴσω, καὶ πᾶσα μὲν ὁπλιτῶν οἰκία νένακτο, τὰ τέγη δὲ ἦν ὕπερθεν ἀμυνομένων κατάπλεα. Καὶ ἐπειδὴ περιῆν τῶν ἔξωθεν, τὰς οἰκήσεις σπαράττων εἵλκε τοὺς ἔνδοθεν.
26 Καὶ τοῖς μὲν πολλοῖς ἐπικατασείων τοὺς ὀρόφους, ἀθρόως ἀνῄρει, τοὺς ὑποφυγόντας δὲ τῶν ἐρειπίων οἱ στρατιῶται ξιφήρεις ἀνεδέχοντο, καὶ τοσοῦτον ἐσωρεύθη νεκρῶν πλῆθος, ὥστε
27 τὰς ὁδοὺς ἀποφραγῆναι τοῖς κρατοῦσι. Ταύτην τὴν πληγὴν οὐκ ἤνεγκαν οἱ πολέμιοι· τὸ γοῦν ἐπισυλλεγόμενον αὐτῶν πλῆθος ὡς ἐθεάσατο τοὺς ἀνὰ τὴν κώμην διεφθαρμένους, εἰς

20 τὴν πολέμιον N. ἐν αὐτῇ διαφ. N. παρὰ τὴν M. 21 Προσεγίνοντο P. πολὺ πλῆθος καθ' ἡμέραν L. καὶ ἐκ τῆς P. 23 ἀντέσχεν P. κατὰ μνήμην τοῦ P. συνεστῶς αἰεὶ N.T. συνεστὼς ἀεὶ P. 24 Φόνος δ' ἦν P. 25 πᾶσαν μὲν ὁπλ. οἰκίαν ἐκτᾶτο· τὰ L.M.N.T. ἐπειδὴ περιήει P. et L. sed in hoc ex rec. cor. 26 ἀθρόως sic T. τοὺς ὑποφεύγοντας P. et L. sed in hoc ex rec. cor. ἐριπίων N. καὶ τοσούτων L.M.N.E.

φυγὴν διεσκεδάσθη. Καὶ ἂν εὐθέως τῇ νίκῃ τεθαρρηκὼς 28
Ἡρώδης ἐπὶ Ἱεροσολύμων ἤλασεν, εἰ μὴ χειμῶνι διεκωλύθη
σφοδροτάτῳ. Τοῦτο τὸ ἐμπόδιον ἐκείνῳ τε παντελοῦς
κατορθώματος καὶ ἥττης τῷ Ἀντιγόνῳ κατέστη, βουλευο-
μένῳ καταλιπεῖν ἤδη τὴν πόλιν.

7. Ἡρώδης δὲ πρὸς ἑσπέραν ἤδη τοὺς φίλους κεκμηκότας 29
ἐπὶ θεραπείᾳ τοῦ σώματος διαφεὶς, καὶ αὐτὸς ὡς ἦν ἔτι θερ-
μὸς ἐκ τῶν ὅπλων λουσόμενος ἦει στρατιωτικώτερον. Εἷς
γοῦν αὐτῷ παῖς εἵπετο. Καὶ πρὶν εἰς τὸ βαλανεῖον εἰσελ- 30
θεῖν, ἐναντίον αὐτοῦ τις ἐκτρέχει τῶν πολεμίων ξιφήρης,
ἔπειτα δεύτερος καὶ τρίτος καὶ ἑξῆς πλείους. Οὗτοι κατα-
πεφεύγεσαν μὲν ἐκ τῆς παρατάξεως εἰς τὸ βαλανεῖον ὡπλισ-
μένοι· τέως δὲ ὑποπεπτηκότες καὶ διαλανθάνοντες, ὡς ἐθεά- 31
σαντο τὸν βασιλέα, λυθέντες ὑπ' ἐκπλήξεως αὐτὸν μὲν παρ-
έτρεχον γυμνὸν ὄντα τρέμοντες, ἐπὶ δὲ τὰς ἐξόδους ἐχώρουν.
Τῶν μὲν οὖν ἄλλων οὐδεὶς παρῆν κατὰ τύχην ὁ συλληψό- 32
μενος τοὺς ἄνδρας, Ἡρώδῃ δὲ ἀπέχρη τὸ μηδὲν παθεῖν, ὥστε
διαφεύγουσι πάντες.

8. Τῇ δ' ὑστεραίᾳ Πάππον μὲν τὸν Ἀντιγόνου στρατη- 33
γὸν καρατομήσας, ἀνῄρητο δὲ ἐπὶ τῆς παρατάξεως, πέμπει
τὴν κεφαλὴν Φερώρᾳ τῷ ἀδελφῷ, ποινὴν τοῦ φονευθέντος
αὐτῶν ἀδελφοῦ· καὶ γὰρ οὗτος ἦν ὁ τὸν Ἰώσηπον ἀνελών.
Λωφήσαντος δὲ τοῦ χειμῶνος, ἤλαυνεν ἐπὶ Ἱεροσολύμων, καὶ 34
μέχρι τοῦ τείχους ἀγαγὼν τὴν δύναμιν — συνήγετο δὲ αὐτῷ
τρίτον ἔτος ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀπεδέδεικτο — πρὸ τοῦ
ἱεροῦ στρατοπεδεύεται· ταύτῃ γὰρ ἦν ἐπίμαχον, καθ' ὃ καὶ
πρὶν εἶλε Πομπήϊος τὴν πόλιν. Διελὼν δὲ εἰς ἔργα τὴν 35
στρατιὰν, καὶ τεμὼν τὰ προάστεια, τρία μὲν ἐγείρει χώματα,
καὶ πύργους ἐποικοδομεῖν αὐτοῖς κελεύσας, καταλιπὼν τοὺς

28 Τοῦτο ἐμπόδιον M.P. εἰσήλασεν ἐπὶ Ἱεροσολύμων T. κατέστη, βουλομένῳ M.T. 30 ξιφήρεις P. ἑξῆς δὲ P. καταπεφ. ἐκ L.M.N.T. 31 καὶ λανθάνοντες T. 32 ἀπέχρησε τὸ E. 33 αὐτῷ ἀδελφοῦ sed ex rasura T. 34 ἀποδέδεικτο M. καὶ καθ' transp. E. 35 ἐγείρειν P. et L. sed in hoc sec. man. ἐποικοδομήσειν αὐτῷ κελεύει P. καταλίπων δὲ P.

36 ἀνυστικωτάτους τῶν ἑταίρων ἐπὶ τῶν ἔργων, αὐτὸς εἰς Σαμάρειαν ᾔει, τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου μετιὼν θυγατέρα, καθωμολογημένην, ὡς ἔφαμεν, αὐτῷ. Καὶ πάρεργον ποιεῖται τῆς πολιορκίας τὸν γάμον· ἤδη γὰρ ὑπερηφάνει τοὺς πολεμίους.

37 9. Γήμας δὲ ὑπέστρεψεν ἐπὶ Ἱεροσολύμων μετὰ μείζονος δυνάμεως· συνῆπτε δὲ αὐτῷ καὶ Σόσσιος μετὰ πλείστης στρατιᾶς, ἱππέων τε καὶ πεζῶν, ἣν προεκπέμψας διὰ τῆς μεσο-
38 γείου, τὴν πορείαν αὐτὸς διὰ Φοινίκης ἐποιήσατο. Συναθροισθείσης δὲ τῆς ὅλης δυνάμεως εἰς ἕνδεκα μὲν τέλη πεζῶν, ἱππεῖς δὲ ἑξακισχιλίους δίχα τῶν ἀπὸ Συρίας συμμάχων, οἳ μέρος οὐκ ὀλίγον ἦσαν, καταστρατοπεδεύονται τοῦ βορείου τείχους πλησίον, αὐτὸς μὲν πεποιθὼς τοῖς τῆς συγκλήτου δόγμασι, δι' ὧν βασιλεὺς ἀπεδέδεικτο, Σόσσιος δὲ Ἀντωνίῳ, τῷ πέμψαντι τὴν ὑπ' αὐτῷ στρατιὰν Ἡρώδῃ σύμμαχον.

CAP. XVIII.

1 1. Τῶν δὲ ἀνὰ τὴν πόλιν Ἰουδαίων τὸ πλῆθος ποικίλως Antt. 14. 16. 2.
ἐτετάρακτο. Καὶ γὰρ περὶ τὸν ναὸν ἀθροιζόμενον τὸ ἀσθε-
2 νέστερον εὐδαίμονα καὶ πολλῷ θειοδέστερον τὸν τελευτήσαντα πρὸς τοὺς καιροὺς ἐλογοποίει· καὶ τῶν τολμηροτέρων κατὰ στίφος ἦσαν λῃστεῖαι πολύτροποι, καὶ μάλιστα περὶ τὴν πόλιν ἁρπαζόντων, ἐπειδὴ μήτε ἵπποις μήτε ἀνδράσιν
3 ὑπελέλειπτο τροφή. Τοῦ γε μὴν μαχίμου τὸ εὐτακτότερον ἐτέτακτο πρὸς ἄμυναν τῆς πολιορκίας, τούς τε χωννύντας

ἀνυτικωτάτους M.N. 36 πάρεργον ποιούμενος P. 37 μετὰ πλείστης δυνάμεως· συνείπετο δὲ P. ἣν ἦν προεκπέμψας L.N. et T. sec. manu. τὴν πυρίαν P. Φοινίκης ποιησάμενος L.N. et T. sed in hujus marg. ἐποιήσατο. 38 ἀποδέδεικτο sed ex rasura T. τὴν ὑπ' αὐτοῦ M. τὴν ὑπ' αὐτὸν N. et T. sed in hoc ex correct. 1 ἐπὶ τὸν ναὸν E. ἐδαιμονία καὶ πολλὰ θειοδέστερον πρὸς τοὺς καιροὺς P. τελευτήσοντα E. 2 πολύτροποι μάλιστα τὰ περὶ P. ἁρπαζόντων ἐπιτήδεια, καὶ μήτε ἱπ. μήτε μὴν ἀν. ὑπολειπομένων τροφήν. P. 3 τοῦ γε μὴν μαλίχου N. τοῦ γε μαχίμου sic T. οἱ εὐτακτότερον E. ἐτέτατο L. τούς τε χωνεύοντας E.

εἶργον ἀπὸ τοῦ τείχους, καὶ τοῖς ὀργάνοις ἀντιμηχανώμενον ἀεί τι κώλυμα καινότερον· ἐν οὐδενὶ δὲ οὕτως ὡς ἐν ταῖς μεταλλείαις περιῆσαν τῶν πολεμίων.

2. Τῷ δὲ βασιλεῖ πρὸς μὲν τὰς λῃστείας ἀντεπενοήθησαν 4
λόχοι, δι' ὧν ἀνέστελλε τὰς διεκδρομάς· πρὸς δὲ τὴν τῶν
ἐπιτηδείων ἀπορίαν αἱ πόρρωθεν συγκομιδαί. Τῶν δὲ μαχο- 5
μένων περιῆν τῇ Ῥωμαίων ἐμπειρίᾳ, καίτοι τόλμης οὐδεμίαν
καταλιπόντων ὑπερβολήν. Φανερῶς μὲν οὖν οὐ συνερρή-
γνυντο τοῖς Ῥωμαίοις ἐπὶ προὔπτῳ τῷ θανάτῳ, διὰ δὲ τῶν
ὑπονόμων ἐν μέσοις αὐτοῖς ἐξαπίνης ἐφαίνοντο, καὶ πρὶν κατα-
σεισθῆναί τι τοῦ τείχους, ἕτερον ἀντωχύρουν· καθόλου τε 6
εἰπεῖν οὔτε χερσὶν οὔτε ἐπινοίαις ἔκαμνον, εἰς ἔσχατον ἀντι-
σχεῖν διεγνωκότες. Ἀμέλει τηλικαύτης δυνάμεως περικαθε-
ζομένης πέντε μησὶ διήνεγκαν τὴν πολιορκίαν, ἕως τῶν Ἡρώ-
δου τινὲς ἐπιλέκτων ἐπιβῆναι τοῦ τείχους θαρρήσαντες, εἰσ-
πίπτουσιν εἰς τὴν πόλιν, ἐφ' οἷς ἑκατοντάρχαι Σοσσίου.
Πρῶτα δὲ τὰ περὶ τὸ ἱερὸν ἠλίσκετο, καὶ τῆς δυνάμεως ἐπι- 7
χυθείσης πανταχοῦ φόνος ἦν μυρίος, τῶν μὲν Ῥωμαίων ἐπὶ
τῇ τριβῇ τῆς πολιορκίας διωργισμένων, τοῦ δὲ περὶ Ἡρώ-
δην Ἰουδαικοῦ μηδένα ὑπολιπέσθαι σπεύδοντος ἀντίπαλον.
Ἐσφάττοντο δὲ παμπληθεῖς ἔν τε τοῖς στενωποῖς, καὶ κατὰ 8
τὰς οἰκίας συνωθούμενοι, καὶ τῷ ναῷ προσφεύγοντες· ἦν δὲ
οὔτε νηπίων οὔτε γηραιῶν ἔλεος, οὔτε ἀσθενείας γυναικῶν·
ἀλλὰ καίτοι γε περιπέμποντος τοῦ βασιλέως καὶ φείδεσθαι
παρακαλοῦντος, οὐδεὶς ἐκράτησε τῆς δεξιᾶς, ἀλλ' ὥσπερ μεμη-
νότες πᾶσαν ἡλικίαν ἐπεξῆσαν. Ἔνθα καὶ Ἀντίγονος μήτε 9
τῆς πάλαι μήτε τῆς τότε τύχης ἔννοιαν λαβὼν, κάτεισι μὲν

ἀντιμηχανωμένων P. 4 ἀνέστελλε in textu, sed in marg. ἀνέκοπτε T. τὰς ἐκδρομὰς E. 5 τὴν Ῥωμαίων ἐμπειρίαν N. et T. prima manu. καταλειπόντων M. φανερῶς μέν γε συνερρ. P. προὔπτῳ τῷ θανεῖν P. κατασεισθῆναί τε τοῦ E. 6 εἰπεῖν deest P. παρακαθεζομένης L. θαρσήσαντες P. 7 Πρῶτα μὲν οὖν τὰ L.E. ἐπεισχυθείσης N.T. ἐπισχυθείσης P. ἐπὶ deest P. τῇ deest N.T. μηδὲν ὑπολίπεσθαι P. 8 ἦν τε οὔτε P. οὔτε γήρως P. καίτοι περιπεμ. P.

10 ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς Σοσσίου ποσί. Καὶ ἐκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολήν, ἐπεγέλασέ τε ἀκρατῶς, καὶ Ἀντιγόνην ἐκάλεσεν· οὐ μὴν ὡς γυναῖκά γε καὶ φρουρᾶς ἐλεύθερον ἀφῆκεν· ἀλλ' ὁ μὲν δεθεὶς ἐφυλάττετο.

11 3. Πρόνοια δὲ ἦν Ἡρώδῃ κρατοῦντι τῶν πολεμίων τότε, κρατῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων· ὥρμητο γὰρ τὸ ξενικὸν πλῆθος ἐπὶ θέαν τοῦ ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν
12 ἁγίων. Ὁ δὲ βασιλεὺς τοὺς μὲν παρακαλῶν, τοῖς δὲ ἀπειλούμενος, ἔστι δὲ οὓς καὶ τοῖς ὅπλοις ἀνέστελλεν, ἧττης χαλεπωτέραν τὴν νίκην ὑπολαμβάνων εἴ τι τῶν ἀθεάτων
13 παρ' αὐτῶν ὀφθείη. Διεκώλυσε δὲ ἤδη καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγὰς, πολλὰ διατεινάμενος πρὸς Σόσσιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν τὴν πόλιν Ῥωμαῖοι κενώσαντες, καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα, καὶ ὡς ἐπὶ τοσούτων πολιτῶν φόνῳ, βραχὺ καὶ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἀντάλ-
14 λαγμα κρίνοι· τοῦ δὲ ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διά-
15 νέμειν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. Οὕτω τε τὴν λοιπὴν ἐξωνησάμενος πατρίδα, τὰς ὑποσχέσεις ἐπλήρωσε. Λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀναλόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δὲ αὐτὸν ἐδωρήσατο Σόσ-
16 σιον, ὡς μηδένα χρημάτων ἀπελθεῖν δεόμενον. Σόσσιος δὲ χρυσοῦν ἀναθεὶς τῷ θεῷ στέφανον, ἀνέζευξεν ἀπὸ Ἱεροσο-
17 λύμων, ἄγων δεσμώτην Ἀντίγονον Ἀντωνίῳ. Τοῦτον μὲν οὖν φιλοψυχήσαντα μέχρις ἐσχάτου διὰ ψυχρᾶς ἐλπίδος, ἄξιος τῆς ἀγεννείας πέλεκυς ἐκδέχεται.

18 4. Βασιλεὺς δὲ Ἡρώδης διακρίνας τὸ κατὰ τὴν πόλιν πλῆθος, τοὺς μὲν τὰ αὐτοῦ φρονήσαντας εὐνουστέρους ταῖς

10 Κἀκεῖνος δὲ μηδὲν N.T. γυναῖκά τε καὶ L.M.N.E.T. 11 θέαν τε τοῦ L.M.N.E.T. 12 ἀνέστειλεν N.P. ἀνέστειλλεν sic T. τῶν ἀθεωτάτων παρ' M. 13 διατεινόμενος N.T. τήν τε πόλιν N. καταλείψωσιν N. et T. prima manu. κρίνοι ἀνταλλαγμα transp. T. 15 Οὕτως τε P. 17 Τοῦτον οὖν E. ἀγενείας sic T.

τιμαῖς καθίστατο, τοὺς δὲ Ἀντιγονείους ἀνῄρει. Καὶ κατὰ 19
σπάνιν ἤδη χρημάτων ὅσον εἶχε κόσμον κατανομιστεύσας,
Ἀντωνίῳ καὶ τοῖς περὶ αὐτὸν ἀνέπεμψεν. Οὐ μὴν εἰσάπαξ
ἐξωνήσατο τὸ μηδὲν παθεῖν· ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπά-
τρας ἔρωτι διεφθαρμένος, ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας.
Κλεοπάτρα δὲ διεξελθοῦσα τὴν γενεὰν τὴν ἑαυτῆς, ὡς μηδένα 20
τῶν ἀφ' αἵματος ὑπολιπέσθαι, τὸ λοιπὸν περὶ τοὺς ἔξωθεν
ἐφόνα· καὶ τοὺς ἐν τέλει Σύρων διαβάλλουσα πρὸς τὸν Ἀν-
τώνιον ἀναιρεῖν ἔπειθεν, ὡς ἂν τῶν κτήσεων ἑκάστου ῥᾳδίως
γινομένη δεσπότις. Ἔτι δὲ ἐκτείνουσα τὴν πλεονεξίαν ἐπὶ 21
Ἰουδαίους καὶ Ἄραβας, ὑπειργάζετο τοὺς ἑκατέρων βασιλεῖς
Ἡρώδην καὶ Μάλιχον ἀναιρεθῆναι.

5. Μέχρι γοῦν τῶν προσταγμάτων ἐπινεύσας Ἀντώνιος, 22
τὸ κτεῖναι μὲν ἄνδρας ἀγαθοὺς καὶ βασιλεῖς τηλικούτους ἀνό-
σιον ἡγεῖτο, τὸ δὲ τούτων ἔγγιον φίλος εἶναι διεκρούσατο.
Πολλὰ δὲ τῆς χώρας αὐτῶν ἀποτεμόμενος, καὶ δὴ καὶ τὸν ἐν 23
Ἰεριχοῦντι φοινικῶνα, ἐν ᾧ γεννᾶται τὸ βάλσαμον, δίδωσιν
αὐτῇ, πόλεις τε, πλὴν Τύρου καὶ Σιδῶνος, τὰς ἐντὸς Ἐλευ-
θέρου ποταμοῦ πάσας. Ὧν γενομένη κυρία, καὶ προπέμ- 24
ψασα μέχρις Εὐφράτου τὸν Ἀντώνιον ἐπιστρατεύοντα Πάρ-
θοις, ἦκεν εἰς Ἰουδαίαν δι' Ἀπαμείας καὶ Δαμασκοῦ. Καὶ 25
ἐνταῦθα μεγάλαις μὲν αὐτῆς τὴν δυσμένειαν δωρεαῖς Ἡρώδης
ἐκμειλίσσεται· μισθοῦται δὲ καὶ τὰ τῆς βασιλείας ἀπορρα-
γέντα χωρία διακοσίων ταλάντων εἰς ἕκαστον ἐνιαυτόν.
Προπέμπει δὲ αὐτὴν μέχρι Πηλουσίου, πάσῃ θεραπείᾳ κατα- 26
χρώμενος. Καὶ μετ' οὐ πολὺ παρῆν ἐκ Πάρθων Ἀντώνιος,
ἄγων αἰχμάλωτον Ἀρταβάζην τὸν Τιγράνου παῖδα, δῶρον

18 καθίστατο τοὺς δὲ sine ullo hiatu saltum facit ad verba ἁρπάσασα τὴν εἰς τὸν (c. 22. §. 20.) N. Ἀντιγονίους L.P. 20 ὑπολείπεσθαι L.P.E. λοιπὸν ἐπὶ τοὺς P. γενομένη E. γένηται ex correct. T. 22 Μέρει γοῦν ex correct. L. Ἐν μέρει γοῦν τῶν πραγμάτων P. προταγμάτων sic T. ἐπινέψας L. ἐπινήψαις P. et T. sed in hujus marg. ἐπινεύσας. ἠγήσατο P. ἔγγιον T. φίλους διεκρούσ. P. 23 ἀποτεμνόμενος L.P. καὶ δὴ τὸν M. ἐν rec. man. additum L.T. 24 ὧν γινομένη P. ἦλθεν εἰς P. 25 Καὶ ταῦτα μεγ. P. τριῶν ταλάντων sed in marg. γρ. τ. ταλάντων. P. 26 αὐτῇ μέχρι L.

Κλεοπάτρα· μετὰ γὰρ τῶν χρημάτων καὶ τῆς λείας ἁπάσης ὁ Πάρθος εὐθὺς αὐτῇ ἐχαρίσθη.

CAP. XIX.

1 1. Τοῦ δὲ Ἀκτιακοῦ πολέμου συνερρωγότος, παρεσκεύ- Antt. 15.
ασστο μὲν Ἡρώδης Ἀντωνίῳ συνεξορμᾶν, ὡς ἤδη τῶν τε ἄλ- 5. 1.
λων τῶν κατὰ Ἰουδαίαν ἀπηλλαγμένος θορύβων, καὶ κεκρατηκὼς Ὑρκανίας, ὃ δὴ χωρίον ἡ Ἀντιγόνου κατεῖχεν ἀδελφή.
2 Διεκλείσθη γε μὴν πανούργως ὑπὸ τῆς Κλεοπάτρας συμ-
3 μετασχεῖν τῶν κινδύνων Ἀντωνίῳ· τοῖς γὰρ βασιλεῦσιν, ὡς ἔφαμεν, ἐπιβουλεύουσα, πείθει τὸν Ἀντώνιον Ἡρώδῃ ἐμπιστεῦσαι τὸν πρὸς Ἄραβας πόλεμον, ἵν' ἢ κρατήσαντος, Ἀραβίας, ἢ κρατηθέντος, Ἰουδαίας γένηται δεσπότις, καὶ θατέρῳ τῶν δυναστῶν καταλῦσαι τὸν ἕτερον.

4 2. Ἔρρεψε μέντοι καθ' Ἡρώδην τὸ βούλευμα. Πρῶτον μὲν γὰρ ῥύσια κατὰ τῶν πολεμίων ἄγων, καὶ πολὺ συγκροτήσας ἱππικὸν, ἐπαφίησιν αὐτοῖς περὶ Διόσπολιν, ἐκράτησέ
5 τε καίτοι καστερῶς ἀντιπαραταξαμένων. Πρὸς δὲ τὴν ἧτταν γίνεται μέγα κίνημα τῶν Ἀράβων· καὶ συναθροισθέντες εἰς Κάναθα τῆς Κοίλης Συρίας, ἄπειροι τὸ πλῆθος τοὺς Ἰου-
6 δαίους ἔμενον. Ἔνθα μετὰ τῆς δυνάμεως Ἡρώδης ἐπελθὼν, ἐπειρᾶτο προμηθέστερον ἀφηγεῖσθαι τοῦ πολέμου, καὶ στρα-
7 τόπεδον ἐκέλευσε τειχίζειν. Οὐ μὴν ὑπήκουσε τὸ πλῆθος, ἀλλὰ τῇ προτέρᾳ νίκῃ τεθαρρηκότες, ὥρμησαν ἐπὶ τοὺς Ἄρα-
8 βας, καὶ πρὸς τὴν πρώτην ἐμβολὴν τραπέντας ἐδίωκον. Ἐπιβουλεύεται δὲ Ἡρώδης ἐν τῇ διώξει, τοὺς ἐκ τῶν Κανάθων ἐπιχωρίους ἀνέντος Ἀθηνίωνος, ὃς ἦν αὐτῷ τῶν Κλεοπάτρος
9 στρατηγῶν ἀεὶ διάφορος. Πρὸς γὰρ τὴν τούτων ἐπίθεσιν

εὐθὺς ἐχαρίσθη, L.M.P.T. 1 ὡς deest P. τῶν ἄλλων L. et T. prima manu. κατεῖχεν ἡ Ἀντιγόνου P. 2 Διεκλείσθη μὲν οὖν L. et T. prima manu. πανούργως deest M. τῷ Ἀντωνίῳ L. 3 διαπιστεῦσαι L.P.T. καταλύση τὸν M. et T. ex correct. 4 ῥύστα κατὰ τῶν L. Σύρους κατὰ τῶν M. ῥύστα τῶν P. ῥύσιον πολ. E. Συρίαν κατὰ τῶν T. αὐτοῖς ἐπὶ Δι. P. ἀντιπραξαμένων prim. man. L. 5 μέγα γίνεται P. γίνεται μετακίνημα T. Καμαθὰ P. 6 ἐκέλευε P. 7 πρὸς μὲν τὴν P. 8 ὃς ἦν ἀπὸ τῶν sed in marg. αὐτῷ T.

ἀναθαρρήσαντες οἱ Ἄραβες ἐπιστρέφονται, καὶ συνάψαντες τὸ πλῆθος περὶ πετρώδη καὶ δύσβατα χωρία, τρέπονται τοὺς Ἡρώδου, πλεῖστόν τε αὐτῶν φόνον εἰργάσαντο· οἱ δὲ διασω- 10
θέντες ἐκ τῆς μάχης εἰς Ὄρμιζα καταφεύγουσιν, ὅπου καὶ τὸ στρατόπεδον αὐτῶν περισχόντες αὔτανδρον εἷλον οἱ Ἄραβες.

3. Μετ' οὐ πολὺ δὲ τῆς συμφορᾶς βοήθειαν ἄγων Ἡρώ- 11
δης παρῆν τῆς χρείας ὕστερος. Ταύτης τῆς πληγῆς αἴτιον αὐτῷ τὸ τῶν ταξιαρχῶν ἀπειθὲς κατέστη· μὴ γὰρ ἐξαπιναίου τῆς συμβολῆς γενομένης, οὐκ ἂν Ἀθηνίων εὗρε καιρὸν ἐπιβουλῆς. Ἐτιμωρήσατο μέντοι τοὺς Ἄραβας αὖθις ἀεὶ 12
τὴν χώραν κατατρέχων, ὡς ἀνακαλέσασθαι τὴν μίαν αὐτοῖς νίκην πολλάκις. Ἀμυνομένῳ δὲ τοὺς ἐχθροὺς ἐπιπίπτει συμ- 13
φορὰ δαιμόνιος ἄλλη, κατ' ἔτος μὲν τῆς βασιλείας ἕβδομον, ἀκμάζοντος δὲ τοῦ περὶ Ἄκτιον πολέμου. Ἀρχομένου γὰρ 14
ἔαρος ἡ γῆ σεισθεῖσα βοσκημάτων μὲν πλῆθος ἄπειρον, ἀνθρώπων δὲ τρεῖς διέφθειρε μυριάδας, τὸ δὲ στρατιωτικὸν ἔμεινεν ἀβλαβές· ὕπαιθρον γὰρ ηὐλίζετο. Καὶ ἐν τούτῳ 15
τοὺς Ἄραβας ἐπὶ μεῖζον θάρσος ἦρεν ἡ φήμη, προσλογοποιοῦσα τοῖς σκυθρωποῖς ἀεί τι χαλεπώτερον, ὡς πάσης Ἰουδαίας κατερριμμένης. Οἰηθέντες γοῦν ἐρήμου τῆς χώρας κρατήσειν, ὥρμησαν εἰς αὐτὴν προθυσάμενοι τοὺς πρέσβεις, οἳ παρὰ Ἰουδαίων ἔτυχον ἥκοντες πρὸς αὐτούς. Πρὸς δὲ τὴν 16
ἐμβολὴν καταπλαγὲν τὸ ἔθνος, καὶ μεγέθει συμφορῶν ἐπαλλήλων ἔκλυτον, συναγαγὼν Ἡρώδης, ἐπειρᾶτο παρορμᾶν ἐπὶ τὴν ἄμυναν λέγων τοιάδε·

4. "Παραλογώτατά μοι δοκεῖ τὸ παρὸν ὑμῶν καθάπτε- 17
σθαι δέος· πρὸς μὲν γὰρ τὰς δαιμονίους πληγὰς ἀθυμεῖν εἰ-

9 τοὺς Ἡρώδου τρέπονται P. 10 Ὄρμιζα φεύγουσιν M. Ὁρμίζαν ex correct. T. 11 χρείας ὑστέραν. P. ἐξαπηναίου L. οὐδ' ἂν Ἀθηναίων P. 13 τοῦ Ἀκτίου πολέμου P. 14 Κατὰ γὰρ ἀρχομένου L.P. E.T. ἄπειρον πλῆθος P. τρεῖς ἔφθειρε M. 15 μεῖζον θράσος M.P. ὡς γοῦν ἁπάσης P. Οἰηθέντες ἐρῆ. P. 16 ἔθνος, μεγέθει M. τῶν συμφορῶν ex correct. T. ἔκλυτον ἐπαλλήλων prima manu T. 17 πρὸς μέν γε τὰς L.P.T.

κὸς ἦν· τὸ δὲ αὐτὸ καὶ πρὸς ἀνθρωπίνην ἔφοδον πάσχειν,
18 ἀνάνδρων. Ἐγὼ γὰρ τοσοῦτον ἀποδέω κατεπτηχέναι τοὺς πολεμίους μετὰ τὸν σεισμὸν, ὥστε ὑπολαμβάνειν τὸν θεὸν Ἄραψι δέλεαρ τοῦτο καθεῖναι τοῦ δοῦναι δίκας ἡμῖν· οὐ γὰρ τοσοῦτον ὅπλοις ἢ χερσὶ πεποιθότες, ὅσον ταῖς αὐτομάτοις
19 ἡμῶν συμφοραῖς ἦκον· σφαλερὰ δὲ ἐλπὶς οὐκ ἐξ ἰδίας ἰσχύος, ἀλλ' ἐξ ἀλλοτρίας ἠρτημένη κακοπραγίας. Οὔτε δὲ τὸ δυστυχεῖν οὔτε τὸ ἐναντίον ἐν ἀνθρώποις βέβαιον, ἀλλ' ἔστιν
20 ἰδεῖν ἐπαμειβομένην εἰς ἑκάτερον τὴν τύχην. Καὶ τοῦτο μάθοιτε ἂν ἐξ οἰκείων ὑποδειγμάτων· τῇ γοῦν προτέρᾳ μάχῃ κρατούντων ἐκράτησαν ἡμῶν οἱ πολέμιοι, καὶ κατὰ τὸ εἰκὸς
21 νῦν ἁλώσονται κρατήσειν δοκοῦντες. Τὸ μὲν γὰρ ἄγαν πεποιθὸς ἀφύλακτον· οἱ φόβοι δὲ διδάσκουσι προμήθειαν· ὥστε ἔμοιγε καὶ ἐκ τοῦ δεδοικότος ὑμῶν παρίστασθαι θαρ-
22 ρεῖν. Ὅτε γὰρ ἐθρασύνεσθε πέρα τοῦ δέοντος κατὰ τῶν ἐχθρῶν, καὶ παρὰ τὴν ἐμὴν γνώμην ἐξωρμήσατε, καιρὸν ἔσχεν ἡ Ἀθηνίωνος ἐνέδρα· νυνὶ δὲ ὁ ὄκνος ὑμῶν, καὶ τὸ δοκοῦν
23 ἄθυμον ἀσφάλειαν ἐμοὶ νίκης ἐγγυᾶται. Χρὴ μέντοι μέχρι τοῦ μέλλειν οὕτως ἔχειν, ἐν δὲ τοῖς ἔργοις ἐγεῖραί τε τὰ φρονήματα καὶ πεῖσαι τοὺς ἀσεβεστάτους, ὡς οὔτε ἀνθρώπειόν τι κακὸν, οὔτε δαιμόνιόν ποτε ταπεινώσει τὴν Ἰουδαίων ἀνδραγαθίαν, ἐφ' ὅσον τὰς ψυχὰς ἔχουσιν, οὐδὲ περιόψεταί τις Ἄραβα τῶν ἑαυτοῦ ἀγαθῶν δεσπότην γενόμενον, ὃν παρ' ὀλίγον πολλάκις αἰχμάλωτον ἔλαβεν. Μηδὲ ὑμᾶς ταρασ-
24 σέτω τὰ τῶν ἀψύχων κινήματα, μηδὲ ὑπολαμβάνετε τὸν σεισμὸν ἑτέρας συμφορᾶς ἕτερον γεγονέναι σημεῖον· φυσικὰ γὰρ τὰ τῶν στοιχείων πάθη, καὶ οὐδὲν ἀνθρώποις πλέον ἢ τὴν

τὸ δὲ αὐτίκα πρὸς L. τὸ δ' αὖ τι καὶ πρὸς M T. ἄνανδρον. P.E. 18 καταπεπτηχέναι P. τοῦτο καθικέναι P. οὔτε γὰρ τὸ E. εἰς ἑκάτερα P. πολέμιοι κατὰ τὸ L. 21 τὸ γὰρ sed superadditum μὲν T. ὥστε ἐμοὶ κἀκ τοῦ P. ὑμῶν παρίσταται M.P. 22 καὶ κατὰ τῶν ἐχθρῶν παρὰ P. καὶ τὸ δοκοῦντος. P. ἔμοι γε sed γέ recentiori manu T. 23 Χρὴ μέντοιγε P. ἐγεῖραι τὰ P. 24 συμφορᾶς τέρας γεγονέναι· φυσικὰ P. πλέον τῆς ε. α. βλάβης L.M. et T. prima manu. τὴν ἑαυτοῖς βλάβην P.

ἐν αὐτοῖς βλάβην ἐπιφέρει. Λοιμοῦ μὲν γὰρ καὶ λιμοῦ 25
καὶ τῶν χθονίων βρασμῶν προγένοιτο ἄν τι σημεῖον βραχύτερον· αὐτὰ δὲ ταῦτα περιγραφὴν ἔχει τὸ μέγεθος. Ἐπεὶ 26
τί δύναται τοῦ σεισμοῦ μεῖζον ἡμᾶς βλάψαι καὶ κρατήσας ὁ πόλεμος; Τέρας μέντοι μέγιστον ἀλώσεως γέγονε τοῖς ἐχθροῖς, οὐκ αὐτομάτως οὐδὲ διὰ χειρὸς ἀλλοτρίας, οἳ πρεσβεις ἡμετέρους παρὰ τὸν πάντων ἀνθρώπων νόμον ὠμῶς ἀπέκτειναν, καὶ τοιαῦτα τῷ θεῷ θύματα περὶ τοῦ πολέμου κατέστρεψαν. Ἀλλ' οὐ διαφεύξονται τὸν μέγαν ὀφθαλμὸν 27
αὐτοῦ, καὶ τὴν ἀνίκητον δεξιάν· δώσουσι δὲ ἡμῖν αὐτίκα δίκας ἀντὶ τοῦ πατρίου φρονήματος, εἰ δὴ σπεύσαντες τιμωροὶ τῶν παρεσπονδημένων ἀναστῶμεν. Ἴτω τις οὐχ ὑπὲρ γυναικὸς, 28
οὐδὲ τέκνων, οὐδ' ὑπὲρ κινδυνευούσης πατρίδος, ἀλλ' ὑπὲρ τῶν πρέσβεων ἀμυνόμενος. Ἐκεῖνοι στρατηγήσουσι τοῦ πολέμου τῶν ζώντων ἡμῶν ἄμεινον. Προκινδυνεύσω δὲ καὶ ἐγὼ 29
χρώμενος ὑμῖν πειθηνίοις· εὖ γὰρ ἴστε τὴν ἑαυτῶν ἀνδρείαν ἀνυπόστατον, ἐὰν μὴ προπετείᾳ τινὶ βλαβῆτε."

5. Τούτοις παρακροτήσας τὸν στρατὸν, ὡς ἑώρα προθύ- 30
μους, ἔθυε τῷ θεῷ, καὶ μετὰ τὴν θυσίαν διέβαινε τὸν Ἰορδάνην ποταμὸν μετὰ τῆς δυνάμεως. Στρατοπεδευσάμενος δὲ 31
περὶ Φιλαδελφίαν, ἐγγὺς τῶν πολεμίων, περὶ τοῦ μεταξὺ φρουρίου πρὸς αὐτοὺς ἠκροβολίζετο, βουλόμενος ἐν τάχει συμβαλεῖν· ἔτυχον γὰρ καὶ ἐκεῖνοί τινας προπεπομφότες, τοὺς καταληψομένους τὸ ἔρυμα. Τούτους μὲν οὖν ἀπεκρού- 32
σαντο ταχέως οἱ πεμφθέντες ὑπὸ τοῦ βασιλέως, καὶ τὸν λόφον κατέσχον. Αὐτὸς δὲ καθ' ἡμέραν προάγων τὴν δύναμιν εἰς μάχην παρέτασσε, καὶ προεκαλεῖτο τοὺς Ἄραβας.

ἐπιφέρεται P. 25 προσγένοιτ' ἂν P. 26 μέγιστον deest P. γεγονέναι τοῖς ἐχ. M.T. παρὰ τῶν πάντων P. θεῷ sine τῷ T. κατέστρεψεν P.E. 27 ἄν τι τοῦ πατ. E. ἂν τοῦ πατ. sec. man. L. prima P. φρονήματος ἤδη ἔχοντες τιμω. E. 28 ἀμυνόμενοι M. στρατηγοῦσι L. M.E.T. ἡμῶν deest P. ἀνδρίαν T. τί βλαβῆτε M. τι^νὶ sic L.T. 31 Φιλαδέλφειαν M.P. et T. sec. manu. πρὸ τοῦ μεταξὺ T. τινὰς πεπομφότες M. 32 προσάγων ex correct. T. παρετάσσετο P. προυκαλείτω sic L.

33 Ὡς δὲ οὐδεὶς ἐπεξῄει — δεινὴ γάρ τις αὐτοὺς κατάπληξις εἶχε, καὶ πρὸ τοῦ πλήθους ὁ στρατηγὸς Ἔλθεμος αὖος ἦν τῷ δέει
34 — προσελθὼν ἐσπάρασσεν αὐτῶν τὸ χαράκωμα. Καὶ ἐν τούτῳ συναναγκασθέντες ἐξίασιν ἐπὶ τὴν μάχην ἄτακτοι, καὶ πεφυρμένοι τοῖς ἱππεῦσιν οἱ πεζοί. Πλήθει μὲν οὖν τῶν Ἰουδαίων περιῆσαν, ἐλείποντο δὲ ταῖς προθυμίαις· καίτοι διὰ τὴν ἀπόγνωσιν τῆς νίκης ἦσαν καὶ αὐτοὶ παράβολοι.

35 6. Διὸ μέχρι μὲν ἀντεῖχον, οὐ πολὺς ἦν αὐτῶν φόνος· ὡς δὲ ὑπέδειξαν αὐτῶν τὰ νῶτα, πολλοὶ μὲν ὑπὸ τῶν Ἰουδαίων, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν συμπατούμενοι διεφθείροντο. Πεντακισχίλιοι γοῦν ἔπεσον ἐν τῇ τροπῇ, τὸ δὲ λοιπὸν πλῆ-
36 θος ἔφθη συνωσθὲν εἰς τὸ χαράκωμα. Τούτους περισχὼν ἐπολιόρκει· καὶ μέλλοντας ἁλώσεσθαι τοῖς ὅπλοις προκατή-
37 πειγεν ἡ δίψα, τῶν ὑδάτων ἐπιλιπόντων. Ὑπερηφάνει δὲ πρεσβευομένους ὁ βασιλεὺς, καὶ λύτρα διδόντων πεντακόσια τάλαντα μᾶλλον ἐνέκειτο. Τοῦ δὲ δίψους ἐκκαίοντος, ἐξιόντες κατὰ πλῆθος ἐνεχείριζον σφᾶς αὐτοὺς τοῖς Ἰουδαίοις ἑκόντες· ὡς πέντε μὲν ἡμέραις τετρακισχιλίους δεθῆναι, τῇ δὲ ἕκτῃ τὸ λειπόμενον πλῆθος ὑπ' ἀπογνώσεως ἐξελθεῖν ἐπὶ
38 μάχην. Οἷς συμβαλὼν Ἡρώδης πάλιν εἰς ἑπτακισχιλίους κτείνει. Τηλικαύτῃ δὲ πληγῇ τὴν Ἀραβίαν ἀμυνόμενος, καὶ σβέσας τῶν ἀνδρῶν τὰ φρονήματα, προέκοψεν ὥστε καὶ προστάτης ὑπὸ τοῦ ἔθνους αἱρεθῆναι.

CAP. XX.

1 1. Μεταλαμβάνει δὲ αὐτὸν εὐθέως ἡ περὶ τῶν ὅλων πρα- Antt. 15.
γμάτων φροντὶς διὰ τὴν πρὸς Ἀντώνιον φιλίαν, Καίσαρος 6. 1.

33 τις deest P. Ἔλθεμος αὐτὸς ἦν P. 34 ἐξέσεσαν ἐπὶ τὴν L. νίκης ὄντες καὶ P. 35 ὡς δ' ἀπέδειξαν τὰ νῶτα P. 36 ἐπιλειπόντων P. ἀπολιπόντων sic T. 37 πρεσβευόμενος P. λύτρα διδόντας L.T. μᾶλλον δ' ἐνέκειτο. L.T. 38 Τηλικαύτῃ πληγῇ P. ἀμυνάμενος ex correct. T. τοσοῦτον ante προέκοψεν manu rec. insertum T. 1 Καίσαρος δὲ περὶ L. Καίσαρος περὶ M.P. et T. sed in hoc post Καίσαρος erasæ sunt duæ litteræ.

ἤδη περὶ Ἄκτιον νενικηκότος. Παρεῖχε μέντοι δέους πλέον, 2
ἢ ἔπασχεν· οὔπω γὰρ ἐαλωκέναι Καῖσαρ Ἀντώνιον ἔκρινεν,
Ἡρώδου συμμένοντος. Ὁ γε μὴν βασιλεὺς ὁμόσε χωρῆσαι 3
τῷ κινδύνῳ διέγνω· καὶ πλεύσας εἰς Ῥόδον, ἔνθα διέτριβε
Καῖσαρ, πρόσεισιν αὐτῷ δίχα διαδήματος, τὴν μὲν ἐσθῆτα
καὶ τὸ σχῆμα ἰδιώτης, τὸ δὲ φρόνημα βασιλεύς. Μηδὲν 4
γοῦν τῆς ἀληθείας ὑποστειλάμενος, ἄντικρυς εἶπεν· "Ἐγώ,
Καῖσαρ, ὑπ' Ἀντωνίου τῶν Ἰουδαίων βασιλεὺς γενόμενος,
ἐν πᾶσιν ὁμολογῶ γεγονέναι βασιλεὺς χρήσιμος Ἀντωνίῳ.
Καὶ οὐδὲ τοῦτο ἂν ὑπεστειλάμην εἰπεῖν, ὅτι πάντως ἄν με 5
μετὰ τῶν ὅπλων ἐπείρασας, εἰ μὴ διεκώλυσαν Ἄραβες. Καὶ
συμμαχίαν μέντοι γε αὐτῷ κατὰ τὸ δυνατὸν, καὶ σίτου πολ-
λὰς ἔπεμψα μυριάδας· ἀλλ' οὐδὲ μετὰ τὴν ἐν Ἀκτίῳ πληγὴν
κατέλιπον τὸν εὐεργέτην. Ἐγενόμην δὲ σύμβουλος ἄριστος, 6
ὡς οὐκέτι χρήσιμος ἦμην σύμμαχος, μίαν εἶναι λέγων τῶν
πταισθέντων διόρθωσιν, τὸν Κλεοπάτρας θάνατον· ἣν ἀνε- 7
λόντι, καὶ χρήματα καὶ τείχη πρὸς ἀσφάλειαν, καὶ στρατιὰν
καὶ ἐμαυτὸν ὑπισχνούμην κοινωνὸν τοῦ πρὸς σὲ πολέμου.
Τοῦ δὲ ἄρα τὰς ἀκοὰς ἀπέφραξαν οἱ Κλεοπάτρας ἵμεροι,
καὶ θεὸς ὁ σοὶ τὸ κρατεῖν χαρισάμενος. Συνήττημαι δὴ 8
Ἀντωνίῳ, καὶ τέθεικα μετὰ τῆς ἐκείνου τύχης τὸ διάδημα.
Πρὸς σὲ δὲ ἦλθον, ἔχων τὴν ἀρετὴν τῆς σωτηρίας ἐλπίδα,
καὶ προλαβὼν ἐξετασθήσεσθαι, ποταπὸς φίλος, οὐ τίνος,
ἐγενόμην."

2. Πρὸς ταῦτα Καῖσαρ, "Ἀλλὰ σώζου γε," ἔφη, "καὶ 9
βασίλευε νῦν βεβαιότερον· ἄξιος γὰρ εἶ πολλῶν ἄρχειν,
οὕτω φιλίας προϊστάμενος. Πειρῶ δὲ καὶ τοῖς εὐτυχεστέ- 10
ροις διαμένειν πιστὸς, ὡς ἔγωγε λαμπροτάτας ὑπὲρ τοῦ σοῦ

2 *παρεῖχε* in textu, sed in marg. *περιεῖχε* T. 3 *τῶν κινδύνων* L. et T. sed in hoc ex adjectione *ν. τοῖς κινδύνοις* E. 4 *τῶν Ἰουδαίων* desunt P. *γεγονέναι βασ. γενόμενος χρη.* P. 5 *ἐπείρασας ἀχάριστον* P. *ἐπειρ. ἀχώριστον* E et T. manu rec. et in marg. adjectum. *κατέλειπον* L. 6 *σύμμαχος ἦμην χρήσιμος* transp. L. 7 *τῷ κρατεῖν χαριζόμενος* P. 8 *Συνήττημαι δὲ Ἀντ.* M.P.T. *τὴν ἀρετὴν* desunt in textu, in marg. supplentur L. *καὶ προσλαβὼν* L.M.T. post *οὐ τίνος* suprascriptum man. rec. *οὖν* T.

11 φρονήματος ἐλπίδας ἔχω. Καλῶς μέντοι γε ἐποίησεν Ἀντώνιος Κλεοπάτρᾳ πεισθεὶς μᾶλλον, ἢ σοί· καὶ γὰρ σὲ κεκερδήκαμεν ἐκ τῆς ἀνοίας αὐτοῦ. Κατάρχεις δὲ, ὡς ἔοικεν,
12 εὐποιΐας· διό μοι γράφει Κύϊντος Δίδιος, συμμαχίαν σε πεπομφέναι πρὸς τοὺς μονομάχους αὐτῷ. Νῦν μὲν οὖν δόγματι τὸ βέβαιόν σοι τῆς βασιλείας ἐξαγγέλλω· πειράσομαι δὲ καὶ αὖθις ἀγαθόν σέ τι ποιεῖν, ὡς μὴ ζητοίης Ἀντώνιον."

13 3. Τούτοις φιλοφρονησάμενος τὸν βασιλέα, καὶ περιθεὶς αὐτῷ τὸ διάδημα, δόγματι διεσήμαινε τὴν δωρεὰν, ἐν ᾧ πολλὰ μεγαλοφρόνως εἰς ἔπαινον τοῦ ἀνδρὸς ἐφθέγξατο.
14 Ὁ δὲ δώροις ἐπιμειλιξάμενος αὐτὸν, ἐξητεῖτό τινα τῶν Ἀντωνίου φίλων Ἀλέξανδρον, ἱκέτην γενόμενον. Ἐνίκα δὲ ἡ Καίσαρος ὀργὴ, πολλὰ καὶ χαλεπὰ μεμφομένου τὸν ἐξαι-
15 τούμενον, οἷς διεκρούσατο τὴν δέησιν. Μετὰ δὲ ταῦτα πορευόμενον ἐπ' Αἴγυπτον διὰ Συρίας Καίσαρα παντὶ τῷ βασιλικῷ πλούτῳ δεξάμενος Ἡρώδης, τότε πρῶτον καὶ συνιπ-
16 πάσατο ποιουμένῳ περὶ Πτολεμαΐδα τῆς δυνάμεως ἐξέτασιν, εἱστίασέ τε σὺν ἅπασι τοῖς φίλοις· μεθ' οὓς καὶ τῇ λοιπῇ στρατιᾷ πρὸς εὐωχίαν πάντα διέδωκε. Προενόησε δὲ καὶ διὰ τῆς ἀνύδρου πορευομένοις μέχρι Πηλουσίου παρασχεῖν
17 ὕδωρ ἄφθονον, ἐπανιοῦσί τε ὁμοίως· οὐδὲ ἔστιν ὅ τι τῶν ἐπιτηδείων ἐνεδέησε τῇ δυνάμει. Δόξα γοῦν αὐτῷ τε Καίσαρι καὶ τοῖς στρατιώταις παρέστη, πολλῷ βραχυτέραν Ἡρώδῃ
18 περιεῖναι βασιλείαν, πρὸς ἃ παρέσχεν. Διὰ τοῦτο, ὡς ἦκεν εἰς Αἴγυπτον, ἤδη Κλεοπάτρας καὶ Ἀντωνίου τεθνεώτων, οὐ μόνον αὐτοῦ ταῖς ἄλλαις τιμαῖς, ἀλλὰ καὶ τῇ βασιλείᾳ προσέθηκε τήν τε ὑπὸ Κλεοπάτρας ἀποτμηθεῖσαν χώραν, καὶ ἔξωθεν Γάδαρα, καὶ Ἵππον, καὶ Σαμάρειαν, πρὸς δὲ τούτοις τῶν παραλίων Γάζαν, καὶ Ἀνθηδόνα, καὶ Ἰόππην, καὶ

12 δι' ὧν μοι P. γράφει Βεντίδιος συμ. L.M.T. γράφει καὶ Βεν. συμ. P. βέβαιον σοῦ E. ἀγαθόν τί σε P. 13 αὐτῷ διάδημα M.
14 Ἀλεξᾶν ἱκέτην P. 15 ἐπ' Αἰγύπτου M.E.T. ποιουμένου P
17 Δόξαν γοῦν P. περιεῖναι Ἡρώδῃ P. 18 Ἀθηδόνα sic T.

πύργον Στράτωνος. Ἐδωρήσατο δὲ αὐτῷ καὶ πρὸς φυλα- 19
κὴν τοῦ σώματος τετρακοσίους Γαλάτας, οἳ πρότερον ἐδορυ-
φόρουν Κλεοπάτραν. Οὐδὲν δὲ οὕτως ἐνῆγεν αὐτὸν εἰς τὰς
δωρεὰς, ὡς τὸ μεγαλόφρον τοῦ λαμβάνοντος.

4. Μετὰ δὲ τὴν πρώτην Ἀκτιάδα προστίθησιν αὐτοῦ τῇ 20
βασιλείᾳ τόν τε Τράχωνα καλούμενον, καὶ τὴν προσεχῆ Βα-
ταναίαν τε καὶ Αὐρανίτιν χώραν, ἐξ αἰτίας τοιᾶσδε. Ζηνό- 21
δωρος ὁ τὸν Λυσανίου μεμισθωμένος οἶκον, οὐ διέλειπεν ἐπα-
φεὶς τοὺς ἐκ τοῦ Τράχωνος λῃστὰς Δαμασκηνοῖς. Οἱ δὲ
ἐπὶ Οὐάρρωνα τὸν ἡγεμόνα τῆς Συρίας καταφυγόντες, ἐδεή-
θησαν δηλῶσαι τὴν συμφορὰν αὐτῶν Καίσαρι. Καῖσαρ δὲ 22
γνοὺς ἀντεπέστελλεν ἐξαιρεθῆναι τὸ λῃστήριον. Στρατεύ-
σας οὖν Οὐάρρων καθῃρέ τε τῶν ἀνδρῶν τὴν γῆν, καὶ ἀφαι-
ρεῖται Ζηνόδωρον· ἦν ὕστερον Καῖσαρ, ὡς μὴ γένοιτο πάλιν
ὁρμητήριον τοῖς λῃσταῖς ἐπὶ τὴν Δαμασκὸν, Ἡρῴδῃ δίδωσι·
Κατέστησε δὲ αὐτὸν καὶ Συρίας ὅλης ἐπίτροπον, ἔτει δεκάτῳ 23
πάλιν ἐλθὼν εἰς τὴν ἐπαρχίαν, ὡς μηδὲν ἐξείη δίχα τῆς ἐκεί-
νου συμβουλίας τοῖς ἐπιτρόποις διοικεῖν. Ἐπεὶ δὲ ἐτελεύτα 24
Ζηνόδωρος, προσένειμεν αὐτῷ καὶ τὴν μεταξὺ Τράχωνος καὶ
τῆς Γαλιλαίας γῆν ἅπασαν. Ὁ δὲ τούτων Ἡρῴδῃ μεῖζον 25
ἦν, ὑπὸ μὲν Καίσαρος ἐφιλεῖτο μετ' Ἀγρίππαν, ὑπ' Ἀγρίπ-
πα δὲ μετὰ Καίσαρα. Ἔνθεν ἐπὶ πλεῖστον μὲν εὐδαιμονίας
προέκοψεν, εἰς μεῖζον δὲ ἐξήρθη φρόνημα, καὶ τὸ πλέον τῆς
μεγαλονοίας ἐπέτεινεν εἰς εὐσέβειαν.

CAP. XXI.

Antt. 15. 9. 12. 1. Πεντεκαιδεκάτῳ γοῦν ἔτει τῆς βασιλείας, αὐτόν τε τὸν 1
ναὸν ἐπεσκεύασε, καὶ τὴν περὶ αὐτὸν ἀνετειχίσατο χώραν τῆς

Στράτωνος πύργον P. 19 τὸ μεγαλόφρων P. 20 καὶ τὴν Αὐρ. P. Αὐρινίτιν M. 21 μεμισθομένος man. sec. μισθούμενος man. prim. P. διέλιπεν sed ex rasura T. Οὐάρωνα et sic infra L.M.P. Οὔαρον T. Συρίας sine τῆς T. καταφυγόντες ἐδέησαν P. 22 Στρατεύσας γοῦν P. Οὔαρος T. Ζηνώδορον, ἵν' ὑστ. P. ὡς μὴ γένηται T. 23 ἐξῇ L.M. ἐξῆν P. ἐξεῖναι E.T. συμβουλείας L. 24 τελευτᾷ L.M.E.T. pro γῆν adscriptum est in marg. χώραν T. 1 καὶ περὶ P.

οὔσης διπλασίαν, ἀμέτροις μὲν χρησάμενος τοῖς ἀναλώμασιν,
2 ἀνυπερβλήτῳ δὲ τῇ πολυτελείᾳ. Τεκμήριον δὲ ἦσαν αἱ μεγάλαι στοαὶ περὶ τὸ ἱερὸν, καὶ τὸ βόρειον ἐπ' αὐτῷ φρούριον· ἃς μὲν γὰρ ἀνῳκοδόμησεν ἐκ θεμελίων, τὸ δὲ ἐπεσκεύασε πλούτῳ δαψιλεῖ κατ' οὐδὲν τῶν βασιλείων ἔλαττον· ὃ Ἀν-
3 τωνίαν ἐκάλεσεν εἰς τὴν Ἀντωνίου τιμήν. Τό γε μὴν ἑαυτοῦ βασίλειον κατὰ τὴν ἄνω δειμάμενος πόλιν, δύο τοὺς μεγίστους καὶ περικαλλεστάτους οἴκους, οἷς οὐδὲ ναός πῃ συνεκρίνετο, προσηγόρευσεν ἀπὸ τῶν φίλων τὸν μὲν Καισάρειον, τὸν δὲ Ἀγρίππειον.

4 2. Ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον τὴν μνήμην αὐτῶν καὶ τὰς ἐπικλήσεις περιέγραψε, διέβη δὲ εἰς ὅλας πόλεις αὐτῷ τὸ
5 φιλότιμον. Ἐν μέν γε τῇ Σαμαρείτιδι πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος ἐπὶ σταδίους εἴκοσι, καὶ καταγαγὼν ἐξακισχιλίους εἰς αὐτὴν οἰκήτορας, γῆν τε τούτοις προσνεί-
6 μας λιπαρωτάτην, καὶ ἐν μέσῳ τῷ κτίσματι ναόν τε ἐνιδρυσάμενος τῷ Καίσαρι μέγιστον, καὶ περὶ αὐτὸν τέμενος ἀποδείξας τριῶν ἡμισταδίων, τὸ ἄστυ Σεβαστὴν ἐκάλεσεν. Ἐξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν.

7 3. Ἐπὶ τούτοις δωρησαμένου τοῦ Καίσαρος αὐτὸν ἑτέρας προσθέσει χώρας, ὁ δὲ καὶ ἐν ταύτῃ ναὸν αὐτῷ λευκῆς μαρμάρου καθιδρύσατο παρὰ τὰς Ἰορδάνου πηγάς· καλεῖται δὲ
8 Πάνιον ὁ τόπος. Ἔνθα κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀνατείνεται· παρὰ δὲ τὴν ὑπώρειον λαγόνα συνηρεφὲς ἄντρον ὑπανοίγει, δι' οὗ βαραθρώδης κρημνὸς εἰς ἀμέτρητον ἀπορρῶγα βαθύνεται, πλήθει τε ὕδατος ἀσαλεύτου, καὶ τοῖς
9 καθιμῶσί τι πρὸς ἔρευναν γῆς οὐδὲν μῆκος ἐξαρκεῖ. Τοῦ δὲ

διπλασίονα P. χρησάμενος ἀναλώμασιν M. 2 βόρρειον L. ὁ δ' ἐπισκευάσας P. ἔλαττον, Ἀντω. P. 3 μὴν αὐτοῦ L. μὴν αὐτοῦ. P. Καισάριον L.P. Ἀγρίππιον L.P. 4 αὐτῶν τὴν μνήμην P. διέγραψε M. πόλεις αὐτῷ sic L. 5 Σαμαρίτιδι M. γῆν δὲ τούτοις P. 6 ἥμισυ σταδίων E. ἐπεκάλεσεν M.T. 7 ἑτέραν προσθέσει χώραν ex correct. T. ὁ δὲ κἀνταῦθα M. ὁ δὲ καὶ ταύτῃ T. περὶ τὰς Ἰορ. T. Ἰορδάνου ῥοάς. M. καλεῖται Πάνειον T. 8 Ἔνθα καὶ κορ. P. τὶς deest T. ὑπόρειον P. et T. prima manu.

ἄντρου κατὰ τὰς ἔξωθεν ῥίζας ἀνατέλλουσιν αἱ πηγαί· καὶ γένεσις μὲν, ὡς ἔνιοι δοκοῦσιν, ἔνθεν Ἰορδάνου. Τὸ δὲ ἀκριβὲς ἐν τοῖς ἐξῆς δηλώσομεν.

4. Ὁ δὲ βασιλεὺς καὶ ἐν Ἰεριχοῖ μεταξὺ Κύπρου τοῦ φρουρίου καὶ τῶν προτέρων βασιλείων ἄλλα κατασκευασάμενος ἀμείνω καὶ χρησιμώτερα πρὸς τὰς ἐπιδημίας, ἀπὸ τῶν αὐτῶν ὠνόμασε φίλων. Καθόλου τε εἰπεῖν οὐκ ἔστιν ὅντινα τῆς βασιλείας ἐπιτήδειον τόπον τῆς πρὸς Καίσαρα τιμῆς γυμνὸν εἴασεν. Ἐπειδὴ δὲ τὴν ἰδίαν χώραν ἐπλήρωσε ναῶν, εἰς τὴν ἐπαρχίαν αὐτοῦ τὰς τιμὰς ὑπερεξέχεε, καὶ πολλαῖς πόλεσιν ἐνιδρύσατο Καίσαρα.

5. Κατιδὼν δὲ καὶ ἐν τοῖς παραλίοις πόλιν, ἤδη μὲν κάμνουσαν — Στράτωνος ἐκαλεῖτο πύργος — διὰ δὲ εὐφυΐαν τοῦ χωρίου δέξασθαι δυναμένην τὸ φιλότιμον αὐτοῦ, πᾶσαν ἀνέκτισε λευκῷ λίθῳ, καὶ λαμπροτάτοις ἐκόσμησε βασιλείοις, ἐν ᾗ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. Μεταξὺ γὰρ Δώρων καὶ Ἰόππης, ὧν ἡ πόλις μέση κεῖται, πᾶσαν εἶναι συμβέβηκε τὴν παραλίαν ἀλίμενον, ὡς πάντα τὸν τὴν Φοινίκην ἐπ' Αἴγυπτον παραπλέοντα σαλεύειν ἐν πελάγει διὰ τὴν ἐκ λιβὸς ἀπειλήν· ᾧ καὶ μετρίως ἐπαυρίζοντι τηλικοῦτον ἐγείρεται κῦμα πρὸς ταῖς πέτραις, ὥστε τὴν ὑποστροφὴν τοῦ κύματος ἐπὶ πλεῖστον ἐξαγριοῦν τὴν θάλασσαν. Ἀλλ' ὁ βασιλεὺς τοῖς ἀναλώμασι καὶ τῇ φιλοτιμίᾳ νικήσας τὴν φύσιν, μεῖζονα μὲν τοῦ Πειραιέως λιμένα κατεσκεύασεν, ἐν δὲ τοῖς μυχοῖς αὐτοῦ βαθεῖς ὅρμους ἑτέρους.

6. Καθάπαν δὲ ἔχων ἀντιπράσσοντα τὸν τόπον, ἐφιλονείκησε πρὸς τὴν δυσχέρειαν, ὡς τὴν μὲν ὀχυρότητα τῆς δομήσεως δυσάλωτον εἶναι τῇ θαλάσσῃ, τὸ δὲ κάλλος ὡς ἐπὶ μηδενὶ δυσκόλῳ κεκοσμῆσθαι. Συμμετρησάμενος γὰρ ὅσον εἰ-

9 δηλώσωμεν P. 10 κατασκευάσας P. 11 Καθόλου δὲ οὐκ ἔστιν εἰπεῖν P. Ἐπειδὴ δὲ καὶ χώραν τὴν ἰδίαν βασιλείαν ἐπλήρωσε M. ἐπεὶ δὲ P. ἐνιδρύσατο Καισάρεια. E. 12 Κατιδὼν δὲ καὶ τοῖς P. διά τε εὐφυΐαν P. 13 τὴν παράλιον P. ἐπ' Λιγύπτου M.T. et L. prima manu. 14 ἐπεγείρετο P. 15 τῇ φιλονεικίᾳ νικήσας M.L. sed in hujus marg. φιλοτιμίᾳ. Πειραιὼς P. 16 τὴν μὲν ὀχυροτάτην τῆς M.

ρήκαμεν τῷ λιμένι μέγεθος, καθίει λίθους ἐπ' ὀργυιὰς εἴκοσιν εἰς τὸ πέλαγος, ὧν ἦσαν οἱ πλεῖστοι μῆκος ποδῶν πεντή-
18 κοντα, βάθος ἐννέα, εὖρος δέκα, τινὲς δὲ καὶ μείζους. Ἐπεὶ δὲ ἀνεπληρώθη τὸ βάθος, οὕτως ἤδη τὸ ὑπερέχον τοῦ πελάγους τεῖχος ἐπὶ διακοσίους πόδας ηὐρύνετο· ὧν οἱ μὲν ἑκατὸν προεδεδόμηντο πρὸς τὴν ἀνακοπὴν τοῦ κύματος, — προκυμαία γοῦν ἐκλήθη, — τὸ δὲ λοιπὸν ὑπόκειται τῷ περιθέοντι λιθίνῳ
19 τείχει. Τοῦτο δὲ πύργοις διείληπται μεγίστοις, ὧν ὁ προέχων καὶ περικαλλέστατος ἀπὸ τοῦ Καίσαρος προγόνου Δρούσιον κέκληται.

20 7. Ψαλίδες δὲ πυκναὶ πρὸς καταγωγὴν, τῶν ἐνορμιζομένων· καὶ τὸ πρὸ αὐτῶν πᾶν κύκλῳ νάγμα τοῖς ἀποβαίνουσι
21 πλατὺς περίπατος. Ὁ δὲ εἴσπλους βόρειος, αἰθριώτατος γὰρ ἀνέμων τῷ τόπῳ βορέας, καὶ ἐπὶ τοῦ στόματος κολοσσοὶ τρεῖς ἑκατέρωθεν ὑπεστηριγμένοι κίοσιν, ὧν τοὺς μὲν ἐκ λαιᾶς χειρὸς εἰσπλέοντος πύργος ναστὸς ἀνέχει, τοὺς δὲ ἐκ δεξιοῦ δύο ὀρθοὶ λίθοι συνεζευγμένοι, τοῦ κατὰ θάτερον χεῖ-
22 λος πύργου μείζονες. Προσεχεῖς δὲ οἰκίαι τῷ λιμένι λευκοῦ καὶ αὐταὶ λίθου, καὶ κατατείνοντες ἐπ' αὐτὸν οἱ στενωποὶ
23 τοῦ ἄστεος, πρὸς ἓν διάστημα μεμετρημένοι. Καὶ τοῦ στόματος ἄντικρυς ναὸς Καίσαρος ἐπὶ γηλόφου, κάλλει καὶ μεγέθει διάφορος· ἐν δὲ αὐτῷ κολοσσὸς Καίσαρος, οὐκ ἀποδέων τοῦ Ὀλυμπιάσι Διὸς ᾧ καὶ προσείκασται, Ῥώμης δὲ ἴσος
24 Ἥρᾳ τῇ κατ' Ἄργος. Ἀνέθηκε δὲ τῇ μὲν ἐπαρχίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ πλοΐζομένοις τὸν λιμένα, Καίσαρι δὲ τὴν τιμὴν τοῦ κτίσματος· Καισάρειαν γοῦν ὠνόμασεν αὐτήν.

25 8. Τά γε μὴν λοιπὰ τῶν ἔργων, ἀμφιθέατρον καὶ θέατρον
26 καὶ ἀγοράν, ἄξια τῆς προσηγορίας ἐνιδρύσατο. Καὶ πεν-

18 ἀνεπληρώθη ὑψηλὸν, οὕτως P. προσδεδόμηντο L.M.T. προδεδόμηντο P. προκυμία L.M.P.T. 19 πύργοις τε δ. M. Δρυσίων L.M.E. Δρουσίων T. 20 Ψαλλίδες τε P. ἐνορμιζόντων sed in marg. -ομένων T. κύκλῳ νάμα M. 21 βόρειος οὐριώτατος γὰρ L.M. et T. in textu, sed in huj. marg. αἰθριώτατος. εἰσπλέοντας L.M. εἰσπλεόντων P. λίθοι δυὸ ὀρθοὶ transp. L. συνεζευγμένοι, κατὰ P. 22 καὶ αὗται P. ἐπ' αὐτῶν T. 23 ἀντικρὺ Καίσ. ἐπὶ γη. ναὸς P. Ῥώμη δὲ ex rasura T. 25 καὶ θέατρον desunt M. ἀγορὰς ἀξίας P.

ταετηρικοὺς ἀγῶνας καταστησάμενος, ὁμοίως ἐκάλεσεν ἀπὸ τοῦ Καίσαρος, πρῶτος αὐτὸς ἆθλα μέγιστα προθεὶς ἐπὶ τῆς ἑκατοστῆς ἐνενηκοστῆς καὶ δευτέρας Ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες, ἀλλὰ καὶ οἱ μετ' αὐτοὺς, καὶ οἱ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον. Ἀνακτίσας δὲ καὶ Ἀν- 27
θηδόνα τὴν παράλιον καταρριφθεῖσαν ἐν πολέμοις, Ἀγρίππειον προσηγόρευσεν· τοῦ δὲ αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας καὶ ἐπὶ τῆς πύλης ἐχάραξε τὸ ὄνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασεν.

9. Φιλοπάτωρ γε μὴν, εἰ καί τις ἕτερος. Καὶ γὰρ τῷ 28
πατρὶ μνημεῖον κατέστησε πόλιν, ἣν ἐν τῷ καλλίστῳ τῆς βασιλείας πεδίῳ κτίσας, ποταμοῖς τε καὶ δένδρεσι πλουσίαν, ὠνόμασεν Ἀντιπατρίδα. Καὶ τὸ ὑπὲρ Ἰεριχοῦντος φρού- 29
ριον ὀχυρότητι καὶ κάλλει διάφορον τειχίσας, ἀνέθηκε τῇ μητρὶ προσειπὼν Κύπρον· Φασαήλῳ δὲ τῷ ἀδελφῷ τὸν ἐν 30
Ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό τε σχῆμα καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν ἐξῆς δηλώσομεν. Καὶ πό- 31
λιν ἄλλην κτίσας κατὰ τὸν ἀπὸ Ἰεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν, Φασαηλίδα ὠνόμασεν.

10. Παραδοὺς δὲ αἰῶνι τούς τε οἰκείους καὶ φίλους, οὐδὲ 32
τῆς ἑαυτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον ἐπιτειχίσας τῷ πρὸς Ἀραβίαν ὄρει, προσηγόρευσεν Ἡρώδειον ἀφ' ἑαυτοῦ. Τὸν δὲ μαστοειδῆ κολωνὸν ὄντα χειροποίητον, ἑξήκοντα στα- 33
δίων ἄποθεν Ἱεροσολύμων, ἐκάλεσε μὲν ὁμοίως, ἐξήσκησε δὲ φιλοτιμότερον. Στρογγύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις 34
περιέσχεν, ἐπλήρωσε δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπρὰν, ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις καὶ θριγκοῖς καὶ

26 προσθεὶς ἐπὶ L. ἐνενηκοστῆς δευτέρας P. 27 καταρριφεῖσαν M. καταριφεῖσαν E. ἐν πολέμῳ P. Ἀγρίππιον L.P. et T. prima manu. ἣν
28 καί τις ἕτερος sic T. μνημεῖον κατέθηκε L.M. et T. in textu, sed in huj. marg. κατέστησε. κατέθεικε P. τὲ deest T. πλούσιον M.
29 Κύπριν M. 30 δηλώσωμεν P. 31 ἄλλην τειχίσας L.M. et T. in textu, sed in huj. marg. κτίσας. τὸν ἀπὸ Ἰεριχούσιον τὸν αὐλῶνα P.
32 τῆς αὐτοῦ L.M.E.T. φρούριον μὲν P. Ἡρώδιον L.E.

35 στέγαις περικεχύσθαι τὸν πλοῦτον δαψιλῆ· πόρρωθεν δὲ μεγίστοις ἀναλώμασιν ὑδάτων πλῆθος εἰσήγαγε, καὶ βαθμοῖς διακοσίοις λευκοτάτης μαρμάρου τὴν ἄνοδον διέλαβεν· ἦν γὰρ δὴ τὸ γεώλοφον ἐπιεικῶς ὑψηλὸν, καὶ πᾶν χειροποίη-
36 τον. Κατεσκεύασε δὲ καὶ περὶ τὰς ῥίζας ἄλλα βασίλεια, τήν τε ἀποσκευὴν καὶ τοὺς φίλους δέξασθαι δυνάμενα· ὥστε, τῷ μὲν πάντα ἔχειν, πόλιν εἶναι δοκεῖν τὸ ἔρυμα, τῇ περιγραφῇ δὲ βασίλειον.

37 11. Τοσαῦτα δ' οὖν κτίσας πλείσταις καὶ τῶν ἔξω πόλεων τὸ μεγαλόψυχον ἐπεδείξατο. Τριπόλει μὲν γὰρ καὶ Δαμασκῷ καὶ Πτολεμαΐδι γυμνάσια, Βύβλῳ δὲ τεῖχος, ἐξέδρας τε καὶ στοὰς καὶ ναοὺς καὶ ἀγορὰς Βηρυτῷ κατασκευάσας καὶ Τύρῳ, Σιδῶνί γε μὴν καὶ Δαμασκῷ θέατρα, Λαοδικεῦσι δὲ τοῖς παραλίοις ὑδάτων εἰσαγωγὴν, Ἀσκαλωνίταις δὲ βαλανεῖα καὶ κρήνας πολυτελεῖς, πρὸς δὲ περίστυλα θαυ-
38 μαστὰ τήν τε ἐργασίαν καὶ τὸ μέγεθος. Εἰσὶ δὲ οἷς ἄλση καὶ λειμῶνας ἀνέθηκεν. Πολλαὶ δὲ πόλεις, ὥσπερ κοινωνοὶ τῆς βασιλείας, καὶ χώραν ἔλαβον παρ' αὐτοῦ· γυμνασιαρχίας δὲ ἄλλας ἐπετησίοις τε καὶ διηνεκέσιν ἐδωρήσατο προσόδοις, κατατάξας, ὥσπερ Κώοις, ἵνα μηδέποτε ἐκλείπῃ τὸ γέρας.
39 Σῖτόν γε μὴν πᾶσιν ἐχορήγησε τοῖς δεομένοις, καὶ τῇ Ῥόδῳ χρήματα μὲν εἰς ναυτικοῦ κατασκευὴν παρέσχε πολλαχοῦ καὶ πολλάκις· ἐμπρησθὲν δὲ τὸ Πύθιον ἰδίοις ἀναλώμασιν ἄμεινον
40 ἀνεδείματο. Τί δεῖ λέγειν τὰς εἰς Λυκίους ἢ Σαμίους δωρεὰς, ἢ τὴν δι' ὅλης τῆς Ἰωνίας, ἐν οἷς ἐδεήθησαν ἕκαστοι, δαψίλειαν; Ἀλλὰ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, Νικοπολῖταί τε καὶ τὸ κατὰ Μυσίαν Πέργαμον οὐ τῶν Ἡρώδου γέμου-
41 σιν ἀναθημάτων; Τὴν δὲ Ἀντιοχέων τῶν ἐν Συρίᾳ πλατεῖαν

35 πλῆθος προσήγαγεν P. διέλαβεν· καὶ γὰρ P. 36 ὥστε τὸ μὲν P. 37 Τοσαῦτα συγκτίσας P. ἐνεδείξατο M. βίβλῳ δὲ τεῖχος L. et T. prima manu. σιδόνι γε P. 38 γυμνασιαρχίας. ἄλλαις δὲ M.T. προσόδους L. ἐκλείπει P. ἐκλίπῃ sed ι ex correct. T. 39 πᾶσιν ἐδωρήσατο τοῖς δ. L.M.T. ἀνεδήματα P. 40 Καὶ τί δεῖ L. Τί δὴ P. Λυκίους καὶ Σαμ. T. γέμουσιν ἀναλωμάτων; τὴν M. 41 τὴν ἐν Συρίᾳ L.

οὐ φευκτὴν οὖσαν ὑπὸ βορβόρου κατέστρωσέ τε σταδίων εἴκοσι τὸ μῆκος οὖσαν ξεστῇ μαρμάρῳ, καὶ πρὸς τὰς ὑετῶν ἀποφυγὰς ἐκύσμησεν ἰσομήκει στοᾷ;

12. Ταῦτα μὲν ἄν τις εἴποι ἴδια τῶν εὖ παθόντων δήμων 42
ἑκάστου, τὸ δὲ Ἠλείοις χαρισθὲν, οὐ μόνον κοινὸν τῆς Ἑλλάδος, ἀλλ' ὅλης τῆς οἰκουμένης δῶρον, εἰς ἣν ἡ δόξα τῶν ἐν Ὀλυμπιάσιν ἀγώνων διϊκνεῖται. Τούτους γὰρ δὴ καταλυο- 43
μένους ἀπορίᾳ χρημάτων ὁρῶν, καὶ τὸ μόνον λείψανον τῆς ἀρχαίας Ἑλλάδος ὑπορρέον, οὐ μόνον ἀγωνοθέτης ἧς ἐπέτυχε πενταετηρίδος εἰς Ῥώμην παραπλέων ἐγένετο, ἀλλὰ καὶ πρὸς τὸ διηνεκὲς πόρους χρημάτων ὑπέδειξεν, ὡς μηδέποτε ἀγωνοθετοῦσαν τὴν μνήμην αὐτοῦ ἐπιλιπεῖν. Ἀνήνυτον 44
δ' ἂν εἴη χρεῶν διαλύσεις ἢ φόρων ἐπεξιέναι, καθάπερ Φασηλίταις καὶ Βαλανεώταις, καὶ τοῖς περὶ τὴν Κιλικίαν πολιχνίοις, τὰς ἐτησίους εἰσφορὰς ἐπεξεκούφισεν. Πλεῖστόν γε 45
μὴν αὐτοῦ τῆς μεγαλονοίας ἔθρασεν ὁ φόβος, ὡς μὴ δόξειεν ἐπίφθονος, ἤ τι θηρᾶσθαι μεῖζον, εὐεργετῶν τὰς πόλεις πλέον τῶν ἐχόντων.

13. Ἐχρήσατο δὲ καὶ σώματι πρὸς τὴν ψυχὴν ἀναλόγῳ, 46
κυνηγέτης μὲν ἄριστος ἀεὶ γενόμενος, ἐν ᾧ μάλιστα δι' ἐμπειρίας ἱππικῆς ἐπετύγχανε. Μιᾷ γοῦν ἡμέρᾳ ποτὲ τεσσαράκοντα θηρίων ἐκράτησεν. Ἔστι δὲ καὶ συοτρόφος μὲν ἡ 47
χώρα, τὸ πλέον δ' ἐλάφων καὶ ὄνων ἀγρίων εὔπορος. Πολεμιστὴς δὲ ἀνυπόστατος· πολλοὶ γοῦν καὶ ἐν ταῖς γυμνασίαις αὐτὸν κατεπλάγησαν, ἀκοντιστήν τε ἰθυβολώτατον καὶ τοξότην εὐστοχώτατον ἰδόντες. Πρὸς δὲ τοῖς ψυχικοῖς, καὶ τοῖς 48
σωματικοῖς προτερήμασιν ἐχρήσατο δεξιᾷ καὶ τύχῃ· καὶ γὰρ

τὰς τῶν ὑετῶν L. ἰσομήκιστον sed in marg. ἰσομήκει στοᾷ. P. 42 εἴπῃ M. τῶν εὐπαθούντων L.T. τὸ δὲ πόλις Ἀρκαδίας Ἰλίοις χαρισθὲν. in marg. τὸ δὲ ἰλίοις πόλις Ἀρκαδ. χαρισθὲν P. ἐν deest ex rasura T. 43 καταλυομένους sec. manu κωλυομένους prima L. κωλυομένους in marg. T. τὴν αὐτοῦ μνήμην L. αὐτοῦ τὴν μνήμην P. 44 ἀνήνυτον ἂν P. χρεῶν λύσεις M. et T. prima manu. Κιλικίαν in marg. κείαν T. 45 μηδὲ δόξειεν M. 46 μὲν γὰρ ἄριστος P. δι' ἐμπειρίαν M.T. 47 ἐλάφων καὶ ὀνάγρων P. τοῖς γυμνασίοις sic. T. 48 καὶ δεξιᾷ P. καὶ γὰρ σπάνιον P.

σπανίως ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν πταισμάτων οὐκ αὐτὸς αἴτιος, ἀλλ' ἡ προδοσία τινῶν, ἢ προπέτεια στρατιωτῶν ἐγένετο.

CAP. XXII.

1 1. Τάς γε μὴν ὑπαίθρους εὐπραγίας ἡ τύχη τοῖς κατ' Antt. 16. 3. 1, &c.
οἶκον ἀνιαροῖς ἐνεμέσησε, καὶ κακοδαιμονᾶν ἐκ γυναικὸς ἤρ-
2 ξατο, περὶ ἣν μάλιστα ἐσπούδασεν. Ἐπεὶ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθεν, ἀποπεμψάμενος ἣν ἰδιώτης ὢν ἔκτο γαμετὴν, ἣ γένος ἦν ἐξ Ἱεροσολύμων, Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, δι' ἣν αὐτῷ στασιασθῆναι συνέβη τὸν οἶκον, καὶ τάχιον μὲν, μάλιστα δὲ
3 μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. Πρῶτον μὲν γὰρ τὸν ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον διὰ τοὺς ἐκ Μαριάμμης ἐφυγά-
4 δευσε τῆς πόλεως, μόναις ταῖς ἑορταῖς ἀφεὶς κατιέναι. Ἔπειτα τὸν πάππον τῆς γυναικὸς Ὑρκανὸν, ἐκ Πάρθων πρὸς αὐτὸν ἐλθόντα, δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ἠχμαλωτίσατο μὲν Βαρζαφάρνης καταδραμὼν Συρίαν, ἐξῃτήσαντο δὲ κατ'
5 οἶκτον οἱ ὑπὲρ Εὐφράτην ὁμοεθνεῖς. Καὶ εἴ γε τούτοις ἐπείσθη, παραινοῦσι μὴ διαβῆναι πρὸς Ἡρώδην, οὐκ ἂν παρεπώλετο. Δέλεαρ δὲ αὐτῷ θανάτου τῆς υἱωνῆς ὁ γάμος κατέστη· τούτῳ γὰρ πεποιθὼς, καὶ περισσόν τι τῆς πατρίδος
6 ἐφιέμενος, ἦκε. Παρώξυνε δὲ Ἡρώδην, οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας, ἀλλ' ἐπειδὴ τὸ βασιλεύειν ἐπέβαλλεν αὐτῷ.

7 2. Τῶν δὲ ἐκ Μαριάμμης πέντε τέκνων αὐτῷ γενομένων δύο μὲν θυγατέρες, τρεῖς δὲ ἦσαν υἱεῖς. Καὶ τούτων ὁ νεώτατος μὲν ἐν Ῥώμῃ παιδευόμενος τελευτῇ· δύο δὲ τοὺς πρεσβυτέρους βασιλικῶς ἦγε, διά τε τὴν μητρῴαν εὐγένειαν, καὶ
8 ὅτι βασιλεύοντι γεγόνεισαν αὐτῷ. Τὸ δὲ τούτων ἰσχυρότε-

1 κακοδαιμονεῖν L.P.T. 2 Ἐπειδὴ γὰρ P. ὢν deest P. ἡ deest L.P. Δορὶς et sic infra P. 4 Βαρζαφάνης L.M.T. Βαρζαφράνης P. τῆς κατ' οἶκον οἱ M. 6 οὐχὶ αὐτοῦ sic T. ἀλλ' ἐπεὶ τὸ P. 7 τέκνων γενομένων P. πρεσβυτάτους P. 8 ἰσχυρώτερον P.

ρον ὁ Μαριάμμης ἔρως συνήργει, καθ' ἡμέραν ἐκκαίων Ἡρώδην λαβρότερον, ὡς μηδενὸς τῶν διὰ τὴν στεργομένην λυπηρῶν αἰσθάνεσθαι. Τοσοῦτον δὲ ἦν μῖσος εἰς αὐτὸν τῆς Μα- 9
ριάμμης, ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. Ἔχουσα δὲ τὴν 10
μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν ἐκ τοῦ φιλεῖσθαι, φανερῶς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον Ὑρκανὸν καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον· οὐδὲ γὰρ 11
τούτου, καίπερ ὄντος παιδὸς, ἐφείσατο, δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἑπτακαιδεκαέτει, μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως· ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι, καὶ τῷ βωμῷ προσελθόντι καθ' ἑορτὴν, ἄθρουν ἐπεδάκρυσε τὸ πλῆθος. Πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς εἰς Ἱεριχοῦντα, ἐκεῖ δὲ 12
κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος ἐν κολυμβήθρᾳ τελευτᾷ.

3. Διὰ ταῦτα Ἡρώδην τε ὠνείδιζεν ἡ Μαριάμμη, καὶ τὴν 13
ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα δειναῖς ἐξύβριζε λοιδορίαις. Ἀλλ' ὁ μὲν πεφίμωτο τοῖς ἱμέροις· δεινὴ δὲ τὰς γυναῖκας 14
ἀγανάκτησις εἰσῄει, καὶ πρὸς ὃ μάλιστα κινήσειν τὸν Ἡρώδην ἔμελλον εἰς μοιχείαν διέβαλλον αὐτὴν, ἄλλα τε πολλὰ πρὸς τὸ πιθανὸν ἐνσκευαζόμεναι, καὶ κατηγοροῦσαι διότι τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν εἰς Αἴγυπτον Ἀντωνίῳ, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀποῦσαν δείξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι καὶ βιάζεσθαι δυναμένῳ. Τοῦτο, ὥσπερ σκη- 15
πτὸς ἐμπεσὼν, ἐτάραξεν Ἡρώδην, μάλιστα μὲν διὰ τὸν ἔρωτα ζηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας δεινότητα, δι' ἣν Λυσανίας τε ὁ βασιλεὺς ἀνῄρητο, καὶ Μάλιχος ὁ Ἄραψ· οὐ γὰρ ἀφαιρέσει γαμετῆς ἐμέτρει τὸν κίνδυνον, ἀλλὰ θανάτῳ.

4. Μέλλων οὖν ἀποδημεῖν, Ἰωσήπῳ τῷ ἀνδρὶ Σαλώμης 16

λαβρότερος L.M.T. 9 γὰρ ἦν P. ὅσον L.T. 10 ὠνείδιζεν αὐτὸν P. ἀδελφὸν Ἰωνάθην· L.M.P. ἀδελφὸν Ἀριστόβουλον Ἰωνάθην T. 11 ἑπτακαιδεκαετῆ P. ἐπεδάκρυε E. 13 Ἡρώδην μὲν P. ὠνείδισεν E. ὀνείδιζεν P. 14 ἀγανάκτησις εἰσίει M. ἄλλα τε πρὸς M. δείξειεν αὐτὴν L.T. 15 διετάραξεν M. δὲ Κλεοπάτρας L. Μάλχος M.P.T. 16 ἀποδημήσειν P.

τῆς ἀδελφῆς αὐτοῦ — πιστὸς δὲ ἦν καὶ διὰ τὸ κῆδος εὔνους — παρατίθεται τὴν γυναῖκα, κρύφα δοὺς ἐντολὰς ἀναιρεῖν αὐ-
17 τὴν, εἰ καὶ ἐκεῖνον Ἀντώνιος. Ὁ δὲ Ἰώσηπος, οὔτι κακοήθως, ἀλλὰ τὸν ἔρωτα τοῦ βασιλέως παραστῆσαι τῇ γυναικὶ βουλόμενος, ὡς οὐδὲ ἀποθανὼν αὐτῆς ὑπομένοι διαζευχθῆναι,
18 τὸ ἀπόρρητον ἐκφέρει. Καὶ ἐκείνη πρὸς ἐπανήκοντα τὸν Ἡρώδην, πολλά τε περὶ τοῦ πρὸς αὐτὴν πόθου ἐν ταῖς ὁμιλίαις ἐπομνύμενον, καὶ ὡς οὐδὲ ἐρασθείη ποτὲ γυναικὸς ἄλλης, "Πάνυ γοῦν," εἶπε, "ταῖς πρὸς Ἰώσηπον ἐντολαῖς ἐπεδείξω τὸν εἰς ἡμᾶς ἔρωτα, κτεῖναί με προστάξας."

19 5. Ἔκφρων εὐθέως ἀκούσας τὸ ἀπόρρητον ἦν, καὶ οὐκ ἄν ποτε τὸν Ἰώσηπον ἐξαγγεῖλαι τὴν ἐντολὴν φάμενος, εἰ μὴ διαφθείρειεν αὐτὴν, ἐνθουσίᾳ τῷ πάθει, καὶ τῆς κοίτης ἐξαλ-
20 λόμενος ἀνέδην ἐν τοῖς βασιλείοις ἀνειλεῖτο. Καὶ ἐν τούτῳ Σαλώμη ἡ ἀδελφὴ, τὸν καιρὸν εἰς τὰς διαβολὰς ἁρπάσασα,
21 τὴν εἰς τὸν Ἰώσηπον ἐβεβαίωσεν ὑποψίαν. Ὁ δὲ ὑπ' ἀκράτου ζηλοτυπίας ἐκμανεὶς, παραχρῆμα κτείνειν προσέταξεν ἀμφοτέρους. Μετάνοια δ' εὐθέως εἵπετο τῷ πάθει, καὶ τοῦ
22 θυμοῦ πεσόντος, ὁ ἔρως πάλιν ἀνεζωπυρεῖτο. Τοσαύτη δὲ ἦν φλεγμονὴ τῆς ἐπιθυμίας, ὡς μηδὲ τεθνάναι δοκεῖν αὐτὴν, ὑπὸ δὲ κακώσεως ὡς ζώσῃ προσλαλεῖν, μέχρι τῷ χρόνῳ διδαχθεὶς τὸ πένθος ἀνάλογον τὴν λύπην ἔσχε τῇ πρὸς περιοῦσαν διαθέσει.

CAP. XXIII.

1 1. Κληρονομοῦσι δὲ τῆς μητρῴας οἱ παῖδες ὀργῆς, καὶ Antt. 16. τοῦ μύσους ἔννοιαν λαμβάνοντες, ὡς πολέμιον ὑφεώρων τὸν 3. 1. πατέρα, καὶ τὸ πρότερον μὲν ἐπὶ Ῥώμης παιδευόμενοι, πλέον
2 δὲ ὡς εἰς Ἰουδαίαν ὑπέστρεψαν. Συνήνδρουτο δ' αὐτῶν ταῖς

17 οὔτε κακοήθως P. ὥστε οὐδὲ ἀποθ. E. 18 τοῦ πρὸς αὐτὴν συμπαθοῦς L.P.T. ἐν ταῖς ὁμιλίαις desunt in textu, sed in marg. adjecta sunt P. ἐπομνύμενον ὡς οὐδὲ L.P.T. 19 Ἔκφρων δ' εὐθέως T. τὸ ἄπορον ἦν T. διαφθείρειαν M. ἐξαλόμενος M. ἀναίδην ἐν τοῖς L. ἀνέδην τοῖς P. ἀνείλατο L. ἀνείλετο P. 20 Καὶ τοῦτον P. 21 κτείνειν ἐκέλευσεν ἀμφ. M. 22 ἀνάλογον καὶ λύπην E. περιουσίαν L.P. T. περιουσία M. 1 ἔννοιαν λαβόντας N. καὶ πρότερον E.T. ὡς Ἰουδαίαν M. 2 συνηνδρῶτο L.M.T.E.

ἡλικίαις ἡ διάθεσις. Ἐπεὶ δὲ γάμων ἔχοντες ὥραν, ὁ μὲν τῆς τηθίδος Σαλώμης, ἡ τῆς μητρὸς αὐτῶν κατηγόρησεν, ὁ δὲ ἔγημεν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως θυγατέρα, προσελάμβανον ἤδη τῷ μίσει καὶ παρρησίαν. Ἐκ δὲ τοῦ 3 θράσους αὐτῶν ἀφορμὰς οἱ διαβάλλοντες ἐλάμβανον, καὶ φανερώτερον ἤδη τῷ βασιλεῖ διελέγοντό τινες, ὡς ἐπιβουλεύοιτο μὲν ὑπ' ἀμφοτέρων τῶν υἱῶν, ὁ δὲ Ἀρχελάῳ κηδεύσας 4 καὶ φεύγειν παρασκευάζοιτο, τῷ πενθερῷ πεποιθώς, ἵνα ἐπὶ Καίσαρος αὐτοῦ κατηγορήσῃ. Ἀναπλησθεὶς δὲ τῶν διαβολῶν Ἡρῴδης, ὥσπερ ἐπιτείχισμα τοῖς υἱοῖς κατάγει τὸν ἐκ τῆς Δωρίδος Ἀντίπατρον, καὶ πάντα τρόπον προτιμᾶν ἄρχεται.

2. Τοῖς δὲ ἀφόρητος ἦν ἡ μεταβολή, καὶ τὸν ἐξ ἰδιώτιδος 5 μητρὸς ὁρῶντες προκόπτοντα, διὰ τὴν αὐτῶν εὐγένειαν οὐκ ἐκράτουν τῆς ἀγανακτήσεως· ἐφ' ἑκάστου δὲ τῶν ἀνιαρῶν τὴν ὀργὴν ἐξέφαινον. Ὡς δὲ οἱ μὲν καθ' ἡμέραν πρόσισταντο μᾶλλον, ὁ δὲ Ἀντίπατρος ἤδη καὶ δι' αὐτὸν ἐσπουδάζετο, δει- 6 νότατος μὲν ὢν ἐν ταῖς πρὸς τὸν πατέρα κολακείαις, διαβο- λὰς δὲ κατὰ τῶν ἀδελφῶν ποικίλας ἐνσκευαζόμενος, καὶ τὰ μὲν αὐτὸς λογοποιῶν, τὰ δὲ τοὺς ἐπιτηδείους φημίζειν καθιείς, μέχρι παντάπασι τοὺς ἀδελφοὺς ἀπέρρηξε τῆς βασιλικῆς ἐλπίδος. Καὶ γὰρ ἐν ταῖς διαθήκαις καὶ φανερῶς αὐτὸς ἦν 7 ἤδη διάδοχος· ὡς βασιλεὺς γοῦν ἐπέμφθη καὶ πρὸς Καίσαρα, τῷ τε κόσμῳ καὶ ταῖς ἄλλαις θεραπείαις, πλὴν διαδήματος, χρώμενος. Χρόνῳ δὲ ἐξίσχυσεν εἰσαγαγεῖν ἐπὶ τὴν Μαρι- 8 άμμης κοίτην τὴν μητέρα. Δυσὶ δὲ ὅπλοις κατὰ τῶν ἀδελ- 9 φῶν χρώμενος, κολακείᾳ καὶ διαβολῇ, τὸν βασιλέα καὶ περὶ θανάτου τῶν υἱῶν ὑπειργάσατο.

3. Τὸν γοῦν Ἀλέξανδρον σύρας μέχρι Ῥώμης ὁ πατὴρ, 10 τῆς ἐφ' ἑαυτῷ φαρμακείας ἔκρινεν ἐπὶ Καίσαρος. Ὁ δὲ

καὶ ἐπειδὴ γάμων P. τῆς τιτθίδος Σαλώμης T. θυγατέραν N. 4 καὶ φυγεῖν P. 5 τὴν ἑαυτῶν P. ἐφ' ἕκαστον P. προΐσταντο P.T. ἤδη καὶ δι' αὐτὸ L.N.T. 6 ποικίλας κατὰ τῶν ἀδελφῶν T. ἀπέρραξε N. 7 βασιλεὺς γῆς ἐπ. M. 8 Μαριάμνης N.

εὑρὼν μόλις ὁλοφυρμοῦ παρρησίαν, καὶ δικαστὴν ἐμπειρότερον Ἀντιπάτρου, καὶ Ἡρώδου φρονιμώτερον, τὰ μὲν ἁμαρτήματα τοῦ πατρὸς αἰδημόνως ὑπεστείλατο, τὰς δὲ αὐτοῦ
11 διαβολὰς ἰσχυρῶς ἀπεδύσατο. Καθαρὸν δὲ καὶ τὸν ἀδελφὸν ἀποδείξας κοινωνοῦντο τῶν κινδύνων, οὕτως ἤδη τό τε Ἀντι-
12 πάτρου πανοῦργον καὶ τὴν αὐτῶν ἀτιμίαν ἀπωδύρετο. Συνήργει δὲ αὐτῷ μετὰ καθαροῦ τοῦ συνειδότος ἡ περὶ λόγους
13 ἰσχύς· ἦν γὰρ δὴ δεινότατος εἰπεῖν. Καὶ τὸ τελευταῖον φάμενος, ὡς τῷ πατρὶ κτείνειν αὐτούς ἐστιν ἡδύ, προτίθεται τὸ ἔγκλημα· καὶ προήγαγε μὲν εἰς δάκρυα πάντας, τὸν δὲ Καίσαρα διέθηκεν οὕτως, ὡς ἀπογνῶναι μὲν αὐτῶν τὰ κατ-
14 ηγορημένα, διαλλάξαι δὲ Ἡρώδην εὐθέως. Αἱ διαλλαγαὶ δὲ ἐπὶ τούτοις ἦσαν, ὥστε ἐκείνους μὲν τῷ πατρὶ πάντα πειθαρχεῖν, τὸν δὲ τὴν βασιλείαν καταλιπεῖν ᾧ βούλεται.

15 4. Μετὰ ταῦτα δὲ ἀπὸ Ῥώμης ὑπέστρεφεν ὁ βασιλεύς, τῶν μὲν ἐγκλημάτων ἀφηκέναι τοὺς υἱεῖς δοκῶν, τῆς δὲ ὑπο-
16 νοίας οὐκ ἀπηλλαγμένος. Παρηκολούθει γὰρ Ἀντίπατρος, ἡ τοῦ μίσους ὑπόθεσις, ἀλλ' εἴς γε τὸ φανερὸν τὴν ἀπέχθειαν
17 οὐκ ἐξέφερε, τὸν διαλλακτὴν αἰδούμενος. Ὡς δὲ τὴν Κιλικίαν παραπλέων κατῆρεν εἰς Ἐλεοῦσαν, εἰστία μὲν αὐτοὺς φιλοφρόνως Ἀρχέλαος, ὑπὲρ τῆς τοῦ γαμβροῦ σωτηρίας εὐχαριστῶν, καὶ ταῖς διαλλαγαῖς ἐφηδόμενος, ὡς ἂν καὶ τάχιον γεγραφὼς τοῖς ἐπὶ Ῥώμης φίλοις, συλλαμβάνεσθαι
18 περὶ τὴν δίκην Ἀλεξάνδρῳ. Προπέμπει δὲ μέχρι Ζεφυρίου, δῶρα δοὺς μέχρι τριάκοντα ταλάντων.

19 5. Ὡς δὲ εἰς Ἱεροσόλυμα Ἡρώδης ἀφικνεῖται, συναγαγὼν τὸν λαὸν, καὶ τοὺς τρεῖς υἱεῖς παραστησάμενος, ἀπελογεῖτο περὶ τῆς ἀποδημίας, καὶ πολλὰ μὲν ηὐχαρίστει τῷ θεῷ, πολλὰ

10 ἐμπειρότατον L.N.T. πατρὸς αἰδούμενος ὑπεσ. N.P. et L. ex correct. 11 ἀναδείξας M. 12 συνείργει sic L. καθαροῦ συνειδότος P. 13 ἐστιν, εἰ δὴ π. E. καὶ προτίθεται P. rec. man. add. L. προστίθεται N.T. ἔγκλημα προήγαγε L.N.P.T.E. αὐτῶν ex cor. T. 16 ἐ. ἀφιέναι τοὺς L.P. ἀφιεικέναι T. 16 Π. δὲ Ἀντιπ. E. 17 εἰς Καππαδοκίαν ἑλιοῦσαν ἑστιᾷ P. 18 ἄχρι Ζεφυρίου T. 19 τρεῖς υἱους N. εὐχαρίστει P.T.

δὲ Καίσαρι καταστησαμένῳ τὸν οἶκον αὐτοῦ τεταραγμένον, καὶ μεῖζόν τι τοῖς υἱοῖς παρασχόντι τῆς βασιλείας τὴν ὁμόνοιαν, ἣν " Αὐτὸς," ἔφη, " συναρμόσω μᾶλλον· ὁ μὲν γὰρ κύριον ἐμὲ τῆς ἀρχῆς καὶ δικαστὴν τοῦ διαδόχου κατέστησεν, ἐγὼ δὲ μετὰ τοῦ συμφέροντος ἐμαυτῷ καὶ ἐκεῖνον ἀμείβομαι. Τούσδε τοὺς τρεῖς παῖδας ἀποδείκνυμι βασιλέας, καὶ τῆς γνώμης πρῶτον τὸν θεὸν σύμψηφον, ἔπειτα καὶ ὑμᾶς παρακαλῶ γενέσθαι· τῷ μὲν γὰρ ἡλικία, τοῖς δὲ εὐγένεια τὴν διαδοχὴν προξενεῖ· τό γε μὴν μέγεθον τῆς βασιλείας ἀρκεῖ καὶ πλείοσιν. Οὓς δὲ Καῖσαρ μὲν ἤνωσε, καθίστησι δὲ πατὴρ, ὑμεῖς τηρήσατε, μήτε ἀδίκους μήτε ἀνωμάλους τὰς τιμὰς διδόντες, ἑκάστῳ δὲ κατὰ πρεσβεῖον· οὐ γὰρ τοσοῦτον εὐφρανεῖ τις τὸν παρ' ἡλικίαν θεραπευόμενον, ὅσον ὀδυνήσει τὸν ἀτιμούμενον. Οὓς γε μὴν ἑκάστῳ συνεῖναι δεήσει συγγενεῖς καὶ φίλους, ἐγὼ διανεμῶ, καὶ τῆς ὁμονοίας ἐκείνους ἐγγυητὰς καταστήσομαι, σαφῶς ἐπιστάμενος, ὅτι τὰς στάσεις καὶ τὰς φιλονεικίας γεννῶσιν αἱ τῶν συνδιατριβόντων κακοήθειαι· καὶ ἐὰν ὦσιν οὗτοι χρηστοὶ, τηροῦσι τὰς στοργάς. Ἀξιῶ δὲ οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς ἐν τῇ στρατιᾷ μου ταξιάρχους, ἐν ἐμοὶ μόνῳ τὰς ἐλπίδας ἔχειν ἐπὶ τοῦ παρόντος. Οὐ γὰρ βασιλείαν, ἀλλὰ τιμὴν βασιλείας τοῖς υἱοῖς παραδίδωμι· καὶ τῶν μὲν ἡδέων ὡς ἄρχοντες ἀπολαύσουσι, τὸ βάρος δὲ τῶν πραγμάτων ἐμόν ἐστι, καὶ ἐὰν μὴ θέλω. Σκεπτέσθω δὲ ἕκαστος τήν τε ἡλικίαν μου καὶ τὴν ἀγωγὴν τοῦ βίου, καὶ τὴν εὐσέβειαν· οὔτε γὰρ οὕτως εἰμὶ γέρων, ὥστ' ἂν ἀπελπισθῆναι ταχέως, οὔτε εἰς τρυφὴν ἐκδιαιτώμενος, ἣ καὶ νέους ἐπιτέμνεται, τό τε θεῖον οὕτω τεθεραπεύκαμεν, ὥστε ἂν ἐπὶ μήκιστον βίου προελθεῖν. Ὁ δὲ τοὺς ἐμοὺς παῖδας θεραπεύων ἐπὶ τῇ ἐμῇ καταλύσει, δώσει μοι καὶ

υἱοῖς βασιλείας παρασχόντι P. 20 *ἐμὲ κύριον* P. *δικαστὴν διαδόχου* L.N. *ἀμειβόμενος* E. *τοὺς δὲ τρεῖς* in marg. T. *βασιλεῖς* P. 22 *κατὰ τὸ πρεσβεῖον* P. *ὀδυνήσῃ συγγενεῖς καὶ* desunt quæ intersunt media M. 23 *ἐγγυητὰς ἐκείνους* P. *τῶν διατριβόντων* M. 24 *ἐμοὶ μόνον* L.P. 26 *ὑποστέμνεται* E. *τὸ δὲ θεῖον* P. *ὡς ἂν ἐπιμήκιστον* P. *βίον προελ.* N. 27 *ὁ δὴ τοὺς* P.

περὶ ἐκείνων δίκας· οὐ γὰρ ἐγὼ, φθονῶν τοῖς ἐξ ἐμοῦ γεγεν-
νημένοις, ἀνακόπτω τὴν εἰς αὐτοὺς φιλοτιμίαν, ἐπιστάμενος
28 δὲ τοῖς νέοις γίνεσθαι τὰς σπουδὰς θράσους ἐφόδιον. Εἴ γε
μὴν ἕκαστος ἐνθυμηθείη τῶν προσιόντων, ὅτι χρηστὸς μὲν ὢν
παρ' ἐμοῦ λήψεται τὴν ἀμοιβὴν, στασιάζων δὲ καὶ παρὰ τῷ
θεραπευομένῳ τὸ κακόηθες ἀνόνητον ἕξει, πάντας οἶμαι τὰ
29 ἐμὰ φρονήσειν, τουτέστι τὰ τῶν ἐμῶν υἱῶν· καὶ γὰρ τούτοις
30 συμφέρει κρατεῖν ἐμὲ, καὶ ἐμὲ τούτοις ὁμονοεῖν. Ὑμεῖς δὲ,
ὦ παῖδες ἀγαθοὶ, πρῶτον μὲν ἐνθυμούμενοι τὴν ἱερὰν φύσιν,
ἧς καὶ παρὰ θηρίοις αἱ στοργαὶ μένουσιν, ἔπειτα τὸν ποιή-
σάμενον ἡμῶν τὰς διαλλαγὰς Καίσαρα, τρίτον ἐμὲ τὸν ἐν οἷς
31 ἔξεστιν ἐπιτάσσειν παρακαλοῦντα, μείνατε ἀδελφοί. Δίδωμι
δὲ ὑμῖν ἐσθῆτά τε ἤδη καὶ θεραπείαν βασιλικήν· ἐπεύχομαι
32 δὲ καὶ τῷ θεῷ τηρῆσαι τὴν ἐμὴν κρίσιν, ἂν ὁμονοῆτε." Ταῦτα
εἰπὼν, καὶ φιλοφρόνως ἕκαστον κατασπασάμενος τῶν υἱῶν,
διέλυσε τὸ πλῆθος, τοὺς μὲν, συνευχομένους τοῖς εἰρημένοις,
ὅσοι δὲ ἐπεθύμουν μεταβολῆς, μηδὲ ἀκηκοέναι προσποιουμέ-
νους.

CAP. XXIV.

1 1. Συναπῆει δὲ τοῖς ἀδελφοῖς ἡ στάσις, καὶ χείρους τὰς Antt. 16.
2 ἐπ' ἀλλήλοις ὑπονοίας ἔχοντες ἀπηλλάγησαν· Ἀλέξανδρος 7. 2.
μὲν καὶ Ἀριστόβουλος ὀδυνώμενοι κεκυρωμένον Ἀντιπάτρῳ
τὸ πρεσβεῖον, Ἀντίπατρος δὲ καὶ τοῦ δευτερεύειν νεμεσῶν
3 τοῖς ἀδελφοῖς. Ἀλλ' ὁ μὲν, ποικιλώτατος ὢν τὸ ἦθος, ἐχε-
μυθεῖν τε ἤδει, καὶ πολλῷ τῷ πανούργῳ χρώμενος, τὸ πρὸς
αὐτοὺς ἐκάλυπτε μῖσος· τοῖς δὲ δι' εὐγένειαν πᾶν τὸ νοηθὲν
4 ἦν ἐπὶ γλώσσης. Καὶ παροξύνοντες μὲν ἐνέκειντο πολλοὶ,
5 πλείους δὲ τῶν φίλων παρεδύνοντο κατάσκοποι. Πᾶν δὲ τὸ
παρ' Ἀλεξάνδρῳ λαληθὲν εὐθέως ἦν παρ' Ἀντιπάτρῳ, καὶ

γεγενημένοις L. αὐτοὺς φιλίαν M. 28 λήψεται τὴν ἀμοιβὴν παρ' ἐμοῦ T. 30 πρῶτον ἐνθυ. P.E. 31 ἐσθῆτα ἤδη P. τε supra scriptum T. 32 τῶν υἱῶν κατασπασάμενος P. 1 ὑπ' ἀλλήλοις M. κεκυρωμένου P. 2 τοῦ πρεσβείου M.P. et ex cor. rec. L. pro νεμεσῶν in marg. φθονῶν T. 3 χρώμενος deest P. ἦν deest P. 4 ἐνεκειντο πολὺ πλείους P. παρεδύοντο L.N.T. 5 πᾶν δὲ τῷ P.

μετὰ προσθήκης μετέβαινεν ἀπὸ Ἀντιπάτρου πρὸς Ἡρώδην. Οὔτε δὲ ἁπλῶς φθεγξάμενος ὁ νεανίας ἀνυπεύθυνος ἦν, ἀλλ' 6
εἰς διαβολὴν τὸ ῥηθὲν ἐστρέφετο, καὶ μετρίως παρρησιασαμένου μέγιστα τοῖς ἐλαχίστοις προσεπλάττετο. Καθίει δὲ 7
Ἀντίπατρος ἀεὶ τοὺς ἐρεθίζοντας, ὅπως αὐτὸ τὸ ψεῦδος ἔχοι τὰς ἀφορμὰς ἀληθεῖς· καὶ ἐκ τῶν φημιζομένων ἔν τι διελεγχθὲν ἅπασι πίστιν ἐπετίθει. Καὶ τῶν μὲν αὐτοῦ φίλων 8
ἡ φύσει στεγανώτατος ἦν ἕκαστος, ἡ κατεσκευάζετο δωρεαῖς, ὡς μηδὲν ἐκφέρεσθαι τῶν ἀπορρήτων. Καὶ τὸν Ἀντιπά- 9
τρου βίον οὐκ ἂν ἁμάρτοι τις εἰπὼν κακίας μυστήριον· τοὺς γὰρ Ἀλεξάνδρῳ συνόντας χρήμασι διαφθείρων, ἢ κολακείαις ὑπιὼν, αἷς πάντα κατειργάσατο, ἐπεποιήκει προδότας, καὶ τῶν πραττομένων ἢ λαλουμένων φῶρας. Πάντα δὲ περιε- 10
σκεμμένως δραματουργῶν, τὰς πρὸς Ἡρώδην ὁδοὺς ταῖς διαβολαῖς ἐποιεῖτο τεχνικωτάτας· αὐτὸς μὲν ἀδελφοῦ προσωπεῖον ἐπικείμενος, καθιεὶς δὲ μηνυτὰς ἑτέρους. Καὶ ἐπειδὰν 11
ἀπαγγελθείη τι κατὰ Ἀλεξάνδρου, παρελθὼν ὑπεκρίνετο, καὶ διασύρειν τὸ ῥηθὲν ἀρξάμενος, ἔπειτα κατεσκεύαζεν ἡσυχῇ, καὶ πρὸς ἀγανάκτησιν ἐξῆγε τὸν βασιλέα. Πάντα δ' εἰς 12
ἐπιβουλὴν ἀνήγετο, καὶ τὸ δοκεῖν τῇ σφαγῇ τοῦ πατρὸς ἐφεδρεύειν Ἀλέξανδρον· οὐδὲν γὰρ οὕτω πίστιν ἐχορήγει ταῖς διαβολαῖς, ὡς ἀπολογούμενος Ἀντίπατρος ὑπὲρ αὐτοῦ.

2. Τούτοις Ἡρώδης ἐξαγριούμενος, ὅσον ὑφῆρει καθ' ἡμέ- 13
ραν τῆς πρὸς τὰ μειράκια στοργῆς, τοσοῦτον Ἀντιπάτρῳ προσετίθει. Συναπέκλιναν δὲ καὶ τῶν κατὰ τὸ βασίλειον οἱ 14
μὲν ἑκόντες, οἱ δὲ ἐξ ἐπιτάγματος, ὥσπερ Πτολεμαῖος ὁ τιμιώτατος τῶν φίλων, οἵ τε ἀδελφοὶ τοῦ βασιλέως, καὶ

μετέβαινεν παρὰ Ἀν. L. 6 οὔτε γὰρ ἁπλῶς P. ἐρεθίσοντας P. ὅπως αὐτοῦ τὸ T. 7 ἔχει τὰς M. καὶ τῶν φημ. P. ἔν τι διαλεχθὲν P. 8 τῶν αὐτῷ μὲν φίλων E. δωρεὰν ὡς μηδὲν N.T. 9 ἂν ἡμαρτέν τις P. τοὺς δὲ Ἀλ. P. κολακείαις ἐπιὼν M. ὑπιὼν ἐς πάντα P. πεποιήκει N.T. καὶ πεποιήκει P. τῶν προσταττομένων, ἢ in marg. T. 10 προσωπ. περικείμενος sec. man. T. μηνυτὰς ἑταίρους P. 11 ἐπειδὰν λεχθείη L.N.T. προελθων ὑπεκ. L. ἀγανάκ. ἐξεκαλεῖτο τὸν P. 12 Πᾶν δὲ εἰς L.N.T. 13 ὅσον ὑστέρει in marg. man. rec. T.

15 πᾶσα ἡ γενέα· πάντα γὰρ Ἀντίπατρος ἦν. Καὶ τὸ πικρότατον Ἀλεξάνδρῳ, πάντα ἦν ἡ Ἀντιπάτρου μήτηρ, σύμβουλος κατ᾽ αὐτῶν, μητρυιᾶς χαλεπωτέρα, καὶ πλεῖόν τι προγό-
16 νων μισοῦσα τοὺς ἐκ βασιλίδος. Πάντες μὲν οὖν ἐπὶ ταῖς ἐλπίσιν ἐθεράπευον Ἀντίπατρον ἤδη· συναφίστα δὲ ἕκαστον τὰ τοῦ βασιλέως προστάγματα, παραγγείλαντος τοῖς τιμιωτάτοις μήτε προσιέναι, μήτε προσέχειν τοῖς περὶ Ἀλέξαν-
17 δρον. Φοβερὸς δὲ ἦν οὐ μόνον τοῖς ἐκ τῆς βασιλείας, ἀλλὰ καὶ τοῖς ἔξωθεν φίλοις· οὐδενὶ γὰρ βασιλέων τοσαύτην Καῖσαρ ἔδωκε τιμὴν, ὥστε τὸν ἀπ᾽ αὐτοῦ φεύγοντα καὶ μὴ προσ-
18 ηκούσης πόλεως ἐξαγαγεῖν. Τὰ δὲ μειράκια τὰς μὲν διαβολὰς ἠγνόει, παρ᾽ ὃ καὶ μᾶλλον ἀφυλάκτως ἐνέπιπτον αὐτοῖς·
19 οὐδενὶ γὰρ ὁ πατὴρ φανερῶς ἀπεμέμφετο. Συνίει δὲ κατὰ μικρὸν ἐκ τοῦ ψύγματος, καὶ πρὸς τὸ λυποῦν μᾶλλον ἐτρα-
20 χύνετο. Διέθηκε δὲ πρὸς αὐτὰ καὶ τὸν θεῖον Φερώραν Ἀντίπατρος ἐχθρωδῶς, καὶ τὴν τηθίδα Σαλώμην, ὡς ἂν γαμετὴν
21 οὖσαν, καθομιλῶν ἀεὶ καὶ παροξύνων. Συνήργει δὲ καὶ πρὸς τὴν ταύτης ἀπέχθειαν ἡ Ἀλεξάνδρου γυνὴ Γλαφύρα, γενεαλογοῦσα τὴν αὐτῆς εὐγένειαν, καὶ ὡς πασῶν τῶν κατὰ τὸ βασίλειον εἴη δεσπότις, κατὰ πατέρα μὲν ἀπὸ Τημένου κατὰ
22 μητέρα δὲ ἀπὸ Δαρείου τοῦ Ὑστάσπεως οὖσα. Πολλὰ δὲ ὠνείδιζεν εἰς δυσγένειαν, τήν τε ἀδελφὴν τὴν Ἡρῴδου, καὶ τὰς γυναῖκας, ὧν ἑκάστη δι᾽ εὐμορφίαν, οὐκ ἀπὸ γένους,
23 ἠρέθη. Πολλαὶ δὲ ἦσαν, ὡς ἂν ἐφιεμένου τε πατρίως Ἰουδαίοις γαμεῖν πλείους, καὶ τοῦ βασιλέως ἡδομένου πλείοσιν, αἳ πᾶσαι διὰ τὸ μεγάλαυχον τῆς Γλαφύρας καὶ τὰς λοιδορίας ἐμίσουν Ἀλέξανδρον.

24 3. Τὴν δὲ δὴ Σαλώμην, καίτοι πενθερὰν οὖσαν, αὐτὸς

15 πικρώτατον P. καθ᾽ αὑτῶν E. μητρυᾶς T. 16 τὰ βασιλέως L.M. N.T.E. μὴ προσιέναι T. 17 Καίσαρ τοσαύτην transp. P.T. δέδωκε L. ἔδωκεν ἐξουσίαν ὥστε P. ὥστε ἀπ᾽ αὐτοῦ M. φυγόντα P. 18 ἠγνόουν P. ἐνέπιπτον αὐταῖς L.M.N.P.E. οὐδὲν γὰρ P. 19 καὶ ὅτι πρὸς τὸ E. 20 ἐχθρῶς, καὶ L.M.N. τὴν τιτθίδα T. παροξύνων P. 21 τὴν ἑαυτῆς P. αὐτῆς γενεὰν in marg. T. Τημένου L.T. Τιμένους M. Τεμένους N. 22 εἰς ἀγένειαν P. 23 ἀφιεμένου L.N.P.T. Ἰουδαίους T. αἱ πᾶσαι δὲ N.T. τὸ Γλαφύρας P.T. 24 Τὴν δὲ Σαλ. E.

Ἀριστόβουλος ἑαυτῷ διεστασίασεν, ὠργισμένην καὶ πρότερον ἐπὶ ταῖς ἐκ Γλαφύρας βλασφημίαις· ὠνείδιζε γὰρ τῇ γυναικὶ συνεχῶς τὴν ταπεινότητα, καὶ ὡς αὐτὸς μὲν ἰδιώτην, ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος γήμαι βασιλίδα. Τοῦτο κλαί- 25
ουσα τῇ Σαλώμῃ διήγγειλεν ἡ θυγάτηρ, προσετίθει δὲ, ὅτι καὶ τῶν ἄλλων ἀδελφῶν τὰς μὲν μητέρας ἀπειλοῖεν οἱ περὶ Ἀλέξανδρον, ἐπειδὰν παραλάβωσι τὴν βασιλείαν, ἱστουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν, αὐτοὺς δὲ κωμῶν γραμματεῖς, ἐπισκώπτοντες ὡς παιδευομένους ἐπιμελῶς. Πρὸς ἃ 26
τὴν ὀργὴν οὐ κατέχουσα Σαλώμη πάντα διήγγειλεν Ἡρώδῃ· σφόδρα δ' ἦν ἀξιόπιστος κατὰ γαμβροῦ λέγουσα. Καί τις 27
ἑτέρα διαβολὴ συνέδραμεν, ἡ τὸν θυμὸν ὑπεκκαύσασα τοῦ βασιλέως. Ἤκουσε γὰρ αὐτοὺς συνεχῶς ἀνακαλεῖσθαι μὲν 28
τὴν μητέρα, καὶ κατοιμώζειν δὲ ἐπαρωμένους αὐτῷ, πολλάκις δὲ αὐτοῦ διαδιδόντος τῶν Μαριάμμης ἐσθήτων τινὰ ταῖς μεταγενεστέραις γυναιξὶν, ἀπειλεῖν, ὡς ἀντὶ τῶν βασιλικῶν ἐν τάχει περιθήσουσιν ἑαυταῖς ἐκ τριχῶν πεποιημένας.

4. Διὰ ταῦτα, καίτοι τὸ φρόνημα τῶν νεανίσκων ὑποδεί- 29
σας, ὅμως οὐκ ἀπέκοπτε τὴν ἐλπίδα τῆς διορθώσεως· ἀλλὰ προσκαλεσάμενος αὐτοὺς, καὶ γὰρ εἰς Ῥώμην ἐκπλεύσειν ἔμελλε, βραχέα μὲν ἠπείλησεν ὡς βασιλεὺς, τὰ πολλὰ δὲ ἐνουθέτησεν ὡς πατὴρ, καὶ φιλεῖν τοὺς ἀδελφοὺς παρεκάλει, διδοὺς τῶν προημαρτημένων ἄφεσιν, εἰ πρὸς τὸ μέλλον ἀμείνους γένοιντο. Οἱ δὲ τὰς μὲν διαβολὰς ἀπεσκευάζοντο 30
ψευδεῖς εἶναι λέγοντες, πιστώσασθαι δὲ τὴν ἀπολογίαν τοῖς ἔργοις ἔφασκον· ‘δεῖν μέντοι καὶ ἐκεῖνον ἀποφράττειν τὰς λογοποιΐας, τῷ μὴ πιστεύειν ῥᾳδίως· οὐ γὰρ ἐπιλείψειν τοὺς καταψευσομένους αὐτῶν, ἕως ἂν ὁ πειθόμενος ᾖ.’

5. Τούτοις ὡς πατέρα πείσαντες ταχέως, τὸν μὲν ἐν χερσὶ 31
φόβον διεκρούσαντο, τὴν δὲ εἰς τὰ μέλλοντα λύπην προσέλα-

καὶ πρόσθεν ἐπὶ P. ταῖς ἐκ λαφύρας N. ἰδιώτην P. 26 διήγγελλεν N.T. 27 ἐκκαύσασα P. 28 ἀνακαλ. μὲν συνεχῶς transp. P. πολλάκις δὲ αὐτῷ T.E. διαδόντος T. περιθήσωσιν P. 29 ἠπείλησε μὲν βραχέα transp. T. 30 ἂν πειθ. deest ὁ ex ras. L. πειθόμενος ᾖ τούτοις. P. 31 Ὡς δὲ τὸν P.

βον· ἔγνωσαν γὰρ τήν τε Σαλώμην ἐχθρὰν καὶ τὸν θεῖον
32 Φερώραν. Ἦσαν δὲ βαρεῖς μὲν ἀμφότεροι καὶ χαλεποί, Φε-
ρώρας δὲ μείζων, ὃς πάσης μὲν ἐκοινώνει τῆς βασιλείας πλὴν
διαδήματος, προσόδου δὲ ἰδίας ἑκατὸν εἶχε τάλαντα, τὴν δὲ
πέραν Ἰορδάνου πᾶσαν ἐκαρποῦτο χώραν, λαβὼν παρὰ τοῦ
33 ἀδελφοῦ δῶρον· ὃς αὐτὸν ἐποίησε καὶ τετράρχην, αἰτησά-
μενος παρὰ Καίσαρος, βασιλικῶν τε γάμων ἠξίωσε συνοι-
κίσας ἀδελφὴν τῆς ἰδίας γυναικός· μετὰ δὲ τὴν ἐκείνης τελευ-
τὴν καθωσίωσε τὴν πρεσβυτάτην τῶν αὐτοῦ θυγατέρων ἐπὶ
34 προικὶ τριακοσίοις ταλάντοις. Ἀλλ' ἀπέδρα Φερώρας τὸν
βασιλικὸν γάμον πρὸς ἔρωτα δούλης· ἐφ' ᾧ χαλεπήνας Ἡρώ-
δης, τὴν μὲν θυγατέρα τῷ πρὸς Πάρθων ὕστερον ἀναιρεθέντι
35 συνέζευξεν ἀδελφιδῷ. Φερώρᾳ δὲ μετ' οὐ πολὺ τὴν ὀργὴν
ἀνίει, διδοὺς συγγνώμην τῇ νόσῳ.

36 6. Διεβάλλετο δὲ καὶ πάλαι μέν, ἔτι ζώσης τῆς βασιλίδος,
ἐπιβουλεύειν αὐτῷ φαρμάκοις. Τότε δὲ πλεῖστοι μηνυταὶ
προσῄεσαν, ὡς καίπερ φιλαδελφότατον ὄντα Ἡρώδην εἰς
37 πίστιν ὑπαχθῆναι τῶν λεγομένων καὶ δέος. Πολλοὺς δὲ τῶν
ἐν ὑπονοίᾳ βασανίσας, τελευταῖον ἦλθεν ἐπὶ τοὺς Φερώρα φί-
38 λους. Ὧν ἐπιβουλὴν μὲν ἄντικρυς ὡμολόγησεν οὐδείς, ὅτι
δὲ τὴν ἐρωμένην ἁρπασάμενος εἰς Πάρθους ἀποδράναι παρε-
σκευάζετο, συμμέτοχος δὲ τοῦ σκέμματος αὐτῷ καὶ τῆς φυ-
γῆς Κοστόβαρος ὁ Σαλώμης ἀνήρ, ᾧ συνῴκισεν αὐτὴν ὁ
39 βασιλεὺς ἐπὶ μοιχείᾳ τοῦ προτέρου διαφθαρέντος. Ἦν δὲ
ἐλευθέρα διαβολῆς οὐδὲ Σαλώμη. Καὶ γὰρ αὐτῆς Φερώρας
ὁ ἀδελφὸς κατηγόρει, συνθήκας περὶ γάμου ποιουμένης πρὸς
Συλλαῖον, τὸν Ὀβόδα τοῦ Ἀράβων βασιλέως ἐπίτροπον, ὃς
ἦν ἐχθρότατος Ἡρώδῃ. Διελεγχθεῖσα δὲ καὶ τοῦτο, καὶ
40 πάντα, ὅσα Φερώρας ἐνεκάλει, συγγινώσκεται. Καὶ αὐτὸν
δὲ Φερώραν ὁ βασιλεὺς ἀπέλυσε τῶν ἐγκλημάτων.

32 βαρεῖς ἀμφότεροι P. προσόδους L. εἶχεν ἑκ. τάλ. transp. P.
33 αἰτησάμενος Καίσαρα T. συνοικήσας L.N. 34 συνεζ. ἀδελφῷ P.
35 ὀργὴν ἀνείη P. 36 προσίεσαν P. φιλαδελφώτατον P. ἀχθῆναι T.
38 συμμέτοχοι L.M.N.T. συνώκησεν L.P. 39 Φερώρας ἀδελφὸς P.
Ὀβάδα L. Ὀβάβα N. Ὀβοῖα P.

7. Μετέβαινε δὲ ἐπ' Ἀλέξανδρον ὁ χειμὼν τῆς οἰκίας, καὶ 41
περὶ τὴν ἐκείνου κεφαλὴν ὅλος ἀπηρείσατο. Τρεῖς ἦσαν
εὐνοῦχοι τῷ βασιλεῖ τιμιώτατοι, καὶ δῆλον ἐξ ὧν ἐλειτούρ-
γουν· τῷ μὲν γὰρ οἰνοχοεῖν προσετέτακτο, τῷ δὲ δεῖπνον 42
προσφέρειν, ὁ δὲ αὐτὸν κατεκοίμιζέ τε καὶ συγκατεκλίνετο.
Τούτους εἰς τὰ παιδικὰ δώροις μεγάλοις ὑπηγάγετο ὁ Ἀλέ-
ξανδρος. Μηνυθὲν δὲ τῷ βασιλεῖ, διηλέγχοντο βασάνοις. 43
Καὶ τὴν μὲν συνουσίαν εὐθέως ὡμολόγουν, ἐξέφερον δὲ καὶ
τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὧν τρόπον ἀπατηθεῖεν ὑπ' Ἀλεξάν-
δρου, λέγοντος, ' ὡς οὐκ ἐν Ἡρώδῃ δέοι τὰς ἐλπίδας ἔχειν,
ἀναιδεῖ γέροντι, καὶ βαπτομένῳ τὰς κόμας, εἰ μὴ διὰ τοῦτο 44
αὐτὸν οἴονται καὶ νέον· αὐτῷ δὲ προσέχειν. ὃς καὶ παρὰ
ἄκοντος διαδέξεται τὴν βασιλείαν, οὐκ εἰς μακράν τε τοὺς μὲν
ἐχθροὺς ἀμυνεῖται, τοὺς φίλους δ' εὐδαίμονας ποιήσει καὶ
μακαρίους, πρὸ πάντων δ' αὐτούς·' εἶναι δὲ καὶ θεραπείαν τῶν 45
δυνατῶν περὶ τὸν Ἀλέξανδρον λαθραίαν, τούς τε ἡγεμόνας
τοῦ στρατιωτικοῦ καὶ τοὺς ταξιάρχους κρύφα πρὸς αὐτὸν
συνιέναι.

8. Ταῦτα τὸν Ἡρώδην οὕτως ἐξεφόβησεν, ὡς μηδὲ παρα- 46
χρῆμα τολμῆσαι τὰς μηνύσεις ἐκφέρειν· ἀλλὰ κατασκόπους
ὑποπέμπων νύκτωρ καὶ μεθ' ἡμέραν, ἕκαστα τῶν πραττομέ-
νων ἢ λεγομένων διηρεύνα, καὶ τοὺς ἐν ταῖς ὑποψίαις εὐθέως
ἀνῄρει. Δεινῆς δὴ ἀνομίας ἐπλήσθη τὸ βασίλειον· κατὰ 47
γὰρ ἔχθραν ἢ μῖσος ἴδιον ἕκαστος ἔπλασσε τὰς διαβολὰς,
καὶ πολλοὶ πρὸς τοὺς διαφόρους φονῶντι τῷ βασιλικῷ θυμῷ
κατεχρῶντο. Καὶ τὸ μὲν ψεῦδος εἶχε παραχρῆμα πίστιν, 48
αἱ κολάσεις δὲ τῶν διαβολῶν ἦσαν ὠκύτεραι. Κατηγόρητο
γοῦν τις ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι

41 τιμιώτατοι τῷ βασ. transp. P. 42 Τούτοις pri. ma. T. ὑπήγετο P.E. 43 τὴν μὲν πρᾶξιν εὐθέως M.T. sed in buj. marg. συνουσίαν. εἰς αὐτοὺς ὑποσ. M. εἰς ὃν τρόπον P. βαπτομ. τὰς τρίχας M.T. 44 δι' αὐτὸ τοῦτο T. δι' αὐτοῦ τοῦτον οἰόντε P. ᾧ καὶ παρὰ P. 46 τῶν λεγομένων ἢ πραττομένων M. διηρευνᾶτο M.T. 47 Δεινῆς δὲ M.P.N. ἐνεπλήσθη P. ἕκαστος ἴδιον T. ἔπλασε M. πρὸς διαφόρους sed in marg. rec. ma. adscrip. τοὺς T. 48 κατηγορεῖτο P. τῷ παρ' αὐτοῦ M. τῷ πρὸ αὐτοῦ L. διαλεχθέντι P.

συναπήγετο· τὰς γὰρ ἐξετάσεις τοῦ βασιλέως ὁ περὶ τῆς
49 ψυχῆς κίνδυνος ὑπετέμνετο. Προέβη δὲ εἰς τοσοῦτον πι-
κρίας, ὡς μηδὲ τῶν ἀκαταιτιάτων τινὶ προσβλέπειν ἡμέρως,
εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος. Πολλοῖς γοῦν αὐτῶν
50 ἀπεῖπε τὸ βασίλειον· καὶ πρὸς οὓς οὐκ εἶχε χειρὸς ἐξουσίαν,
τῷ λόγῳ χαλεπὸς ἦν. Συνεπέβη δὲ Ἀντίπατρος ἐν ταῖς
συμφοραῖς Ἀλεξάνδρῳ, καὶ στίφος ποιήσας τῶν συγγενῶν
51 οὐκ ἔστιν ἥντινα διαβολὴν παρέλιπε. Προήχθη γέ τοι πρὸς
τοσοῦτον δέους ὁ βασιλεὺς ὑπὸ τῆς τερατείας αὐτοῦ καὶ τῶν
συνταγμάτων, ὥστε ἐφεστάναι δοκεῖν αὐτῷ τὸν Ἀλέξανδρον
52 ξιφήρη. Συλλαβὼν γοῦν αὐτὸν ἔδησεν ἐξαπίνης, καὶ πρὸς
βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ. Σιγῶντες δὲ ἀπέθνη-
σκον οἱ πολλοί, καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόντες· οἱ δὲ
ὑπὸ τῶν ἀλγηδόνων ψεύσασθαι βιασθέντες ἔλεγον, ὡς ἐπι-
βουλεύοι τε αὐτῷ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ, καὶ
παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς Ῥώμην ἀποδράναι.
53 Τούτοις, καίπερ οὐ πιθανοῖς οὖσιν, ἀλλ' ὑπὸ τῆς ἀνάγκης
ἐσχεδιασμένοις, ὁ βασιλεὺς ἐπίστευεν ἡδέως, παραμυθίαν λαμ-
βάνων τοῦ δῆσαι τὸν υἱὸν τὸ μὴ δοκεῖν ἀδίκως.

CAP. XXV.

1 1. Ὁ δὲ Ἀλέξανδρος ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμή- Antt. 16.
χανον ἑώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω· καὶ τέσσαρας 8. 5.
κατὰ τῶν ἐχθρῶν βίβλους συνταξάμενος, προσωμολόγει μὲν
τὴν ἐπιβουλὴν, κοινωνοὺς δὲ ἀπεδείκνυε τοὺς πλείστους αὐτῶν,
2 πρὸ δὲ πάντων Φερώραν καὶ Σαλώμην· ταύτην γὰρ δὴ καὶ
μιγῆναί ποτε αὐτῷ μὴ θέλοντι, νύκτωρ εἰσβιασαμένην. Αἵ
τε οὖν βίβλοι παρῆσαν εἰς χεῖρας Ἡρώδῃ, πολλὰ καὶ δεινὰ

49 προββει δὲ P. ἀπηνέστατον M. 50 Ἐπανέβη E. συνέβη sic L.P. παρέλειπε L. 51 τῆς στρατείας αὐτοῦ sed in marg. τερατείας T. ὥστε ἐφιστάναι E. ὡς ἐφεστάναι P. 52 Συλλαβὼν οὖν P. ἐξαπίνης ἔδησεν P. ἀπέθνησκον πολλοὶ P. ἐπιβουλεύοιτο αὐτῷ P. παραφυλάττει P.T. κυνηγετοῦντα M. 53 ἐπίστευσεν M. 1 πλείστους αὐτῷ ex ras. T. 2 αὐτῷ καὶ μὴ N.E. Ἡρώδου M.T. Ἡρώδῃ εἰς χεῖρας transp. P.

κατὰ τῶν δυνατῶν βοῶσαι· καὶ διὰ τάχους εἰς Ἰουδαίαν Ἀρ- 3
χέλαος ἀφικνεῖται, περὶ τῷ γαμβρῷ καὶ τῇ θυγατρὶ δείσας. Γίνεται δὲ βοηθὸς αὐτοῖς μάλα προμηθὴς, καὶ τέχνῃ τὴν τοῦ βασιλέως ἀπειλὴν διεκρούσατο. Συμβαλὼν γὰρ εὐθέως 4
αὐτῷ, "Ποῦ ποτέ ἐστιν ὁ ἀλιτήριός μου γαμβρός;" ἐβόα "ποῦ δὲ τὴν πατροκτόνον ὄψομαι κεφαλὴν, ἣν ταῖς ἐμαυτοῦ χερσὶ διασπαράξω; Προσθήσω δὲ καὶ τὴν θυγατέρα μου τῷ 5
καλῷ νυμφίῳ· καὶ γὰρ εἰ μὴ κεκοινώνηκε τοῦ σκέμματος, ὅτι τοιούτου γέγονε γυνὴ, μεμίανται. Θαυμάζω δὲ καὶ σὲ τὸν ἐπιβουλευθέντα τῆς ἀνεξικακίας, εἰ ζῇ μέχρι νῦν Ἀλέξανδρος· ἐγὼ γὰρ ἠπειγόμην ἀπὸ Καππαδοκίας, ὡς τὸν μὲν εὑρήσων 6
πάλαι δεδωκότα δίκας, μετὰ δὲ σοῦ περὶ τῆς θυγατρὸς ἐξετάσων, ἣν καὶ ἐκείνῳ, σὲ καὶ τὸ σὸν ἀξίωμα βλέπων, ἐνηγγύησα. Νῦν δὲ περὶ ἀμφοῖν ἡμῖν βουλευτέον, καὶ ἂν ἧς λίαν 7
πατὴρ τοῦ κολάζειν υἱὸν ἐπίβουλον ἀτονώτερος, ἀμείψωμεν τὰς δεξιὰς, καὶ γενώμεθα τῆς ἀλλήλων ὀργῆς διάδοχοι."

2. Τούτοις περικομπήσας καίπερ παρατεταγμένον Ἡρώ- 8
δην ὑπάγεται. Δίδωσι γοῦν αὐτῷ τὰς συνταχθείσας ὑπ' Ἀλεξάνδρου βίβλους ἀναγνῶναι, καὶ καθ' ἕκαστον ἐφιστὰς κεφάλαιον συνεσκέπτετο. Λαμβάνει δὲ ὁ Ἀρχέλαος ἄφορ- 9
μὴν τοῦ στρατηγήματος, καὶ κατὰ μικρὸν εἰς τοὺς ἐγγεγραμμένους καὶ Φερώραν μετῆγε τὴν αἰτίαν. Ὡς δὲ ἑώρα 10
πιστεύοντα τὸν βασιλέα, "Σκεπτέον," ἔφη, "μή ποτε τὸ μειράκιον ὑπὸ τοσούτων εἴη πονηρῶν ἐπιβουλευόμενον, οὐχ ὑπὸ τοῦ μειρακίου σύ· καὶ γὰρ οὐδὲ ὁρᾶν αἰτίαν, ἐξ ἧς ἂν εἰς 11
τηλικοῦτον μύσος προσέπεσεν, ἀπολαῦον μὲν ἤδη βασιλείας, ἐλπίζον δὲ καὶ διαδοχῆς, εἰ μή τινες ἦσαν ἀναπείθοντες, καὶ

τῶν δυνατωτάτων P. 5 γυνὴ γέγονεν tr. P. ὁ Ἀλέξανδρος T. 6 εὑρίσων P. μετὰ δὲ σοῦ τῆς L. ἣν ἐκείνῳ γε πρὸς τὸ σὸν P. ἐνεγγύησα P. 7 πατὴρ λίαν, ἢ τοῦ κολάζειν υἱὸν ἀτονώτερος ἐπίβουλον P. ἀμείψομεν pri. man. ω ex cor. N. γενώμεθα ex cor. ut supra N. 8 ἐπιστὰς ex cor. rec. L. 9 Λαμβάνει δ' Ἀρ. M.P. μετήγαγεν τὰς αἰτίας P. 11 καὶ γὰρ οὐχ ὁρᾶν P. ὑφ' ἧς εἰς T. τηλικοῦτον μῖσος L.M.N.T. διαδοχὴν P. et L.T. sed in hor. utroque ex cor.

12 τὸ τῆς ἡλικίας εὔκολον ἐπὶ κακῷ μεταχειριζόμενοι. Διὰ γὰρ τῶν τοιούτων ἐξαπάτασθαι μὲν οὐ νέους μόνον, ἀλλὰ καὶ γέροντας, οἴκους δὲ λαμπροτάτους καὶ βασιλείας ὅλας ἀνατρέπεσθαι."

13 3. Συνήνει τοῖς λεγομένοις Ἡρώδης, καὶ τὴν μὲν πρὸς Ἀλέξανδρον ὀργὴν ἐπανίει κατ' ὀλίγον, πρὸς δὲ Φερώραν παρωξύνετο· τῶν γὰρ τεσσάρων βιβλίων οὗτος ἦν ἡ ὑπό-
14 θεσις. [a]Ὃς κατιδὼν τό τε τοῦ βασιλέως ὀξύρροπον, καὶ τὴν Ἀρχελάου φιλίαν παρ' αὐτῷ πάντων κρατοῦσαν, ὡς οὐκ ἐνῆν
15 εὐσχήμων σωτηρία, τὴν δι' ἀναιδείας ἐπορίζετο. Καταλείψας γοῦν Ἀλέξανδρον προσέφυγεν Ἀρχελάῳ, καὶ ἐκεῖνος, 'οὐχ ὁρᾶν, ἔφη, πῶς ἂν αὐτὸν ἐξαιτήσαιτο, τοσούτοις ἐνεχόμενον ἐγκλήμασιν, ἐξ ὧν σαφῶς ἀποδείκνυται τοῦ βασιλέως ἐπίβουλος, καὶ τῶν παρόντων τῷ μειρακίῳ κακῶν αἴτιος γεγο-
16 νώς, εἰ μὴ βούλεται, τὸ πανοῦργον καὶ τὰς ἀρνήσεις ἀφεὶς, προσομολογῆσαι μὲν τὰ κατηγορημένα, συγγνώμην δὲ αἰτήσασθαι παρὰ τοῦ ἀδελφοῦ καὶ φιλοῦντος· εἰς γὰρ τοῦτο πάντα τρόπον αὐτῷ συνεργήσειν.'

17 4. Πείθεται Φερώρας, καὶ κατασκευάσας ἑαυτὸν, ὡς ἂν οἰκτρότατος φανείη, μελαίνῃ τε ἐσθῆτι καὶ δακρύοις, προσπίπτει τοῖς Ἡρώδου ποσὶν, ὡς πολλάκις ἔτυχε, συγγνώμην αἰτούμενος, καὶ 'μιαρὸν μὲν ἑαυτὸν ὁμολογῶν, δεδρακέναι
18 γὰρ πάντα, ὅσα κατηγόρητο· παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος, ἧς αἴτιον εἶναι τὸν ἔρωτα τῆς γυναικὸς
19 ἔλεγε.' Παραστήσας δὲ κατήγορον καὶ μάρτυν ἑαυτοῦ Φερώραν Ἀρχέλαος, οὕτως ἤδη παρῃτεῖτο, καὶ τὴν Ἡρώδου κατέστελλεν ὀργὴν, χρώμενος οἰκείοις ὑποδείγμασι· 'καὶ γὰρ αὐτὸς, πολλῷ χαλεπώτερα πάσχων ὑπὸ τοῦ ἀδελφοῦ,

12 οὐκ ἐφήβους μόνον P. 13 πρὸς ὀλίγον P. ἦν ὑπόθεσις L.M. N.P. 14 εὐσχήμονι ex cor. rec. L. 15 προσέφευγεν L.M.N.E. Ἀρχελάῳ προσέφυγεν transp. T. ἐξαιτήσωμαι L.N.T. 16 βούληται P.E. αὐτὸς συνεργήσειν P. 17 κατασκευάσας αὐτὸν L.N.P.E. συγγνώμης P. μιαρὸν in textu, sed in marg. μικρὸν T. δεδρακέναι δὲ P. κατηγοροῖτο P. et L. ex cor. rec. 19 παραστήσας δὴ P. μάρτυρα N. et T. ex cor. αὐτοῦ L.M.N.T.E. παρειτεῖτο P. ὑπὸ ἀδελφοῦ E.

τῆς ἀμύνης ἐπίπροσθεν τίθεσθαι τὸ τῆς φύσεως δίκαιον· ἐν 20
γὰρ ταῖς βασιλείαις, ὥσπερ ἐν μεγάλοις σώμασιν, ἀεί τι
μέρος φλεγμαίνειν ὑπὸ τοῦ βάρους, ὅπερ ἀποκόπτειν μὲν οὐ
χρῆναι, θεραπεύειν δὲ πρᾳότερον.'

5. Πολλὰ τοιαῦτα λέγων Ἡρώδην μὲν ἐπὶ Φερώραν μει- 21
λίσσεται. Διέμενε δὲ αὐτὸς ἀγανακτῶν πρὸς Ἀλέξανδρον,
καὶ τὴν θυγατέρα διαζεύξας ἀπάξειν ἔφασκεν, ἕως περιέστη-
σεν Ἡρώδην ἀντιπαρακαλεῖν ὑπὲρ τοῦ μειρακίου, καὶ πάλιν
αὐτῷ μνηστεύεσθαι τὴν θυγατέρα. Σφόδρα δὲ ἀξιοπίστως 22
Ἀρχέλαος ᾧ βούλεται συνοικίζειν αὐτὴν ἐπέτρεπε, πλὴν
Ἀλεξάνδρου· περὶ πλείστου γὰρ ποιεῖσθαι τηρεῖν πρὸς αὐ-
τὸν τὰ τῆς ἐπιγαμίας δίκαια. Φαμένου δὲ τοῦ βασιλέως 23
'δῶρον ἔξειν παρ' αὐτοῦ τὸν υἱόν, εἰ μὴ λύσειε τὸν γάμον,
ὄντων μὲν αὐτοῖς ἤδη καὶ τέκνων, στεργομένης δὲ οὕτως ὑπὸ
τοῦ μειρακίου τῆς γυναικὸς, ἣν παραμένουσαν μὲν ἔσεσθαι
δυσώπημα τῶν ἡμαρτημένων, ἀπορραγεῖσαν δὲ αἰτίαν τῆς εἰς
ἅπαντα ἀπογνώσεως· μαλακωτέρας γὰρ γίνεσθαι τὰς τόλ- 24
μας, πάθεσιν οἰκείοις περισπωμένας,' κατανεύσας μόγις Ἀρ-
χέλαος διαλλάσσεταί τε καὶ διαλλάσσει τῷ νεανίσκῳ τὸν
πατέρα, 'δεῖν μέντοι πάντως, ἔφη, πέμπειν αὐτὸν εἰς Ῥώ-
μην, Καίσαρι διαλεξόμενον· γεγραφέναι γὰρ αὐτὸς ἐκείνῳ
περὶ πάντων.'

6. Τὸ μὲν οὖν Ἀρχελάου στρατήγημα, δι' οὗ τὸν γαμ- 25
βρὸν ἐρρύσατο, πέρας εἶχε· μετὰ δὲ τὰς διαλλαγὰς ἐν εὐω-
χίαις καὶ φιλοφρονήσεσι διῆγον. Ἀπιόντα δὲ αὐτὸν Ἡρώ- 26
δης δωρεῖται ταλάντων ἑβδομήκοντα δώροις, θρόνῳ τε χρυσῷ
διαλίθῳ, καὶ εὐνούχοις, καὶ παλλακίδι, ἥτις ἐκαλεῖτο Παν-
νυχὶς, τῶν τε φίλων ἐτίμησεν ἕκαστον κατ' ἀξίαν. Ὁμοίως 27
δὲ καὶ οἱ συγγενεῖς, προστάξαντος τοῦ βασιλέως, πάντες
Ἀρχελάῳ λαμπρὰ δῶρα ἔδοσαν. Προεπέμφθη δὲ ὑπό τε
Ἡρώδου καὶ τῶν δυνατῶν μέχρις Ἀντιοχείας.

τίθεσθαι τῆς N. 20 φλεγμαίνει T. ἀνακόπτειν M. 21 Φερώρᾳ L.P.E. ἕως ἔστησεν P. 24 κατανεύει L.N.P. κατένευσε T. μόλις P. 25 πέρας ἔχει M. 26 Πανυχὶς L. κατ' ἀξίαν ἕκαστον tr. P. 27 δῶρα λαμπρὰ ἔδωσαν P. προεπέμφθη τε ὑπὸ Ἡρ. P. ἕως Ἀντ. P.

CAP. XXVI.

1 1. Μετ' οὐ πολὺ δὲ εἰς τὴν Ἰουδαίαν παρέβαλεν ἀνὴρ, πολὺ Antt. 16. 10. 1.
τῶν Ἀρχελάου στρατηγημάτων δυνατώτερος, ὃς οὐ μόνον
τὰς ὑπ' ἐκείνῳ πολιτευθείσας Ἀλεξάνδρῳ διαλλαγὰς ἀνέτρε-
2 ψεν, ἀλλὰ καὶ ἀπωλείας αἴτιος αὐτῷ κατέστη. Ὃς ἦν Λά-
κων, Εὐρυκλῆς τὸ ὄνομα, πόθῳ χρημάτων εἰς τὴν βασιλείαν
προσφθαρείς· οὐ γὰρ ἀντεῖχεν ἔτι ἡ Ἑλλὰς αὐτοῦ τῇ πολυ-
3 τελείᾳ. Λαμπρὰ δὲ Ἡρῴδῃ δῶρα προσενεγκών, δέλεαρ ὧν
ἐθηρᾶτο, καὶ παραχρῆμα πολλαπλασίῳ λαβών, οὐδὲν ἡγεῖτο
τὴν καθαρὰν δόσιν, εἰ μὴ δι' αἵματος ἐμπορεύσαιτο τὴν βασι-
4 λείαν. Περιέρχεται γοῦν τὸν βασιλέα κολακείᾳ καὶ δεινότητι
λόγων, καὶ περὶ αὐτοῦ ψευδέσιν ἐγκωμίοις. Ταχέως δὲ συνιδὼν
τὸν Ἡρῴδου τρόπον, καὶ πάντα λέγων τε καὶ πράττων τὰ
5 πρὸς ἡδονὴν αὐτῷ, φίλος ἐν τοῖς πρώτοις γίνεται. Καὶ γὰρ
ὁ βασιλεὺς διὰ τὴν πατρίδα, καὶ πάντες οἱ περὶ αὐτὸν ἡδέως
προετίμων τὸν Σπαρτιάτην.

6 2. Ὁ δὲ, ἐπεὶ τὰ σαθρὰ τῆς οἰκίας κατέμαθε, τάς τε τῶν
ἀδελφῶν διαφορὰς, καὶ ὅπως διέκειτο πρὸς ἕκαστον ὁ πατὴρ,
Ἀντιπάτρου μὲν ξενίᾳ προκατείληπτο, φιλίᾳ δὲ Ἀλέξαν-
δρον ὑπεκρίνετο, ψευσάμενος ἑταῖρον αὐτὸν εἶναι καὶ Ἀρχε-
7 λάου πάλαι. Διὸ δὴ καὶ ταχέως ὡς δεδοκιμασμένος ἐδέχθη.
Συνίστα δὲ ἑαυτὸν εὐθέως καὶ Ἀριστοβούλῳ τῷ ἀδελφῷ.
Πάντων δὲ ἀποπειραθεὶς τῶν προσώπων, ἄλλῳ ἄλλως ὑπῆει.
8 Γίνεται δὲ προηγουμένως μισθωτὸς Ἀντιπάτρου, καὶ προδό-
της Ἀλεξάνδρου· τῷ μὲν ὀνειδίζων, εἰ πρεσβύτατος ὢν πε-
9 ριόψεται τοὺς ἐφεδρεύοντας αὐτοῦ ταῖς ἐλπίσιν· Ἀλεξάνδρῳ
δὲ, εἰ γεγενημένος ἐκ βασιλίδος, καὶ βασιλίδι συνοικῶν, ἐάσει

1 *παρενέβαλεν* T. *τῶν τοῦ Ἀρχ.* P. *ὑπ' ἐκείνου* L. 2 *γένος ἦν* sine *ὃς* P. *διαφθαρεὶς* L. *εἰσφθαρεὶς* P. *φθαρεὶς* N.T. *πολιτελείᾳ* M.
3 *πολυπλασίῳ* M. *ἐμπορεύσεται* P. 4 *περιέχεται* sic aliena manu L.
5 *προσετίμων* L. 6 *προυκατείληπτο* sec. man. T. *ὑποκρίνεται* P.
7 *συνίστησι δ' αὐτὸν* P. *ἀποπ. προσώπων* P. *ἄλλον ἄλλως* M.P. *ἄλλο* ex corr. T. 8 *προσηγουμένως* N. *ἐφεδρεύοντας αὐτῷ* L.
9 *γεγεννημένος* T.

διαδέχεσθαι τὴν ἀρχὴν τὸν ἐξ ἰδιώτιδος, καὶ ταῦτα μεγίστην ἀφορμὴν ἔχων Ἀρχέλαον. Ἦν δὲ πιστὸς τῷ μειρακίῳ σύμ- 10
βουλος, τὴν Ἀρχελάου φιλίαν πλασάμενος· δι' ὃ μηδὲν ὑπο- 11
στελλόμενος Ἀλέξανδρος, τά τε κατὰ Ἀντίπατρον ἀπωδύρετο πρὸς αὐτὸν, καὶ ὡς Ἡρώδης αὐτῶν τὴν μητέρα κτείνας, οὐ παράδοξον εἰ καὶ αὐτοὺς ἀφαιρεῖται τὴν ἐκείνης βασιλείαν· ἐφ' οἷς Εὐρυκλῆς οἰκτείρειν τε καὶ συναλγεῖν ὑπεκρί- 12
νετο. Τὰ δὲ αὐτὰ καὶ τὸν Ἀριστόβουλον εἰπεῖν δελεάσας, καὶ ταῖς κατὰ τοῦ πατρὸς μέμψεσιν ἐνδησάμενος ἀμφοτέρους, ᾤχετο φέρων Ἀντιπάτρῳ τὰ ἀπόρρητα. Προσεπε- 13
ψεύδετο δ' ἐπιβουλὴν, ὡς ἐνεδρευόντων αὐτὸν τῶν ἀδελφῶν, καὶ μόνον οὐκ ἐπιφερόντων ἤδη τὰ ξίφη. Λαβὼν δὲ ἐπὶ 14
τούτοις χρημάτων πλῆθος, ἐπαινέτης ἦν Ἀντιπάτρου πρὸς τὸν πατέρα. Τὸ δὲ τελευταῖον ἐργολαβήσας τὸν Ἀριστο- 15
βούλου καὶ Ἀλεξάνδρου θάνατον, κατήγορος αὐτῶν ἐπὶ τοῦ πατρὸς γίνεται. Καὶ προσελθὼν, ‘ἀντιδιδόναι τὸ ζῆν, ἔφασκεν, Ἡρώδῃ τῶν εἰς αὐτὸν εὐεργεσιῶν, καὶ τὸ φῶς ἀμοιβὴν τῆς ξενίας ἀντιπαρέχειν. Πάλαι γὰρ ἐπ' αὐτὸν ἠκονῆσθαι 16
ξίφος, καὶ τὴν Ἀλεξάνδρου τετονῶσθαι δεξιὰν, ἐμποδὼν δὲ αὐτὸς γεγονέναι τῷ τάχει, συνεργεῖν ὑποκριθείς. Φάναι 17
γὰρ τὸν Ἀλέξανδρον, ὡς οὐκ ἀγαπᾷ βασιλεύσας αὐτὸς Ἡρώδης ἐν ἀλλοτρίοις, καὶ μετὰ τὸν τῆς μητρὸς αὐτῶν φόνον τὴν ἐκείνης ἀρχὴν σπαθήσας· ἀλλ' ἔτι καὶ νόθον εἰσάγει διάδοχον, Ἀντιπάτρῳ τῷ φθόρῳ τὴν παππῴαν αὐτῶν βασιλείαν προτείνων. Τιμωρήσειν γε μὴν αὐτὸν τοῖς Ὑρκανοῦ 18
καὶ Μαριάμμης δαίμοσιν· οὐδὲ γὰρ πρέπειν αὐτὸν διαδέξασθαι παρὰ τοιούτου πατρὸς τὴν ἀρχὴν δίχα φόνου. Πολλὰ 19
δὲ εἶναι τὰ παροξύνοντα καθ' ἡμέραν, ὥστε μηδὲ λαλίας τινὰ τρόπον ἀσυκοφάντητον καταλελεῖφθαι. Περὶ μὲν γὰρ εὐγε- 20

11 διὸ μηδὲν P. τὴν αὐτῶν μητέρα tr. T. 12 ὁ Εὐρυκλῆς P. μέμψεσιν ἐνδυσάμενος E. 13 προσεψεύδετο M.N.E. προσεπιψεύδεται P. δὲ καὶ ἐπιβουλὴν M. αὐτῷ τῶν E. 14 καὶ πρὸς P. 16 ἐμπόδιον L.N.T. 17 αὐτὸν φόνον P. σπαθίσας L.P. νόθον εἰσάγεται P. 18 μὴν αὐτὸς P. 20 περὶ γὰρ εὐγ. P.

νείας ἑτέρων μνείας γινομένης, αὐτὸς ἀλόγως ὑβρίζεσθαι, τοῦ πατρὸς λέγοντος, ὁ μόνος εὐγενὴς Ἀλέξανδρος, καὶ τὸν
21 πατέρα διὰ ἀγένειαν ἀδοξῶν. Κατὰ δὲ τὰς θήρας προσκρούειν μὲν σιωπῶν, ἐπαινέσας δὲ προσακούειν εἴρων. Πανταχοῦ δὲ ἀμείλικτον εὑρίσκειν τὸν πατέρα, καὶ μόνῳ φιλόστοργον Ἀντιπάτρῳ· δι' ὃν ἡδέως καὶ τεθνήξεσθαι, μὴ κρα-
22 τήσας τῆς ἐπιβουλῆς. Κτείναντι δὲ εἶναι σωτηρίας ἀφορμὴν, πρῶτον μὲν Ἀρχέλαον ὄντα κηδεστὴν, πρὸς ὃν διαφεύξεσθαι ῥᾳδίως, ἔπειτα Καίσαρα μέχρι νῦν ἀγνοοῦντα τὸν
23 Ἡρώδου τρόπον· οὐ γὰρ ὡς πρότερον αὐτῷ παραστήσεσθαι πεφρικὼς τὸν ἐφεστῶτα πατέρα, οὐδὲ φθέγξασθαι περὶ τῶν
24 αὐτοῦ μόνον ἐγκλημάτων. Ἀλλὰ πρῶτον μὲν κηρύξειν τὰς τοῦ ἔθνους συμφορὰς, καὶ τοὺς μέχρι ψυχῆς φορολογουμένους, ἔπειτα εἰς οἵας τρυφὰς καὶ πράξεις τὰ δι' αἵματος πορισθέντα χρήματα ἀναλωθείη, τούς τε ἐξ ἡμῶν πλουτή-
25 σαντας, οἵοι, καὶ τὰς θεραπευθείσας πόλεις, ἐπὶ τίσιν· ζητήσειν δὲ καὶ τὸν πάππον ἐκεῖ καὶ τὴν μητέρα, καὶ τὰ τῆς βασιλείας μύση πάντα κηρύξειν· ἐφ' οἷς οὐ κριθήσεσθαι πατροκτόνος.'

26 3. Τοιαῦτα κατὰ Ἀλεξάνδρου τερατευσάμενος ὁ Εὐρυκλῆς, ἐπῆνει πολλὰ τὸν Ἀντίπατρον, ὡς ἄρα μόνος τε εἴη φιλοπάτωρ, καὶ διὰ τοῦτο μέχρι νῦν τῆς ἐπιβουλῆς ἐμπόδιον. Μήπω δὲ καλῶς ὁ βασιλεὺς ἐπὶ τοῖς πρώτοις κατε-
27 σταλμένος, εἰς ἀνήκεστον ὀργὴν ἐξαγριοῦται. Καὶ πάλιν λαβὼν καιρὸν Ἀντίπατρος, ἑτέρους κατὰ τῶν ἀδελφῶν ὑπέπεμπε κατηγόρους, λέγειν, ὅτι Ἰουκούνδῳ καὶ Τυράννῳ λάθρα διαλέγοιντο, τοῖς ἱππάρχαις μέν ποτε τοῦ βασιλέως γενομένοις, τότε δ' ἔκ τινων προσκρουσμάτων ἀποπεπτωκόσι τῆς
28 τάξεως. Ἐφ' οἷς Ἡρώδης ὑπεραγανακτήσας, εὐθέως ἐβα-

γενομένης M.N.T. 21 εὑρίσκει L. δι' ὧν ἡδέως E. τεθνήξασθαι L. 23 οὐδὲ γὰρ φθέγξασθαι M. 24 οἵας τροφὰς M.N.T. ἀνηλώθη P. οἷον καὶ τὰς M. 25 ἐπιστήσειν P. πάππον ἐκείνου P. πάππον ἐκεί^{νου} sic man. rec. L. 26 Εὐρυκλῆς sine ὁ P. 27 Ἀντίπατρος καιρὸν tr. M. Τυραννίῳ L.M.N.T. Ἱππάρχοις T. προσκρουμάτων deest σ ex ras. T. τάξεως· εὐθὺς Ἡρώδης ὑπὲρ ἐβασάνισεν desunt cetera P.

σάνισε τοὺς ἄνδρας· ἀλλ' οἱ μὲν οὐδὲν τῶν διαβληθέντων ὠμολόγουν. Προσεκομίσθη δέ τις πρὸς τὸν Ἡρώδου φρού- 29
ραρχον ἐπιστολὴ παρὰ Ἀλεξάνδρου, παρακαλοῦντος, ἵνα αὐτὸν δέξηται τῷ φρουρίῳ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ κτείναντα τὸν πατέρα, καὶ παράσχῃ τοῖς ὅπλοις χρήσασθαι καὶ ταῖς ἄλλαις ἀφορμαῖς. Ταύτην Ἀλέξανδρος 30
μὲν ἔλεγε τέχνασμα εἶναι Διοφάντου. Γραμματεὺς δὲ ἦν ὁ Διόφαντος τοῦ βασιλέως, τολμηρὸς ἀνὴρ καὶ δεινὸς μιμήσασθαι πάσης χειρὸς γράμματα· πολλὰ γοῦν παραχαράξας, 31
τελευταῖον ἐπὶ τούτῳ καὶ κτείνεται. Βασανίσας δὲ τὸν φρούραρχον Ἡρώδης οὐδὲν ἤκουσεν οὐδὲ παρ' ἐκείνου τῶν διαβεβλημένων.

4. Ἀλλὰ καίτοι τοὺς ἐλέγχους εὑρίσκων ἀσθενεῖς, τοὺς 32
υἱοὺς ἐκέλευσε τηρεῖν ἔτι μέντοι λελυμένους· τὸν δὲ λυμεῶνα τῆς οἰκίας καὶ δραματουργὸν ὅλου τοῦ μύσους Εὐρυκλέα, σωτῆρα καὶ εὐεργέτην καλῶν, πεντήκοντα δωρεῖται ταλάντοις. Ὁ δὲ τὴν ἀκριβῆ φήμην φθάσας εἰς Καππαδοκίαν, 33
ἀργυρίζεται καὶ παρὰ Ἀρχελάου, τολμήσας εἰπεῖν, ὅτι καὶ διαλλάξειεν Ἡρώδην Ἀλεξάνδρῳ. Διάρας δὲ εἰς τὴν Ἑλ- 34
λάδα, τοῖς ἐκ κακῶν κτηθεῖσιν εἰς ὅμοια κατεχρήσατο· δὶς γοῦν ἐπὶ Καίσαρος κατηγορηθεὶς ἐπὶ τῷ στάσεως ἐμπλῆσαι τὴν Ἀχαΐαν, καὶ περιδύειν τὰς πόλεις, φυγαδεύεται. Καὶ 35
ἐκεῖνον μὲν οὕτως ἡ Ἀριστοβούλου καὶ Ἀλεξάνδρου ποινὴ περιῆλθεν.

5. Ἄξιον δὲ ἀντιθεῖναι τὸν Κῶον Εὐάρατον τῷ Σπαρ- 36
τιάτῃ· καὶ γὰρ οὗτος ὢν ἐν τοῖς μάλιστα φίλοις Ἀλεξάνδρῳ, καὶ κατὰ τὸν αὐτὸν Εὐρυκλεῖ καιρὸν ἐπιδημήσας, πυνθανομένῳ τῷ βασιλεῖ περὶ ὧν ἐκεῖνος διέβαλλεν, ὅρκοις μηδὲν ἀκηκοέναι παρὰ τῶν μειρακίων ἐπιστώσατο. Οὐ μὴν ὤνησέ 37
γέ τι τοὺς ἀθλίους· μόνων γὰρ ἦν τῶν κακῶν ἀκροατὴς ἑτοι-

29 προεκομίσθη L.N. τοῦ φρουρίου P. χρήσασθαι τοῖς ὅπλοις tr. P. 30 μὲν εἶναι ἔλεγεν τεχ. tr. P. γραμματεὺς δὲ ὁ T.E. 31 τούτῳ κτείνεται P. 32 ἔτι μέν τι M. 34 τοῖς ἐκ τῶν. τῶν rec. man. supru scrip. T. 36 τῷ Κῶον P. Εὐάρετον, sed in marg. Εὐάρατον T. Εὐρυκλῆ P. τὸ μηδὲν ἀκηκοέναι τῶν P. 37 μόνον γὰρ P.T.E.

μότατος Ἡρώδης, καὶ κεχαρισμένος αὐτῷ πᾶς ὁ συμπιστεύων καὶ συναγανακτῶν.

CAP. XXVII.

1 1. Παρώξυνε δὲ αὐτοῦ καὶ Σαλώμη τὴν ἐπὶ τοῖς τέκνοις Antt. 16. ὠμότητα. Ταύτην γὰρ συνδήσασθαι τοῖς κινδύνοις ὁ Ἀρι- 10. 5. στόβουλος θέλων, οὖσαν ἐκυρὰν καὶ τηθίδα, διαπέμπεται 2 ‘σώζειν αὐτὴν παραινῶν· παρεσκευάσθαι γὰρ βασιλέα κτείνειν αὐτὴν διαβληθεῖσαν ἐφ’ οἷς καὶ πρότερον, ὅτι Συλλαίῳ τῷ Ἄραβι γήμασθαι σπουδάζουσα, λάθρα τὰ τοῦ βασιλέως 3 ἀπόρρητα διαγγέλλοι πρὸς αὐτὸν ἐχθρὸν ὄντα.’ Τοῦθ’ ὥσπερ τελευταία θύελλα χειμαζομένους τοὺς νεανίσκους ἐπεβάπτισεν· ἡ γὰρ Σαλώμη, δραμοῦσα πρὸς βασιλέα, τὴν πα- 4 ραίνεσιν ἐμήνυσε· καὶ ἐκεῖνος μηκέτι καρτερήσας, δεσμεῖ μὲν ἀμφοτέρους τοὺς υἱεῖς, καὶ διαχωρίζει ἀπ’ ἀλλήλων. Πέμπει δὲ πρὸς Καίσαρα διὰ τάχους Οὐολούμνιόν τε τὸν στρατοπεδάρχην, καὶ τὸν φίλον Ὄλυμπον, ἐγγράφως τὰς μηνύ- 5 σεις φέροντας. Οἱ δὲ ὡς εἰς Ῥώμην πλεύσαντες ἀπέδοσαν τὰ ὑπὸ τοῦ βασιλέως γράμματα, σφόδρα μὲν ἠχθέσθη Καί- 6 σαρ ἐπὶ τοῖς νεανίσκοις. Οὐ μὴν ᾤετο δεῖν ἀφελέσθαι τὸν 7 πατέρα τὴν κατὰ τῶν υἱῶν ἐξουσίαν. Ἀντιγράφει γοῦν κύριον μὲν αὐτὸν καθιστὰς, ‘εὖ μέντοι ποιήσειν, λέγων, εἰ μετὰ κοινοῦ συνεδρίου τῶν τε ἰδίων συγγενῶν, καὶ τῶν κατὰ 8 τὴν ἐπαρχίαν ἡγεμόνων, ἐξετάσειε τὴν ἐπιβουλήν. Καὶ ἂν μὲν ἐνέχωνται, κτείνειν, ἂν δὲ μόνον ὥσι δρασμὸν βεβουλευμένοι, κολάζειν μετριώτερον.’

9 2. Τούτοις Ἡρώδης πείθεται, καὶ παραγενόμενος εἰς Βηρυτὸν, ἔνθα προσέταξε Καῖσαρ, συνήγαγε τὸ δικαστήριον. 10 Προκαθέζονται δὲ οἱ ἡγεμόνες, γραφὲν αὐτοῖς ὑπὸ Καίσα-

1 τητθίδα N. τιτθίδα T. σώζειν ἑαυτὴν L.P. 2 πρότερον Συλλαίῳ M.N.T.E. σπουδάζουσαν M.N.T.E. διαγγέλλειν E. 3 Ταῦτα ὥσπερ L.N.T. τοῦτο δ’ ὥσπερ P. πρὸς τὸν βασιλέα L. 4 κρατήσας, sed in marg. καρτερήσας T. τοὺς υἱους L.N.T. καὶ διεχώρησεν P. Οὐελούμνιον τὸν P. ἐγγράφους P. 6 τὴν περὶ τῶν P. 7 ἀντιγράφει μὲν κύρ. M. 8 κἂν μὲν ἔχωνται P. κολάσειν M.N.T.E. 10 προκαθίζουσίν τε οἵ τε ἡγ. κατὰ τὸ γραφὲν P. γραφὲν ὑπὸ L.

ρος, Σατορνῖνός τε καὶ οἱ περὶ Πεδάνιον πρέσβεις· σὺν οἷς καὶ Οὐολούμνιος ὁ ἐπίτροπος, ἔπειτα οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι, Σαλώμη τε καὶ Φερώρας, μεθ' οὓς οἱ πάσης Συρίας ἄριστοι πλὴν Ἀρχελάου τοῦ βασιλέως· τοῦτον γὰρ 11 ὄντα κηδεστὴν Ἀλεξάνδρου δι' ὑποψίας εἶχεν Ἡρώδης. Τούς γε μὴν υἱεῖς οὐ προήγαγεν εἰς τὴν δίκην μάλα προμηθῶς, — ᾔδει γὰρ, ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως· εἰ 12 δὲ δὴ καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας, — ἀλλ' οἱ μὲν ἐν Πλατάνῃ, κώμῃ Σιδωνίων, ἐφρουροῦντο.

3. Καταστὰς δὲ ὁ βασιλεὺς, ὡς πρὸς παρόντας διετείνετο. 13 Κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς, ὡς ἂν ἀπορούμενος εἰς αὐτὴν ἐλέγχων, λοιδορίας τε καὶ σκώμματα καὶ ὕβρεις καὶ πλημμελείας μυρίας εἰς αὐτὸν, ἃ καὶ θανάτου χαλεπώτερα τοῖς συνέδροις ἀπέφαινεν. Ἔπειτα μηδενὸς 14 ἀντιλέγοντος, ἐποικτισάμενος, ὡς αὐτὸς ἁλίσκοιτο καὶ νικῶν νίκην πικρὰν κατὰ τέκνων, ἐπηρώτα τὴν γνώμην ἕκαστον. Καὶ πρῶτος Σατορνῖνος ἀπεφήνατο 'κατακρίνειν μὲν τῶν 15 νεανίσκων, ἀλλ' οὐ θάνατον· οὐ γὰρ εἶναι θεμιτὸν αὐτῷ, τριῶν παρεστώτων τέκνων, ἑτέρου τέκνοις ἀπώλειαν ἐπιψηφίσασθαι.' Σύμψηφοι δὲ αὐτῷ καὶ οἱ δύο πρεσβευταὶ γί- 16 νονται, καὶ τούτοις ἕτεροί τινες ἠκολούθησαν. Οὐολούμνιος δὲ τῆς σκυθρωπῆς ἀποφάσεως ἤρξατο· καὶ μετ' αὐτὸν πάντες θάνατον κατακρίνουσι τῶν μειρακίων, οἱ μὲν κολακεύοντες, οἱ δὲ μισοῦντες Ἡρώδην, καὶ οὐδεὶς δι' ἀγανάκτησιν. Ἔνθα δὴ 17 μετέωρος ἦ τε Συρία πᾶσα καὶ τὸ Ἰουδαϊκὸν ἦν, ἐκδεχομένων τὸ τέλος τοῦ δράματος· οὐδεὶς μέντοι ὑπελάμβανεν ἔσεσθαι μέχρι τεκνοκτονίας ὠμὸν Ἡρώδην. Ὁ δὲ σύρας τοὺς υἱεῖς 18

Σατουρνῖνος E. et sic infra. οἱ περὶ δαιδάνιον P. σὺν οἷς Οὐολ. ἐπίτροπος P. μεθ' οὗ P. 11 υἱους P. ᾔδη γὰρ T. πάντως deest P. 12 εἰ δὲ δεῖ καὶ P. τῆς αἰτίας M. πλατάνι P. 13 ἃς καὶ θανάτου M.N.T. χαλεπωτέρας N. ἀπέφηνεν P. 14 καὶ νικῶν E. ἕκαστον· πρῶτος L.N. 15 ἑτέροις τέκνοις M. 16 πρεσβῦται in marg. T. θάνατον πάντες tr. T. θάνατον κρίνουσι M.

εἰς Τύρον, καὶ ἐκεῖθεν διαπλεύσας εἰς Καισάρειαν, τρόπον ἀναιρέσεως τοῖς μειρακίοις ἐσκέπτετο.

19 4. Παλαιὸς δέ τις τοῦ βασιλέως στρατιώτης ὄνομα Τήρων, ἔχων υἱὸν σφόδρα συνήθη καὶ φίλον Ἀλεξάνδρῳ, καὶ αὐτὸς ἠγαπηκὼς ἰδίᾳ τὰ μειράκια, δι' ὑπερβολὴν ἀγανακτήσεως ἔκφρων ἐγένετο, καὶ τὸ μὲν πρῶτον ἐβόα περιϊὼν 'πεπατῆσθαι τὸ δίκαιον, ἀπολωλέναι τὴν ἀλήθειαν, συγκεχύσθαι τὴν φύσιν, ἀνομίας γέμειν τὸν βίον,' καὶ πάνθ' ὅσα
20 μὴ φειδομένῳ τοῦ ζῆν ὑπηγόρευε τὸ πάθος. Τέλος δὲ καὶ τῷ βασιλεῖ τολμήσας προσελθεῖν, "Ἀλλ' ἐμοὶ μέν," ἔφη, "κακοδαιμονέστατος εἶναι δοκεῖς, ὅστις κατὰ τῶν φιλτάτων πείθῃ τοῖς πονηροτάτοις, εἴ γε Φερώρα καὶ Σαλώμης καταγνοὺς πολλάκις θάνατον, πιστεύεις τούτοις κατὰ τῶν τέκνων, οἳ σε τῶν γνησίων περικόπτοντες διαδόχων, ἐπ' Ἀντιπάτρῳ καταλείπουσι μόνῳ, τὸν αὐτοῖς εὐμεταχείριστον αἱρούμενοι
21 βασιλέα. Σκέψαι μέντοι γε, μή ποτε καὶ ἐκείνῳ γένηται μῖσος ἐν τοῖς στρατιώταις ὁ τῶν ἀδελφῶν θάνατος· οὐ γάρ ἐστιν ὅστις οὐκ ἐλεεῖ τὰ μειράκια· τῶν δὲ ἡγεμόνων καὶ φα-
22 νερῶς ἀγανακτοῦσι πολλοί." Ταῦθ' ἅμα λέγων, ὠνόμαζε τοὺς ἀγανακτοῦντας. Ὁ δὲ βασιλεὺς εὐθέως ἐκείνους τε καὶ αὐτὸν καὶ τὸν υἱὸν αὐτοῦ συνελάμβανεν.

23 5. Ἐφ' ᾧ τῶν ἐκ τῆς αὐλῆς τις κουρέων, Τρύφων ὄνομα, προεκπηδήσας ἔκ τινος φρενοβλαβείας, ἑαυτοῦ μηνυτὴς γίνεται. "Καὶ ἐμὲ γάρ," ἔφη, "Τήρων οὗτος ἀνέπειθεν, ὅταν θεραπεύω τῷ ξυρῷ σε διαχρήσασθαι, μεγάλας τέ μοι παρὰ
24 Ἀλεξάνδρου δωρεὰς ὑπισχνεῖτο." Ταῦτα ἀκούσας Ἡρώδης τόν τε Τήρωνα σὺν τῷ παιδὶ, καὶ τὸν κουρέα βασάνοις διήλεγχε. Καὶ τῶν μὲν ἀρνουμένων, τοῦ δὲ μηδὲν πλέον λέγον-
25 τος, στρεβλοῦν ἐκέλευσε τὸν Τήρωνα σφοδρότερον. Ὁ δὲ υἱὸς οἰκτείρας ὑπέσχετο τῷ βασιλεῖ πάντα μηνύσειν, εἰ χαρί-

19 ὀνόματι P. Τίρων L.N. et sic deinceps. συνήθει P. ἐγίνετο P. ἐβόα περιὼν L. 20 καὶ Σαλώμη L. μονώτατον ἑαυτοῖς P. μόνον τὸν αὐτοῖς T. 21 σκεψάμενοί γε in marg. T. 23 ἔκ τινος θεοβλαβείας P. αὐτοῦ μηνυτὴς T. σε διαχειρίσασθαι M. 24 ἐκέλευε T.E.

σαιτο τὸν πατέρα αὐτῷ.' Καὶ ἐκείνου δόντος, εἶπεν 'ὡς ὁ πατὴρ αὐτοῦ πεισθεὶς Ἀλεξάνδρῳ θελήσειεν αὐτὸν ἀνελεῖν.' Τοῦτο οἱ μὲν εἰς ἀπαλλαγὴν τῆς τοῦ πατρὸς αἰκίας πεπλάσθαι, τινὲς δὲ ἀληθὲς ἔλεγον.

6. Ἡρώδης γε μὴν ἐν ἐκκλησίᾳ τῶν τε ἡγεμόνων καὶ Τή- 26
ρωνος κατηγορήσας, τὸν λαὸν ἐπ' αὐτοὺς ἐστρατολόγησεν. Αὐτόθι γοῦν ἀναιροῦνται μετὰ τοῦ κουρέως, ξύλοις βαλλόμενοι καὶ λίθοις. Πέμψας δὲ καὶ τοὺς υἱεῖς εἰς Σεβαστὴν, 27
οὖσαν οὐ πόρρω τῆς Καισαρείας, προσέταξεν ἀποπνίξαι. Καὶ τελεσθέντος αὐτῷ ταχέως τοῦ προστάγματος, τοὺς νεκροὺς εἰς Ἀλεξάνδρειον ἐκέλευσεν ἀνακομισθῆναι τὸ φρούριον, συνταφησομένους Ἀλεξάνδρῳ τῷ μητροπάτορι. Τὸ μὲν οὖν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τέλος τοιοῦτον.

CAP. XXVIII.

Antt. 17. 1. 2.

1. Ἀντιπάτρῳ δὲ ἀδήριτον ἔχοντι τὴν διαδοχὴν μῖσος 1
ἀφόρητον ἐκ τοῦ ἔθνους ἐπεγείρεται, πάντων ἐπισταμένων, ὅτι τὰς διαβολὰς τοῖς ἀδελφοῖς πάσας ἐπισυντάξειεν οὗτος. Ὑποικούρει δὲ καὶ δέος οὐ μέτριον αὐξομένην ὁρῶντι τὴν τῶν 2
ἀνῃρημένων γενεάν· ἦσαν γὰρ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας υἱεῖς δύο Τιγράνης καὶ Ἀλέξανδρος, Ἀριστοβούλῳ δὲ ἐκ Βερνίκης τῆς Σαλώμης θυγατρὸς Ἡρώδης μὲν καὶ Ἀγρίππας καὶ Ἀριστόβουλος υἱοί, θυγατέρες δὲ Ἡρωδιὰς καὶ Μαριάμμη. Τὴν μὲν οὖν Γλαφύραν Ἡρώδης μετὰ τῆς προικὸς 3
ἀπέπεμψεν εἰς Καππαδοκίαν, ὡς ἀνεῖλεν Ἀλέξανδρον. Τὴν Ἀριστοβούλου δὲ Βερνίκην συνῴκισε θείῳ πρὸς μητρὸς Ἀντιπάτρου· τὴν γὰρ Σαλώμην οὖσαν διάφορον ἐξοικειούμενος ὁ Ἀντίπατρος, τοῦτον ἐπραγματεύσατο τὸν γάμον. Περι- 4
έθει δὲ καὶ Φερώραν δώροις τε καὶ ταῖς ἄλλαις θεραπείαις, καὶ τοὺς Καίσαρος φίλους, οὐκ ὀλίγα πέμπων εἰς τὴν Ῥώμην

25 τοῦτον οἱ μὲν L. 27 οὖσαν πόρρω L.M. Ἀλεξάνδριον L. τοιοῦτον ἦν. P. 1 ἀδελ. πᾶσιν L. ἀδελ. πλάσας, sed in marg. πάσας T. 2 αὐξανομένην P.E. θυγατρὸς deest L.N. 3 μετὰ τῆς προικὸς Ἡρώδης tr. P. συνώκησε L.N. συνώκησεν αὐτὴν P. ἐξοικιούμενος L. τούτου ἐπραγ. L. 4 περιήει δὲ καὶ τὸν Φε. P. πέμπων ἐπὶ Ῥώμης P.

5 χρήματα. Οἵ γε μὴν περὶ Σατορνῖνον ἐν Συρίᾳ πάντες ἐπλήσθησαν τῶν ἀπ' αὐτοῦ δωρεῶν. Ἐμισεῖτο δὲ διδοὺς πλεῖον, ὡς ἂν οὐκ ἐκ τοῦ μεγαλοψύχου χαριζόμενος, ἀλλὰ 6 ἀναλίσκων κατὰ δέος. Συνέβαινε δὴ τοὺς μὲν λαμβάνοντας οὐδὲν μᾶλλον εὔνους γίνεσθαι, χαλεπωτέρους δὲ ἐχθροὺς οἷς μὴ διδῴη· λαμπροτέρας δὲ καθ' ἡμέραν ἐποιεῖτο τὰς διαδόσεις, ὁρῶν τὸν βασιλέα, παρ' ἃς αὐτὸς ἐλπίδας εἶχεν, ἐπιμελούμενον τῶν ὀρφανῶν, καὶ τὴν ἐπὶ τοῖς ἀνηρημένοις μετάνοιαν ἐμφαίνοντα, δι' ὧν ἠλέει τοὺς ἐξ ἐκείνων.

7 2. Συναγαγὼν γάρ ποτε Ἡρώδης συγγενεῖς τε καὶ τοὺς φίλους, παραστησάμενός τε τὰ παιδία, καὶ δακρύων ἐμπλήσας τοὺς ὀφθαλμούς, εἶπεν· "Ἐμὲ τοὺς μὲν πατέρας τούτων σκυθρωπὸς ἀφείλετο δαίμων, ταῦτα δέ μοι μετὰ τῆς φύσεως 8 συνίστησιν ἔλεος ὀρφανίας. Πειρῶμαι δὲ, εἰ καὶ πατὴρ ἐγενόμην ἀτυχέστατος, πάππος γοῦν φανῆναι μετριώτερος, καὶ μετ' ἐμὲ κηδεμόνας αὐτοῖς καταλιπεῖν τοὺς ἐμοὶ φιλτάτους. 9 Ἐγγυῶ δὲ τὴν μὲν σὴν, Φερώρα, θυγατέρα τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν Ἀλεξάνδρου παίδων, ἵνα ᾖς αὐτῷ κηδεμὼν ἀναγκαῖος· τῷ σῷ δὲ παιδὶ, Ἀντίπατρε, τὴν Ἀριστοβούλου 10 θυγατέρα· γένοιο γὰρ ἂν οὕτω πατὴρ τῆς ὀρφανῆς. Καὶ τὴν ἀδελφὴν αὐτῆς ὁ ἐμὸς Ἡρώδης λήψεται, πρὸς μητρὸς ὢν ἀρχιερέως πάππου. Ὁ ἀγαπῶν μὲν οὖν ἐμὲ, ταύτην 11 ἐχέτω τὴν γνώμην, ἣν διακόψει μηδεὶς ἐμὲ φιλῶν. Ἐπεύχομαι δὲ καὶ τῷ θεῷ συναρμόσασθαι τοὺς γάμους ἐπὶ συμφέροντι τῆς ἐμῆς βασιλείας καὶ τῶν ἐμῶν ἐκγόνων, τά τε παιδία ταυτὶ γαληνοτέροις ἐπιδεῖν ὄμμασιν, ἢ τοὺς πατέρας αὐτῶν."

ἃ

5 τῶν ὑπ' αὐτοῦ sic T. 6 συνέβαινε δὲ T. συνεμφαίνοντα E. ἐμφανίζοντα, sed in marg. ἐμφαίνοντα T. 7 γὰρ τότε N. καὶ φίλους T. τοὺς πατέρας E. τούτων πατέρας tr. L.N.P.T. ἀφείλατο N. 8 πάππος γοῦν γενέσθαι κηδεμονικώτερος καὶ P. sed in marg. prout impressum est. ἐμὴ ἠγεμόνας αὐτοὺς P. sed in marg. μὴ ἐμὲ κηδεμόνας αὐτοῖς. αὐτοῖς ἀπολιπεῖν L.N.T. 9 ἐγγυῶ δὴ N. τῷ δὲ σῷ tr. P. 10 ἀδελφὴν δὲ αὐτῆς L.M.N.T. ὢν υἱὸς ἀρχ. M.T. et N. sup. lin. πάππου· τὰ μὲν οὖν ἐμὰ ταύτην P. ἐχέτω τὴν κρίσιν P. μηδεὶς τῶν ἐμὲ φιλούντων P. 11 συναρμόσαι P. συνομόσασθαι in marg. T. τούτους τοὺς γάμους M. ἐγγόνων L.N.E. ταῦτα P. ἰδεῖν P.

3. Ἔτι ταῦτα εἰπὼν ἐδάκρυσέ τε καὶ τῶν παίδων συνήρ- 12
μοσε τὰς δεξιὰς, ἔπειτα κατασπασάμενος ἕκαστον φιλοφρό-
νως, διέλυσε τὸν σύλλογον. Ἐπαχνώθη δὲ εὐθὺς Ἀντίπα-
τρος, καὶ δῆλος ἦν ἅπασιν ὀδυνώμενος· ὑπελάμβανε γὰρ εἶναι 13
παρὰ τῷ πατρὶ τὴν τῶν ὀρφανῶν τιμὴν ἑαυτοῦ κατάλυσιν,
αὖθίς τε κινδυνεύσειν περὶ τῶν ὅλων, εἰ πρὸς Ἀρχελάῳ καὶ
Φερώραν ὄντα τετράρχην βοηθὸν ἔχοιεν οἱ Ἀλεξάνδρου
παῖδες. Συνελογίζετο δὲ τὸ ἑαυτοῦ μῖσος, καὶ τὸν τῶν ὀρ- 14
φανῶν ἔλεον ἐκ τοῦ ἔθνους, ὅση τε σπουδὴ ζώντων, καὶ ὅση
μνήμη παρὰ Ἰουδαίοις τῶν δι' αὐτὸν ἀπολωλότων ἦν ἀδελ-
φῶν. Ἔγνω δὴ πάντα τρόπον διακόπτειν τὰς ἐγγύας.

4. Καὶ τὸ μὲν ὑπεῖναι πανούργως, ἔδεισε τὸν πατέρα 15
χαλεπὸν ὄντα, καὶ πρὸς τὰς ὑποψίας κινούμενον εὐθέως.
Ἐτόλμησε δὲ προσελθὼν ἱκετεύειν ἄντικρυς ‘μὴ στερίσκειν
αὐτὸν ἧς ἠξίωσε τιμῆς, μηδὲ αὐτῷ μὲν ὄνομα βασιλείας, δύνα-
μιν δὲ ὑπάρχειν ἄλλοις· οὐ γὰρ κρατήσειν τῶν πραγμάτων, 16
εἰ πρὸς Ἀρχελάῳ πάππῳ καὶ Φερώραν κηδεστὴν ὁ Ἀλεξάν-
δρου παῖς προσλάβοι· κατηντιβόλει δὲ πολλῆς οὔσης γενεᾶς
κατὰ τὸ βασίλειον, μεταθεῖναι τοὺς γάμους·’ ἦσαν γὰρ δὴ 17
τῷ βασιλεῖ γυναῖκες μὲν ἐννέα, τέκνα δὲ ἐκ τῶν ἑπτά· αὐτὸς
μὲν Ἀντίπατρος ἐκ Δωρίδος, Ἡρώδης δὲ ἐκ Μαριάμμης τῆς
τοῦ ἀρχιερέως θυγατρὸς, Ἀντίπας δὲ καὶ Ἀρχέλαος ἐκ
Μαλθάκης τῆς Σαμαρείτιδος, καὶ θυγάτηρ Ὀλυμπιὰς, ἣν ὁ
ἀδελφιδοῦς αὐτοῦ Ἰώσηπος εἶχεν, ἐκ δὲ τῆς Ἱεροσολυμίτιδος
Κλεοπάτρας Ἡρώδης καὶ Φίλιππος, ἐκ δὲ Παλλάδος Φασά-
ηλος. Ἐγένοντο δὲ αὐτῷ καὶ ἄλλαι θυγατέρες, Ῥωξάνη τε 18
καὶ Σαλώμη, ἡ μὲν ἐκ Φαίδρας, ἡ δὲ ἐξ Ἐλπίδος. Δύο δὲ
εἶχεν ἀτέκνους, ἀνεψιάν τε καὶ ἀδελφιδῆν. Χωρὶς δὲ τού- 19
των δύο ἀδελφὰς Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τὰς ἐκ

12 Ἐπεὶ δὲ ταῦτα L.N.T. ἐπειδὴ ταῦτα P. ἀπεδάκρυσέν τε P. διέλυσε τὸ συνέδριον. P. 13 εἶναι καὶ παρὰ L.E. τιμὴν αὐτοῦ L.N.T. Φερώρα P. 14 τό θ' ἑαυτοῦ M. τὸ καθ' ἑαυτοῦ E. 15 πρὸς ὑποψίας L. 16 κρατήσει P. κατὰ τὸν βασίλειον N. ἐκ Μαλθάνης P. 17 ἀδελφιδὸς N.P. et T. pri. man. ἀδελφὸς L.M. 18 ἐκ Φέδρας L.N. καὶ ἰδελφὴν P.

Μαριάμμης. Οὔσης δὲ πολυπροσώπου τῆς γενεᾶς, ὁ Ἀντίπατρος ἐδεῖτο μετατεθῆναι τοὺς γάμους.

20 5. Χαλεπῶς δὲ ὁ βασιλεὺς ἠγανάκτησε, καταμαθὼν αὐτοῦ τὸ πρὸς τοὺς ὀρφανοὺς ἦθος, ἔννοιά τε αὐτῷ παρέστη περὶ τῶν ἀνηρημένων, μή ποτε καὶ ἐκεῖνοι γένοιντο τῶν Ἀντιπά-
21 τρου διαβολῶν ἀγώνισμα. Τότε μὲν οὖν πολλὰ πρὸς ὀργὴν ἀποκρινάμενος, ἀπελαύνει τὸν Ἀντίπατρον. Αὖθις δὲ ὑπαχθεὶς αὐτοῦ ταῖς κολακείαις, μεθηρμόσατο· καὶ αὐτῷ μὲν τὴν Ἀριστοβούλου συνῴκισε θυγατέρα, τὸν δὲ υἱὸν αὐτοῦ τῇ Φερώρα θυγατρί.

22 6. Καταμάθοι δ' ἄν τις, ὅσον ἴσχυσεν ἐν τούτῳ κολακεύων Ἀντίπατρος, ἐκ τοῦ Σαλώμην ἐν ὁμοίοις οὖσαν ἀποτυχεῖν. Ταύτην γὰρ δὴ, καίπερ οὖσαν ἀδελφὴν, καὶ πολλὰ διὰ Ἰουλίας τῆς Καίσαρος γυναικὸς ἱκετεύουσαν γαμηθῆναι τῷ Ἄραβι Συλλαίῳ, διωμόσατο μὲν ἐχθροτάτην ἕξειν, εἰ μὴ παύσαιτο
23 τῆς σπουδῆς. Τὸ δὲ τελευταῖον ἄκουσαν Ἀλεξᾷ τινι τῶν φίλων συνῴκισε, καὶ τῶν θυγατέρων αὐτῆς τὴν μὲν τῷ Ἀλέξα παιδὶ, τὴν δὲ ἑτέραν τῷ πρὸς μητρὸς Ἀντιπάτρου θείῳ. Τῶν δὲ ἐκ Μαριάμμης θυγατέρων ἡ μὲν ἀδελφῆς υἱὸν Ἀντίπατρον εἶχεν, ἡ δὲ ἀδελφοῦ Φασάηλον.

CAP. XXIX.

1 1. Διακόψας δὲ τὰς τῶν ὀρφανῶν ἐλπίδας ὁ Ἀντίπατρος, Antt. 17.
καὶ πρὸς τὸ συμφέρον αὐτῷ τὰς ἐπιγαμίας ποιησάμενος, ἐπὶ 1. 6.
2 βεβαίοις μὲν ὥρμει ταῖς ἐλπίσι. Προσλαβὼν δὴ τῇ κακίᾳ τὸ πεποιθὸς ἀφόρητος ἦν· τὸ γὰρ ἑκάστου μῖσος ἀποσκευάσασθαι μὴ δυνάμενος, ἐκ τοῦ φοβερὸς εἶναι τὴν ἀσφάλειαν
3 ἐπορίζετο. Συνήργει δὲ καὶ Φερώρας ὡς ἂν ἤδη βασιλεῖ βεβαίῳ. Γίνεται δὲ καὶ γυναικῶν σύνταγμα κατὰ τὴν αὐ-

19 γενεᾶς Ἀντίπ. L. μεταθεῖναι in marg. T. 20 πρὸς ὀρφανοὺς L. 21 συνώκησε L.N.P. 22 ὅσον ἴσον ἴσχυ. L.E. ἐν τούτοις P. ὁμοίοις ἀποτυχεῖν P. διὰ Λευίας τῆς P. ἐχθροτ. ἔχειν P. 23 συνώκησεν L.N.P. Ἀλεξάνδρου παιδὶ P. 1 ὡς ἐπὶ βεβ. P.E. ὥρμησεν ταῖς P. 3 ἤδη καὶ βασιλεῖ P. δὲ καὶ σύνταγμα L.

λην, ὃ νεωτέρους ἐκίνησε θορύβους. Ἡ γὰρ Φερώρα γυνὴ 4
μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς προσλαβοῦσα τὴν Ἀντι-
πάτρου μητέρα, πολλὰ μὲν ἠσέλγαινε κατὰ τὸ βασίλειον,
ἐτόλμησε δὲ καὶ τοῦ βασιλέως ὑβρίσαι δύο θυγατέρας. Διὸ 5
μάλιστα αὐτὴν ἐκεῖνος προβέβλητο· μισούμεναί γε μὴν ὑπ'
αὐτοῦ τῶν ἄλλων ἐπεκράτουν. Μόνη δὲ τῆς ὁμοιοίας αὐτῶν
ἀντίπαλος ἦν Σαλώμη, καὶ βασιλεῖ διέβαλλε τὴν σύνοδον,
ὡς οὐκ ἐπ' ἀγαθῷ τῶν αὐτοῦ πραγμάτων εἴη. Γνοῦσαι δὲ 6
ἐκεῖναι τὴν διαβολὴν, καὶ ὡς ἀγανακτήσειεν Ἡρώδης, τῆς μὲν
φανερᾶς συνόδου καὶ τῶν φιλοφρονήσεων ἐπαύσαντο, τὸ
ἐναντίον δὲ ὑπεκρίνοντο καὶ διαφέρεσθαι πρὸς ἀλλήλας ἀκού-
οντος βασιλέως· αἷς συνυπεκρίνετο καὶ Ἀντίπατρος, ἐν τῷ
φανερῷ προσκρούων Φερώρᾳ. Συνουσίαι δὲ ἦσαν αὐτῶν 7
λάθρα καὶ κῶμοι νυκτερινοὶ, τήν τε ὁμόνοιαν ἡ παρατήρησις
ἐπέτεινεν. Ἠγνόει δὲ οὐδὲν Σαλώμη τῶν πραττομένων, καὶ
πάνθ' Ἡρώδῃ διήγγελλεν.

2. Ἐξεκαίετο δ' ἐκεῖνος εἰς ὀργὴν, καὶ μάλιστα ἐπὶ τὴν 8
Φερώρα γυναῖκα· ταύτην γὰρ πλέον ἡ Σαλώμη διέβαλλεν.
Ἀθροίσας γοῦν συνέδριον τῶν τε φίλων καὶ συγγενῶν, ἄλλα
τε πολλὰ τῆς ἀνθρώπου κατηγόρει, καὶ τὴν εἰς τὰς αὐτοῦ
θυγατέρας ὕβριν· ὅτι τε Φαρισαίοις μὲν χορηγήσειε μισθοὺς 9
κατ' αὐτοῦ, καὶ τὸν ἀδελφὸν αὐτῷ κατασκευάσειε πολέμιον
ἐνδησαμένη φαρμάκοις. Τελευταῖον δὲ, εἰς Φερώραν ἀπέ- 10
στρεψε τὸν λόγον, δυοῖν θάτερον ἐλέσθαι λέγων, ἢ αὐτὸν
ἀδελφὸν, ἢ τὴν γυναῖκα. Τοῦ δὲ θᾶττον ἀπολείψειν τὸ 11
ζῆν, ἢ τὴν γυναῖκα' φήσαντος, οὐκ ἔχων ὅ τι χρὴ δρᾶν, μετέ-
βαινεν ἐπ' Ἀντίπατρον, ᾧ παρήγγειλε μήτε τῇ Φερώρα
γυναικὶ μήτε αὐτῷ μήτε ἄλλῳ τινὶ τῶν ἐκείνης διαλέγεσθαι.
Ὁ δὲ φανερῶς μὲν οὐ μετέβαινε τὸ πρόσταγμα, λάθρα δὲ διε- 12

5 διὰ δὴ μάλιστα ταύτην P. διέβαλε T. 6 ὑπεκρίνοντο διαφέρ. M.
7 ἦσαν αὐτῷ L. καὶ πλεῖστα Ἡρώ. L.M.N.T. διήγγελεν M. 8 μά-
λιστα δ' ἐπὶ L.N.E. Φερώρου P. ἀθροίσας οὖν T. τὰς ἑαυτοῦ P.
9 ὅτε τε M.E. ἐνδυσαμένη L.E. 10 ἀπέστρεφε L.M.N.P. ἢ ἑαυ-
τὸν P. 11 ὅ τι δρᾶν L. παρήγγελλε L.N.T. παρήγγελε M. 12 οὐ
παρέβαινε M. συνδιενυκτέρευε M.

νυκτέρευε σὺν ἐκείνοις. Καὶ δεδοικὼς ἐπιτηροῦσαν τὴν Σαλώμην, πραγματεύεται διὰ τῶν ἐπὶ τῆς Ἰταλίας φίλων τὴν
13 εἰς Ῥώμην ἀποδημίαν αὐτῷ· γραψάντων γὰρ ἐκείνων, δεῖν Ἀντίπατρον πεμφθῆναι διὰ χρόνου πρὸς Καίσαρα, ὁ δὲ οὔ τι μελλήσας ἐξέπεμψε, θεραπείαν τε λαμπρὰν καὶ πλεῖστα δοὺς χρήματα, τήν τε διαθήκην κομίζειν, ἐν ᾗ βασιλεὺς μὲν Ἀντίπατρος ἐγέγραπτο, Ἀντιπάτρου δὲ Ἡρώδης διάδοχος ὁ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς γεγονώς.

14 3. Ἔπλευσε δὲ καὶ Συλλαῖος ὁ Ἄραψ ἐπὶ Ῥώμης, ἠμελημκὼς μὲν τῶν Καίσαρος προσταγμάτων, ἀγωνιούμενος δὲ πρὸς Ἀντίπατρον, περὶ ὧν ἐδεδίκαστο Νικολάῳ, τάχιον.
15 Οὐ μικρὸς δὲ αὐτῷ καὶ πρὸς Ἀρέταν ἦν ἀγὼν τὸν αὐτοῦ βασιλέα· τούτου γὰρ ἄλλους τε φίλους ἀνῃρήκει, καὶ Σόε-
16 μον, τῶν ἐν Πέτρᾳ τὸν δυνατώτατον. Πείσας δὲ πολλοῖς χρήμασι Φαβάτον τὸν Καίσαρος διοικητὴν, ἐχρῆτο βοηθῷ καὶ καθ' Ἡρώδου. Πλείονα δὲ δοὺς Ἡρώδης, ἀφίστησί τε ἀπὸ Συλλαίου Φαβάτον, καὶ δι' αὐτοῦ τὰ κελευσθέντα ὑπὸ
17 Καίσαρος εἰσέπραττεν. Ὁ δὲ μηδὲν ἀποδοὺς, ἔτι καὶ κατηγόρει Φαβάτου πρὸς Καίσαρα, διοικητὴν εἶναι λέγων, οὐ τῶν
18 ἐκείνου, τῶν δὲ Ἡρώδου συμφερόντων. Ἐφ' οἷς ὀργισθεὶς Φαβάτος — ἦν δὲ ἔτι παρ' Ἡρώδῃ μάλιστα τιμώμενος — γίνεται προδότης Συλλαίου τῶν ἀπορρήτων, τῷ τε βασιλεῖ φησὶν, ὅτι Συλλαῖος διαφθείρειεν αὐτοῦ τὸν σωματοφύλακα
19 Κόρινθον χρήμασιν· ὃν δεῖ φυλάττεσθαι. Πείθεται δὲ ὁ βασιλεύς· καὶ γὰρ ἐτέθραπτο μὲν ὁ Κόρινθος ἐν τῇ βασιλείᾳ, γένος δ' ἦν Ἄραψ. Συλλαμβάνει δ' εὐθέως οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δύο ἑτέρους Ἄραβας, εὑρὼν παρ' αὐτῷ τὸν

τὴν ἐπιτηροῦσαν transp. L.N.P.T. 13 μελήσας sic T. μελήσας L. 14 Ῥώμην P. Καίσαρος πραγμάτων L.N. et T. sed in hujus marg. προσταγμάτων. ἀνταγωνιούμενος P. δεδίκαστο L.N.T. 15 τὸν ἑαυτοῦ P. Σόαιμον τὸν ἐν Πέτρᾳ δυνατώτατον P. 16 τὸν τοῦ Και. L. βοηθῷ καθ' M.T. δοὺς ὁ Ἡρ. N. 17 ἔτι κατηγόρει M. παρὰ Καίσαρι P. Ἡρώδῃ L.M.N.T. 18 τό τε βασιλεῖ P. 19 τέθραπτο L. N.P.T.

μὲν φίλον Συλλαίου, τὸν δὲ φύλαρχον. Οἱ δὲ βασανιζό- 20
μενοι ‘πεῖσαι Κόρινθον ὠμολόγησαν, ἐπὶ πολλοῖς χρήμασιν
Ἡρώδην ἀνελεῖν.’ Οὗτοι μὲν οὖν ἀνακριθέντες καὶ παρὰ
Σατορνίνῳ τῷ διέποντι τὴν Συρίαν, ἀνεπέμφθησαν εἰς Ῥω-
μην.

4. Ἡρώδης δ' οὐκ ἀνίει Φερώραν, βιαζόμενος ἀπαλλαγῆ- 21
ναι τῆς γυναικός· οὐδ' ἐπενόει μηχανὴν, δι' ἧς ἂν τιμωρήσαιτο
τὴν ἄνθρωπον, πολλὰς τοῦ μίσους ἔχων αἰτίας, ἕως ὑπεραλ-
γήσας σὺν αὐτῇ καὶ τὸν ἀδελφὸν ἐκβάλλει. Φερώρας δὲ, 22
ἀγαπήσας τὴν ὕβριν, ἀπαλλάσσεται μὲν εἰς τὴν ἑαυτοῦ
τετραρχίαν, ὁμόσας ἕξειν ἕνα τῆς φυγῆς ὅρον, τὸν Ἡρώδου
θάνατον, καὶ μηδέποτε πρὸς ζῶντα ὑποστρέψειν. Ἐπα- 23
νῆλθε δὲ οὐδὲ πρὸς νοσοῦντα τὸν ἀδελφὸν, καίτοι λιπαρῶς
μεταπεμπόμενον· ἐβούλετο γὰρ αὐτῷ τινας ἐντολὰς κατα-
λείψειν, ὡς τεθνηξόμενος. Ἀλλ' ὁ μὲν παρ' ἐλπίδα σώζε- 24
ται. Μετ' οὐ πολὺ δὲ νοσεῖ Φερώρας, εὑρίσκεται δὲ Ἡρώ-
δης μετριώτερος· καὶ γὰρ ἦκε πρὸς αὐτὸν, καὶ συμπαθῶς
ἐθεράπευεν. Οὐ μὴν ὑπερίσχυσε τοῦ πάθους· μετὰ γὰρ
ἡμέρας ὀλίγας ἀποθνήσκει Φερώρας. Ὃν καίπερ ἀγαπήσας 25
Ἡρώδης μέχρι τελευταίας ἡμέρας, ὅμως καὶ αὐτὸν ἀνελεῖν
ἐφημίσθη φαρμάκῳ. Τόν γε μὴν νεκρὸν εἰς Ἱεροσόλυμα
κομίσας, πένθος τε μέγιστον ὅλῳ τῷ ἔθνει κατήγγειλε, καὶ
κηδείας ἠξίωσε λαμπροτάτης. Ἕνα μὲν δὴ τῶν Ἀλεξάνδρου
καὶ Ἀριστοβούλου φονέων τοιοῦτον περιέρχεται τέλος.

CAP. XXX.

Antt. 17. 4. 1. 1. Μετέβαινε δ' ἐπὶ τὸν αὐθέντην Ἀντίπατρον ἡ ποινὴ, 1
τὸν Φερώρα θάνατον ἀρχὴν λαβοῦσα· τῶν τούτου γάρ τινες

20 ἀνεπέμφθεισαν P. 21 ἀνείη Φερώρᾳ P. ὁ δ' ἐπενόει P. et L. ex ras. ἀεὶ δ' ἐπενόει T. sec. man. ἀντιτιμωρήσετο P. ἕως ὑπεραγανακτήσας P. 22 ὅρον ἕξειν ἕνα τῆς φυγῆς tr. P. θάνατον, μηδέποτε P. ὑποστρέφειν P. 23 οὐ πρὸς νοσ. T. 24 ἐλπίδα διασώζεται N. εὑρίσκετο L.N.T.E. εὑρισκέτω P. ἦκε T. ἐθεράπευσεν L.M.N.T. τὸ πάθος L.M.E. 25 κατήγγελλε T.

ἀπελευθέρων κατηφεῖς τῷ βασιλεῖ προσελθόντες ‘τὸν ἀδελ-
2 φὸν αὐτοῦ διεφθάρθαι φαρμάκοις ἔλεγον· προσενεγκεῖν μὲν
γὰρ αὐτῷ τι τὴν γυναῖκα τῶν οὐ συνήθως ἐσκευασμένων, φα-
3 γόντα δὲ εὐθέως εἰς τὴν νόσον καταπεσεῖν· ἀγηοχέναι τε πρὸ
δυοῖν ἡμερῶν τὴν μητέρα ταύτης καὶ τὴν ἀδελφὴν, γύναιον ἐκ
τῆς Ἀραβίας, φαρμάκων ἔμπειρον, ὅπως φίλτρον σκευάσῃ
τῷ Φερώρᾳ, δεδωκέναι δὲ ἀντὶ τούτου θανάσιμον, Συλλαίου
πραγματευσαμένου· τούτῳ γὰρ ἦν γνώριμον.’

4 2. Πληγεὶς οὖν ὁ βασιλεὺς ὑποψίαις πλείοσι, θεραπαίνας
τε καί τινας τῶν ἐλευθέρων ἐβασάνιζεν. Ἐβόα δέ τις ἐν
ταῖς ἀλγηδόσι· “Θεὸς, ὁ γῆν καὶ οὐρανὸν διέπων, μετέλθοι
τὴν τούτων ἡμῖν τῶν κακῶν αἰτίαν, τὴν Ἀντιπάτρου μητέρα.”
5 Ταύτης τῆς ἀρχῆς ὁ βασιλεὺς λαβόμενος, ἐπεξῄει πρόσω τὴν
6 ἀλήθειαν ἐπιζητῶν. Ἡ δὲ γυνὴ ‘τήν τε φιλίαν τῆς Ἀντι-
πάτρου μητρὸς πρὸς Φερώραν καὶ τὰς ἐκείνου γυναῖκας ἐδήλου, καὶ τὰς λαθραίας αὐτῶν συνόδους, ὅτι τε Φερώρας καὶ Ἀντίπατρος σὺν ἐκείναις πίνοιεν ὑποστρέφοντες ἀπὸ τοῦ βασιλέως δι᾽ ὅλης νυκτὸς, μηδένα μήτε οἰκέτην μήτε θεράπαιναν ἐῶντες παρατυγχάνειν.’ Μία δὴ τῶν ἐλευθέρων ταῦτα μηνύει.

7 3. Τὰς δὲ δούλας χωρὶς ἑκάστην Ἡρώδης ἐβασάνιζεν.
Ἐρρήθη δὲ παρὰ πάσαις τὰ προειρημένα συμφώνως, καὶ
διότι κατὰ συνθήκην Ἀντίπατρος μὲν εἰς Ῥώμην, Φερώρας
8 δὲ ὑποχωρήσειεν εἰς τὴν Περαίαν. Πολλάκις γὰρ αὐτοὺς
διαλαλεῖν, ‘ὡς μετὰ Ἀλέξανδρον καὶ Ἀριστόβουλον ἐπ᾽ αὐ-
9 τοὺς Ἡρώδης διαβήσεται, καὶ τὰς αὐτῶν γυναῖκας. Οὐ γὰρ
φείσασθαι μετὰ Μαριάμμην καὶ τοὺς ἐξ ἐκείνης ἑτέρου τινὸς,
10 ὥστε ἄμεινον εἶναι ὡς πορρωτάτω φυγεῖν τοῦ θηρίου. Πολ-

2 φαγόντα δὲ αὐτὸν E. 3 ἀγειοχέναι N. ἀγηοχέναι δὲ M. πρὸ δυεῖν L.T. μητέρα αὐτῆς P. θανάσιμον, Συλλαίου πραγματευσαμένου desunt omnia M. 4 Πληθεὶς sed in marg. πληγεὶς T. πλείωσιν P. ὁ θεὸς P. 5 ἐπιζητῶν deest P. 6 λαθραίους L. καὶ μηδένα .... ἐόντες P. μία δὴ sic T. 7 ἐβασάνισεν L. συμφώνως τὰ προειρ. tr. T. σύμφωνα P. 8 μεταβήσεται καὶ τὰς ἑαυτῶν P. 9 Μαριάμμης pri. man. –μην sec. T.

λάκις δὲ ἀποδυρόμενον πρὸς τὴν μητέρα τὸν Ἀντίπατρον εἰπεῖν, ὡς αὐτὸς μὲν εἴη πολιὸς ἤδη, νεάζοι δὲ καθ' ἡμέραν ὁ πατὴρ, φθάσαι δ' ἂν τάχα καὶ τελευτήσας, πρὶν ἄρξασθαι βασιλείας ἀληθοῦς. Εἰ δὲ καί ποτε ἐκεῖνος τελευτήσειε, — 11
πότε δ' ἂν γενέσθαι τοῦτο; — παντάπασιν αὐτῷ τὴν ἀπόλαυσιν τῆς διαδοχῆς γενέσθαι σύντομον. Ὑποβλαστάνειν δὲ τὰς τῆς ὕδρας κεφαλὰς, τοὺς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου παῖδας. Ἀφῃρῆσθαι δὲ αὐτὸν ὑπὸ τοῦ πατρὸς καὶ τὴν 12
ἐπὶ τέκνοις ἐλπίδα· διάδοχον γὰρ οὐ τῶν αὐτοῦ τινα παίδων μετὰ τὴν τελευτὴν, ἀλλὰ τὸν Μαριάμμης Ἡρώδην γεγραφέναι. Καὶ κατὰ τοῦτό γε παντάπασι παραγηρᾶν, οἰόμε- 13
νον αὐτοῦ καὶ διαθήκας μένειν κυρίας· αὐτὸν γὰρ προνοήσειν μηδένα τῆς γενεᾶς ἀπολιπεῖν. Ὄντα γε μὴν τῶν πώποτε 14
πατέρων μισοτεκνότατον Ἡρώδην, πολλῷ μᾶλλον εἶναι μισάδελφον· δοῦναι γοῦν αὐτῷ πρῴην ἑκατὸν τάλαντα ἐπὶ τῷ μὴ διαλέγεσθαι Φερώρᾳ. Τοῦ δὲ εἰπόντος 'τί γὰρ αὐτὸν 15
ἐβλάπτομεν;' ἀποκρίνασθαι τὸν Ἀντίπατρον, 'εἴθε πάνθ' ἡμᾶς ἀφελόμενος, γυμνοὺς ἐάσει γε ζῶντας. Ἀλλὰ ἀμή- 16
χανον ἐκφυγεῖν οὕτω φονικὸν θηρίον, παρ' ᾧ μηδὲ φιλεῖν τινας ἔξεστι φανερῶς. Λάθρα γοῦν ἀλλήλοις σύνεσμεν, ἐξέσται δὲ φανερῶς, ἐὰν σχῶμέν ποτε ἀνδρῶν φρόνημα καὶ χεῖρας.'

4. Ταῦτα ἔλεγον αἱ βασανιζόμεναι, καὶ ὅτι Φερώρας 17
βουλεύσαιτο φεύγειν μετ' αὐτῶν εἰς Πέτραν. Ἐπίστευσε δὲ πᾶσιν Ἡρώδης τοῖς λεγομένοις ἐκ τῶν ἑκατὸν ταλάντων· μόνῳ γὰρ Ἀντιπάτρῳ διείλεκτο περὶ αὐτῶν. Ἀποσκήπτει 18
δὲ εἰς πρώτην ὁ θυμὸς Δωρίδα, τὴν Ἀντιπάτρου μητέρα· καὶ γυμνώσας αὐτὴν παντὸς οὗ ἐδεδώρητο κόσμου, πολλῶν δ' ἦν

10 πολιὸς μὲν ἤδη L. 11 πότε δ' ἂν γένοιτο τούτῳ P. γίνεσθαι P. 12 Ἀφηρεῖσθαι P. τὸν ἐκ Μαριάμμης P. 14 πολὺ μᾶλλον P. 15 ἀποκρίνασθαι τὸν Ἡρώδην, εἴθε M. πάντας ἡμᾶς pri. man. N. 16 παρ' ᾧ μήτε L.N.P.T.E. λάθρα γοῦν νῦν P. σύνεσμεν, οὐκ T. σύνεσμεν. οὐκ ἐξέσται δ. φ. λάθρα γοῦν ἀλλήλοις σύνεσμεν. ἐξέσται δ. φ. ἐὰν σχῶμεν N. 17 φυγεῖν μετ' αὐτὸν P. εἰς τὴν Περαίαν M. εἰς Περαίαν T.E. 18 εἰς τὴν πρώτην L.N.T.E. δεδώρητο L.N.P. ἐδωρήσατο T. πολλῶν δὴ ταλάντων L.

19 ταλάντων, ἐκβάλλει δεύτερον. Τὰς δὲ Φερώρα γυναῖκας ἀπὸ τῶν βασάνων ἐτημέλει διηλλαγμένος. Ἐπτόητο δὲ τῷ φόβῳ, καὶ πρὸς πᾶσαν ὑπόνοιαν ἐξερριπίζετο· πολλούς τε τῶν οὐκ αἰτίων εἵλκεν εἰς βασάνους, δεδοικὼς μή τινα τῶν αἰτίων παραλίπῃ.

20 5. Καὶ ἐν τούτῳ τρέπεται πρὸς τὸν Σαμαρείτην Ἀντίπατρον, ὃς ἦν ἐπίτροπος Ἀντιπάτρου. Βασανίζων δὲ αὐτὸν ἤκουσεν, ὅτι ‘μεταπέμψαιτο μὲν Ἀντίπατρος ἐξ Αἰγύπτου δηλητήριον φάρμακον ἐπ᾽ αὐτὸν διά τινος τῶν ἑταίρων Ἀντιφίλου, λάβοι δὲ παρ᾽ ἐκείνου Θευδίων ὁ θεῖος Ἀν-

21 τιπάτρου, καὶ παραδοῖ Φερώρᾳ· τούτῳ γὰρ ἐντείλασθαι τὸν Ἀντίπατρον Ἡρώδην ἀνελεῖν, ἕως αὐτός ἐστιν ἐν Ῥώμῃ τῆς ὑπονοίας κεχωρισμένος· Φερώραν δὲ παραθέσθαι τῇ γυναικὶ

22 τὸ φάρμακον.’ Ταύτην ὁ βασιλεὺς μεταπεμψάμενος αὐτίκα τὸ ληφθὲν ἐκέλευσε κομίζειν. Ἡ δὲ ἔξεισιν ὡς κομιοῦσα, ῥίπτει δ᾽ ἑαυτὴν ἀπὸ τοῦ τέγους, τόν τε ἔλεγχον καὶ τὴν ἐκ τοῦ βασιλέως αἰκίαν φθάνουσα· προνοίᾳ δὲ, ὡς ἔοικε, θεοῦ μετιόντος Ἀντίπατρον, οὐκ ἐπὶ κεφαλὴν ἀλλ᾽ ἐπὶ θάτερα

23 πεσοῦσα διασώζεται. Κομισθεῖσαν δὲ αὐτὴν ὁ βασιλεὺς ἀνακτησάμενος — κεκάρωτο γὰρ ἐκ τοῦ πτώματος — ἠρώτα, ‘δι᾽ ἣν αἰτίαν ῥίψειεν ἑαυτήν; εἰ μὲν εἴποι τὸ ἀληθὲς, ἀφήσειν πάσης τιμωρίας ἐπομνύμενος, εἰ δὲ ὑποστείλαιτο, δανήσειν αὐτῆς ἐν βασάνοις τὸ σῶμα, καὶ μηδὲ τάφῳ καταλείψειν.’

24 6. Πρὸς ταῦτα ἡ γυνὴ διαλιποῦσα μικρὸν, “Καὶ τί γὰρ,” εἶπεν, “ἔτι φείδομαι τῶν ἀπορρήτων, Φερώρα τεθνεῶτος, ἣ σώζουσα τὸν ἀπολέσαντα πάντας ἡμᾶς Ἀντίπατρον; Ἄκουε, βασιλεῦ, καὶ μετὰ σοῦ θεὸς, μάρτυς ἐμοὶ τῆς ἀληθείας, πλα-

19 Δεύτερον δὲ τὰς Φερ. L.N.T. διηλλαγμένας N. διηλλαγμένως P. διηλεγμένας L. ἐπτόοιτο M. ἐξεριπίζετο L.N. παραλείπῃ L.N. 20 τινος τῶν ἑτέρων pri. man. T. ὁ φίλος Ἀντιπάτρου P. παραδοίη P. et T. ex rec. cor. 21 Φερώρα δὲ τῇ γυναικὶ παραθ. P. 22 ὁ βασιλεὺς desunt T. ἔξεισι μὲν ὡς P. ῥίπτει δὲ αὐτὴν M.N.E. προνοίᾳ δὴ E. 23 ἀπὸ τοῦ πτώμ. P. ῥίψειεν αὐτὴν T. εἰ μὲν εἴπῃ M. ὑποστείλοιτο M. 24 μικρὸν διαλιποῦσα tr. P. ὁ μάρτυς P.

νηθῆναι μὴ δυνάμενος. Ὅτε ἀποθνήσκοντι Φερώρᾳ παρε- 25
καθέζου δεδακρυμένος, τότε με προσκαλεσάμενος ἐκεῖνος, ‘ἦ
πολύ γε, ἔφη, γύναι, τῆς εἰς ἐμαυτὸν διανοίας τοῦ ἀδελφοῦ
διήμαρτον, τὸν οὕτω στέργοντα μισήσας, καὶ κτεῖναι βου-
λευσάμενος τὸν οὕτως ἐπ' ἐμοὶ μηδὲ τεθνεῶτί πω συγχεόμε-
νον. Ἀλλ' ἐγὼ μὲν ἀπέχω τῆς ἀσεβείας τὸ ἐπιτίμιον· σὺ 26
δὲ ὃ φυλάττεις κατ' αὐτοῦ φάρμακον ὑπ' Ἀντιπάτρου κατα-
λειφθὲν ἡμῖν φέρε, καὶ βλέποντός μου ταχέως ἀφάνισον, ἵνα
μὴ καὶ καθ' ᾅδου φέροιμι τὸν ἀλάστορα.’ Κελεύσαντος ἐκό- 27
μισα, καὶ πλεῖστον μὲν εἰς τὸ πῦρ ὁρῶντος αὐτοῦ κατεκέ-
νωσα, βραχὺ δὲ ἐμαυτῇ πρὸς τὰ ἄδηλα καὶ τὸν ἐκ σοῦ φόβον
ἐτήρησα.”

7. Ταῦτα εἰποῦσα προσκομίζει τὴν πυξίδα, βραχὺ παν- 28
τάπασιν ἔχουσαν τοῦ φαρμάκου. Βασιλεὺς δ' ἐπὶ τὴν μη-
τέρα τὴν Ἀντιφίλου καὶ τὸν ἀδελφὸν τὰς βασάνους μετέ-
φερε. Καὶ ἐκεῖνοι τὸν Ἀντίφιλον κομίσαι τε ἀπ' Αἰγύπτου 29
τὴν πυξίδα ὡμολόγουν, καὶ λαβεῖν παρ' ἀδελφοῦ τὸ φάρμα-
κον ἔφασκον, ἰατρεύοντος ἐν Ἀλεξανδρείᾳ. Περιϊόντες δὲ οἱ 30
Ἀλεξάνδρου καὶ Ἀριστοβούλου δαίμονες ἅπαν τὸ βασίλειον,
ἐρευνηταί τε καὶ μηνυταὶ τῶν ἀδήλων ἐγένοντο, τούς τε πορ-
ρωτάτω τῆς ὑποψίας ὄντας ἔσυρον εἰς τοὺς ἐλέγχους. Εὑ- 31
ρίσκεται γοῦν καὶ ἡ τοῦ ἀρχιερέως θυγάτηρ Μαριάμμη τῆς
ἐπιβουλῆς συνίστωρ· βασανιζόμενοι τοῦτο ἀπέδειξαν αὐτῆς
οἱ ἀδελφοί. Βασιλεὺς δὲ τῆς μητρῴας τόλμης καὶ τὸν υἱὸν 32
ἠμύνατο· τὸν γοῦν ἐξ αὐτῆς Ἡρώδην, ὄντα διάδοχον Ἀντι-
πάτρου, τῆς διαθήκης ἐξήλειψεν.

CAP. XXXI.

Antt. 17. 4. 3. 1. Ἐπὶ τούτοις καὶ Βάθυλλος εἰς τοὺς ἐλέγχους συνέ- 1
δραμεν, ἡ τελευταία πίστις τῶν Ἀντιπάτρῳ βεβουλευμένων·
ἦν μὲν γὰρ ἀπελεύθερος αὐτοῦ. Κομίζων δὲ ἦκεν ἄλλο δηλη-

27 καὶ ante κελεύσαντος adjecit man. rec. L. 28 προκομίζει P. et ex ras. L. βραχὺ post φαρμάκου P. ἔχουσα τοῦ M. 30 ἐρευνηταὶ καὶ L. 31 βασανιζόμενοι γὰρ P. ἀπέδειξαν καὶ E. 1 Ἀντιπάτρου P.

τήριον, ἰοὺς ἀσπίδων, καὶ χυλοὺς ἑτέρων ἑρπετῶν, ἵνα εἰ τὸ πρῶτον ἀσθενήσει φάρμακον, τούτῳ Φερώρας μετὰ τῆς γυ-
2 ναικὸς ὁπλίσαιτο κατὰ τοῦ βασιλέως. Πάρεργον δὲ τῆς ἐπὶ τὸν πατέρα τόλμης ἐκόμιζε τὰς κατὰ τῶν ἀδελφῶν ἐσκευω-
3 ρημένας ἐπιστολὰς ὑπ' Ἀντιπάτρου. Ἦσαν δὲ Ἀρχέλαος καὶ Φίλιππος βασιλέως παῖδες ἐπὶ Ῥώμης παιδευόμενοι, μει-
4 ράκιά τε ἤδη καὶ φρονήματος μεστοί. Τούτους ἐπανακύπτοντας αὐτοῦ ταῖς ἐλπίσιν ἀποσκευάσασθαι σπεύδων Ἀντίπατρος, ἃς μὲν πλάσσεται κατ' αὐτῶν ἐπιστολὰς ἐξ ὀνόματος τῶν ἐπὶ Ῥώμης φίλων, οὓς δὲ πείθει γράψαι διαφθείρας χρήμασιν, ὡς πολλὰ μὲν βλασφημοῖεν τὸν πατέρα, φανερῶς δὲ Ἀλέξανδρον καὶ Ἀριστόβουλον ὀδύροιντο, πρός τε τὴν
5 μετάκλησιν ἀγανακτοῖεν. Ἤδη δὲ αὐτοὺς ὁ πατὴρ μετεπέμπετο, καὶ τοῦτο ἦν μάλιστα ταράσσον Ἀντίπατρον.

6 2. Ἔτι δὲ καὶ πρὸ τῆς ἀποδημίας ἐν Ἰουδαίᾳ μένων τοιαύτας κατ' αὐτῶν ἀπὸ Ῥώμης ἠγόραζεν ἐπιστολὰς, καὶ προσιὼν τέως ἀνύποπτος ἦν τῷ πατρὶ, περὶ τῶν ἀδελφῶν δὲ ἀπελογεῖτο, τὰ μὲν ψευδῆ λέγων εἶναι τῶν γραφομένων, τὰ
7 δὲ νεότητος ἁμαρτήματα. Τηνικαῦτά γε μὴν τοῖς γράφουσι κατὰ τῶν ἀδελφῶν πλεῖστα δοὺς χρήματα, συμφύρειν ἐπειρᾶτο τὸν ἔλεγχον, ἐσθῆτας πολυτελεῖς, καὶ στρωμνὰς ποικίλας, ἐκπώματά τε ἀργυρᾶ καὶ χρυσᾶ συνωνούμενος, ἄλλα τε πολλὰ τῶν κειμηλίων, ἵνα τῷ πλήθει τῆς εἰς ταῦτα δαπά-
8 νης τοὺς εἰς ἐκεῖνα μισθοὺς ἐγκατακρύψῃ. Διακόσια γοῦν ἀναλώματος ἀνήνεγκε τάλαντα, καὶ τούτων μεγίστη πρόφα-
9 σις ἦν ἡ πρὸς Συλλαῖον δίκη. Πάντων δὲ αὐτοῦ τότε καὶ τῶν βραχυτέρων ἐν τῷ μείζονι κακῷ διακαλυφθέντων, ὅτε αἱ

ἑτέρων θηρίων καὶ ἑρπετῶν M.T. ἀσθενήσῃ L.N.P.E. 2 ἐσκαιωρημένας ex. cor. L. σκαιωρημένας P. 3 ἦσαν γὰρ P. 4 ἀπὸ Ῥώμης sic T. φίλων deest L. οὓς δὲ ἔπειθεν P. γράψαι deest M. βλασφημεῖεν P. πρὸς δὲ τὴν P. 5 ταράσσων P. 6 ἐπὶ Ῥώμης P. ἐπιστολὰς, προσιὼν τε ὡς ἀν. εἴη καὶ τῷ πατρὶ τ. ἀ. ἀπελ. P. γραφέντων sed in marg. γραφομένων T. ἃ δὲ P. 7 διδοὺς L.M. διαδοὺς N.T. ἐσθῆτάς τε P. ἐγκαταγράψῃ P. 8 καὶ τοῦτο M. καὶ τούτῳ L.N.T.

μὲν βάσανοι πᾶσαι τὴν πατροκτονίαν, αἱ δὲ ἐπιστολαὶ δευτέρας ἀδελφοκτονίας κεκράγεσαν, ὅμως οὐδεὶς τῶν εἰς Ῥώμην ἀφικνουμένων ἀπήγγειλεν αὐτῷ τὰς ἐν Ἰουδαίᾳ τύχας, καίτοι μεταξὺ τῶν ἐλέγχων καὶ τῆς ἐπανόδου διελθόντων ἑπτὰ μηνῶν· τοσοῦτον πρὸς αὐτὸν ἐκ πάντων μῖσος ἦν. Τάχα δὲ 10
καὶ τοὺς ἀπαγγέλλειν προαιρουμένους οἱ τῶν ἀνῃρημένων δαίμονες ἀδελφῶν ἐφίμουν. Γράφει γοῦν ἀπὸ Ῥώμης ἄφιξιν αὐτοῦ ταχεῖαν εὐαγγελιζόμενος, καὶ ὡς ὑπὸ Καίσαρος μετὰ τιμῆς ἀπολυθείη.

3. Βασιλεὺς δὲ εἰς χεῖρας λαβεῖν σπεύδων τὸν ἐπίβουλον, 11
καὶ δεδοικὼς, μή ποτε προγνοὺς φυλάξηται, δι' ἐπιστολῶν ἀνθυπεκρίνετο, τά τε ἄλλα φιλοφρονούμενος, καὶ σπεύδειν παρακαλῶν· ‘θήσεσθαι γὰρ αὐτοῦ καὶ τὰς πρὸς τὴν μητέρα μέμψεις ἐπειχθέντος.’ Οὐ γὰρ ἠγνόει τὴν ἐκβολὴν τῆς μη- 12
τρὸς Ἀντίπατρος. Πρότερον μὲν οὖν εἰλήφει τὴν περὶ τῆς Φερώρα τελευτῆς ἐπιστολὴν ἐν Τάραντι, καὶ μέγιστον ἐποιήσατο πένθος, ὃ καί τινες ὡς ἐπὶ θείῳ καθύμνουν· ἦν δὲ, ὡς 13
ἔοικεν, ἐπὶ διαμαρτίᾳ τῆς ἐπιβουλῆς ἡ σύγχυσις, καὶ οὐ Φερώραν κλαίοντος, ἀλλὰ τὸν ὑπηρέτην. Ἤδη δὲ καὶ φόβος ἐπῄει τις αὐτὸν τῶν τετελεσμένων, μή ποτε φωραθείη τὸ φάρμακον. Τότε δὲ ἐν Κιλικίᾳ λαβὼν ἣν προειρήκαμεν παρὰ 14
τοῦ πατρὸς ἐπιστολὴν, παραχρῆμα μὲν ἔσπευδεν. Ὡς δὲ εἰς Κελένδεριν κατέπλει, λαμβάνει τις αὐτὸν ἔννοια τῶν περὶ τὴν μητέρα κακῶν, προμαντευομένης ἤδη καθ' ἑαυτὴν τῆς ψυχῆς. Οἱ μὲν οὖν προμηθέστεροι τῶν φίλων συνεβούλευον 15
‘μὴ πρότερον ἐμπίπτειν τῷ πατρὶ, πρὶν πυθέσθαι σαφῶς, δι' ἃς αἰτίας ἐξέβαλεν αὐτοῦ τὴν μητέρα· δεδιέναι γὰρ, μή ποτε προσθήκη γένοιτο τῶν κατ' ἐκείνης διαβολῶν.’ Οἱ δὲ 16

9 δευτέραν ἀδελφοκτονίαν T. ὅμως δὲ L.N.T. ἀπήγγελλεν L.N. ἀπήγγελεν M. τοσοῦτον πρὸς αὐτὸν ἐκ πάντων μῖσος ἦν desunt omnia M. 10 τάχα καὶ τοὺς P.M.N. προηρημένους P. ἀπὸ Καίσαρος P. 11 Ὁ βασιλεὺς P. et ex adj. rec. L. δι' ἐπιστολῆς P. θήσεσθαι hic incipit recentior scriptura, quæ ad usque παραγενόμεναι, exeunte capite, continuatur. T. μητέρα πέμψεις T. ὅ τινες ὡς P. et ex ras. L. οἵτινες ὡς N. 13 κλαίοντες L. 14 Κελενδριν M T.

ἀσκεπτότεροι, καὶ τὴν πατρίδα σπεύδοντες ἰδεῖν μᾶλλον, ἢ τὸ συμφέρον Ἀντιπάτρῳ σκοποῦντες, ἐπείγεσθαι παρήνουν, καὶ ‘μὴ τῇ μελλήσει παρασχεῖν τῷ πατρὶ μὲν ὑποψίαν φαύ-
17 λην, τοῖς διαβάλλουσι δ’ ἀφορμήν· καὶ γὰρ νῦν, εἴ τι κεκίνηται κατ’ αὐτοῦ, παρὰ τὴν ἀπουσίαν γεγονέναι· μηδὲ γὰρ ἂν τολμῆσαι, παρόντος· ἄτοπον δὲ εἶναι, δι’ ἀδήλους ὑποψίας προδήλων ἀγαθῶν στερίσκεσθαι, καὶ μὴ θᾶττον ἀποδοῦναι μὲν ἑαυτὸν τῷ πατρὶ, κομίσασθαι δὲ τὴν βασιλείαν, ἐπ’ αὐτῷ
18 μόνῳ σαλεύουσαν.’ Πείθεται τούτοις, ἐνῆγε γὰρ τὸ δαιμόνιον· καὶ διαπεράσας εἰς τὸν Σεβαστὸν τὸν λιμένα τῆς Καισαρείας κατάγεται.

19 4. Παρυπήντησε δὲ αὐτῷ παρὰ δόξαν ἐρημία πολλὴ, πάντων ἐκτρεπομένων, καὶ μηδενὸς προσιέναι τολμῶντος· ἐμισεῖτο μὲν γὰρ ἐπίσης, καὶ τότε φανῆναι τὸ μῖσος ἔσχε παρ-
20 ρησίαν. Πολλοὺς δὲ ὁ ἐκ τοῦ βασιλέως φόβος ἀπέστρεφεν, ἐπειδὴ πᾶσα πόλις ἤδη τῆς κατὰ Ἀντιπάτρου φήμης ἐπεπλήρωτο, καὶ μόνος ἠγνόει τὰ καθ’ ἑαυτὸν Ἀντίπατρος· οὔτε γὰρ προεπέμφθη λαμπρότερόν τις ἐκείνου πλέοντος
21 ἐπὶ Ῥώμης, οὔτε ἀτιμότερον ὑπεδέχθη. Ὁ δὲ ἤδη μὲν ὑπενόει τὰς οἴκοι συμφοράς, ἔτι δὲ πανουργίᾳ ὑπεκρύπτετο. Καὶ τῷ δέει τεθνηκὼς ἔνδοθεν, σοβαρὸς εἶναι τὸ πρόσωπον
22 ἐβιάζετο. Φυγὴ δὲ ἦν οὐκέτι, οὐδὲ ἐκ τῶν περιεχόντων ἀνάδυσις, καὶ σαφὲς μὲν οὐδὲ ἐκεῖ τι τῶν οἴκοθεν ἀπηγγέλλετο
23 διὰ τὴν ἐκ τοῦ βασιλέως ἀπειλήν. Ὑπελείπετο δ’ ἐλπὶς ἱλαρωτέρα, τάχα μὲν μηδὲν πεφωρᾶσθαι, τάχα δὲ, εἴ τι καὶ πεφώραται, διασκεδάσειν ἀναιδείᾳ καὶ δόλοις, ἅπερ ἦν αὐτῷ μόνα τῆς σωτηρίας ἐφόδια.

16 μελήσει P. πατρὶ ὑποψίαν P. διαβάλλουσι sine τοῖς P. 17 κατὰ τὴν ἀπουσίαν γέγονεν P. μόνῳ σαλευομένην L.N. 18 διαπεράσας τὴν Σεβαστὴν εἰς τὸν L.M.N.T. εἰς τὸν Σεβαστὸν λιμένα P. 19 Προϋπήντησε M.T. 20 ἀπέστρεψεν P. πᾶσα ἡ πόλις P. πεπλήρωτο L.N.P.E. τὰ κατ’ αὐτὸν P. οὔτε δὲ προ. P. λαμπρότερος P. Ῥώμην ex cor. rec. L. ἀτιμώτερον P. 21 ἤδη μὲν ἐνενόει P. ἐκ πανουργίας P. 22 οὐκέτι ἦν tr. L.N.P. οὐδέν τι τῶν οἰκ. P. 23 τάχα μηδὲν P. μηδὲν πεφανερῶσθαι L.N. καὶ πεφανέρωται L.N. διασκευάσειν P.N. μόνα τὰ τῆς P.

5. Φραξάμενος οὖν αὐτοῖς ἦκεν εἰς τὸ βασίλειον δίχα τῶν 24
φίλων· οὗτοι γὰρ ὑβρισθέντες ἐπὶ τοῦ πρώτου πυλῶνος εἴρ-
χθησαν. Ἔτυχε δὲ ἔνδον ὢν ὁ τῆς Συρίας ἡγεμὼν Οὔαρος.
Ὁ δὲ εἴσεισι πρὸς τὸν πατέρα, καὶ τῇ τόλμῃ παρακροτήσας 25
ἑαυτὸν, ἤγγιζεν ὡς ἀσπασόμενος. Καὶ ἐκεῖνος τὰς χεῖρας
προβαλὼν καὶ τὴν κεφαλὴν παρακλίνας, "Ἔστιν," ἐξεβόησε,
" καὶ τοῦτο πατροκτόνου, τὸ περιπλέκεσθαί μοι θέλειν, ἐν
τηλικαύταις αἰτίαις ὄντα. Φθείρου, δυσσεβεστάτη κεφαλὴ, 26
μηδέ μου ψαύσῃς, πρὶν ἀποσκευάσασθαι τὰ ἐγκλήματα.
Δίδωμι δέ σοι δικαστήριον καὶ δικαστὴν εὐκαίρως ἥκοντα,
Οὔαρον. Ἴθι, καὶ σκέπτου τὴν ἀπολογίαν εἰς αὔριον. Παρ- 27
έχω γάρ σοι καιρὸν τοῖς πανουργήμασι." Πρὸς ταῦτα
μηδὲν ὑπ' ἐκπλήξεως ἀποκρίνασθαι δυνηθεὶς αὐτὸς, ὑπέστρεψε.
Παραγενόμεναι δὲ πρὸς αὐτὸν διηγήσαντο πάντας τοὺς
ἐλέγχους ἥ τε μήτηρ καὶ ἡ γυνή· καὶ τότε μὲν ἀνανήψας ἐν
σκέψει τῆς ἀπολογίας ἦν.

CAP. XXXII.

Antt. 17. 5. 3. 1. Τῇ δὲ ἐπιούσῃ συνέδριον μὲν ὁ βασιλεὺς ἀθροίζει τῶν 1
συγγενῶν καὶ φίλων, εἰσκαλεῖ δὲ καὶ τοὺς Ἀντιπάτρου φί-
λους. Προκαθέζεται δὲ αὐτὸς ἅμα Οὐάρῳ, καὶ τοὺς μηνυτὰς
ἅπαντας ἐκέλευσεν εἰσαγαγεῖν· ἐν οἷς εἰσήχθησαν καὶ τ ῆς 2
Ἀντιπάτρου μητρὸς οἰκέται τινὲς, οὐ πρὸ πολλοῦ συνειλημ-
μένοι, γράμματα κομίζοντες ἀπ' αὐτῆς πρὸς τὸν υἱὸν τοιάδε·
" Ἐπείπερ πεφώραται πάντα ἐκεῖνα παρὰ τῷ πατρί σου,
μὴ παραγίνου πρὸς αὐτὸν, ἂν μή τινα πορίσῃ παρὰ Καίσα-
ρος δύναμιν." Τούτων σὺν τοῖς ἄλλοις εἰσηγμένων, Ἀντί- 3
πατρος εἰσέρχεται, καὶ πεσὼν πρηνὴς πρὸ τῶν ποδῶν τοῦ
πατρὸς, " Ἱκετεύω, πάτερ," ἔφη, " μηδέν μου προκατεγνω-

24 φίλων· αὐτοὶ γὰρ P. Οὔαρος ὁ τῆς Συρίας ἡγεμὼν tr. P. 25 ἤγ-
γισεν L.N.P.E. 26 σοι καὶ δικαστήριον L.M.N.T. 27 γάρ σου
καιρὸν L.M.N.T. πανουργεύμασι T. παραγινόμεναι P. hic denuo
incipit vetus scriptura T. διηγήσαντο πρὸς αὐτὸν tr. M. ἐκδιηγή-
σαντο P. 1 συνέδριον ὁ L.N.T. πάντας P. 2 ἐπεὶ πεφ. P.
ἐκεῖνα τῷ πατρί P. παρὰ τοῦ Καίσ. P. 3 Τούτων οὖν τοῖς P.

κέναι, παρασχεῖν δέ μοι τὰς ἀκοὰς ἀκεραίους εἰς τὴν ἀπολογίαν· ἀποδείξω γὰρ ἐμαυτὸν καθαρὸν, ἂν σὺ θέλῃς."

4 2. Ὁ δὲ αὐτῷ σιγᾷν ἐγκραγὼν πρὸς τὸν Οὔαρον εἶπεν· "Ἀλλ' ὅτι μὲν καὶ σὺ, Οὔαρε, καὶ πᾶς δικαστὴς ὅσιος Ἀντίπατρον ἐξώλη κρινεῖ, πέπεισμαι. Δέδοικα δὲ, μὴ καὶ ἐμοῦ μισήσῃς τὴν τύχην, καὶ ἐμὲ κρίνῃς πάσης ἄξιον συμφορᾶς, 5 τοιούτους υἱοὺς γεγεννηκότα. Χρὴ δέ με διὰ τοῦτο ἐλεεῖσθαι μᾶλλον, ὅτι πρὸς οὕτω μιαροὺς καὶ φιλοστοργότατος 6 πατὴρ ἐγενόμην. Τοὺς μὲν γὰρ προτέρους βασιλείας τε ἔτι νέους ἀξιώσας, καὶ πρὸς τοῖς ἐν Ῥώμῃ τροφείοις φίλους Καίσαρος, ζηλωτούς τε ποιήσας βασιλεῦσιν ἑτέροις, εὗρον ἐπιβούλους, οἳ τεθνήκασι τὸ πλέον Ἀντιπάτρῳ· νέῳ γὰρ ὄντι καὶ διαδόχῳ, τούτῳ μάλιστα τὴν ἀσφάλειαν ἐποριζό- 7 μην. Τὸ δὲ μιαρὸν τοῦτο θηρίον, τῆς ἐμῆς ὑπερεμπλησθὲν ἀνεξικακίας, ἤνεγκε κατ' ἐμοῦ τὸν κόρον· ἔδοξα γὰρ αὐτῷ πολὺν ζῆν χρόνον, καὶ τὸ ἐμὸν γῆρας ἐβαρύνθη, βασιλεύς τ' 8 οὐχ ὑπέμεινεν, εἰ μὴ διὰ πατροκτονίας, γενέσθαι· δίκαιά γε βουλευσάμενος, ὅτι καταγαγὼν αὐτὸν ἐκ τῆς χώρας ἀπερριμμένον, καὶ παρωσάμενος τοὺς ἐκ βασιλίδος μοι γεγεννη- 9 μένους, ἀπέδειξα τῆς ἀρχῆς διάδοχον. Ἐξομολογοῦμαί σοι, Οὔαρε, τὴν ἐμαυτοῦ φρενοβλάβειαν. Ἐγὼ τοὺς υἱοὺς ἐκείνους κατ' ἐμαυτοῦ παρώξυνα, δικαίας αὐτῶν ἀποκόψας ἐλπί- 10 δας δι' Ἀντίπατρον. Καὶ τί μὲν ἐκείνους ἠνεργέτησα τηλικοῦτον, ἡλίκον τοῦτον; Ὤι γε ζῶν μὲν ὀλίγου δεῖν παρεχώρησα τῆς ἐξουσίας, φανερῶς δὲ ταῖς διαθήκαις ἐνέγραψα τῆς ἀρχῆς διάδοχον, καὶ πρόσοδον μὲν ἰδίᾳ πεντήκοντα ταλάντων ἔνειμα, τῶν δὲ ἐμῶν ἐχορήγησα χρημάτων ἀνέδην, πλέοντι δὲ νῦν εἰς Ῥώμην ἔδωκα τριακόσια τάλαντα, Καίσαρι δὲ ἐξ ὅλης 11 τῆς γενεᾶς μόνον ὡς σωτῆρα τοῦ πατρὸς παρεθέμην. Τί δὲ

4 σιγὰν κεκραγὼς P. ἐξώλην M.N. et ex cor. rec. T. κρίνει L.N.P. 5 μᾶλλον διὰ τοῦτο ἐλεεῖσθαι tr. L. ἐλεεῖσθαι πλέον ὅτι P. μιαροὺς φιλοστ. T. φιλοστοργότατος P. 6 τροφίοις N. ζηλωτοὺς δὲ P. 7 οὐκ ὑπέμενεν E. 8 δίκαιά τε L.N.E. δίκαια γοῦν P. αὐτὸν ἀπὸ τῆς P. γεγενημένους M.T. 9 ἐγὼ γὰρ τοὺς P. 10 εὐεργέτησα P. μὲν ἰδίων P. χρημάτων ἀναίδην L.N. παρεθέμην τοῦ πατρὸς tr. T.

ἐκεῖνοι τοιοῦτον ἠσέβησαν, οἷον Ἀντίπατρος; Ἤ τίς ἔλεγχος ἠνέχθη κατ' αὐτῶν, ἡλίκος ἀποδείκνυσι τοῦτον ἐπίβουλον; Ἀλλὰ φθέγγεσθαί τι τετόλμηκεν ὁ πατροκτόνος, καὶ πάλιν δόλοις τὴν ἀλήθειαν ἐπικαλύψειν ἐλπίζει. Οὔαρε, σοὶ 12
φυλακτέον. Ἐγὼ γὰρ οἶδα τὸ θηρίον, καὶ προορῶμαι τὴν μέλλουσαν ἀξιοπιστίαν, καὶ τὸν ἐπίπλαστον ὀλοφυρμόν. Οὗτός ἐστιν ὁ παραινῶν ἐμοί ποτε φυλάττεσθαι ζῶντα 13
Ἀλέξανδρον, καὶ μὴ πᾶσι πιστεύειν τὸ σῶμα. Οὗτος ὁ μέχρι τῆς κοίτης εἰσάγων, καὶ μὴ μέ τις ἐνεδρεύοι περιβλέπων. Οὗτος ὁ ταμίας τῶν ὕπνων, καὶ χορηγὸς τῆς ἀμεριμ- 14
νίας, ὁ παραμυθούμενος τὴν ἐπὶ τοῖς ἀνῃρημένοις λύπην, καὶ διακρίνων τὴν τῶν ζώντων εὔνοιαν ἀδελφῶν, ὁ ὑπερασπιστὴς ὁ ἐμὸς, ὁ σωματοφύλαξ. Ὅταν ἀναμνησθῶ, Οὔαρε, τὸ 15
πανοῦργον ἐν ἑκάστῳ καὶ τὴν ὑπόκρισιν, ἀπιστία με τοῦ ζῆν εἰσέρχεται, καὶ θαυμάζω, πῶς οὕτω βαθὺν ἐπίβουλον διέφυγον. Ἀλλ' ἐπεὶ δαίμων τις ἐξερημοῖ τὸν ἐμὸν οἶκον, καί μοι 16
τοὺς φιλτάτους ἐπανίστησιν ἀεὶ, κλαύσομαι μὲν ἐγὼ τὴν ἄδικον εἱμαρμένην, καὶ κατ' ἐμαυτὸν στενάξω τὴν ἐρημίαν. Διαφεύξεται δὲ οὐδεὶς διψήσας τὸ ἐμὸν αἷμα, καὶ ἂν διὰ 17
πάντων μου τῶν τέκνων ὁ ἔλεγχος ἔλθῃ."

3. Τοιαῦτα λέγων, αὐτὸς μὲν ὑπὸ συγχύσεως ἐνεκόπη. 18
Νικολάῳ δὲ ἐνὶ τῶν φίλων λέγειν τὰς ἀποδείξεις ἐκέλευε. Μεταξὺ δὲ ὁ Ἀντίπατρος ἐπάρας τὴν κεφαλὴν, ἔμενε γὰρ δὴ βεβλημένος πρὸ τῶν ποδῶν τοῦ πατρὸς, ἐβόα· "Σὺ, πάτερ, ὑπὲρ ἐμοῦ πεποίηκας τὴν ἀπολογίαν. Πῶς γὰρ ἐγὼ 19
πατροκτόνος, ὃν ὁμολογεῖς αὐτὸς φύλακα διὰ παντὸς ἐσχηκέναι; Τερατείαν δέ μου καὶ ὑπόκρισιν λέγεις τὴν εὐσέβειαν. Πῶς οὖν ὁ πανοῦργος οὕτως ἐν τοῖς ἄλλοις ἄφρων ἐγενόμην, 20
ὡς μὴ νοεῖν, ὅτι λαθεῖν οὐδὲ ἀνθρώπους ῥᾴδιον τηλικοῦτον

12 ἐγὼ μὲν γὰρ P. 14 λύπην, ὁ διακ. T. 15 τὸ πανοῦργον, Οὔαρε, tr. M. πῶς βαρὺν οὕτως P. 16 τις ἐξῃρέ μοι τὸν P. καὶ καθ' ἑαυτὸν N.T. 17 οὐδεὶς διψῶν M. 18 δὲ ἐπὶ τῶν φίλων N. ἀποδείξεις ἔνευσεν. P. Ἀντίπατρος sine ὁ P. πατρὸς, ἐκβοᾷ P. ἐμοῦ πεποίησαι L.M.N.T. 20 οὐδὲν ἀνθρώπους M.N. τηλικοῦτον μῖσος M.

μῦσος ἐνσκευαζόμενον, τὸν δὲ ἀπ' οὐρανοῦ δικαστὴν ἀμήχα-
21 νον, ὃς ἐφορᾷ πάντα, καὶ πανταχοῦ πάρεστιν; Ἢ τὸ τῶν
ἀδελφῶν τέλος ἠγνόουν, οὓς ὁ θεὸς οὕτω μετῆλθε τῆς εἰς σὲ
κακοβουλίας; Τί δὲ μὲ καὶ παρώξυνε κατὰ σοῦ; Βασιλείας
22 ἐλπίς; Ἀλλ' ἐβασίλευον. Ὑπόνοια μίσους; Οὐ γὰρ ἐστερ-
γόμην; Φόβος ἐκ σοῦ τις ἄλλος; Ἀλλὰ μὴν σὲ τηρῶν, ἑτέ-
ροις φοβερὸς ἤμην. Ἔνδεια χρημάτων; Καὶ τίνι μᾶλλον
23 ἐξῆν ἀναλίσκειν; Εἰ γὰρ ἐξωλέστατος ἁπάντων ἀνθρώπων
ἐγενόμην, καὶ θηρίου ψυχὴν εἶχον ἀνημέρου, πάτερ, οὐκ ἂν
ταῖς σαῖς εὐεργεσίαις ἐνικήθην, ὃν κατήγαγες μέν, ὡς ἔφης
αὐτὸς, προέκρινας δὲ τοσούτων τέκνων, ἀπέδειξας δὲ ζῶν βα-
σιλέα, δι' ὑπερβολὴν δὲ τῶν ἄλλων ἀγαθῶν ἐποίησας ἐπί-
24 φθονον; Ὢ τάλας ἐγὼ τῆς πικρᾶς ἀποδημίας. Ὡς πολὺν
ἔδωκα καιρὸν τῷ φθόνῳ, καὶ μακρὰν τοῖς ἐπιβουλεύουσι διω-
ρίαν. Σοὶ δὲ, πάτερ, καὶ τοῖς σοῖς ἀγῶσιν ἀπεδήμουν, ἵνα
25 μὴ Συλλαῖος τοῦ σοῦ γήρως καταφρονήσῃ. Ῥώμη μοι μάρ-
τυς τῆς εὐσεβείας, καὶ ὁ τῆς οἰκουμένης προστάτης Καῖσαρ,
ὁ φιλοπάτορά με πολλάκις εἰπών. Λάβε, πάτερ, τὰ παρ'
αὐτοῦ γράμματα· ταῦτα τῶν ἐνθάδε διαβολῶν πιστότερα·
ταῦτα ἀπολογία μοι μόνη· τούτοις τῆς εἰς σὲ φιλοστοργίας
26 τεκμηρίοις χρῶμαι. Μέμνησο δὲ ὡς οὐχ ἑκὼν ἔπλεον, ἐπι-
στάμενος τὴν ἐμφωλεύουσαν τῆς βασιλείας κατ' ἐμοῦ δυσμέ-
27 νειαν. Σὺ δὲ μὲ, πάτερ, ἄκων ἀπώλεσας, ἀναγκάσας καιρὸν
διαβολῆς δοῦναι τῷ φθόνῳ. Πάρειμι δὲ, ἐπὶ τοὺς ἐλέγχους
πάρειμι, διὰ γῆς καὶ θαλάσσης οὐδὲν οὐδαμῇ παθὼν ὁ πατρο-
28 κτόνος. Ἀλλὰ μήπω τούτῳ ὠφέλημαι τῷ τεκμηρίῳ· κατέ-
29 γνωσμαι γὰρ καὶ παρὰ θεῷ καὶ παρὰ σοὶ, πάτερ. Κατε-
γνωσμένος δὲ δεόμαι, μὴ ταῖς ἄλλων βασάνοις πιστεύειν,

ἐνσκευαζόμενος T. 21 τί δαί με καὶ T. 22 μίσους; ἀλλ' ἐστερ. M. et T. sed in huj. marg. οὐ γὰρ. 23 εἰ δ' ἐξωλ. E. πάντων M.P.E. προέκρινας δέ σου τῶν L.N.T. ἐπέδειξας T. 24 Σοὶ, πάτερ M.T. 25 πολλάκις με tr. P. πιστώτερα P. 26 σὺ δὲ πάτερ ἀ. ἀπόλεσας P. 27 ἄκων ἄκων ἀπώλεσας M. καὶ διὰ θαλάσσης N.T. οὐδὲν οὐδαμοῦ L.N.T. 28 μήπω με τούτῳ φίλει τῷ τεκ. P. μήπω τούτῳ φίλει με τῷ τεκ. T. τεκμηρίῳ· κατεγνωσμένος δὲ desunt quæ intersunt media M. 29 ταῖς τῶν ἄλλων M.

ἀλλὰ κατ' ἐμοῦ φερέσθω τὸ πῦρ, ὀδευέτω διὰ τῶν ἐμῶν σπλάγχνων τὰ ὄργανα, μὴ φείδεσθε ὀλοφυρμοῦ τοῦ μιαροῦ σώματος. Εἰ γάρ εἰμι πατροκτόνος, οὐκ ὀφείλω θνήσκειν ἀβασανίστως." Τοιαῦτα μετὰ ὀλολυγμοῦ καὶ δακρύων ἐκβοῶν, τούς τε ἄλλους ἅπαντας καὶ τὸν Οὔαρον εἰς οἶκτον προεκαλέσατο. Μόνον δὲ ὁ θυμὸς Ἡρώδην ἄδακρυν διεκράτει, τοὺς ἐλέγχους ἀληθεῖς ἐπιστάμενον. 30

4. Ἐν τούτῳ, τοῦ βασιλέως κελεύσαντος, Νικόλαος, πολλὰ πρὸς τὸ πανοῦργον τὸ Ἀντιπάτρου προειπών, καὶ τὸν ἐπ' αὐτῷ διαχέας ἔλεον, ἔπειτα πικρὰν κατηγορίαν κατετείνετο, πάντα μὲν τὰ κατὰ τὴν βασιλείαν κακουργήματα περιτιθεὶς αὐτῷ, μάλιστα δὲ τὴν ἀναίρεσιν τῶν ἀδελφῶν, ἀποδεικνὺς ταῖς ἐκείνου διαβολαῖς ἀπολωλότας. Ἐπιβουλεύειν δὲ αὐτὸν ἔλεγε καὶ τοῖς περιοῦσιν, ὡς ἐφέδροις τῆς διαδοχῆς· τὸν γὰρ παρασκευάσαντα πατρὶ φάρμακον, πότε ἂν ἀδελφῶν ἀποσχέσθαι; Προελθὼν δὲ ἐπὶ τὸν ἔλεγχον τῆς φαρμακείας, τάς τε μηνύσεις ἐξῆς ἀπεδείκνυε, καὶ περὶ Φερώρα κατεσχετλίαζεν, ὅτι καὶ ἐκεῖνον Ἀντίπατρος ποιήσειεν ἀδελφοκτόνον, καὶ τοὺς φιλτάτους τῷ βασιλεῖ διαφθείρας, ὅλον τοῦ μύσους ἀναπλήσειε τὸν οἶκον. Ἄλλα τε πολλὰ πρὸς τούτοις εἰπὼν καὶ ἀποδείξας, καταπαύει τὸν λόγον. 31 32 33 34

5. Οὔαρος δὲ κελεύσας ἀπολογεῖσθαι τὸν Ἀντίπατρον, ὡς οὐδὲν πλέον εἰπὼν ἢ ' θεὸς ἔστι μοι τοῦ μηδὲν ἀδικεῖν μάρτυς' ἔκειτο σιγῶν, αἰτήσας τὸ φάρμακον, δίδωσί τινι τῶν ἐπὶ θανάτῳ κατακρίτων δεσμώτῃ πιεῖν. Τοῦ δὲ παραχρῆμα 35 36

ἐμοῦ φέρεσθαι L. φειδέσθω ὀλοφυρμὸς P. 30 ἀβασάνιστος sed in ῦ marg. -ως N. ἐμβοῶν P. 31 πανοῦργον τοῦ P. τὸ sic L. πανοῦργον Ἀντ. M. προσειπὼν M.P. κατετείνατο L.M.N.T. περιθεὶς αὐτῷ M. 32 διαδοχοῖς P. φάρμακον, ἥπου γ' ἂν P. 33 προσελθὼν N. ἑξῆς deest P. ἐπεδείκνυε N. τοῦ μίσους M. 35 Οὐάρου δὲ κελεύσαντος M. ἀπολογεῖσθαι κελεύσας tr. P. Ἀντ. καὶ ὃς οὐδὲν E. Ἀντ. ὃς καὶ οὐδὲν in marg. T. Ἀντ. ὃς οὐδὲν N. πλέον ἐκεῖνος εἰπὼν M. ἔκειτο σιωπῶν M. ὁ δὲ Ἡρώδης αἰτήσας M.P.T. αἰτήσας δὲ τὸ N. et ex adj. rec. L.

τελευτήσαντος, ὁ μὲν Οὔαρος, ἀπορρήτους ποιήσας τὰς πρὸς Ἡρώδην ὁμιλίας, καὶ τὰ περὶ τὸ συνέδριον Καίσαρι γράψας,
37 μετὰ μίαν ἡμέραν χωρίζεται. Δεσμεῖ δὲ ὁ βασιλεὺς Ἀντίπατρον, καὶ πρὸς Καίσαρα τοὺς δηλώσοντας τὴν συμφορὰν ἐξέπεμψεν.

38 6. Μετὰ δὲ ταῦτα καὶ κατὰ Σαλώμης ἐπίβουλος Ἀντίπατρος εὑρίσκεται. Τῶν γὰρ Ἀντιφίλου τις οἰκετῶν ἦκεν, ἐπιστολὰς κομίζων ἀπὸ Ῥώμης παρὰ Ἰουλίας θεραπαινίδος,
39 Ἀκμῆς τὸ ὄνομα. Καὶ παρὰ μὲν ταύτης ἐπέσταλτο βασιλεῖ, τὰς παρὰ Σαλώμης ἐπιστολὰς ἐν τοῖς Ἰουλίας εὑρηκέναι
40 γράμμασι, πεπομφέναι τε αὐτῷ λάθρα δι' εὔνοιαν. Αἱ δὲ τῆς Σαλώμης λοιδορίας τε τοῦ βασιλέως περιεῖχον πικροτάτας, καὶ κατηγορίαν μεγίστην. Ταύτας δὲ πλάσας Ἀντίπατρος, καὶ τὴν Ἀκμὴν διαφθείρας, ἔπεισεν Ἡρώδῃ πέμψαι.
41 Διηλέγχθη δὲ ἐκ τῆς πρὸς αὐτὸν ἐπιστολῆς· καὶ γὰρ ἐκείνῳ τὸ γύναιον ἔγραψεν· "Ὡς ἠβουλήθης, ἔγραψά σου τῷ πατρὶ, καὶ τὰς ἐπιστολὰς ἐκείνας ἔπεμψα, πεπεισμένη τὸν βασιλέα μὴ φείσασθαι τῆς ἀδελφῆς, ὅταν ἀναγνῷ. Καλῶς δὲ ποιήσεις, ἐπειδὰν ἀπαρτισθῇ πάντα, μνημονεύσας ὧν ὑπέσχου."

42 7. Ταύτης φωραθείσης τῆς ἐπιστολῆς, καὶ τῶν κατὰ Σαλώμης ἐνσκευασθεισῶν, ἔννοια μὲν ἐμπίπτει τῷ βασιλεῖ, τάχα καὶ κατὰ Ἀλεξάνδρου πλασθῆναι γράμματα. Περιαλγὴς δὲ ἦν ὑπὸ τοῦ πάθους, ὡς παρ' ὀλίγον καὶ τὴν ἀδελφὴν ἀπο-
43 κτείνας δι' Ἀντίπατρον. Οὐκέτι οὖν ἀνεβάλλετο λαβεῖν τιμωρίαν ὑπὲρ ἁπάντων. Ὡρμημένος δὲ ἐπὶ τὸν Ἀντίπατρον, ἐπεσχέθη νόσῳ χαλεπῇ. Περὶ μέντοι τῆς Ἀκμῆς καὶ

36 ὁ μὲν ἀπορρήτους L.N. τὰς πρὸς Οὔαρον P. 38 κατὰ deest in textu, sed in marg. adj. est T. ἐπιβουλὰς Ἀντ. εὑρ. πεποιηκὼς omisso καὶ. sed in marg. habet vulg. scripturam P. παρὰ Λευίας P. 39 πεπομφέναι δὲ P. et ex rec. cor. L. 40 πικρωτάτας P. πλάσας ὁ Ἀντ. E. 41 ἐβουλήθης P. βουληθεὶς T. ἠβουλήθεις sic N. ἔγραψά σοι τῷ M. φείδεσθαι αὐτῆς ὅταν M. ὡς ὑπέσχου P. 42 Σαλώμης ex cor. L. Σαλώμῃ sic T. Σαλώμην M.N.P.E. ἐπισκευασθεισῶν P. 43 ἀνεβάλετο L.N.

τῶν κατὰ Σαλώμης ἐσκευωρημένων, ἐπέστειλε Καίσαρι. Τήν 44
τε διαθήκην αἰτήσας, μετέγραφε, καὶ βασιλέα μὲν ἀπεδείκνυεν Ἀντίπαν, ἀμελῶν τῶν πρεσβυτάτων Ἀρχελάου καὶ Φιλίππου· διεβεβλήκει γὰρ καὶ τούτους Ἀντίπατρος. Καί- 45
σαρι δὲ σὺν τοῖς διὰ χρημάτων δώροις κατέλιπε χίλια τάλαντα, τῇ τε γυναικὶ καὶ τέκνοις αὐτοῦ καὶ φίλοις καὶ ἀπελευθέροις περὶ πεντακόσια· ἀπένειμε δὲ καὶ τοῖς ἄλλοις ἅπασι τῆς τε χώρας οὐκ ὀλίγα καὶ τῶν χρημάτων, λαμπροτάταις τε δωρεαῖς ἐτίμα Σαλώμην τὴν ἀδελφήν. Ἐν μὲν οὖν ταῖς διαθήκαις ταῦτα διωρθώσατο.

CAP. XXXIII.

Antt. 17. 6. 1.

1. Προήει δὲ αὐτῷ πρὸς τὸ χαλεπώτερον ἡ νόσος, ἅτε δὴ 1
τῶν ἀρρωστημάτων ἐν γήρᾳ καὶ ἀθυμίᾳ ἐπιπεσόντων. Ἦν μὲν γὰρ ἤδη σχεδὸν ἐτῶν ἑβδομήκοντα, τεταπείνωτο δὲ τὴν ψυχὴν ταῖς περὶ τῶν τέκνων συμφοραῖς, ὡς μηδὲ ἐν ὑγιείᾳ τι τῶν ἡδέων προσίεσθαι. Τῆς νόσου δὲ ἦν ἐπίτασις ζῶν 2
Ἀντίπατρος, ὃν οὐκ ἐν παρέργῳ, ῥαΐσας δὲ προήρητο ἀνελεῖν.

2. Γίνεται δ' ἐν ταῖς συμφοραῖς αὐτῷ καὶ δημοτική τις 3
ἐπανάστασις. Δύο ἦσαν σοφισταὶ κατὰ τὴν πόλιν, μάλιστα δοκοῦντες ἀκριβοῦν τὰ πάτρια, καὶ διὰ τοῦτο ἐν ἅπαντι τῷ ἔθνει μεγίστης ἠξιωμένοι δόξης, Ἰούδας τε υἱὸς Σεπφωραίου, καὶ Ματθίας ἕτερος Μαργάλου. Τούτοις οὐκ 4
ὀλίγοι προσήεσαν τῶν νέων ἐξηγουμένοις τοὺς νόμους, καὶ συνῆγον ὁσημέραι τῶν ἠβώντων στρατόπεδον. Οἳ τότε τὸν 5
βασιλέα πυνθανόμενοι ταῖς ἀθυμίαις ὑπεκρέοντα καὶ τῇ νόσῳ, λόγον καθίεσαν εἰς τοὺς γνωρίμους, ὡς ‘ἆρα καιρὸς ἐπιτηδειότατος εἴη, τιμωρεῖν ἤδη τῷ θεῷ, καὶ τὰ κατασκευασθέντα

ἐσκαιωρημένων P. et ex cor. L. διαβεβλήκει P. 45 τοῖς δίχα χρημάτων E. κατέλιπε deest L.N.P.T. ἀπελευθέροις πεντακόσια P. 1 Προ ήει sic per ras. L. προσείη N. ὑγιείᾳ τινι τῶν P. 2 προῃρεῖτο P. 3 συμφοραῖς αὐτοῦ P.E. Σεμφωραίου M. Σεπφαιρέου P. 4 προσίεσαν L.N.P. ἐξηγούμενοι ex ras. T. καὶ συνχὸν συνεῖχον ὡσημέραι P. 5 ἀθυμίαις ὑποῤῥέοντα P. ἐπιτηδειότατος ead. man. N. ἐπιτηδ. ἦν P.

παρὰ τοὺς πατρίους νόμους ἔργα κατασπᾶν. Ἀθέμιτον γὰρ εἶναι, κατὰ τὸν ναὸν ἢ εἰκόνας ἢ προτομὰς ἢ ζώου τινὸς ἐπώνυμον ἔργον εἶναι.' Κατεσκευάκει δὲ ὁ βασιλεὺς ὑπὲρ τὴν μεγάλην πύλην ἀετὸν χρυσοῦν· ὃν δὴ τότε παρήνουν ἐκκόπτειν οἱ σοφισταὶ, 'καλὸν εἶναι λέγοντες, εἰ καί τις γένοιτο κίνδυνος, ὑπὲρ τοῦ πατρίου νόμου θνήσκειν· τοῖς γὰρ οὕτω τελευτῶσιν ἀθάνατόν τε τὴν ψυχὴν, καὶ τὴν ἐν ἀγαθοῖς αἴσθησιν αἰώνιον παραμένειν· τοὺς δὲ ἀγεννεῖς, καὶ τῆς αὐτῶν σοφίας ἀπείρους, ἀγνοοῦντας φιλοψυχεῖν, καὶ πρὸ τοῦ δι' ἀρετῆς τὸν ἐκ νόσου θάνατον αἱρεῖσθαι.'

3. Ἅμα δὲ τοῖς ἐκείνων λόγοις διεφημίσθη καὶ θνήσκειν ὁ βασιλεὺς, ὥστε θαρραλεώτερον ἥπτοντο τῆς ἐπιχειρήσεως οἱ νέοι. Μέσης γοῦν ἡμέρας, καὶ πολλῶν κατὰ τὸ ἱερὸν ἀναστρεφομένων, σχοίνοις παχείαις καθιμήσαντες σφᾶς αὐτοὺς ἀπὸ τοῦ τέγους τὸν χρυσοῦν ἐκεῖνον ἀετὸν ἐξέκοπτον πελέκεσιν. Ἠγγέλθη δὲ εὐθέως τῷ βασιλέως στρατηγῷ· καὶ ἐκεῖνος μετὰ χειρὸς οὐκ ὀλίγης ἀναδραμὼν περὶ τεσσαράκοντα νεανίας συλλαμβάνει, καὶ κατήγαγε πρὸς τὸν βασιλέα. Πυνθανομένῳ δὲ αὐτῷ πρῶτον, 'εἰ τολμήσειαν τὸν χρυσοῦν ἀετὸν ἐκκόπτειν,' ὡμολόγουν· ἔπειτα, 'τίνος κελεύσαντος,' ἀπεκρίναντο· 'τοῦ πατρίου νόμου· 'τί δὲ οὕτω γεγήθασι' διερωτήσαντος, 'ἀναιρεῖσθαι μέλλοντες,' ἔλεγον, ὅτι 'πλειόνων ἀγαθῶν ἀπολαύσουσι μετὰ τὴν τελευτήν.'

4. Ἐπὶ τούτοις ὁ βασιλεὺς δι' ὑπερβολὴν ὀργῆς κρείττων τῆς νόσου γενόμενος, πρόεισιν εἰς ἐκκλησίαν, καὶ πολλὰ τῶν ἀνδρῶν κατηγορήσας ὡς ἱεροσύλων, καὶ προφάσει τοῦ νόμου πειραζόντων τὶ μεῖζον, κολάζειν ἠξίου ὡς ἀσεβεῖς. Ὁ

6 ναὸν εἰκόνας L. 7 καί τις γένηται L.M.N.P. 8 ἀγενεῖς P. 9 καὶ θνήσκει N. καθιμήσαντες sed in marg. ead. man. χαλάσαντες N. ἐκεῖνον deest P. ἀετὸν decst L.N.T. sed in hujus marg. adjectum est. post πελέκεσιν adj. est man. rec. ἀετὸν L. 10 τεσσαράκοντα νεανίσκους T. λαμβάνει P. 11 πυνθανομένῳ δ' αὐτῶν L.M. et ex cor. vet. N. πυνθανομένων δ' αὐτῶν T. ἀετὸν deest L.M.N.P. τοῦ πατρώου νόμου T. διερωτῶντος L. ἀπολαύσωσιν P. 12 ἠξίου κολάζειν tr. P.

δὲ δῆμος δείσας μὴ διὰ πολλῶν ὁ ἔλεγχος ἔλθῃ, παρεκάλει πρῶτον μὲν τοὺς ὑποθεμένους τὴν πρᾶξιν, ἔπειτα τοὺς ἐν αὐτῇ συλληφθέντας κολάσαντα, τοῖς λοιποῖς τὴν ὀργὴν ἀφεῖναι. Πείθεται μόγις ὁ βασιλεὺς, καὶ τοὺς μὲν καθιμή- 14
σαντας ἑαυτοὺς ἅμα τοῖς σοφισταῖς κατέκαυσε ζῶντας, τοὺς λοιποὺς δὲ τῶν συλληφθέντων παρέδωκε τοῖς ὑπηρέταις ἀνελεῖν.

5. Ἔνθεν αὐτοῦ τὸ σῶμα πᾶν ἡ νόσος διαλαβοῦσα, ποι- 15
κίλοις πάθεσι διεμερίζετο. Πυρετὸς μὲν γὰρ ἦν οὐ λάβρος, κνησμὸς δ' ἀφόρητος τῆς ἐπιφανείας ὅλης, καὶ κώλου συνεχεῖς ἀλγηδόνες, περί τε τοὺς πόδας ὥσπερ ὑδρωπιῶντος οἰδήματα, τοῦ τε ἤτρου φλεγμονὴ, καὶ δι' αἰδοίου σηπεδὼν σκώληκας γεννῶσα. Πρὸς τούτοις ὀρθόπνοια, καὶ δύσπνοια, καὶ 16
σπασμοὶ πάντων τῶν μελῶν, ὥστε τοὺς ἐπιθειάζοντας ποινὴν εἶναι τῶν σοφιστῶν τὰ νοσήματα λέγειν. Ὁ δὲ παλαίων 17
τοσούτοις πάθεσιν, ὅμως τοῦ ζῆν ἀντείχετο, σωτηρίαν τε ἤλπιζε, καὶ θεραπείας ἐπενόει. Διαβὰς γοῦν τὸν Ἰορδάνην, τοῖς κατὰ Καλλιρόην θερμοῖς ἐκέχρητο· ταῦτα δὲ ἔξεισι μὲν εἰς τὴν Ἀσφαλτῖτιν λίμνην, ὑπὸ γλυκύτητος δ' ἔστι καὶ πότιμα. Δόξαν δ' ἐνταῦθα τοῖς ἰατροῖς ἐλαίῳ θερμῷ πᾶν 18
ἀναθάλψαι τὸ σῶμα, χαλασθὲν εἰς ἐλαίου πλήρη πύελον, ἐκλύει τοὺς ὀφθαλμοὺς, καὶ ὡς τεθνεὼς ἀνέστρεψε. Θορύβου 19
δὲ τῶν θεραπευόντων γενομένου, πρὸς μὲν τὴν φωνὴν ἀνήνεγκεν· εἰς δὲ τὸ λοιπὸν ἀπογνοὺς τὴν σωτηρίαν, τοῖς τε στρατιώταις ἀνὰ δραχμὰς πεντήκοντα ἐκέλευσε διανεῖμαι, καὶ πολλὰ χρήματα τοῖς ἡγεμόσι καὶ τοῖς φίλοις.

6. Αὐτὸς δὲ ὑποστρέφων ὡς εἰς Ἰεριχοῦντα παραγίνεται, 20

13 ἀφιέναι. Πείθεται μόλις P. 15 ἐμερίζετο P. ἦν, λάβρος κνησμὸς ἀφορ. M. καὶ κόλου P. ἠτρίου L.N. ἰτρίου T. σκώληκα L.M.N.P. 16 ὀρθόπνοιά τε καὶ T. καὶ σπασμὸς ἁπάντων E. καὶ πήρωσις πάντων M. τοὺς ἐπιθει. hic incipit recentior scriptura, et ad §. 31. ejusd. cap. continuatur T. 17 Καλλιρρόην M. ἐπέχρητο T. ἐχρῆτο P. Ἀσφαλτίτην N. ἐστι πότιμα, δόξαν ἐντ. P. 18 χαλασθεν δὲ εἰς πλήρη πύελον P. ἐκλύει δὲ τοὺς E. ἐκλύει καὶ τοὺς M.N. P.T. ὀφθαλμοὺς ὡς P. 19 τῶν θεραπόντων E. πεντήκοντα δραχμὰς L.M.N.T. ρ δραχμὰς P. 20 ὡς deest P.

μελαγχολῶν ἤδη, καὶ μονονουχὶ αὐτῷ τὶ τῷ θανάτῳ ἀπει-
21 λῶν, προέκοψεν εἰς ἐπιβουλὴν ἀθεμίτου πράξεως. Τοὺς γὰρ
ἀφ' ἑκάστης κώμης ἐπισήμους ἄνδρας ἐξ ὅλης Ἰουδαίας συνα-
γαγὼν εἰς τὸν καλούμενον Ἱππόδρομον ἐκέλευσε συγκλεῖσαι.
22 Προσκαλεσάμενος δὲ Σαλώμην τὴν ἀδελφὴν, καὶ τὸν ἄνδρα
ταύτης Ἀλεξᾶν, "Οἶδα," ἔφη, "Ἰουδαίους τὸν μὲν ἐμὸν
ἑορτάσοντας θάνατον, δύναμαι δὲ πενθεῖσθαι δι' ἑτέρων, καὶ
λαμπρὸν ἐπιτάφιον σχεῖν, ἂν ὑμεῖς θελήσητε ταῖς ἐμαῖς ἐν-
23 τολαῖς ὑπουργῆσαι. Τούσδε τοὺς φρουρουμένους ἄνδρας,
ἐπειδὰν ἐκπνεύσω, τάχιστα κτείνατε περιστήσαντες τοὺς
στρατιώτας, ἵνα πᾶσα Ἰουδαία, καὶ πᾶς οἶκος, ἄκων ἐπ' ἐμοὶ
δακρύσῃ."

24 7. Ταῦτα ἐνετέλλετο, καὶ παρὰ τῶν ἐν Ῥώμῃ πρέσβεων
ἦκον ἐπιστολαὶ, δι' ὧν Ἀκμὴ μὲν ἀνηρημένη κελεύσαντος Καί-
σαρος ἐδηλοῦτο, θανάτῳ δὲ Ἀντίπατρος κατάκριτος· ἔγρα-
φόν γε μὴν, ὡς, εἰ καὶ φυγαδεύειν αὐτὸν ἐθελήσειεν ὁ πατὴρ,
25 ἐπιτρέποι Καῖσαρ. Ὁ δὲ βραχὺ μὲν πρὸς τὴν ἐπιθυμίαν
ἀνήνεγκεν, αὖθις δὲ, καὶ γὰρ ἐνδείᾳ τροφῆς καὶ βηχὶ σπασμώ-
δει διετείνετο, τῶν ἀλγηδόνων ἡττηθεὶς, φθάσαι τὴν εἱμαρ-
26 μένην ἐπεβάλλετο. Λαβὼν δὲ μῆλον, ᾔτησε καὶ μαχαίριον,
— εἰώθει γὰρ ἀποτέμνων ἐσθίειν, — ἔπειτα περιαθρήσας, μή
τις ὁ κωλύων εἴη, ἐπῆρε τὴν δεξιὰν, ὡς πλήξων ἑαυτόν.
27 Προσδραμὼν δὲ ἐκώλυσεν Ἀχίαβος ὁ ἀνεψιὸς αὐτοῦ, τὴν
χεῖρα κατασχών. Οἰμωγὴ δ' εὐθὺς ἤρθη μεγίστη κατὰ τὸ
βασίλειον ὡς οἰχομένου τοῦ βασιλέως· καὶ ταχέως ἀκούσας
Ἀντίπατρος, ἀναθάρρει τε καὶ γεγηθὼς τοὺς φύλακας ἐκέ-
28 τευεν, ἐπὶ χρήμασιν ἐξαφεῖναι λύσαντας αὐτόν. Ὁ δὲ ἡγε-
μὼν οὐ μόνον ἐκώλυσεν, ἀλλὰ καὶ βασιλεῖ δραμὼν ἀνήγγειλε
τὴν ἐπιβουλήν. Ἀνέκραγε δὲ ἐκεῖνος ἰσχυρότερον τῆς νό-

μονονοὺκ ἀπειλῶν αὐτῷ τῷ θαν. P. εἰς ἐπιβολὴν E. 22 τὸν ἐμὸν P. ἐπιτάφιον ἔχειν P. 24 πατὴρ, ἀποτρέποι L.M.N. 25 βήχει σπασμῶν P. τῶν δ' ἀλγηδόνων P. ἀλγηδ. ἡ δὲ αἴσθησις φθάσαι M.N.T. 26 Λαβὼν μῆλον M.T. περιαθροίσας M.T. 27 δὲ διεκώλυσεν L.M.N.T. Ἀνίαβος P. δ' εὐθέως P. οἰχομ. βασιλέως P. ἀνεθάρρει E. ἐξαφιέναι T.E.

σου, καὶ παραχρῆμα πέμψας τοὺς δορυφόρους, ἀπέκτεινε τὸν Ἀντίπατρον. Θάψαι δὲ τὸν νεκρὸν αὐτοῦ προστάξας ἐν 29
Ὑρκανίῳ, πάλιν τὰς διαθήκας ἐπανορθοῦται, καὶ διάδοχον μὲν Ἀρχέλαον, τὸν πρεσβύτατον υἱὸν, ἀδελφὸν δὲ Ἀντίπα, γράφει, τετράρχην δὲ Ἀντίπαν.

8. Μετὰ δὲ τὴν ἀναίρεσιν τοῦ παιδὸς ἐπιβιοὺς πέντε ἡμέ- 30
ρας τελευτᾷ, βασιλεύσας ἀφ' οὗ μὲν ἀποκτείνας Ἀντίγονον ἐκράτησε τῶν πραγμάτων ἔτη τέσσαρα καὶ τριάκοντα, ἀφ' οὗ δὲ ὑπὸ Ῥωμαίων ἀπεδείχθη βασιλεὺς, ἑπτὰ καὶ τριάκοντα. Καὶ κατὰ μὲν τὰ ἄλλα πάντα τύχῃ δεξιᾷ χρησάμενος, εἰ καί 31
τις ἕτερος, ὅστις γε κατεκτήσατο βασιλείαν ἰδιώτης ὤν, καὶ, τοσούτῳ χρόνῳ φυλάξας, ἰδίοις τέκνοις κατέλιπεν· ἐν δὲ τοῖς κατ' οἶκον ἀτυχέστατος. Πρὶν δὲ γνῶναι τὴν τελευτὴν αὐ- 32
τοῦ τὸ στρατιωτικὸν, προελθοῦσα μετ' ἀνδρὸς ἡ Σαλώμη, διαφῆκε τοὺς δεσμώτας οὓς κτείνειν ὁ βασιλεὺς ἐνετείλατο, μεταπεισθῆναι αὐτὸν λέγουσα, καὶ πάλιν ἀναπέμπειν ἕκαστον εἰς τὰ ἴδια. Τούτων δὲ οἰχομένων, ἐδήλου ἤδη τοῖς στρα- 33
τιώταις, καὶ συνῆγεν αὐτοὺς εἰς ἐκκλησίαν μετὰ τοῦ λοιποῦ πλήθους ἐν τῷ καθ' Ἱεριχοῦντα ἀμφιθεάτρῳ. Ἔνθα παρελ- 34
θὼν Πτολεμαῖος, ὁ καὶ τὸν σημαντῆρα δακτύλιον παρὰ τοῦ βασιλέως πεπιστευμένος, τόν τε βασιλέα κατευδαιμονίζει, καὶ τὸ πλῆθος παρακαλεῖ, τήν τε ἀπολειφθεῖσαν τοῖς στρατιώταις ἀνεγίνωσκεν ἐπιστολὴν, ἐν ᾗ πολλὰ περὶ τῆς εἰς τὸν διάδοχον εὐνοίας παρεκάλει. Μετὰ δὲ τὴν ἐπιστολὴν λύσας 35
τὰς ἐπιδιαθήκας ἀνεγίνωσκεν, ἐν αἷς Φίλιππος μὲν τοῦ Τράχωνος, καὶ τῶν γειτνιώντων χωρίων κληρονόμος, τετράρχης δὲ, ὡς προείπομεν, Ἀντίπας, βασιλεὺς δὲ Ἀρχέλαος ἀπε-
δείκνυτο. Τούτῳ δὲ τόν τε δακτύλιον τὸν ἑαυτοῦ Καίσαρι 36

29 Ὑρκανίᾳ L.M.N.T. υἱὸν deest P. et ex ras. L. ἀδελφὸν Ἀντ. P.E. Ἀντιπάτρου M.N.T. et pri. man. L. 30 ἀποκτείνας Ἀντίπατρον M.T. 31 καί τις ἄλλος, ὅστις κατεκ. P. κατεστήσατο βασ. L. M.T. χρόνῳ φυλάξας hic denuo incipit vetus scriptura T. κατέλειπεν N. 32 προσελθοῦσα L.M.P. μεταπ. τὸν βασιλέα λέγουσα P. 33 ἐδήλουν P. συνῆγον P. 34 καὶ τὴν ἀπολειφ. P. 35 τὰς διαθήκας E. γειτνιόντων P. προείπαμεν P. 36 Τούτῳ τὸν P.

φέρειν ἐνετέλλετο, καὶ τὰς διοικήσεις τῆς βασιλείας σεσημασμένας· κύριον γὰρ ἁπάντων, ὧν διατάξειε, καὶ βεβαιωτὴν τῶν διαθηκῶν εἶναι Καίσαρα· τά γε μὴν λοιπὰ κατὰ τὰς προτέρας διαθήκας φυλάττειν.

37 9. Βοὴ δὲ εὐθὺς ἐγένετο τῶν Ἀρχελάῳ συνηδομένων, καὶ κατὰ στίφος οἱ στρατιῶται μετὰ τοῦ πλήθους περιϊόντες, ὑπισχνοῦντο μὲν τὴν ἑαυτῶν εὔνοιαν, συνηύχοντο δὲ καὶ τὴν παρὰ τοῦ θεοῦ. Μετὰ ταῦτα πρὸς ταφὴν ἐτράποντο τοῦ
38 βασιλέως. Παρέλιπε δὲ οὐδὲν ὁ Ἀρχέλαος εἰς πολυτέλειαν, ἀλλὰ πάντα τὸν βασίλειον κόσμον προήνεγκε, συμπομπεύσοντα τῷ νεκρῷ. Κλίνη μὲν ὁλόχρυσος ἦν διάλιθος, στρωμνὴ δὲ ἁλουργὶς ποικίλη, τὸ σῶμα δὲ ἐπ' αὐτῆς πορφύρᾳ κεκαλυμμένον, καὶ διάδημα μὲν ἐπέκειτο τῇ κεφαλῇ, στέφανος δὲ ὑπὲρ αὐτοῦ χρυσοῦς, τὸ δὲ σκῆπτρον παρὰ τὴν
39 δεξιάν. Καὶ περὶ μὲν τὴν κλίνην οἵ τε υἱεῖς, καὶ τὸ πλῆθος τῶν συγγενῶν, ἐφ' οἷς οἱ δορυφόροι, καὶ τὸ Θρᾴκιον στίφος, Γερμανοί τε καὶ Γαλάται, διεσκευασμένοι πάντες ὡς
40 εἰς πόλεμον. Προῆγε δὲ ἡ λοιπὴ δύναμις, ὡπλισμένοι τοῖς ἡγεμόσι καὶ ταξιάρχοις ἀκολουθοῦντες ἐν κόσμῳ. Πεντακόσιοι δὲ ὑπ' αὐτοῖς τῶν οἰκετῶν καὶ ἀπελευθέρων ἀρωματο-
41 φόροι. Σταδίους δὲ ἐκομίσθη τὸ σῶμα διακοσίους εἰς Ἡρώδειον, ὅπου κατὰ τὰς ἐντολὰς ἐτάφη. Καὶ τὰ μὲν περὶ Ἡρώδην τοιοῦτον ἔσχε πέρας.

37 προϊόντες L.N.T. προϊόντος M. προσιόντες P. καὶ μετὰ ταῦτα P. 38 Παρέλειπε L.N.P. συμπομπεύσαντα N. ἐπ' αὐτῇ P. ἐπ' αὐτοῖς ex cor. L. 39 Καὶ περὶ τὴν P. 40 ὡπλισμένη P. 41 διακοσίους τὸ σῶμα tr. L. Ἡρώδιον N.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Β'.

ARGUMENTUM LIB. II.

1. Ἀρχελαος ἐπιτάφιον ἑστίασιν ὑπὲρ Ἡρώδου τῷ λαῷ παρέχει. Μεγάλη στάσις ὑπὸ τοῦ πλήθους ἐγερθεῖσα. 2. Ἀρχέλαος εἰς Ῥώμην πορεύεται. 3. Μάχην καρτερὰν τοῖς Σαβίνου στρατιώταις συνάπτουσιν οἱ Ἰουδαῖοι. 4. Στάσις τῶν πάλαι στρατευσαμένων ὑφ' Ἡρώδου. Περὶ Ἰούδα καὶ Σίμωνος καὶ Ἀθρογγαίου. 5. Ἰουδαίους θορυβοῦντας κατέστειλεν Οὔαρος. 6. Καῖσαρ τοῖς Ἡρώδου τέκνοις τὰ πατρῷα ὡς βούλοιτο διανέμει. 7. Περὶ Ψευδαλεξάνδρου. Φυγαδεύεται Ἀρχέλαος, καὶ τελευτᾷ Γλαφύρα. 8. Στάσις Ἰούδα Γαλιλαίου. Τρεῖς Ἰουδαίων αἱρέσεις. 9. Σαλώμης τελευτή. Ταραχὰς κινεῖ Πίλατος. Ἡρώδης Ἀντίπας φυγαδεύεται. 10. Γάϊος τὸν ἀνδριάντα αὐτοῦ τῷ ναῷ ἐγκαθιδρύεσθαι κελεύει. 11. Περὶ Ἀγρίππα καὶ Ἡρώδου τελευτῆς. 12. Πολλοὶ θόρυβοι ἐπὶ Κουμάνου. Φῆλιξ Ἰουδαίας ἐπίτροπος. 13. Σικάριοι, Μάγοι, καὶ ψευδοπροφήτης Αἰγύπτιος ταραχὰς συνιστᾶσι. 14 et 15. Περὶ Φήστου καὶ Ἀλβίνου καὶ Φλώρου, ὃς διὰ τὴν αὐτοῦ ὠμότητα Ἰουδαίους εἰς πόλεμον ἀναγκάζει. 16. Κέστιος πέμπει Νεαπολιτανὸν χιλίαρχον τὰ τῶν Ἰουδαίων κατασκεψόμενον. 17. Ὡς Ἰουδαῖοι ἤρξαντο τοῦ πρὸς Ῥωμαίους πολέμου. 18. Ἰουδαίων συμφοραὶ καὶ φόνοι ἑκάστοτε. 19. Ὅσα Κέστιος κατὰ τῶν Ἰουδαίων ἔπραξε. 20. Κέστιος πρὸς Νέρωνα πρέσβεις ἀναπέμπει. Ἱεροσολυμῖται στρατηγοὺς ἀποδεικνῦσι πολλούς, καὶ αὐτὸν τὸν συγγραφέα, Ἰώσηπον. 21. Περὶ Ἰωάννου ἀπὸ Γισχάλων. 22. Ἰουδαῖοι παρεσκευάζοντο τὰ πρὸς πόλεμον.

CAP. I.

Antt. 17. 9. 1.

1. Ἀρχελάῳ δὲ νέων ἦρξε θορύβων ἡ τῆς ἐπὶ Ῥώμην 1
ἀποδημίας ἀνάγκη· πενθήσας γὰρ ἡμέρας ἑπτὰ τὸν πατέρα,

καὶ τὴν ἐπιτάφιον ἐστίασιν πολυτελῆ τῷ πλήθει παρασχών, — ἔθος δὲ τοῦτο παρὰ Ἰουδαίοις πολλοῖς πενίας αἴτιον, διὰ
2 τὸ πλῆθος ἑστιᾶν οὐκ ἄνευ ἀνάγκης· εἰ γὰρ παραλίποι τις, οὐχ ὅσιος, — μεταλαμβάνει μὲν ἐσθῆτα λευκὴν, πρόεισι δὲ εἰς τὸ ἱερὸν, ἔνθα ποικίλαις αὐτὸν εὐφημίαις ὁ λαὸς ἐκδέχεται.
3 Καὶ ἐκεῖνος τὸ πλῆθος ἀφ' ὑψηλοῦ βήματος καὶ χρυσοῦ θρόνου δεξιωσάμενος, τῆς τε σπουδῆς, ἣν ἐνεδείξαντο περὶ τὴν κηδείαν τοῦ πατρὸς, εὐχαριστεῖ, καὶ τῆς πρὸς αὐτὸν θερα-
4 πείας ὡς πρὸς βέβαιον ἤδη βασιλέα· ' φείδεσθαί γε μὴν ἐπὶ τοῦ παρόντος οὐ μόνον, ἔφη, τῆς ἐξουσίας, ἀλλὰ καὶ τῶν ὀνομάτων, ἕως ἂν αὐτῷ Καῖσαρ ἐπικυρώσῃ τὴν διαδοχὴν, ὁ
5 κατὰ τὰς διαθήκας τῶν ὅλων δεσπότης. Οὐδὲ γὰρ ἐν Ἰερι-χοῦντι τῆς στρατιᾶς τὸ διάδημα περιαπτούσης αὐτῷ δέχε-
6 σθαι· τοῦ μέντοι προθύμου καὶ τῆς εὐνοίας ὥσπερ τοῖς στρατιώταις οὕτω καὶ τῷ δήμῳ πλήρεις ἀποδώσειν τὰς ἀμοιβὰς, ὁπότ' ἂν ὑπὸ τῶν κρατούντων βασιλεὺς ἀποδειχθῇ βέβαιος.
7 Σπουδάσειν γὰρ ἐν πᾶσι πρὸς αὐτοὺς φανῆναι τοῦ πατρὸς ἀμείνων.'

8 2. Ἐπὶ τούτοις ἡδόμενον τὸ πλῆθος εὐθέως ἀπεπειρᾶτο τῆς διανοίας αὐτοῦ μεγάλοις αἰτήμασιν. Οἱ μὲν γὰρ ἐβόων ἐπικουφίζειν τὰς εἰσφοράς, οἱ δὲ ἀναιρεῖν τὰ τέλη, τινὲς δὲ
9 ἀπολύειν τοὺς δεσμώτας. Ἐπένευσε δ' ἑτοίμως ἅπασι, θερα-πεύων τὸ πλῆθος. Εἶτα θύσας μετὰ τῶν φίλων ἐν εὐωχίᾳ ἦν. Ἔνθα δὴ περὶ δείλην ἀθροισθέντες οὐκ ὀλίγοι τῶν νεω-
10 τερίζειν προαιρουμένων, ἤρξαντο τοῦ ἰδίου πένθους, ὅτε τὸ κοινὸν ἐπὶ τῷ βασιλεῖ πέπαυτο, κατολοφυρόμενοι τοὺς κολα-σθέντας ὑφ' Ἡρώδου διὰ τὸν ἐκκοπέντα χρυσοῦν ἀετὸν τῆς
11 πύλης τοῦ ναοῦ. Ἦν δὲ τὸ πένθος οὐχ ὑπεσταλμένον, ἀλλ' οἰμωγαὶ διαπρύσιοι, καὶ θρῆνος ἐγκέλευστος, κοπετοί τε περιηχοῦντες ὅλην τὴν πόλιν, ὡς ἂν ἐπ' ἀνδράσιν, οὓς ἔφα-

1 πολυτελεῖ P. πολλῆς πενίας M. 2 παραλείποι N.P. 4 μὴν οὐ μόνον ἔφη τῆς ἐξ. ἐπὶ τοῦ παρόντος P. ὁ καὶ κατὰ τὰς P. 6 πλή-ρης N. 8 ἀπολύσειν L.T. 9 Ἐπένευε L.N.T.E. ἐν εὐωχίᾳ μετὰ τῶν φίλων tr. L.N.P.T. ἤρξαντο ἰδίου P. et ex ras. L.

σκον ὑπὲρ τῶν πατρίων νόμων καὶ τοῦ ναοῦ παραπολέσθαι. 11
'Τιμωρεῖν δὲ αὐτοῖς ἀνεβόων ἐκ τῶν ὑφ' Ἡρώδου τετιμημέ- 12
νων χρῆναι, καὶ πρῶτον τὸν ὑπ' ἐκείνου κατασταθέντα παύειν
ἀρχιερέα· προσήκειν γὰρ αὐτοῖς εὐσεβέστερον αἱρεῖσθαι, καὶ
καθαρώτερον.'

3. Πρὸς ἃ παρωξύνετο μὲν Ἀρχέλαος, ἐπείχετο δὲ τὴν 13
ἄμυναν ὑπὸ τῆς περὶ τὴν ἔξοδον ἐπείξεως, δεδοικὼς, μή ποτε
τὸ πλῆθος ἐκπολεμώσας κατασχεθείη τῷ κινήματι. Διὸ 14
πειθοῖ μᾶλλον, ἢ βίᾳ, καταστέλλειν ἐπειρᾶτο τοὺς νεωτερί-
ζοντας, καὶ τὸν στρατηγὸν ὑποπέμψας παύσασθαι παρεκά-
λει. Τοῦτον εἰς τὸ ἱερὸν παρελθόντα, πρὶν φθέγξασθαί τι, 15
λίθοις ἀπήλαυνον οἱ στασιασταὶ, καὶ τοῖς μετ' αὐτὸν ἐπὶ
σωφρονισμῷ προσιοῦσιν — ἐνίει δὲ πολλοὺς Ἀρχέλαος, —
πάντα πρὸς ὀργὴν ἀπεκρίναντο. Δῆλοί τε ἦσαν οὐκ ἠρεμή- 16
σοντες, εἰ πλήθους ἐπιλάβοιντο. Καὶ δὴ τῆς τῶν ἀζύμων 17
ἐνστάσης ἑορτῆς — Πάσχα παρὰ τοῖς Ἰουδαίοις καλεῖται
πολύ τι θυμάτων πλῆθος ἐκδεχομένη — κάτεισι μὲν ἄπειρος
ἐκ τῆς χώρας λαὸς ἐπὶ τὴν θρησκείαν. Οἱ δὲ τοὺς σοφιστὰς 18
πενθοῦντες ἐν τῷ ἱερῷ συνειστήκεισαν, τροφὴν τῇ στάσει
πορίζόμενοι. Πρὸς ὃ δείσας Ἀρχέλαος, πρὶν δι' ὅλου τοῦ 19
πλήθους δραμεῖν τὴν νόσον, ὑποπέμπει μετὰ σπείρας χιλίαρ-
χον, προστάξας βίᾳ τοὺς ἐξάρχοντας τῆς στάσεως κατα-
σχεῖν. Πρὸς οὓς τὸ πλῆθος ἅπαν παροξύνεται, καὶ τοὺς 20
μὲν πολλοὺς τῆς σπείρας βάλλοντες λίθοις διέφθειραν· ὁ δὲ
χιλίαρχος ἐκφεύγει τραυματίας μόγις· ἔπειθ' οἱ μὲν, ὡς μη- 21
δενὸς δεινοῦ γεγονότος, ἐτράποντο πρὸς τὴν θυσίαν. Οὐ
μὴν Ἀρχελάῳ δίχα φόνου καθεκτὸν ἔτι τὸ πλῆθος ἐφαίνετο·

11 καὶ τοῦ λαοῦ πυρὶ παραπολ. P. 12 pro χρῆναι habent χρήμασιν L.N.P. et in marg. T. γὰρ αὐτοὺς P. 13 ἐπεῖχε δὲ P. 15 τοὺς μετ' αὐτὸν .... προσιόντας P. et ex cor. L. πάντα δὲ πρὸς L.M.N.T. καὶ πάντα πρὸς P. 16 ἦσαν deest N. et L.T. sed in horum utroque adjectum est man. rec. 17 ἀπολάβοιντο P.E. ἑορτῆς ἡ P.T. et ex rec. adj. L. φάσκα L.M.N.T.E. παρὰ Ἰουδαίοις L.N.T. χώρας λεὼς M.T.E. λαὸς ἄπειρος tr. P. 19 διαδραμεῖν P. 20 διέφθειρον L.M.N. τραυμ. μόλις P. 21 γεγονότος δεινοῦ tr. P.

22 τὴν δὲ στρατιὰν ἐπαφίησιν αὐτοῖς ὅλην, τοὺς μὲν πεζοὺς διὰ
23 τῆς πόλεως ἀθρόους, τοὺς δὲ ἱππεῖς ἀνὰ τὸ πεδίον· οἳ θύουσιν
ἑκάστοις ἐξαίφνης προσπεσόντες διαφθείρουσι μὲν περὶ τρισ-
χιλίους, τὸ δὲ λοιπὸν πλῆθος εἰς τὰ πλησίον ὄρη διεσκέδα-
24 σαν. Εἵποντο δὲ κήρυκες Ἀρχελάου, κελεύοντες ἕκαστον
ἀναχωρεῖν ἐπ' οἶκον, καὶ πάντες ᾤχοντο τὴν ἑορτὴν ἀπολι-
πόντες.

CAP. II.

1 1. Αὐτὸς δὲ μετὰ τῆς μητρὸς καὶ τῶν φίλων Ποπλᾶ καὶ Antt. 17.
Πτολεμαίου καὶ Νικολάου κατῆει πρὸς θάλασσαν, καταλι- 9. 4.
πὼν ἐπίτροπόν τε τῶν βασιλείων καὶ κηδεμόνα τῶν οἰκείων,
2 Φίλιππον. Συνεξῆει δὲ ἅμα τοῖς τέκνοις Σαλώμη, καὶ οἱ
3 τοῦ βασιλέως ἀδελφοί τε καὶ γαμβροί· τὸ μὲν δοκεῖν, συν-
αγωνιούμενοι περὶ τῆς διαδοχῆς Ἀρχελάῳ, τὸ δ' ἀληθὲς,
κατηγορήσοντες περὶ τῶν κατὰ τὸ ἱερὸν παρανομηθέντων.
4 2. Συναντᾷ δὲ αὐτοῖς κατὰ Καισάρειαν Σαβῖνος ὁ τῆς
Συρίας ἐπίτροπος, εἰς Ἰουδαίαν ἀνιὼν ἐπὶ φυλακῇ τῶν Ἡρώ-
5 δου χρημάτων. Τοῦτον ἐπέσχε προσωτέρω χωρεῖν Οὔαρος
ἐπελθών, ὃν διὰ Πτολεμαίου πολλὰ δεηθεὶς Ἀρχέλαος μετε-
6 πέμψατο. Τότε μὲν οὖν Σαβῖνος Οὐάρῳ χαριζόμενος, οὔτ'
ἐπὶ τὰς ἄκρας ἔσπευσεν, οὔτε τὰ ταμιεῖα τῶν πατρῴων χρη-
μάτων ἀπέκλεισεν Ἀρχελάῳ, μέχρι δὲ τῆς Καίσαρος διαγνώ-
7 σεως ἠρεμήσειν ὑπέσχετο· διέτριβε δὲ ἐπὶ τῆς Καισαρείας.
Ὡς δὲ τῶν ἐμποδιζόντων ὁ μὲν εἰς Ἀντιόχειαν ἀπῆρεν, Ἀρ-
χέλαος δὲ εἰς Ῥώμην ἀνήχθη, διὰ τάχους ἐπὶ Ἱεροσολύμων
8 ὁρμήσας, παραλαμβάνει τὰ βασίλεια. Καὶ μεταπεμπόμενος
τούς τε φρουράρχους καὶ διοικητὰς, ἐπειρᾶτο διερευνᾶν τοὺς
τῶν χρημάτων ἀναλογισμοὺς, τάς τε ἄκρας παραλαμβάνειν.
9 Οὐ μὴν οἱ φρούραρχοι τῶν Ἀρχελάου κατημέλουν ἐντολῶν,

23 ἑκάστοις δ' ἐξ. P. ἕκαστοι ἐξ. pri. ma. -τοις ex cor. T. 24 Ἀρ-
χελάου κήρυκες tr. P. 2 καὶ τοῦ βασ. ἀδελφιδοί τε P. 3 τῷ μὲν
δοκ. pri. ma. sed τὸ μὲν δοκ. ex cor. rec. T. 4 αὐτοῖς καὶ κατὰ L.
5 ἐπελθὼν Οὔαρος tr. P. 6 ταμεῖα M.T. 7 καὶ διέτριβεν ἐπὶ P.
8 χρημάτων ἀναλωτὰς τάς τε L.M.N.T. 9 οὐ μὴν οἱ φύλακες τῶν P.

ἀνέμενον δὲ φρουροῦντες ἕκαστα, καὶ τὴν φρουρὰν ἀνατιθέντες Καίσαρι μᾶλλον ἢ Ἀρχελάῳ.

3. Καὶ ἐν τούτῳ πάλιν Ἀντίπας ἀμφισβητῶν περὶ τῆς βασιλείας ἐπέξεισιν, ἀξιῶν τῆς ἐπιδιαθήκης τὴν διαθήκην εἶναι κυριωτέραν, ἐν ᾗ βασιλεὺς αὐτὸς ἐγέγραπτο. Συλλήψεσθαι δὲ αὐτῷ προϋπέσχετο Σαλώμη, καὶ πολλοὶ τῶν σὺν Ἀρχελάῳ πλεόντων συγγενῶν. Ἐπήγετο δὲ τὴν μητέρα, καὶ τὸν ἀδελφὸν Νικολάου Πτολεμαῖον, ῥοπὴν εἶναι δοκοῦντα διὰ τὴν παρ' Ἡρώδῃ πίστιν· ἐγεγόνει γὰρ δὴ τῶν φίλων τιμιώτατος ἐκείνῳ. Πλεῖστον μέντοι ἐπεποίθει διὰ δεινότητα λόγων Εἰρηναίῳ τῷ ῥήτορι· δι' ὃν καὶ τοὺς νουθετοῦντας εἴκειν Ἀρχελάῳ, κατὰ τὸ πρεσβεῖον καὶ τὰς ἐπιδιαθήκας, διεκρούσατο. Μεθίστατο δὲ ἐν Ῥώμῃ πάντων πρὸς αὐτὸν ἡ σπουδὴ τῶν συγγενῶν, οἷς διὰ μίσους ἦν Ἀρχέλαος. Καὶ προηγουμένως μὲν ἕκαστος αὐτονομίας ἐπεθύμει, στρατηγῷ Ῥωμαίων διοικουμένης· εἰ δὲ τούτου διαμαρτάνοιεν, βασιλεύειν Ἀντίπαν ἤθελον.

4. Συνήργει δὲ αὐτοῖς εἰς τοῦτο καὶ Σαβῖνος δι' ἐπιστολῶν, κατηγορήσας μὲν Ἀρχελάου παρὰ Καίσαρι, πολλὰ δ' ἐπαινέσας Ἀντίπαν. Συντάξαντες δὴ τὰ ἐγκλήματα οἱ περὶ Σαλώμην, ἐνεχείρισαν Καίσαρι. Καὶ μετ' αὐτοὺς Ἀρχέλαος τά τε κεφάλαια τῶν ἑαυτοῦ δικαίων γράψας, καὶ τὸν δακτύλιον τοῦ πατρὸς καὶ τοὺς λόγους εἰσπέμπει διὰ Πτολεμαίου. Προσκεψάμενος δὲ ὁ Καῖσαρ τὰ παρὰ ἀμφοῖν κατ' ἰδίαν, τό τε μέγεθος τῆς βασιλείας, καὶ τὸ πλῆθος τῆς προσόδου, πρὸς οἷς τὸν ἀριθμὸν τῆς Ἡρώδου γενεᾶς· προσαναγνοὺς δὲ καὶ τὰ παρὰ Οὐάρου καὶ Σαβίνου περὶ τούτων ἐπεσταλμένα, συνέδριον μὲν ἀθροίζει τῶν ἐν τέλει Ῥωμαίων,

ἔμενον δὲ P.E. ἀλλ' ἔμενον φ. ex rec. cor. L. 10 ἐπεξίησιν P. κυριωτέραν εἶναι τὴν διαθήκην tr. P. 12 ἐπήγετο καὶ τὴν M.E. γεγόνει N.P. γὰρ τῶν P. ἐκείνου τιμιώτατος P. 13 πεποίθει N.T. ῥήτορι· διὸ καὶ L.P. νουθ. ἤκειν P. 15 διαμαρτάνοι L.N.P. ἤθελεν L.N. P.T. 16 μὲν deest P. 17 συνταξ. δὲ τὰ M.N.P. 18 Καὶ μετὰ τούτους P. τά τε ἄλλα κεφ. P. γράψας δικαίων tr. M. 20 προαναγνοὺς P.

ἐν ᾧ καὶ τὸν ἐξ Ἀγρίππα καὶ Ἰουλίας τῆς θυγατρὸς θετὸν παῖδα Γάϊον πρώτως ἐκάθισεν. Ἀποδίδωσι δὲ λόγον αὐτοῖς.

21 5. Ἔνθα καταστὰς ὁ Σαλώμης υἱὸς Ἀντίπατρος, ἦν δὲ τῶν ἐναντιουμένων Ἀρχελάῳ δεινότατος εἰπεῖν, κατηγόρει φάσκων, ‘τοῖς μὲν λόγοις ἀμφισβητεῖν ἄρτι περὶ βασιλείας Ἀρχέλαον, τοῖς δ’ ἔργοις πάλαι γεγονέναι βασιλέα, κατει-
22 ρωνεύεσθαι δὲ νῦν τῶν Καίσαρος ἀκοῶν. Ὃν δικαστὴν τῆς διαδοχῆς οὐ περιέμεινεν, εἴ γε μετὰ τὴν Ἡρώδου τελευτὴν ἐγκαθέτους μὲν ὑποπέμψας τοὺς περιθήσοντας αὐτῷ τὸ διάδημα, προκαθίσας δὲ ἐπὶ θρόνου καὶ χρηματίσας ὡς βασιλεὺς, τάξεις τε τῆς στρατιᾶς ἀμείψας, καὶ προκοπὰς χαρι-
23 σάμενος, ἔτι δὲ τῷ δήμῳ πάντα κατανεύσας, ὅσων ὡς παρὰ βασιλέως τυχεῖν ἠξίουν, καὶ τοὺς ἐπὶ μεγίσταις αἰτίαις ὑπὸ
24 τοῦ πατρὸς δεδεμένους λύσας, νῦν ἥκει παρὰ τοῦ δεσπότου σκιὰν αἰτησόμενος βασιλείας, ἧς ἥρπασεν ἑαυτῷ τὸ σῶμα, καὶ ποιῶν οὐ τῶν πραγμάτων, ἀλλὰ τῶν ὀνομάτων, κύριον Καί-
25 σαρα. Προσωνείδιζε δὲ, ὡς καὶ τὸ πένθος κατειρωνεύσατο τοῦ πατρὸς, μεθ’ ἡμέραν μὲν ἐπισχηματίζων τὸ πρόσωπον εἰς λύπην, νύκτωρ δὲ μέχρι κώμων μεθυσκόμενος, ἐν ᾧ καὶ τὴν ταραχὴν τοῦ πλήθους ἐκ τῆς ἐπὶ τούτοις ἀγανακτήσεως ἔλεγε
26 γεγονέναι. Καὶ τὸν ἀγῶνα παντὸς τοῦ λόγου ἐναπηρείσατο τῷ πλήθει τῶν περὶ τὸν ναὸν φονευθέντων· οὓς ἐληλυθέναι μὲν ἐφ’ ἑορτὴν, παρὰ δὲ ταῖς ἰδίαις θυσίαις ὠμῶς ἀπεσφά-
27 χθαι· καὶ τοσοῦτον ἐν τῷ ἱερῷ σεσωρεῦσθαι νεκρῶν πλῆθος, ὅσον οὐδ’ ἂν ἀλλόφυλος ἐσώρευσε πόλεμος ἐπελθὼν ἀκή-
28 ρυκτος. Ταύτην μέντοι τὴν ὠμότητα προσκεψάμενον αὐτοῦ καὶ τὸν πατέρα, μηδ’ ἐλπίδος αὐτὸν ἀξιῶσαί ποτε βασιλικῆς, ἢ ὅτε χεῖρον τὴν ψυχὴν κάμνων τοῦ σώματος ἀκρατὴς ἦν

πρῶτος ἐκάθ. L.P. ἀποδίδωσι λόγον T. 21 ἄρτι βασιλείας P. 22 ἐπὶ τοῦ θρόνου P. χρηματ. βασιλεὺς P. 23 χαρ. εἶτα τῷ δή. L.M. N.T. ὅσοῦ T. ὅσων N. 26 τοῦ λόγου παντὸς tr. P. 27 οὐδ’ ἀλλόφυλος P. ἀκήρυκτος ἐπελθὼν T. 28 ἐλπίδος αὐτῷ N. αὐτὸν ποτὲ ἀξ. P.

ὑγιαίνοντος λογισμοῦ, καὶ οὔτε ὃν ἔγραφεν ἐν ταῖς ἐπιδιαθήκαις ἤδει διάδοχον, καὶ ταῦτα μηδὲν τὸν ἐν ταῖς διαθήκαις 29
μέμψασθαι δυνάμενος, ὃν ἔγραψεν ὑγιαίνων μὲν τὸ σῶμα, καθαρὰν δὲ τὴν ψυχὴν ἔχων πάθους παντός. Εἰ μέντοι καὶ 30
κυριωτέραν τὴν τοῦ κάμνοντος κρίσιν τιθείη τις, ἀποκεχειροτονῆσθαι βασιλείας Ἀρχέλαον ὑφ' ἑαυτοῦ τοῖς εἰς αὐτὴν παρανομηθεῖσιν. Ἢ ποταπόν γε ἄρα ἂν γενέσθαι λαβόντα 31
τὴν ἀρχὴν παρὰ Καίσαρος τὸν πρὶν λαβεῖν τοσούτους ἀνῃρηκότα;'

6. Πολλὰ τοιαῦτα διεξελθὼν Ἀντίπατρος, καὶ τοὺς πλεί- 32
στους τῶν συγγενῶν παραστησάμενος ἐφ' ἑκάστῳ τῶν κατηγορημένων μάρτυρας, καταπαύει τὸν λόγον. Ἀνίσταται δὲ 33
Νικόλαος ὑπὲρ Ἀρχέλαου, 'καὶ τὸν μὲν ἐν τῷ ἱερῷ φόνον ἀναγκαῖον ἀπέφαινε, πολεμίους γὰρ γεγονέναι τοὺς ἀνῃρημένους, οὐ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ τοῦ δικάζοντος αὐτὸν Καίσαρος· τῶν δὲ ἄλλων ἐγκλημάτων συμβούλους ἀπε- 34
δείκνυεν αὐτοὺς τοὺς κατηγόρους γεγονέναι. Τήν γε μὴν ἐπιδιαθήκην ἠξίου διὰ τοῦτο μάλιστα εἶναι κυρίαν, ὅτι βεβαιωτὴν ἐν αὐτῇ Καίσαρα καθίστατο τοῦ διαδόχου. Ὁ γὰρ 35
σωφρονῶν, ὥστε τῷ δεσπότῃ τῶν ὅλων παραχωρεῖν τῆς ἐξουσίας, οὐ δή που περὶ κληρονόμου κρίσιν ἐσφάλλετο· σωφρονῶν δὲ ἠρεῖτο καὶ τὸν καθιστάμενον ὁ γινώσκων τὸν καθιστάντα.'

7. Διεξελθόντος δὲ πάντα καὶ Νικολάου, παρελθὼν ὁ Ἀρ- 36
χέλαος, προπίπτει τῶν Καίσαρος γονάτων ἡσυχῇ. Καὶ 37
ἐκεῖνος αὐτὸν μάλα φιλοφρόνως ἀναστήσας, ἐνέφηνε μὲν, ὡς ἄξιος εἴη τῆς πατρῴας διαδοχῆς, οὐ μήν τι βέβαιον ἀπεφήνατο. Διαλύσας δὲ τοὺς συνέδρους ἐκείνης τῆς ἡμέρας, καθ' 38
ἑαυτὸν περὶ ὧν διήκουσεν ἐσκέπτετο, εἴτε χρὴ τῶν ἐν ταῖς

οὐδ' ἂν ἔγραψεν ἐν ταῖς ἐπ. ἢ διάδοχον P. 29 μηδὲν τῶν ἐν P. δυνάμ. ἃς ἔγραψεν P. 30 μέντοι κυριω. T. ἀποκεχειροτονεῖσθαι M. et primа. L. 31 Ποταπὸν γὰρ ἂν γεν. P. 32 ὁ Ἀντίπατρος N. τοὺς πλείους N. 33 αὐτὴν Καίσαρος P. 35 οὐδέ που E. 36 προσπίπτει M.P. 37 οὐ μέν τοι βέβ. P. 38 διεσκέπτετο P.

διαθήκαις καταστῆσαί τινα διάδοχον, εἴτε καὶ πάσῃ τῇ γενεᾷ διανεῖμαι τὴν ἀρχήν· ἐδόκει γὰρ ἐπικουρίας χρήζειν τὸ πλῆθος τῶν προσώπων.

CAP. III.

1 1. Πρὶν δὲ ὁρίσαι τι περὶ τούτων Καίσαρα, τελευτᾷ μὲν Antt. 17.
2 ἡ Ἀρχελάου μήτηρ Μαλθακὴ νοσήσασα. Παρὰ Οὐάρου δ' 10. 1.
ἐκομίσθησαν ἐκ Συρίας ἐπιστολαὶ περὶ τῆς Ἰουδαίων ἀποστάσεως, ἣν προειδόμενος Οὔαρος — ἀνέβη γὰρ δὴ μετὰ τὸν Ἀρχελάου πλοῦν εἰς Ἱεροσόλυμα τοὺς παρακινοῦντας καθέξων, ἐπειδὴ πρόδηλον ἦν τὸ ἔθνος οὐκ ἠρεμῆσον — ἕν τι τῶν
3 τριῶν ἀπὸ Συρίας ταγμάτων, ὅπερ ἦκεν ἄγων, ἐν τῇ πόλει καταλείπει, καὶ αὐτὸς μὲν ὑπέστρεψεν εἰς Ἀντιόχειαν.
4 Ἐπελθὼν δὲ ὁ Σαβῖνος ἀφορμὴν αὐτοῖς παρέσχε νεωτεροποιΐας· τούς τε γὰρ φρουροὺς παραδιδόναι τὰς ἄκρας ἐβιά-
5 ζετο, καὶ πικρῶς τὰ βασίλεια χρήματα διηρεύνα, πεποιθὼς οὐ μόνον τοῖς ὑπὸ Οὐάρου καταλειφθεῖσι στρατιώταις, ἀλλὰ καὶ πλήθει δούλων ἰδίων, οὓς ἅπαντας ὁπλίσας, ὑπηρέταις ἐχρῆτο
6 τῆς πλεονεξίας. Ἐνστάσης δὲ Πεντηκοστῆς — οὕτω καλοῦσι τινὰ ἑορτὴν Ἰουδαῖοι παρ' ἑπτὰ γινομένην ἑβδομάδας, κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν προσηγορίαν ἔχουσαν — οὐχ ἡ συν-
7 ήθης θρησκεία συνήγαγε τὸν δῆμον, ἀλλὰ ἀγανάκτησις. Συνεδραμε γοῦν πλῆθος ἄπειρον ἐκ τε τῆς Γαλιλαίας καὶ Ἰδουμαίας, Ἱεριχοῦντός τε καὶ τῆς ὑπὲρ Ἰορδάνην Περαίας.
8 Ὑπερεῖχε δὲ πλήθει καὶ προθυμίαις ἀνδρῶν ὁ γνήσιος ἐξ αὐ-
9 τῆς Ἰουδαίας λαός. Διανείμαντες δὲ σφᾶς ἑαυτοὺς εἰς τρία μέρη, τριχῇ στρατοπεδεύονται, πρός τε τῷ βορείῳ τοῦ ἱεροῦ κλίματι, καὶ πρὸς τῷ μεσημβρινῷ κατὰ τὸν Ἱππόδρομον, ἡ δὲ τρίτη μοῖρα πρὸς τοῖς βασιλείοις κατὰ δύσιν. Περικαθεζόμενοι δὲ πάντοθεν τοὺς Ῥωμαίους ἐπολιόρκουν.

χρήζειν post προσώπων P. 1 νόσῳ νοσήσασα P. νόσον ex rec. insert. L. 2 γὰρ μετὰ P. 3 ἓν τῶν P. ἀπὸ Συρίας τριῶν tr. T. ἄγων ἦκεν P. 4 Ἐπελθὼν δὲ Σαβ. E. βασιλικὰ χρήμ. P. 6 τῆς Πεντηκ. L.N.T. καὶ τὸν ἀριθμὸν L.M.N.T. ἡ ἀγανάκτησις P. et ex rec. cor. L. 7 πλῆθος ἄπειρον hic incipit Cod. R. 8 πλήθει τε καὶ E. 9 σφᾶς αὐτοὺς sed ex ras. T.

2. Ὁ δὲ Σαβῖνος πρός τε τὸ πλῆθος αὐτῶν ὑποδείσας καὶ τὰ φρονήματα, συνεχεῖς μὲν ἀγγέλους ἔπεμπε παρὰ Οὔαρον, ἐπαμύνειν ἐν τάχει δεόμενος, ὡς εἰ βραδύνοι, κατακοπησομένου τοῦ τάγματος. Αὐτὸς δὲ ἐπὶ τὸν ὑψηλότατον τοῦ φρουρίου πύργον ἀναβὰς, ὃς ἐκαλεῖτο Φασάηλος, ἐπώνυμον ἔχων ἀδελφὸν Ἡρώδου διαφθαρέντα ὑπὸ Πάρθων, ἐντεῦθεν κατέσειε τοῖς ἐν τῷ τάγματι στρατιώταις, ἐπιχειρεῖν τοῖς πολεμίοις· δι' ἔκπληξιν γὰρ οὐδὲ εἰς τοὺς σφετέρους καταβαίνειν ἐθάρρει. Παραπεισθέντες δὲ οἱ στρατιῶται προπηδῶσιν εἰς τὸ ἱερὸν, καὶ μάχην καρτερὰν τοῖς Ἰουδαίοις συνάπτουσιν, ἐν ᾗ, μέχρι μὲν οὐδεὶς καθύπερθεν ἐπήμυνε, περιῆσαν ἐμπειρίᾳ πολέμου τῶν ἀπείρων. Ἐπεὶ δὲ πολλοὶ Ἰουδαίων ἀναβάντες ἐπὶ τὰς στοὰς, κατὰ κεφαλῆς αὐτῶν ἠφίεσαν τὰ βέλη, συνετρίβοντο πολλοὶ, καὶ οὔτε τοὺς ἄνωθεν βάλλοντας ἀμύνασθαι ῥᾴδιον ἦν, οὔτε τοὺς συστάδην μαχομένους ὑπομένειν.

3. Καταπονούμενοι δὲ πρὸς ἀμφοτέρων ὑπεμπιπρᾶσι τὰς στοὰς, ἔργα θαυμάσια μεγέθους τε καὶ πολυτελείας ἕνεκεν. Οἱ δὲ ἐπ' αὐτῶν ὑπὸ τῆς φλογὸς ἐξαίφνης περισχεθέντες, πολλοὶ μὲν ἐν αὐτῇ διεφθείροντο, πολλοὶ δὲ ὑπὸ τῶν πολεμίων πηδῶντες εἰς αὐτοὺς, τινὲς δ' εἰς τὸ ὀπίσω κατὰ τοῦ τείχους κατεκρημνίζοντο, ἔνιοι δ' ὑπ' ἀμηχανίας τοῖς ἰδίοις ξίφεσι τὸ πῦρ ἔφθανον. Ὅσοι δὲ καθερπύσαντες ἀπὸ τῶν τειχῶν ἦξαν εἰς τοὺς Ῥωμαίους, εὐμεταχείριστοι διὰ τὴν ἔκπληξιν ἦσαν, μέχρι, τῶν μὲν ἀπολωλότων, τῶν δ' ὑπὸ τοῦ δέους σκεδασθέντων, ἐρήμῳ τῷ τοῦ θεοῦ θησαυρῷ προσπεσόντες οἱ στρατιῶται περὶ τετρακόσια τάλαντα διήρπασαν· ὧν ὅσα μὴ διεκλάπη, Σαβῖνος ἤθροισεν.

4. Ἰουδαίους δὲ ἥ τε τῶν ἔργων καὶ ἡ τῶν ἀνδρῶν φθορὰ πολὺ πλείους καὶ μαχιμωτέρους ἐπισυνέστησε Ῥωμαίοις.

10 εἰ βραδύνη P. 12 οὐδεὶς εἰς τοὺς P. Παροπλισθέντες δὲ οἱ στρατ. P. εἰς τὸ ἱερὸν, ἐν ᾗ μέχρι desunt quæ interjacent M. περιῆσαν N. πολεμούντων ἀπείρων M.N.T. 13 ἀμύνεσθαι L.N.T. ῥᾴδιον ἦν ἀμύνασθαι tr. R. 14 Καταπον. μὲν P. ὑποπιμπρᾶσι P. 15 αὐτῇ διεφθάρησαν P. ὑπαμηχάνοις T. 16 pro μέχρι habet καὶ P. περὶ γ̄ τάλαντα P. 17 Ἰουδαίους δὴ ἥ τε N.T.E.

18 Καὶ περισχόντες τὰ βασίλεια ἅπαντας ἠπείλουν διαφθείρειν, εἰ μὴ θᾶττον ἀπίοιεν· ὑπισχνοῦντο γὰρ ἄδειαν τῷ Σαβίνῳ 19 βουλομένῳ μετὰ τοῦ τάγματος ἐξιέναι. Συνελάμβανον δὲ 20 αὐτοὺς οἱ πλεῖστοι τῶν βασιλικῶν αὐτομολήσαντες. Τὸ μέντοι πολεμικώτατον μέρος Σεβαστηνοὶ τρισχίλιοι, Ῥοῦφός τε καὶ Γρᾶτος ἐπὶ τούτοις, ὁ μὲν τοὺς πεζοὺς τῶν βασιλικῶν ἔχων ὑφ' ἑαυτόν, Ῥοῦφος δὲ τοὺς ἱππεῖς· ὧν ἑκάτερος καὶ χωρὶς ὑπηκόου δυνάμεως δι' ἀλκὴν καὶ σύνεσιν, τὴν πολέ- 21 μου ῥοπὴν, προσέθεντο Ῥωμαίοις. Ἰουδαῖοι μὲν οὖν ἐνέκειντο τῇ πολιορκίᾳ, τῶν τειχῶν ἅμα πειρώμενοι τοῦ φρουρίου, καὶ τοῖς περὶ τὸν Σαβῖνον ἐμβοῶντες ἀπιέναι, μηδ' ἐμποδὼν αὐτοῖς γίνεσθαι, διὰ χρόνου πολλοῦ κομιζομένοις τὴν 22 πάτριον αὐτονομίαν. Σαβίνῳ δὲ ἀγαπητὸν μὲν ἦν ὑπεξελθεῖν, ἠπίστει δὲ ταῖς ὑποσχέσεσι, καὶ τὸ πρᾶον αὐτῶν δέλεαρ εἰς ἐνέδραν ὑπώπτευεν, ἅμα δὲ καὶ τὴν ἐξ Οὐάρου βοήθειαν ἐλπίζων, διέφερε τὴν πολιορκίαν.

CAP. IV.

1 1. Ἐν δὲ τούτῳ καὶ τὰ κατὰ τὴν χώραν πολλαχόθεν Antt. 17.
2 ἐταράσσετο, καὶ συχνοὺς βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε. Κατὰ 10. 4. μέν γε τὴν Ἰδουμαίαν δισχίλιοι τῶν ὑφ' Ἡρώδῃ πάλαι στρατευσαμένων συστάντες ἔνοπλοι, διεμάχοντο τοῖς βασιλικοῖς, οἷς Ἀχίαβος, ὁ ἀνεψιὸς βασιλέως, ἀπὸ τῶν ἐρυμνοτάτων χωρίων ἐπολέμει, ἀποφεύγων τὴν ἐν τοῖς πεδίοις συμ- 3 πλοκήν. Ἐν δὲ Σεπφώρει τῆς Γαλιλαίας Ἰούδας υἱὸς Ἐζεκίου, τοῦ κατατρέχοντός ποτε τὴν χώραν ἀρχιλῃστοῦ, καὶ χειρωθέντος ὑφ' Ἡρώδου τοῦ βασιλέως, συστήσας πλῆθος

18 πάντας P. βουλομένῳ deest P. 19 Συνελ. δὲ αὐτοῖς E. οἱ πλείους τῶν P. 20 ὑπ' αὐτὸν ἔχων P. ἡ πολέμου ῥοπὴν L.N.P.R.T. καὶ τὴν πολέμου ῥοπὴν M. ἡ πολέμου ῥοπὴ E. ῥοπὴν ἄξιος ἦν προσ. N. R.E. 21 τῶν τειχέων L.M.N.R.T.E. ἐκβοῶντες T. ἔμποδον N. γένεσθαι P. πάτριον deest P. 22 τὴν ἀπὸ Οὐάρου P. διέτριβεν τὴν P. 1 συχνοὺς βασιλεῖς ὁ N.T συχνοὺς βασιλεύειν ὁ L. man. rec. P. et T. in marg. 2 Κατά γε μὴν P. γε rec. man. T. ὑφ' Ἡρώδου L.M.N.T.E. Ἀχίαβος ἀνεψιὸς P. ὁ τοῦ βασιλέως ἀνεψιὸς T. ὑποφεύγων P. 3 Σεμφώρει M. Ἐζεκία P.

οὐκ ὀλίγον ἀναρρήγνυσι τὰς βασιλικὰς ὁπλοθήκας, καὶ τοὺς περὶ αὐτὸν ὁπλίσας τοῖς τὴν δυναστείαν ζηλοῦσιν ἐπιχειρεῖ.

2. Κατὰ δὲ τὴν Περαίαν Σίμων τις τῶν βασιλικῶν δού- 4
λων εὐμορφίᾳ σώματος καὶ μέγεθει πεποιθὼς περιτίθησι μὲν ἑαυτῷ καὶ διάδημα· περιϊὼν δὲ μεθ' ὧν ἤθροισε λῃστῶν τά τε ἐν Ἰεριχοῖ βασίλεια καταπίμπρησι, καὶ πολλὰς ἑτέρας τῶν πολυτελῶν ἐπαύλεις, ἁρπαγὰς ῥᾳδίους ἐκ τοῦ πυρὸς ποριζόμενος ἑαυτῷ. Καὶ ἂν ἔφθη πᾶσαν οἴκησιν εὐπρεπῆ κατα- 5
φλέξας, εἰ μὴ Γρᾶτος, ὁ τῶν βασιλικῶν πεζῶν ἡγεμών, τούς τε Τραχωνίτας τοξότας καὶ τὸ μαχιμώτατον τῶν Σεβαστηνῶν ἀναλαβών, ὑπηντίασε τὸν ἄνδρα. Τῶν μὲν οὖν πεζῶν 6
συχνοὶ διεφθάρησαν ἐν τῇ μάχῃ· τὸν Σίμωνα δὲ αὐτὸν, ἀναφεύγοντα δι' ὀρθίου φάραγγος, ὁ Γρᾶτος ὑποτέμνεται, καὶ φεύγοντος ἐκ πλαγίου τὸν αὐχένα πλήξας ἀπέρραξε. Κατε- 7
φλέγη δὲ καὶ τὰ πλησίον Ἰορδάνου βασίλεια κατὰ Βηθαράμαθον, στασιασάντων ἑτέρων τινῶν ἐκ τῆς Περαίας.

3. Τότε καὶ ποιμήν τις ἀντιποιήσασθαι βασιλείας ἐτόλ- 8
μησεν, Ἀθρογγαῖος ἐκαλεῖτο. Προεξένει δὲ αὐτῷ τὴν ἐλπίδα σώματος ἰσχὺς, καὶ ψυχὴ θανάτου καταφρονοῦσα, πρὸς δὲ τούτοις ἀδελφοὶ τέσσαρες ὅμοιοι. Τούτων ἑκάστῳ λόχον 9
ὑποζεύξας ἔνοπλον, ὥσπερ στρατηγοῖς ἐχρῆτο καὶ σατράπαις ἐπὶ τὰς καταδρομάς· αὐτὸς δὲ, καθάπερ βασιλεὺς, τῶν σεμνοτέρων ἥπτετο πραγμάτων. Τότε μὲν οὖν ἑαυτῷ περι- 10
τίθησι διάδημα, διέμεινε δὲ ὕστερον οὐκ ὀλίγῳ χρόνῳ τὴν χώραν κατατρέχων σὺν τοῖς ἀδελφοῖς· καὶ τὸ κτείνειν αὐτοῖς 11
προηγούμενον μὲν ἦν Ῥωμαίους τε καὶ τοὺς βασιλικούς· διέφευγε δ' οὔτε Ἰουδαίων εἴ τις εἰς χεῖρας ἔλθοι φέρων κέρδος. Ἐτόλμησε δέ ποτε Ῥωμαίων λόχον ἄθρουν περισχεῖν κατ' 12

ἐπεχείρει P.T.E. 4 ἑαυτῷ διάδημα P. ὧν συνήθροισε P. ῥαδίως P. et ex cor. rec. L. αὐτῷ ποριζόμενος P. 5 ἐκπρεπῆ N.T. τούς τε τραχαιώτας L. τοὺς τετραρχαιώτας M.N.T. τούς τε ταριχαιώτας P. ὑπαντιάζει P. 6 παίδων συχνοὶ P. πεζῶν πολλοὶ M.R. ἀπέρρηξεν P. 7 Βηθαραμάθου M.N.T. Βαιθαράμεθθα rec. man. R. Βηθαράμιν ἔνθα συστάντων P. 8 ἀντιποιηθῆναι P. ἀθρόον, Γαῖος L.M.N.P.R.T. 10 οὐκ ὀλίγῳ χρόνῳ P. 11 προηγ. ἦν P. διέφευγε δ' οὐδὲ P.

Ἐμμαοῦντα· σῖτα δὲ οὗτοι καὶ ὅπλα διεκόμιζον τῷ τάγματι.
13 Τὸν μὲν οὖν ἑκατοντάρχην αὐτῶν Ἄρειον, καὶ τεσσαράκοντα
τοὺς γενναιοτάτους κατηκόντισαν. Οἱ δὲ λοιποὶ κινδυνεύ-
οντες τὸ αὐτὸ παθεῖν, Γράτου σὺν τοῖς Σεβαστηνοῖς ἐπιβοη-
14 θήσαντος, ἐξέφυγον. Πολλὰ τοιαῦτα τοὺς ἐπιχωρίους καὶ
τοὺς ἀλλοφύλους παρ' ὅλον τὸν πόλεμον ἐργασάμενοι, μετὰ
χρόνον οἱ μὲν τρεῖς ἐχειρώθησαν, ὑπ' Ἀρχελάου μὲν ὁ πρεσ-
βύτατος, οἱ δὲ ἑξῆς δύο Γράτῳ καὶ Πτολεμαίῳ περιπεσόντες·
15 ὁ δὲ τέταρτος Ἀρχελάῳ προσεχώρησε κατὰ δεξιάν. Τοῦτο
μὲν δὴ τὸ τέλος αὐτοὺς ὕστερον ἐξεδέχετο· τότε δὲ λῃστρι-
κοῦ πολέμου τὴν Ἰουδαίαν πᾶσαν ἐνέπλησαν.

CAP. V.

1 1. Οὐάρῳ δὲ δεξαμένῳ τὰ παρὰ Σαβίνου καὶ τῶν ἡγεμό- Antt. 17.
νων γράμματα, δεῖσαί τε περὶ τοῦ τάγματος ὅλου παρέστη, 10. 9.
2 καὶ σπεύδειν ἐπὶ τὴν βοήθειαν. Ἀναλαβὼν δὴ τὰ λοιπὰ δύο
τάγματα, καὶ τὰς σὺν αὐτοῖς τέσσαρας ἴλας ἱππέων, ἐπὶ
Πτολεμαΐδος ἦει, προστάξας ἐκεῖ καὶ τοὺς παρὰ τῶν βασι-
3 λέων καὶ δυναστῶν ἐπικούρους συνελθεῖν. Προσέλαβε δὲ καὶ
παρὰ Βηρυτίων, διερχόμενος τὴν πόλιν, χιλίους καὶ πεντα-
4 κοσίους ὁπλίτας. Ἐπεὶ δὲ εἰς τὴν Πτολεμαΐδα τό τε ἄλλο
συμμαχικὸν πλῆθος αὐτῷ παρῆν, καὶ κατὰ τὸ πρὸς Ἡρώδην
ἔχθος Ἀρέτας ὁ Ἄραψ οὐκ ὀλίγην ἄγων δύναμιν ἱππικήν τε
καὶ πεζικήν, μέρος τε τῆς στρατιᾶς εὐθέως ἔπεμπεν εἰς τὴν
Γαλιλαίαν γειτνιῶσαν τῇ Πτολεμαΐδι, καὶ Γάϊον ἡγεμόνα
5 τῶν αὐτοῦ φίλων· ὃς τούς τε ὑπαντιάσαντας τρέπεται, καὶ
Σέπφωριν πόλιν ἑλὼν, αὐτὴν μὲν ἐμπίπρησι, τοὺς δὲ ἐνοι-
6 κοῦντας ἀνδραποδίζεται. Μετὰ δὲ τῆς ὅλης δυνάμεως αὐτὸς
Οὔαρος εἰς Σαμάρειαν ἐλάσας, τῆς μὲν πόλεως ἀπέσχετο,

12 Ἀμμαοῦντα L.N.R.T. Ἀμαοῦντα M. 13 αὐτῶν ὡρίωνα P. οὐ-
ρῖνα L. in marg. τεσσαράκοντα γενναιοτάτους M. 15 ὕστερὸν αὐ-
τοὺς L.P. ἐνεπίμπλασαν P. 2 Ἀναλ. δὲ τὰ L.N.R.T.E. ἀναλ. δὲ
καὶ τὰ M. τέσσαρας εἴλας M. 4 καὶ τὸ κατὰ τὸ P. μέρος τῆς L.
P.E. τὸν αὐτοῦ φίλον P. 6 πόλεως περιέσχετο M.N. πόλεως περι-
έσχε τὸ T.

μηδὲν ἐν τοῖς τῶν ἄλλων θορύβοις παρακεκινηκυῖαν εὑρών· αὐλίζεται δὲ περί τινα κώμην, Ἀροῦν καλουμένην. Κτῆμα 7
δὲ ἦν Πτολεμαίου, καὶ διὰ τοῦτο ὑπὸ τῶν Ἀράβων διηρπάσθη, μηνιώντων καὶ τοῖς Ἡρώδου φίλοις. Ἔνθεν εἰς 8
Σαμφὼ πρόεισι κώμην ἑτέραν ἐρυμνὴν, ἣν ὁμοίως διήρπασαν, τάς τε προσόδους πάσας, ὅσαις ἐπετύγχανον. Πυρὸς δὲ καὶ φόνου ἐπεπλήρωτο πάντα, καὶ πρὸς τὰς ἁρπαγὰς τῶν Ἀράβων οὐδὲν ἀντεῖχε. Κατεφλέγη δὲ καὶ Ἐμμαοῦς, φυγόν- 9
των τῶν οἰκητόρων, Οὐάρου δι' ὀργὴν τῶν περὶ Ἄρειον ἀποσφαγέντων κελεύσαντος.

2. Ἔνθεν εἰς Ἱεροσόλυμα προελθὼν, ὀφθείς τε μόνον 10
μετὰ τῆς δυνάμεως, τὰ στρατόπεδα τῶν Ἰουδαίων διεσκέδασε. Καὶ οἱ μὲν ᾤχοντο φυγόντες ἀνὰ τὴν χώραν· δεξάμενοι δὲ 11
αὐτὸν οἱ κατὰ τὴν πόλιν, ἀπεσκευάζοντο τὰς αἰτίας τῆς ἀποστάσεως, αὐτοὶ μὲν μηδὲν παρακινῆσαι λέγοντες, διὰ δὲ τὴν ἑορτὴν ἀναγκαίως δεξάμενοι τὸ πλῆθος, συμπολιορκηθῆναι μᾶλλον Ῥωμαίοις, ἢ συμπολεμῆσαι τοῖς ἀποστᾶσι. Προϋπηντήκεσαν δὲ αὐτῷ Ἰώσηπός τε ὁ ἀνεψιὸς Ἀρχελάου, 12
καὶ σὺν Ῥούφῳ Γρᾶτος, ἄγοντες ἅμα τῷ βασιλικῷ στρατῷ καὶ τοὺς Σεβαστηνούς, οἵ τε ἀπὸ τοῦ Ῥωμαϊκοῦ τάγματος τὸν συνήθη τρόπον κεκοσμημένοι. Σαβῖνος γὰρ οὐδ' εἰς 13
ὄψιν ὑπομείνας ἐλθεῖν Οὐάρῳ, προεξῆλθε τῆς πόλεως ἐπὶ θάλασσαν. Οὔαρος δὲ μοῖραν τῆς στρατιᾶς ἐπὶ τοὺς αἰτίους 14
τοῦ κινήματος ἔπεμπε περὶ τὴν χώραν· καὶ πολλῶν ἀγομένων, τοὺς μὲν ἧττον θορυβώδεις φανέντας ἐφρούρει, τοὺς δ' αἰτιωτάτους ἀνεσταύρωσε περὶ δισχιλίους.

3. Ἠγγέλη δὲ αὐτῷ περὶ τὴν Ἰδουμαίαν ἔτι συμμένειν 15
μυρίους ὁπλίτας. Ὁ δὲ τοὺς μὲν Ἄραβας εὑρὼν οὐ συμμά-

ἐπί τινα κώμ. P. 7 μηνιόντων P.R. 8 Σαπφὼ L.M.N.P.R.T. ἐπετύγχανε T. πεπλήρωτο L.N.P.R.T. 9 Ἀμμαοῦς L.M.N.P.R.T. 11 καὶ οἱ μὲν ᾤχοντο desunt L.N.T. φυγόντα L.N.T. καὶ φυγόντα M. οὐδὲν παρακι. P. 12 Προϋπηντήκεισαν P. Ἰώσηπος ὁ P. σὺν Γράτῳ Ρούφος P. Γρᾶτος ἔχοντες sed in marg. ἄγοντες T. 13 Σαβῖνος μὲν γὰρ P. 14 κατὰ μοῖραν P. ἔπεμψεν ἐπὶ τὴν P. θορυβόδεις P. 15 αὐτῷ κατὰ τὴν P.

χων ἦθος ἔχοντας, ἀλλ' ἰδίῳ πάθει στρατευομένους, καὶ πέρα τῆς αὐτοῦ προαιρέσεως τὴν χώραν κακοῦντας ἔχθει τῷ πρὸς
16 Ἡρῴδην, ἀποπέμπεται· μετὰ δὲ τῶν ἰδίων ταγμάτων ἐπὶ τοὺς ἀφεστῶτας ἠπείγετο. Καὶ ἐκεῖνοι πρὶν εἰς χεῖρας ἐλθεῖν, Ἀχιάβου συμβουλεύσαντος, σφᾶς αὐτοὺς παρέδοσαν.
17 Οὔαρος δὲ τῷ πλήθει μὲν ἠφίει τὰς αἰτίας, τοὺς δὲ ἡγεμόνας
18 ἐξετασθησομένους ἔπεμψεν ἐπὶ Καίσαρα. Καῖσαρ δὲ τοῖς μὲν ἄλλοις συνέγνω, τινὰς δὲ τῶν τοῦ βασιλέως συγγενῶν — ἦσαν γὰρ σὺν αὐτοῖς ἔνιοι προσήκοντες Ἡρῴδῃ κατὰ γένος — κολάσαι προσέταξεν, ὅτι κατ' οἰκείου βασιλέως ἐστρατεύ-
19 σαντο. Οὔαρος μὲν οὖν τοῦτον τὸν τρόπον καταστησάμενος τὰ ἐν Ἱεροσολύμοις, καὶ φρουρὰν καταλιπὼν τὸ καὶ πρότερον τάγμα, εἰς Ἀντιόχειαν ἐπάνεισιν.

CAP. VI.

1 1. Ἀρχελάῳ δ' ἐπὶ Ῥώμης πάλιν ἄλλη συνίστατο δίκη Antt. 17. πρὸς Ἰουδαίους, οἳ πρὸ τῆς ἀποστάσεως, ἐπιτρέψαντος 11. 1. Οὐάρου, πρέσβεις ἐξεληλύθεισαν περὶ τῆς τοῦ ἔθνους αὐτονο-
2 μίας· ἦσαν δὲ πεντήκοντα μὲν οἱ παρόντες, συμπαρίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους.
3 Ἀθροίσαντος δὲ Καίσαρος συνέδριον τῶν ἐν τέλει Ῥωμαίων καὶ τῶν φίλων ἐν τῷ κατὰ τὸ Παλάτιον Ἀπόλλωνος ἱερῷ, κτίσμα δ' ἦν ἴδιον αὐτοῦ θαυμασίῳ πολυτελείᾳ κεκοσμημένον, μετὰ μὲν τῶν πρεσβευτῶν τὸ Ἰουδαϊκὸν πλῆθος ἔστη, σὺν δὲ
4 τοῖς φίλοις ἄντικρυς Ἀρχέλαος. Τῶν δὲ τούτου συγγενῶν οἱ φίλοι παρ' οὐδετέροις, συμπαρίστασθαι μὲν Ἀρχελάῳ διὰ μῖσος καὶ φθόνον οὐχ ὑπομένοντες, ὀφθῆναι δὲ μετὰ τῶν
5 κατηγόρων ὑπὸ Καίσαρος αἰδούμενοι. Ἐπὶ τούτοις παρῆν καὶ Φίλιππος ὁ ἀδελφὸς Ἀρχελάου, προπεμφθεὶς κατ' εὔνοιαν ὑπὸ Οὐάρου, δυοῖν ἕνεκα, Ἀρχελάῳ τε συναγωνίσασθαι,

τῆς ἑαυτοῦ P. 17 ἔπεμπεν P. 1 συνίστατο sic R. 3 Ἀπολλ. ἱερὸν P. ἀντικρὺ P.R. 4 μὲν γὰρ Ἀρχ. L.N.E. 5 Ἐπὶ deest P. δυεῖν L.N.T.

καὶ ἐὰν διανέμῃ τὸν Ἡρώδου Καῖσαρ οἶκον πᾶσι τοῖς ἐκγόνοις, κλήρου τινὸς ἀξιωθῆναι.

2. Ἐπιτραπὲν δὲ λέγειν τοῖς κατηγόροις τὰς Ἡρώδου 6
παρανομίας πρῶτον διεξῆεσαν, ‘οὐ βασιλέα, λέγοντες, ἀλλὰ τῶν πώποτε τυραννησάντων ὠμότατον ἐνηνοχέναι τύραννον. Πλείστων γοῦν ἀνῃρημένων ὑπ’ αὐτοῦ, τοιαῦτα πεπονθέναι 7
τοὺς καταλειφθέντας, ὥστε μακαρίζεσθαι τοὺς ἀπολωλότας· βεβασανικέναι γὰρ οὐ μόνον τὰ σώματα τῶν ὑποτεταγμέ- 8
νων, ἀλλὰ καὶ τὰς πόλεις· τὰς μὲν γὰρ ἰδίας λελωβῆσθαι, τὰς δὲ τῶν ἀλλοφύλων κεκοσμηκέναι, καὶ τὸ τῆς Ἰουδαίας αἷμα κεχαρίσθαι τοῖς ἔξωθεν δήμοις. Ἀντὶ δὲ τῆς παλαιᾶς 9
εὐδαιμονίας καὶ τῶν πατρίων νόμων πενίας τὸ ἔθνος καὶ παρανομίας ἐσχάτης πεπληρωκέναι· καθόλου τε πλείους ὑπομεμε- 10
νηκέναι τὰς ἐξ Ἡρώδου συμφορὰς ἐν ὀλίγοις ἔτεσιν Ἰουδαίους, ὧν ἐν ἅπαντι τῷ χρόνῳ μετὰ τὴν ἐκ Βαβυλῶνος ἀναχώρησιν ἔπαθον οἱ πρόγονοι Ξέρξου βασιλεύοντος ἐπαναστραφέντες. Εἰς τοῦτο μέντοι ταπεινότητος καὶ τοῦ δυστυχεῖν 11
ἔθους προελθεῖν, ὥστε ὑπομεῖναι τῆς πικρᾶς δουλείας καὶ διαδοχὴν αὐθαίρετον. Ἀρχέλαον γοῦν, τὸν τηλικούτου τυ- 12
ράννου παῖδα, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν βασιλέα τε προσειπεῖν ἑτοίμως, καὶ συμπενθῆσαι τὸν Ἡρώδου θάνατον αὐτῷ, καὶ συνεύξασθαι περὶ τῆς διαδοχῆς· τὸν δὲ, ὥσπερ 13
ἀγωνιάσαντα, μὴ νόθος υἱὸς δόξειεν Ἡρώδου, προοιμιάσασθαι τὴν βασιλείαν τρισχιλίων πολιτῶν φόνῳ, καὶ τοσαῦτα μὲν παρεστακέναι θύματα περὶ τῆς ἀρχῆς τῷ θεῷ, τοσούτοις δὲ ἐμπεπληκέναι νεκροῖς τὸ ἱερὸν ἐν ἑορτῇ. Τοὺς μέντοι περι- 14
λειφθέντας ἐκ τοσούτων κακῶν εἰκότως ἐπεστράφθαι ἤδη ποτὲ πρὸς τὰς συμφορὰς, καὶ πολέμου νόμῳ ἐθέλειν τὰς πληγὰς κατὰ προσώπου δέχεσθαι, δεῖσθαι δὲ Ῥωμαίων ἐλε-

τοῖς ἐγγόνοις P. 6 Ἐπιτραπέντα δὲ P. διεξιέσαν N. πώποτε τυραννηθέντων N. 10 ἐν παντὶ P. ἅπαντι χρόνῳ R. βασιλ. ἀπαναστάντες P. 11 Εἰς τοσοῦτον P. ταπειν. ἐκ τοῦ R.E. δυστυχεῖν ἔθνους M. 13 υἱὸς εἶναι δόξ. P. ἐν ἑορτῇ τὸ ἱερὸν tr. T. 14 ἐκ τῶν τοσούτων E. ἐπεστρέφθαι N. τὰς πληγὰς ἐθέλειν tr. P. ἐλεῆσαι τά τε L.M.N.P.R.T.

15 ἦσαί τε τὰ τῆς Ἰουδαίας λείψανα, καὶ μὴ τὸ περισσὸν αὐτῆς
ἀπορρίψαι τοῖς ὠμῶς σπαράσσουσι, συνάψαντας δὲ τῇ Συρίᾳ
16 τὴν χώραν αὐτῶν διοικεῖν ὑπὸ ἰδίοις ἡγεμόσιν· ἐπιδείξεσθαι
γὰρ, ὡς οἱ νῦν στασιώδεις διαβαλλόμενοι καὶ πολεμικοὶ, φέ-
ρειν οἴδασι μετρίους ἡγεμόνας.' Ἰουδαῖοι μὲν οὖν ἐκ τῆς
17 κατηγορίας κατέληξαν εἰς τοιαύτην ἀξίωσιν. Ἀναστὰς δὲ
Νικόλαος ἀπεδύσατο μὲν τὰς εἰς τοὺς βασιλεῖς αἰτίας, κατη-
γόρει δὲ τοῦ ἔθνους τό τε δύσαρκτον καὶ τὸ δυσπειθὲς φύσει
18 πρὸς τοὺς βασιλεῖς· συνδιέβαλλε δὲ καὶ τοὺς Ἀρχελάου συγ-
γενεῖς, ὅσοι πρὸς τοὺς κατηγόρους ἀφειστήκεισαν.

19 3. Τότε μὲν οὖν Καῖσαρ ἀκούσας ἑκατέρων διέλυσε τὸ
συνέδριον· μετὰ δὲ ἡμέρας ὀλίγας, τὸ μὲν ἥμισυ τῆς βασι-
λείας Ἀρχελάῳ δίδωσιν, ἐθνάρχην προσειπὼν, ὑποσχόμενός
20 τε καὶ βασιλέα ποιήσειν, ἐὰν ἄξιον ἑαυτὸν παράσχῃ, τὸ δὲ
λοιπὸν ἥμισυ διελὼν εἰς δύο τετραρχίας, δυσὶν ἑτέροις παισὶν
Ἡρώδου δίδωσι, τὴν μὲν Φιλίππῳ, τὴν δὲ Ἀντίπᾳ τῷ πρὸς
21 Ἀρχέλαον ἀμφισβητοῦντι περὶ τῆς βασιλείας. Ἐγένετο
δὲ ὑπὸ τούτῳ μὲν ἥ τε Περαία καὶ Γαλιλαία, πρόσοδος δια-
κοσίων ταλάντων· Βαταναία τε καὶ Τράχων, Αὐρανίτις τε
καὶ μέρη τινὰ τοῦ Ζήνωνος οἴκου τὰ περὶ Ἰάμνιαν, πρόσοδον
22 ἔχοντα ταλάντων ἑκατὸν, ὑπὸ Φιλίππῳ ἐτέτακτο. Τῆς
Ἀρχελάου δ' ἐθναρχίας Ἰδουμαία τε καὶ Ἰουδαία πᾶσα, καὶ
Σαμαρεῖτις ἦν, κεκουφισμένη τετάρτῳ μέρει τῶν φόρων εἰς
23 τιμὴν τοῦ μὴ μετὰ τῶν ἄλλων ἀποστῆναι. Πόλεις δὲ ὑπη-
κόους παρέλαβε Στράτωνός τε πύργον καὶ Σεβαστὴν καὶ

15 ὑπορρίψαι L.M.N.P. ὠμῶς πράσσουσι M.N.T. ἐπ' ἰδίοις P. 16 ἐπιδειξ. δὲ T. ἐπιδείξασθαι γὰρ R. εἰς τὴν τοιαύ. R.E. 17 καὶ δυσπειθὲς R.E. τοὺς βασιλέας L.M.N.R.T.E. 18 συνδιέβαλε M. ἀφειστήκεσαν N.T. ἀφεστήκεσαν P. ἀφεστήκεσαν R. 19 ὀλίγας ἡμέρας E. ἥμισυ μέρος τῆς M.R.E. ὑποσχόμενον δὲ P. δὲ etiam R. sed rec. man. εἰ ἄξιον P. 20 Ἡρώδου παισὶ R. τῷ Ἀντίπᾳ τῷ ex cor. antea fuit Ἀντιπάτρῳ N. Ἀντιπάτρῳ, sed in marg. Ἀντίπᾳ T. Ἀντίπᾳ πρὸς P. 21 ἡ Περαία P. προσόδους δ. L. ἑ τάλαντα· βαταναία P. Ἰάμνειαν ex cor. N. Ἰννάνω P. τέτακτο M.N.R.T. ἐτέτακτο rec. man. L. 22 Σαμαρίτις M. 23 Στράτωνος πύργον P. Σεβαστὴν καὶ Ἵππον καὶ Ἱερ. M.

Ἰόππην καὶ Ἱεροσόλυμα· τὰς γὰρ Ἑλληνίδας Γάζαν καὶ Γάδαρα καὶ Ἵππον, ἀποτεμόμενος τῆς βασιλείας, προσέθηκε Συρίᾳ. Πρόσοδος δὲ ἦν τῆς Ἀρχελάῳ δοθείσης χώρας τε- 24
τρακοσίων ταλάντων. Σαλώμη δὲ, πρὸς οἷς ὁ βασιλεὺς ἐν ταῖς διαθήκαις κατέλιπεν, Ἰαμνίας τε καὶ Ἀζώτου καὶ Φασαηλίδος ἀποδείκνυται δεσπότις· χαρίζεται δὲ αὐτῇ Καῖσαρ 25
καὶ τὰ ἐν Ἀσκάλωνι βασίλεια. Συνήγετο δὲ ἐκ πάντων ἑξήκοντα προσόδου τάλαντα· τὸν δὲ οἶκον αὐτῆς ὑπὸ τὴν Ἀρχελάου τοπαρχίαν ἔταξε. Τῆς δὲ ἄλλης Ἡρώδου γενεᾶς 26
ἕκαστος τὸ καταλειφθὲν ἐν ταῖς διαθήκαις ἐκομίζετο. Δυσὶ 27
δὲ αὐτοῦ θυγατράσι παρθένοις Καῖσαρ ἔξωθεν χαρίζεται πεντήκοντα μυριάδας ἀργυρίου, καὶ συνῴκισεν αὐτὰς τοῖς Φερώρα παισί. Μετὰ δὲ τὸν οἶκον ἐπιδιένειμεν αὐτοῖς τὴν 28
αὐτῷ καταλειφθεῖσαν ὑφ' Ἡρώδου δωρεὰν, οὖσαν χιλίων ταλάντων, εὐτελῆ τινα τῶν κειμηλίων εἰς τὴν τοῦ κατοιχομένου τιμὴν ἐξελόμενος.

CAP. VII.

Antt. 17. 12. 1.

1. Καὶ ἐν τούτῳ νεανίας τις, Ἰουδαῖος μὲν τὸ γένος, τρα- 1
φεὶς δ' ἐν Σιδῶνι παρά τινι τῶν Ῥωμαϊκῶν ἀπελευθέρων, δι' ὁμοιότητα μορφῆς ψευδόμενος ἑαυτὸν Ἀλέξανδρον τὸν ἀναιρεθέντα ὑφ' Ἡρώδου, κατ' ἐλπίδα τοῦ λήσειν, ἦκεν εἰς Ῥώμην. Συνεργὸς δὲ ἦν τις ὁμόφυλος αὐτῷ πάντα τὰ κατὰ 2
τὴν βασιλείαν ἐπιστάμενος, ὑφ' οὗ διδαχθεὶς ἔλεγεν, ὡς οἱ πεμφθέντες ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ τε καὶ Ἀριστοβούλου, δι' οἶκτον ἐκκλέψειαν αὐτοὺς ὁμοίων ὑποβολῇ σωμάτων. Τούτοις γοῦν τοὺς ἐν Κρήτῃ Ἰουδαίους ἐξαπατήσας, καὶ 3
λαμπρῶς ἐφοδιασθεὶς, διέπλευσεν εἰς Μῆλον. Ἔνθα συνα- 4
γείρας πολλῷ πλέον δι' ὑπερβολὴν ἀξιοπιστίας, ἀνέπεισε

Γάδαραν P. Γάδ. καὶ Ἰόππην ἀπ. N.T. Ἰόπην M. ἀποτεμνόμενος N.E. 24 Πρόσοδος ἦν P. γ̄ ταλάντων P. κατέλειπεν Ἰαμνείας L.N. 25 Ἀρχ. ἐθναρχίαν ἔτ. E. 28 τὴν ἑαυτῷ P. 1 παρὰ τῷ τ. Ῥ. ἀπελευθέρῳ P. 3 εἰς Μίλητον P. εἰς Μῦλον M. 4 Ἔνθεν συν. T. συνεγείρας M.

καὶ τοὺς ἰδιοξένους εἰς Ῥώμην αὐτῷ συνεκπλεῦσαι. Καταχθεὶς δὲ εἰς Δικαιαρχίαν, δῶρά τε παμπληθῆ παρὰ τῶν ἐκεῖ Ἰουδαίων λαμβάνει, καὶ καθάπερ βασιλεὺς ὑπὸ τῶν πατρώων προεπέμφθη φίλων. Προεληλύθει δ' εἰς τοσοῦτον πίστεως τὸ τῆς μορφῆς ὅμοιον, ὥστε τοὺς ἑωρακότας Ἀλέξανδρον, καὶ σαφῶς ἐπισταμένους, διόμνυσθαι τοῦτον εἶναι. Τό γε μὴν Ἰουδαϊκὸν ἐν Ῥώμῃ πᾶν ἐξεχύθη πρὸς τὴν θέαν αὐτοῦ, καὶ πλῆθος ἄπειρον ἦν περὶ τοὺς στενωποὺς, δι' ὧν κομίζοιτο. Καὶ γὰρ δὴ προῆλθον εἰς τοσοῦτον φρενοβλαβείας οἱ Μήλιοι, ὥστε φορείῳ τε αὐτὸν κομίζειν, καὶ θεραπείαν βασιλικὴν ἰδίοις παρασχεῖν ἀναλώμασι.

2. Καίσαρ δὲ γινώσκων ἀκριβῶς τοὺς Ἀλεξάνδρου χαρακτῆρας, κατηγόρητο γὰρ ὑφ' Ἡρώδου παρ' αὐτῷ, συνεώρα μὲν καὶ πρὶν ἰδεῖν τὸν ἄνθρωπον τὴν τῆς ὁμοιότητος ἀπάτην· διδοὺς δέ τι καὶ πίστεως ταῖς ἱλαρωτέραις ἐλπίσι, Κέλαδόν τινα πέμπει τῶν σαφῶς ἐπισταμένων Ἀλέξανδρον, κελεύσας ἀγαγεῖν αὐτῷ τὸν νεανίσκον. Ὁ δὲ, ὡς εἶδεν, ἐτεκμήρατο μὲν τάχιστα καὶ τὰς διαφορὰς τοῦ προσώπου· τὸ δὲ ὅλον σῶμα σκληρότερόν τε καὶ δουλοφανὲς καταμαθὼν, ἐνόησε πᾶν τὸ σύνταγμα. Πάνυ δὲ αὐτὸν παρώξυνεν ἡ τόλμα τῶν ὑπ' αὐτοῦ λεγομένων· τοῖς γὰρ πυνθανομένοις περὶ Ἀριστοβούλου, σώζεσθαι μὲν καὶ ἐκεῖνον ἔλεγεν, ἀπολελεῖφθαι δ' ἐπίτηδες ἐν Κύπρῳ τὰς ἐπιβουλὰς φυλασσόμενον· ἧττον γὰρ ἐπιχειρεῖσθαι διεζευγμένους. Ἀπολαβόμενος δὲ αὐτὸν κατ' ἰδίαν, 'μισθὸν ἔφη παρὰ Καίσαρος ἔχεις τὸ ζῆν, τοῦ μηνύσαι τὸν ἀναπείσαντά σε πλάσασθαι τηλικαῦτα.' Καὶ ἐκεῖνος αὐτῷ δηλώσειν εἰπὼν ἔπεται πρὸς Καίσαρα, καὶ τὸν Ἰουδαῖον

5 εἰς Δικαρχίαν L. παμπληθεῖ P. 6 Προσεληλύθει P. 7 ἐν τῇ Ῥώμῃ ἅπαν P. εἰς τὴν θέαν T. στεν. τόπους δι' ὧν ἐκομίζετο. καὶ γὰρ προῆλ. P. 8 φρενοβλαβίας N. φορίῳ N.T. βασιλικὴν ἐπιδείκνυσθαί τε καὶ παρασχεῖν ἰδίοις ἀναλώμασιν. M. 9 κατηγορεῖτο P. 10 τὸν σαφῶς ἐπιστάμενον P. 11 δολοφανὲς L. 12 τῶν παρ' αὐτοῦ P. ἐπίτηδες ἐν κρυπτῷ L.M.N. et T.R. sed in his duobus ad marg. Κύπρῳ. 13 ἀπολ. οὖν αὐτὸν P. Καίσαρος ἔχειν L.M.N.R.T.E. πλανᾶσθαι P. πλάσ. τοιαῦτα T. 14 ἐκεῖνος μὲν R.T.

ἐνδείκνυται, ‘καταχρησάμενον αὐτοῦ τῇ ὁμοιότητι πρὸς ἐργασίαν· τοσαῦτα γὰρ εἰληφέναι δῶρα καθ’ ἑκάστην πόλιν, 15
ὅσα ζῶν Ἀλέξανδρος οὐκ ἔλαβε.’ Γελάσας δὲ Καῖσαρ ἐπὶ
τούτοις, τὸν μὲν Ψευδαλέξανδρον δι’ εὐεξίαν σώματος ἐγκατέταξε τοῖς ἐρέταις, τὸν ἀναπείσαντα δὲ ἐκέλευσεν ἀναιρεθῆναι. Μηλίοις δὲ ἤρκεσεν ἐπιτίμιον τῆς ἀνοίας τὰ ἀνα- 16
λώματα.

3. Παραλαβὼν δὲ τὴν ἐθναρχίαν Ἀρχέλαος, καὶ κατὰ 17
μνήμην τῶν πάλαι διαφορῶν οὐ μόνον Ἰουδαίοις, ἀλλὰ καὶ Σαμαρεῦσι χρησάμενος ὠμῶς, πρεσβευσαμένων ἑκατέρων κατ’ αὐτοῦ πρὸς Καίσαρα, ἔτει τῆς ἀρχῆς ἐνάτῳ φυγαδεύεται μὲν εἰς Βίενναν πόλιν τῆς Γαλατίας αὐτὸς, ἡ οὐσία δὲ αὐτοῦ τοῖς Καίσαρος θησαυροῖς ἐγκατατάσσεται. Πρὶν κληθῆναι 18
δὲ αὐτὸν ὑπὸ τοῦ Καίσαρος, ὄναρ ἰδεῖν φασι τοιόνδε. Ἔδοξεν ὁρᾶν στάχυς ἐννέα πλήρεις καὶ μεγάλους ὑπὸ βοῶν καταβιβρωσκομένους. Μεταπεμψάμενος δὲ τοὺς μάντεις καὶ 19
τῶν Χαλδαίων τινὰς, ἐπυνθάνετο, τί σημαίνειν δοκοῖεν. Ἄλ- 20
λων δὲ ἄλλως ἐξηγουμένων, Σίμων τις Ἐσσαῖος τὸ γένος ἔφη, ‘τοὺς μὲν στάχυς ἐνιαυτοὺς νομίζειν, τοὺς δὲ βοῦς μεταβολὰς πραγμάτων, διὰ τὸ τὴν χώραν ἀροτριῶντας ἀλλάσσειν· ὥστε βασιλεύσειν μὲν αὐτὸν τὸν τῶν σταχύων ἀριθμὸν, 21
ἐν ποικίλαις δὲ πραγμάτων μεταβολαῖς γενόμενον τελευτήσειν.’ Ταῦτα ἀκούσας Ἀρχέλαος, μετὰ πέντε ἡμέρας ἐπὶ τὴν δίκην μετεκλήθη.

4. Ἄξιον δὲ μνήμης ἡγησάμην καὶ τὸ τῆς γυναικὸς αὐτοῦ 22
Γλαφύρας ὄναρ, ἥπερ ἦν θυγάτηρ μὲν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως, γυνὴ δ’ Ἀλεξάνδρου γεγονυῖα τὸ πρῶ-

καταχρησόμενον N. 15 οὐκ deest P. ἐγκατέλεξε τοῖς T. τοῖς ἀρέταις M. τοῖς αἱρέταις P. 17 διαφόρων M.R. ἐνάτῳ L.N. μὲν αὐτὸς εἰς tr. P. Βίεναν L. τῆς Γαλλίας P.T. τοῖς Καίσαρος. ὄναρ δὲ φασὶν ἰδεῖν τοιόνδε. ἔδοξεν desunt quæ intersunt M. 18 ὑπὸ Καίσαρος L. 20 ἄλλο, sed in marg. ἄλλως T. Ἐσαῖος M.N. βόας δὲ (sine τοὺς) μεταβολὴν P. ἀλάσσειν T. 21 τὸν σταχύων R. ἀσταχύων P. δίκην ἐκλήθη P.T.

23 τον, ὃς ἦν ἀδελφὸς μὲν Ἀρχελάου, περὶ οὗ διεξήειμεν, υἱὸς
δὲ Ἡρώδου τοῦ βασιλέως, ὑφ' οὗ καὶ ἀνηρέθη, καθάπερ προ-
24 δεδηλώκαμεν. Μετὰ δὲ τὸν ἐκείνου θάνατον συνῴκησεν Ἰόβᾳ
τῷ βασιλεύοντι Λιβύης, οὗ τελευτήσαντος ἐπανελθοῦσαν αὐ-
τὴν καὶ χηρεύουσαν παρὰ τῷ πατρὶ θεασάμενος ὁ ἐθνάρχης
Ἀρχέλαος, ἐπὶ τοσοῦτον ἔρωτος ἦλθεν, ὥστε παραχρῆμα,
τὴν συνοικοῦσαν αὐτῷ Μαριάμμην ἀποπεμψάμενος, ἐκείνην
25 ἀγαγέσθαι. Παραγενομένη τοίνυν εἰς Ἰουδαίαν, μετ' ὀλίγον
τῆς ἀφίξεως χρόνον ἔδοξεν ἐπιστάντα τὸν Ἀλέξανδρον αὐτῇ
λέγειν, " Ἀπέχρη μὲν ὁ κατὰ Λιβύην σοι γάμος, σὺ δὲ οὐκ
ἀρκεσθεῖσα τούτῳ, πάλιν ἐπὶ τὴν ἐμὴν ἑστίαν ἀνακάμπτεις,
τρίτον ἄνδρα, καὶ ταῦτα τὸν ἀδελφόν, ὦ τολμηρά, τὸν ἐμὸν
26 ἠρημένη. Πλὴν οὐ περιόψομαι τὴν ὕβριν, ἀπολήψομαι δέ
σε καὶ μὴ θέλουσαν." Τοῦτο διηγησαμένη τὸ ὄναρ, δύο μό-
γις ἡμέρας ἐβίω.

CAP. VIII.

1 1. Τῆς δὲ Ἀρχελάου χώρας εἰς ἐπαρχίαν περιγραφείσης, Antt. 18.
ἐπίτροπός τις ἱππικῆς παρὰ Ῥωμαίοις τάξεως Κωπώνιος 1. 1.
πέμπεται, μέχρι τοῦ κτείνειν λαβὼν παρὰ τοῦ Καίσαρος ἐξ-
2 ουσίαν. Ἐπὶ τούτου τὶς ἀνὴρ Γαλιλαῖος Ἰούδας ὄνομα εἰς
ἀπόστασιν ἐνῆγε τοὺς ἐπιχωρίους, κακίζων, εἰ φόρον τε Ῥω-
μαίοις τελεῖν ὑπομένουσι, καὶ μετὰ τὸν θεὸν οἵσουσι θνητοὺς
3 δεσπότας. Ἦν δὲ οὗτος σοφιστὴς ἰδίας αἱρέσεως, οὐδὲν τοῖς
ἄλλοις προσεοικώς.

4 2. Τρία γὰρ παρὰ Ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ
μὲν αἱρετισταὶ Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, τρίτον δὲ, ὃ
δὴ καὶ δοκεῖ σεμνότητα ἀσκεῖν, Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι

22 ὃς ἀδελφὸς μὲν ἦν tr. a man. rec. L. ἀδελφὸς Ἀρχ. P.R.T. διέ-
ξημεν ex ras. L. διεξίειμεν N. διέξιμεν P. 23 ἀφ' οὗ καὶ N. καθ.
δεδηλώκαμεν P. 24 συνώκισεν ex cor. M. μαριάμμην M. μαριάμ-
μην N. 25 Παραγενομένην N.T. et pri. ma. L. ἀνακάμπτεις ἑστίαν
tr. P. 26 μόλις δύο ἡμέρας ἐβίου P. 1 ἐπίτ. τῆς ἱππικῆς M.P. et
ex cor. L. 2 Κοπώνιος P. παρὰ Καίσαρος P. 3 ἄλλοις πῶς
προσ. L. 4 δοκεῖ σεμνότερον P.

μὲν γένος ὄντες, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. Οὗ- 5
τοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκρά-
τειαν, καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποπίπτειν, ἀρετὴν ὑπολαμ-
βάνουσι. Καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς· τοὺς δ' 6
ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες ἁπαλοὺς ἔτι πρὸς τὰ μα-
θήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐν-
τυποῦσι· τὸν μὲν γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν οὐκ ἀναι- 7
ροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλασσόμενοι, καὶ
μηδεμίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν.

3. Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς 8
τὸ κοινωνητικὸν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς
ὑπερέχοντα· νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δη-
μεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασι μήτε πενίας 9
ταπεινότητα φαίνεσθαι, μηθ' ὑπεροχὴν πλούτου, τῶν δὲ ἑκά-
στου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν
οὐσίαν εἶναι. Κηλίδα δὲ ὑπολαμβάνουσι τὸ ἔλαιον, καὶ ἐὰν 10
ἀλιφῇ τις ἄκων, σμήχεται τὸ σῶμα· τὸ γὰρ αὐχμεῖν ἐν καλῷ
τίθενται, λευχειμονεῖν τε διαπαντός. Χειροτονητοὶ δὲ οἱ 11
τῶν κοινῶν ἐπιμεληταὶ, καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς
χρείας ἕκαστοι.

4. Μία δὲ οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ κατοι- 12
κοῦσι πολλοί. Καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς ἀνα-
πέπταται τὰ παρ' αὐτοῖς ὁμοίως, ὥσπερ ἴδια, καὶ πρὸς οὓς
οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους· διὸ καὶ ποι- 13
οῦνται τὰς ἀποδημίας οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ
τοὺς λῃστὰς ἔνοπλοι. Κηδεμὼν δὲ ἐν ἑκάστῃ πόλει τοῦ
τάγματος ἐξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα
καὶ τὰ ἐπιτήδεια. Καταστολὴ δὲ καὶ σχῆμα σώματος ὅμοιον 14

φιλάλληλοι καὶ M. φιλάλληλοι δὲ τῶν T. 6 παρ' αὐτοῖς ὑπεροψία tr. P. ἤθεσιν αὐτῶν ἐντ. P. 7 φυλαττόμενοι P. 8 θαυμάσιον αὐτοῖς P. κοινωνικὸν N.P.R.T. οὐδὲ γὰρ ἔστιν T. κτῆσιν P. 9 μηδ' ὑπεροχὴν L.N.P.T.E. 10 ἀλειφῇ L.M.N. ἀλειφθῇ P. τίθεται sic L. 12 μετοικοῦσι L.M.N.P. αἱρετ. πέπταται L.N.T. αἱρετ. παντ' ἀναπέπ. P. 13 οὐδὲν ὅλως L.N.T. ἐξαίρετος R.

15 τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. Οὔτε δὲ ἐσθῆ-
τας, οὔτε ὑποδήματα ἀμείβουσι, πρὶν ἢ διαρραγῆναι τὸ πρό-
16 τερον παντάπασιν, ἢ δαπανηθῆναι τῷ χρόνῳ. Οὐδὲν δὲ ἐν
ἀλλήλοις οὔτε ἀγοράζουσιν, οὔτε πωλοῦσιν, ἀλλὰ τῷ χρή-
ζοντι διδοὺς ἕκαστος τὰ παρ' αὐτοῦ, τὸ παρ' ἐκείνου χρήσι-
μον ἀντικομίζεται· καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ
μετάληψις αὐτοῖς παρ' ὧν ἂν ἐθελήσωσι.

17 5. Πρός γε μὴν τὸ θεῖον ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνα-
σχεῖν τὸν ἥλιον οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους
18 δέ τινας εἰς αὐτὸν εὐχὰς, ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. Μετὰ
ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν
διαφίενται, καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως,
ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον, ζωσάμενοί τε σκε-
πάσμασι λινοῖς, οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι·
19 καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα
μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν· αὐτοί τε
καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος παραγίνονται τὸ δει-
20 πνητήριον. Καὶ καθισάντων μεθ' ἡσυχίας, ὁ μὲν σιτοποιὸς
ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ
21 ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησι. Προκατεύχεται δὲ ὁ
ἱερεὺς τῆς τροφῆς, καὶ γεύσασθαί τινα πρὶν τῆς εὐχῆς ἀθέ-
22 μιτον· ἀριστοποιησάμενος δὲ ἐπεύχεται πάλιν. Ἀρχόμενοί
τε καὶ παυόμενοι γεραίρουσι τὸν θεὸν, ὡς χορηγὸν τῆς τρο-
φῆς. Ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας, πάλιν ἐπ'
23 ἔργα μέχρι δείλης τρέπονται. Δειπνοῦσι δὲ ὑποστρέψαντες
ὁμοίως συγκαθεζομένων τῶν ξένων, οἳ τύχοιεν αὐτοῖς παρόν-
τες. Οὐδὲ κραυγή ποτε τὸν οἶκον οὔτε θόρυβος μολύνει, τὰς
24 δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις· καὶ τοῖς ἔξωθεν
ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται·

15 πρὶν διαρ. P. 16 Οὐδὲν ἐν ἀλ. L.N. παρ' αὐτῷ P. παρ' ἐκείνου desunt P. ὧν ἂν θέλουσιν P. 17 εὐσεβεῖς ἰδίως tr. P. 18 ἔπειτα deest P. συναθροίζονται P. 20 τοὺς ἄρτους P. 21 πρὸ τῆς εὐχῆς E. ἀριστοπ. ἐπεύχεται E. 22 ἀρχομ. δὲ καὶ P. γεραίρ. θεὸν P. 23 ὁμοίως ὑποστρέψαντες tr. L. ξένων, εἰ τύχοιεν M. θόρυβος μαίνει P. 24 μυστήριόν τε φ. T. καταφαίρεται T.

τούτου δὲ αἴτιον ἡ διηνεκὴς νῆψις, καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

6. Τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελητῶν προσταξάντων ἐνεργοῦσι. Δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος· βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ κατ' αὐτοὺς ἐφίεται, καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν. Τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. Ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί. Καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου· τὸ δὲ ὀμνύειν αὐτοῖς περιΐστανται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ κατεγνῶσθαί φασι τὸν ἀπιστούμενον, δίχα θεοῦ. Σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες· ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τε ἀλεξιτήριοι, καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

7. Τῷ δὲ ζηλοῦντι τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ, καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει· παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. Μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν, δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται· καὶ φανεὶς ἄξιος, οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. Πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν, καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ, μήτε ἐξ ἐπι-

25 καὶ καθ' αὑτοὺς L.M.T. ἀφίεται E. ἐφιέναι sed in marg. ἐφίεται T. 26 μεταδ. οὐκ ἔστι N.T. μεταδ. οὐκέτι L. ταμείαι pri. man. ταμίαι ex cor. T. ταμίαι. θυμοῦ M. καθεκτοὶ L. 27 ὀμνύειν αὐτῶν T. περιΐσταται L.M.P.T.E. ἤδη γὰρ ἤδη κατεγ. L.M.N.T. 28 παλαιῶν συντάγματα P. μάλιστα πρὸς P. ἀλεξητήριοι M.T. ἀλεξιτήριον P. 29 Τοῖς δὲ ζηλοῦσι L.N.P.T. ἀποτίθενται P. περίζωσμα P. 32 ἔπειτα πρὸς P.

τάγματος, μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι
33 τοῖς δικαίοις· τὸ πιστὸν ἀεὶ παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς
κρατοῦσιν, οὐ γὰρ δίχα θεοῦ περιγίνεσθαί τινι τὸ ἄρχειν.
34 Καὶ ἂν αὐτὸς ἄρχῃ, μηδέποτε ἐξυβρίσειν εἰς τὴν ἐξουσίαν,
μηδὲ ἐσθῆτι, ἤ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους
35 ὑπερλαμπρύνεσθαι. Τὴν ἀλήθειαν ἀγαπᾶν ἀεί, καὶ τοὺς
ψευδομένους ἐλέγχειν προβάλλεσθαι· χεῖρας κλοπῆς, καὶ
ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν· καὶ μήτε κρύψειν
τι τοὺς αἱρετιστὰς, μήτε ἑτέροις αὐτῶν τι μηνύσειν, καὶ ἂν
36 μέχρι θανάτου τὶς βιάζηται. Πρὸς τούτοις ὀμνύουσι μηδενὶ
μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως, ἢ ὡς αὐτὸς μετέλαβεν·
ἀφέξεσθαι δὲ ληστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς
37 αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. Τοι-
ούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξασφαλίζονται.

8. Τοὺς δὲ ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλ-
38 λουσι τοῦ τάγματος. Ὁ δὲ ἐκκριθεὶς οἰκτίστῳ πολλάκις
μόρῳ διαφθείρεται· τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδε-
μένος, οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμ-
βάνειν, ποηφαγῶν δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος διαφθεί-
39 ρεται. Διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀνα-
πνοαῖς ἀνέλαβον, ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν
μέχρι θανάτου βάσανον ἡγούμενοι.

40 9. Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι, καὶ δι-
κάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες. Τὸ δὲ
41 ὁρισθὲν ὑπ' αὐτῶν ἀκίνητον. Σέβας δὲ μέγιστον παρ' αὐ-
τοῖς, μετὰ τὸν θεὸν, τὸ ὄνομα τοῦ νομοθέτου· καὶ ἂν βλασ-
42 φημήσῃ τις εἰς τοῦτον, κολάζεται θανάτῳ. Τοῖς δὲ πρεσ-
βυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν, ἐν καλῷ τίθενται·
δέκα γοῦν συγκαθεζομένων οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν

33 πᾶσιν παρέξειν tr. P. περιγενέσθαι P. 34 μηδὲ πώποτε L.M. N.T.E. ἐξυβρίζειν E. ἐσθῆτί τινι ἢ P. 35 Τὴν δὲ ἀλήθ. N. τὴν ψυχὴν P. 36 ὄμνυσι P. 38 ἔθεσι δεδεμένος P. οὐδὲ τοῖς παρὰ P. 41 Σέβας δὲ μέγα P. μετὰ θεὸν M. κολάζεσθαι E. 42 τίθεται sic T. ἀκόντων ἐννέα N. et L. sed in hoc τῶν rec. adj.

ἐννέα. Καὶ τὸ πτύσαι δὲ εἰς μέσους ἢ τὸ δεξιὸν μέρος φυ- 43
λάσσονται· καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι, διαφο-
ρώτατα Ἰουδαίων ἁπάντων· οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς 44
πρὸ ἡμέρας μιᾶς παρασκευάζουσιν, ὡς μηδὲ πῦρ ἐναύοιεν
ἐκείνην τὴν ἡμέραν, ἀλλ' οὐδὲ σκεῦός τι μετακινῆσαι θαρροῦ-
σιν, οὐδὲ ἀποπατεῖν. Ταῖς δὲ ἄλλαις ἡμέραις βόθρον ὀρύσ- 45
σοντες βάθος ποδιαῖον τῇ σκαλίδι, τοιοῦτον γάρ ἐστι τὸ
διδόμενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις, καὶ περικα-
λύψαντες τὸ ἱμάτιον, ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν τοῦ θεοῦ,
θακεύουσιν εἰς αὐτὸν, ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκου-
σιν εἰς τὸν βόθρον· καὶ τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τό- 46
πους ἐκλεγόμενοι. Καίπερ δὴ φυσικῆς οὔσης τῆς τῶν σωμα-
τικῶν λυμάτων ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν, καθάπερ
μεμιαμμένοις, ἔθιμον.

10. Διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς μοίρας 47
τέσσαρας· καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέ-
ρων ἐλαττοῦνται, ὥστε, εἰ ψαύσειαν αὐτῶν, ἐκείνους ἀπολού-
εσθαι, καθάπερ ἀλλοφύλῳ συμφυρέντας. Καὶ μακρόβιοι 48
μὲν, ὡς τοὺς πολλοὺς ὑπὲρ ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν
ἁπλότητα τῆς διαίτης, ἐμοί γε δοκεῖν, καὶ τὴν εὐταξίαν.
Καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶν- 49
τες τοῖς φρονήμασι, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσ-
ίοι, νομίζοντες ἀθανασίας ἀμείνω. Διήλεγξε δὲ αὐτῶν ἐν 50
ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος· ἐν ᾧ στρε-
βλούμενοι καὶ λυγιζόμενοι, καιόμενοί τε καὶ κλώμενοι, καὶ
διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἵνα ἢ
βλασφημήσωσι τὸν νομοθέτην, ἢ φάγωσί τι τῶν ἀσυνήθων,
οὐδέτερόν τι ὑπέμειναν παθεῖν, ἀλλ' οὐδὲ κολακεῦσαί ποτε
τοὺς αἰκιζομένους ἢ δακρῦσαι. Μειδιῶντες δὲ ἐν ταῖς ἀλγη- 51

44 ὡς μὴ πῦρ ἐναφθεῖεν P. ἐκείνῃ τῇ ἡμέρᾳ E. 45 ἱμάτιον sine το P. τῷ ἱματίῳ E. 46 δὴ deest P. μεμιασμένοις P. βεβλαμμένην sed in marg. μεμιαμμένοις T. 47 συμφυρέντες P. 49 εὐκλείας προσεῖσι P. ἀμείνονα P. 50 στρεβ. τε καὶ P. οὐδέτ. τι τῶν ἀσυνήθων iterum T. οὐδετ. ὑπέμειναν P.

δόσι, καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων, εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι.

52 11. Καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα, φθαρτὰ μὲν εἶναι τὰ σώματα, καὶ τὴν ὕλην οὐ μόνιμον αὐτοῖς, τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μὲν, ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ὥσπερ εἱρκταῖς τοῖς σώ-
53 μασιν ἴυγγί τινι φυσικῇ κατασπωμένας. Ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷα δὴ μακρᾶς δουλείας ἀπηλ-
54 λαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι· καὶ ταῖς μὲν ἀγαθαῖς, ὁμοδοξοῦντες παισὶν Ἑλλήνων, ἀποφαίνονται τὴν ὑπὲρ ὠκεανὸν δίαιταν ἀποκεῖσθαι, καὶ χῶρον οὔτε ὄμ-
55 βροις οὔτε νιφετοῖς οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ ὠκεανοῦ πραῢς ἀεὶ ζέφυρος ἐπιπνέων ἀναψύχει· ταῖς δὲ φαύ-
56 λαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχὸν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. Δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔν-
57 νοιαν Ἕλληνες τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς Ἥρωας καὶ Ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ' ᾅδου τὸν ἀσεβῶν χῶρον· ἔνθα
58 καὶ κολαζομένους τινὰς μυθολογοῦσι, Σισύφους καὶ Ταντάλους, καὶ Ἰξίονας καὶ Τιτυούς, πρῶτον μὲν ἀϊδίους ὑφιστάμενοι τὰς ψυχὰς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν· τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτὴν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν.
59 Τάδε μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν ἐγκαθιέντες.

52 μόνιμον αὐτῶν P. ἐκ τοῦ λαμπροτάτου φοιτ. P. Ἰλιγγί τινι N. τῇ φυσικῇ N.T. 53 οἷον δὴ L.T. 54 δίαιταν ἀποικίσθαι T. ὃν deest P. 56 ἀσεβῶν χώρων P. 57 ἔνθα κολαζομένους L. Συσίφους M. Ταντάλους Ἠξίονάς τε καὶ Τιτιοὺς P. ἔπειτα ὡς πρ. P. 58 ὁρμὰς τῷ δέει M.T. προσδεκόντων P. 59 Ταῦτα μὲν οὖν P. καθιέντες P.

12. Εἰσὶ δὲ ἐν αὐτοῖς οἱ καὶ τὰ μέλλοντα προγινώσκειν 60
ὑπισχνοῦνται, βίβλοις ἱεραῖς, καὶ διαφόροις ἁγνείαις, καὶ
προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι· σπάνιον δὲ,
εἴ ποτε ἐν ταῖς προαγορεύσεσιν ἀστοχήσουσιν.

13. Ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, δίαιταν μὲν καὶ 61
ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεστὼς δὲ τῇ κατὰ
γάμον δόξῃ. Μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου 62
μέρος, τὴν διαδοχὴν, τοὺς μὴ γαμοῦντας· μᾶλλον δὲ, εἰ πάν-
τες τὸ αὐτὸ φρονήσειαν, ἐκλιπεῖν ἅπαν τὸ γένος τάχιστα.
Δοκιμάζοντες μέντοι τριετίαν τὰς γαμετὰς, ἐπειδὰν τρὶς 63
καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται.
Ταῖς δὲ ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐνδεικνύμενοι, τὸ μὴ δι'
ἡδονὴν, ἀλλὰ τέκνων χρείαν γαμεῖν. Λουτρὰ δὲ ταῖς γυναιξὶν 64
ἀμπεχομέναις ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν περιζώ-
ματι. Τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος.

14. Δύο δὲ τῶν προτέρων, Φαρισαῖοι μὲν, οἱ μετὰ ἀκρι- 65
βείας δοκοῦντες ἐξηγεῖσθαι τὰ νόμιμα, καὶ τὴν πρώτην ἀπά-
γοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ θεῷ προσάπτουσι πάντα,
καὶ τὸ μὲν πράττειν τὰ δίκαια, καὶ μὴ, κατὰ τὸ πλεῖστον
ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι, βοηθεῖν δὲ εἰς ἕκαστον καὶ τὴν 66
εἱμαρμένην· ψυχὴν δὲ πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν
δὲ εἰς ἕτερον σῶμα τὴν τῶν ἀγαθῶν μόνην, τὴν δὲ τῶν φαύ-
λων ἀϊδίῳ τιμωρίᾳ κολάζεσθαι. Σαδδουκαῖοι δὲ, τὸ δεύτερον 67
τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι, καὶ τὸν
θεὸν ἔξω τοῦ δρᾶν τι κακὸν ἢ ἐφορᾶν τίθενται· φασὶ δὲ ἐπ' 68
ἀνθρώπων ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι,
καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τούτων ἑκατέρῳ προσιέναι. Ψυ- 69

60 σπάνιον δήποτε P. ἀστοχοῦσιν P. 61 Ἔστι δὲ ἕτερον T. δίαιτα pri. man. T. τάγμα ὃ δι. M.N.T.E. διεστὸς E. 62 φρονήσειεν P. ἐκλείπειν ἅπαν τὸ N. ἐκλείπειν ἂν τὸ P. 63 τριετίᾳ L.N.P.E. ἐπειδὰν τρεῖς P. ἐκδεικνύμενοι P.E. δεικνύντες T. γημεῖν L.N.T. 64 ἀνδράσιν ἐμπεριζώματα T. δοκοῦντες μετὰ ἀκριβείας tr. E. 65 ἐπάγοντες E. πλεῖστον ἐν τοῖς M. 66 βοηθεῖν τε P. μεταβαίνειν τε P. 67 κακὸν ἢ μὴ δρᾶν τίθ. E. 68 γνώμην ἑκάστου P. ἑκατέρων T.

χῆς τε τὴν διαμονὴν, καὶ τὰς καθ' ᾅδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. Καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε, καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν ἀσκοῦντες· Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον, αἵ τε ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς ὡς πρὸς ἀλλοτρίους. Τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν.

CAP. IX.

1. Τῆς Ἀρχελάου δὲ ἐθναρχίας μεταπεσούσης εἰς ἐπαρχίαν, οἱ λοιποὶ, Φίλιππός τε καὶ Ἡρώδης ὁ κληθεὶς Ἀντίπας, διῴκουν τὰς ἑαυτῶν τετραρχίας. Σαλώμη γὰρ τελευτῶσα Ἰουλίᾳ τῇ τοῦ Σεβαστοῦ γυναικὶ τήν τε αὐτῆς τοπαρχίαν καὶ Ἰάμνειαν, καὶ τοὺς ἐν Φασαηλίδι φοινικῶνας κατέλιπεν. Μεταβάσης δὲ εἰς Τιβέριον τὸν Ἰουλίας υἱὸν τῆς Ῥωμαίων ἡγεμονίας μετὰ τὴν Αὐγούστου τελευτὴν, ἀφηγησαμένου τῶν πραγμάτων ἔτεσιν ἑπτὰ καὶ πεντήκοντα πρὸς δὲ μησὶν ἓξ καὶ ἡμέραις δυοῖν, διαμείναντες ἐν ταῖς τετραρχίαις ὅ τε Ἡρώδης, καὶ Φίλιππος, ὁ μὲν πρὸς ταῖς Ἰορδάνου πηγαῖς ἐν Πανεάδι πόλιν κτίζει Καισάρειαν, καὶ ἐν τῇ κάτω Γαυλανιτικῇ Ἰουλιάδα, Ἡρώδης δὲ ἐν μὲν τῇ Γαλιλαίᾳ Τιβεριάδα, ἐν δὲ τῇ Περαίᾳ Φερώνυμον Ἰουλίας. Ant. 18. 2. 1.

2. Πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλάτος, νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας, σημαῖαι καλοῦνται. Τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρεν Ἰουδαίων· οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν, ὡς πεπατημένων αὐτοῖς τῶν νόμων· οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι. Καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν ἄθρους ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. Ὁρμήσαντες δὲ

69 τὰς καθόλου τιμ. L.M.N.T. 70 πρὸς τοὺς ἀλλοτ. L. 1 Φίλιππος καὶ P. 2 Ἰάμνιαν M.T. 3 τὴν τοῦ Αὐγ. P. μησὶν ἐξ ἡμέραις E. δυεῖν L.M.N.T. καὶ ὁ Φίλ. P. 4 ταῖς τοῦ Ἰορ. P. Πανιάδι πόλει P. καὶ τῇ κάτω Γαυλανητικῇ P. 5 εἰσκομίζει P. post εἰκόνας sec. ma. add. αἱ L. 6 Ἰουδαίοις P. et ex cor. L. 7 δίκηλον P ἄθρους ὁ ἐκ P. ἐκ χώρας M.

πρὸς τὸν Πιλάτον εἰς Καισάρειαν, ἱκέτευον ἐξενεγκεῖν Ἱεροσολύμων τὰς σημαίας, καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν ἱκεσίαν, πρηνεῖς καταπεσόντες, ἐπὶ πέντε ἡμέρας καὶ νύκτας ἴσας ἀκίνητοι διεκαρτέρουν.

3. Τῇ δὲ ἐξῆς ὁ Πιλάτος καθίσας ἐπὶ βήματος ἐν τῷ 9
μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος, ὡς ἀποκρίνεσθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον, ἐκ συντάγματος κυκλώσασθαι τοὺς Ἰουδαίους τοῖς ὅπλοις. Περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰου- 10
δαῖοι μὲν ἀχανεῖς ἦσαν, πρὸς τὸ ἀδόκητον τῆς ὄψεως· Πιλά- 11
τος δὲ κατακόψειν εἰπὼν αὐτοὺς, εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἔνευεν. Οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες, 12
καὶ τοὺς αὐχένας παρακλίναντες, ἑτοίμους εἰς ἀναίρεσιν σφᾶς ἐβόων μᾶλλον, ἢ τὸν νόμον παραβῆναι. Ὑπερθαυμάσας δὲ 13
ὁ Πιλάτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει.

4. Μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει, τὸν ἱερὸν θη- 14
σαυρὸν — καλεῖται δὲ Κορβανᾶς — εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. Κατῆγε δὲ ἀπὸ τετρακοσίων σταδίων. Πρὸς 15
τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα, περιστάντες τὸ βῆμα κατεβόων. Ὁ 16
δὲ, προῄδει γὰρ αὐτῶν τὴν ταραχὴν, καὶ τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους ἐσθήσεσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας, καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος· τυπτόμενοι δὲ οἱ Ἰουδαῖοι πολλοὶ μὲν 17
ὑπὸ τῶν πληγῶν, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ

8 πρὸς Πιλάτον P. περὶ τὴν οἰκίαν πρηνεῖς L.N.P. et in marg. T. 9 Ἰουδαίους ἐν τοῖς P. περιστάσης δὲ αὐτοῖς τρ. T. 10 τριστοιχεία N. et pri. ma. L. sed in hoc ex cor. τριστιχεῖ. τριστοιχὶ sed in marg. τριστοιχία T. 11 εἰπὼν αὐτοῖς P. ἐκέλευσεν sed in marg. ἔνευεν T. 12 ἑτοίμους ἀναιρεῖν σφᾶς P. σφᾶς αὐτοὺς ἐβ. M. 14 Κορβωνᾶς P. et L.N. sed in hor. utroque ex cor. rec. 15 Κατήγαγεν P. 16 ταραχὴν, τῷ πλή. P. ἐνόπλους ἐν P. ἐσθῆσιν P. et T. sed in huj. marg. ἐσθήσεσιν. 17 τυπτόμενοι δὲ Ἰουδ. M.T.

καταπατηθέντες ἀπώλοντο. Πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνηρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησε.

18 5. Καὶ ἐν τούτῳ κατήγορος Ἡρώδου τοῦ τετραρχοῦντος Ἀγρίππας υἱὸς Ἀριστοβούλου, ὃν ὁ πατὴρ Ἡρώδης ἀπέ-
19 κτεινε, παραγίνεται πρὸς Τιβέριον. Τοῦ δὲ μὴ προσδεξαμένου τὴν κατηγορίαν, μένων ἐπὶ Ῥώμης τούς τε ἄλλους τῶν γνωρίμων ἐθεράπευε, καὶ μάλιστα τὸν Γερμανικοῦ παῖδα
20 Γάϊον, ἰδιώτην ἔτι ὄντα. Καὶ δή ποτε ἑστιῶν αὐτὸν, τά τε ἄλλα ποικίλως ἐφιλοφρονεῖτο, καὶ τελευταῖον τὰς χεῖρας ἀνατείνας, φανερῶς ηὔξατο θᾶττον αὐτὸν θεάσασθαι τῶν
21 ὅλων δεσπότην, ἀποθανόντος Τιβερίου. Τοῦτό τις τῶν οἰκετῶν αὐτοῦ διαγγέλλει Τιβερίῳ· καὶ ὃς ἀγανακτήσας εἵργνυσι τὸν Ἀγρίππαν, καὶ μετ' αἰκίας εἶχεν ἐπὶ μῆνας ἓξ ἐν δεσμωτηρίῳ, μέχρις αὐτὸς ἐτελεύτησεν ἡγεμονεύσας ἔτη δύο
πρὸς τοῖς εἴκοσι, καὶ τρεῖς ἡμέρας ἐπὶ μησὶν ἕξ.

22 6. Ἀποδειχθεὶς δὲ Γάϊος Καῖσαρ, ἀνίησί τε τῶν δεσμῶν τὸν Ἀγρίππαν, καὶ τῆς Φιλίππου τετραρχίας, ἐτεθνήκει
23 γὰρ οὗτος, καθίστησι βασιλέα. Παραγενόμενος δὲ εἰς τὴν ἀρχὴν Ἀγρίππας, φθόνῳ τὰς Ἡρώδου τοῦ τετράρχου διήγειρεν ἐπιθυμίας. Ἐνῆγε δὲ μάλιστα τοῦτον εἰς ἐλπίδα βασιλείας Ἡρωδιὰς ἡ γυνὴ, κατονειδίζουσα τὴν ἀργίαν, καὶ
24 φαμένη 'παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ Καίσαρα, στερίσκεσθαι μείζονος ἀρχῆς· ὅπου γὰρ Ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἠπού γε ἂν ἐκεῖνον διαναστήσειεν ἐκ τε-
25 τράρχου.' Τούτοις ἀναπεισθεὶς Ἡρώδης, ἦκε πρὸς Γάϊον,
26 ὑφ' οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς Ἱσπανίαν. Ἠκολούθησε γὰρ αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκε Γάϊος. Καὶ Ἡρώδης μὲν ἐν Ἱσπανίᾳ, συμφυγούσης αὐτῷ καὶ τῆς γυναικὸς, τελευτᾷ.

18 πρὸς Τιβέριον παραγίνεται tr. L. 19 ἄλλους πάντας τῶν T. ἔτι deest P. 21 διαγ. τῷ Τιβερίῳ P. εἶχεν αὐτὸν ἐπὶ P. 22 ἀνίεισί τε P. ἀνίησι τῶν T. δεσμῶν Ἀγρίππαν L. τεθνήκει N.T. θνήσκει P. 24 ὅπου μὲν Ἀγ. P. διαστάσειεν P. ἐκ τετραρχίας T. 25 Ἡρ. τοῖς λόγοις ἦκε T. εἰς Σπανίαν L.N. et sic infra.

CAP. X.

Antt. 18. 8. 2.

1. Γάϊος δὲ Καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύ- 1
χην, ὥστε θεὸν μὲν αὐτὸν καὶ δοκεῖν, καὶ βούλεσθαι καὶ καλεῖσθαι, τῶν τε εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα, ἐκτεῖναι δὲ τὴν ἀσέβειαν καὶ ἐπὶ Ἰουδαίους. Πετρώ- 2
νιον γοῦν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἔπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας, εἰ μὴ δέξαιντο Ἰουδαῖοι, τούς τε κωλύοντας ἀνελεῖν, καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. Θεῷ δὲ ἄρα τῶν προστα- 3
γμάτων ἔμελε. Καὶ Πετρώνιος μὲν, σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς Συρίας συμμάχοις, εἰς τὴν Ἰουδαίαν ἤλαυνεν ἐκ τῆς Ἀντιοχείας. Ἰουδαίων δὲ οἱ μὲν ἠπίστουν ἔτι ταῖς 4
τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. Ταχὺ δὲ ἐχώρει διὰ πάντων τὸ δέος· ἤδη γὰρ οὔσης εἰς τὴν Πτολεμαΐδα τῆς στρατιᾶς.

2. Πρόσεστι δὲ ἡ πόλις αὕτη τῆς Γαλιλαίας παράλιος 5
κατὰ τὸ μέγα πεδίον ἐκτισμένη. Περιέχεται δὲ ὄρεσιν, ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα τῷ τῆς Γαλιλαίας, ἀπὸ δὲ τοῦ μεσημβρινοῦ τῷ Καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι· τῷ δὲ ὑψηλοτάτῳ κατ' ἄρ- 6
κτον, ὃ καλοῦσι κλίμακα Τυρίων οἱ ἐπιχώριοι, καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. Τοῦ δὲ ἄστεως ἀπὸ δύο στα- 7
δίων ὁ καλούμενος Βήλεος ποταμὸς παραρρεῖ παντάπασιν ὀλίγος, παρ' ᾧ τὸ Μέμνονος μνημεῖόν ἐστιν, ἔχον ἐγγὺς αὐτοῦ τόπον ἑκατοντάπηχυν θαύματος ἄξιον. Κυκλοτερὴς 8
μὲν γάρ ἐστι καὶ κοῖλος, ἀναδίδωσι δὲ τὴν ὑαλινὴν ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσχόντα, πάλιν ἀντιπλη-

1 ἑαυτὸν δοκεῖν P. καὶ ἐπὶ Ἰουδαίαν P. 2 Πετρώνιον μὲν οὖν P. ἐγκαθιδρύσαντα L. δέξοιντο L.N.T.E. δέχοιντο P. ἀνδραποδίσασθαι T. 3 ἔμελλε L.M.N.P. 4 εἰς Πτολεμαΐδα P.T. 5 Πρόσεστιν ἡ N. et pri. ma. L. ἔστι δὲ πόλις sec. man. L. πόλις δ' ἐστὶν P. Γαλιλαίας saltus est ab hac voce ad eandem mox repetitam M. ἑξήκοντα τῆς N.T. et pri. ma. L. 7 ἄστεος T. Βήλαιος M. et ex cor. L. Βῶλλαιος ex cor. T. ἑκατονταπήχη L.N.P.T. 8 ὑαλικὴν E. ὑελινὴν ex cor. L. et sic infra. ἀναπληροῦται E.

ροῦται τὸ χωρίον, κατασυρόντων μὲν ὥσπερ ἐπίτηδες τότε
9 τῶν ἀνέμων εἰς αὐτὸ τὴν ἔξωθεν ἀργὴν ψάμμον· τοῦ δὲ με-
τάλλου πᾶσαν εὐθέως μεταβάλλοντος εἰς ὕαλον, θαυμασιώ-
τερον τοῦτό μοι δοκεῖ, τὸ τὴν ὑπερχυθεῖσαν ὕαλον ἐκ τοῦ
τόπου πάλιν γίνεσθαι ψάμμον εἰκαίαν. Τὸ μὲν οὖν χωρίον
τοῦτο τοιαύτην εἴληφε φύσιν.

10 3. Ἰουδαῖοι δὲ, μετὰ γυναικῶν καὶ τέκνων ἀθροισθέντες εἰς
τὸ πεδίον τὸ πρὸς Πτολεμαΐδα, καθικέτευον τὸν Πετρώνιον,
11 ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ ἑαυτῶν. Ὁ
δὲ πρός τε τὸ πλῆθος καὶ τὰς δεήσεις ἐνδοὺς, τὴν μὲν στρα-
τιὰν καὶ τοὺς ἀνδριάντας ἐν Πτολεμαΐδι καταλείπει· προελ-
12 θὼν δὲ εἰς τὴν Γαλιλαίαν, καὶ συγκαλέσας τὸ πλῆθος καὶ
τοὺς γνωρίμους πάντας εἰς τὴν Τιβεριάδα, τήν τε Ῥωμαίων
διεξῆει δύναμιν, καὶ τὰς Καίσαρος ἀπειλὰς, ἔτι δὲ καὶ τὴν
13 ἀξίωσιν ἀπέφηνεν ἀγνώμονα· πάντων γὰρ τῶν ὑποτεταγμέ-
νων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς
καὶ τὰς Καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάσσεσθαι
πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεθ' ὕβρεως.'

14 4. Τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἔθος προτειναμένων,
καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρὸς, οὐ κατὰ τὸν
ναὸν μόνον, ἀλλ' οὐδὲ ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι
15 θεμιτὸν εἴη, ὑπολαβὼν ὁ Πετρώνιος, "Ἀλλὰ μὴν καὶ ἐμοὶ
φυλακτέος ὁ τοῦ ἐμοῦ δεσπότου νόμος," ἔφη· "παραβὰς
16 γὰρ αὐτὸν, καὶ φεισάμενος ὑμῶν, ἀπολοῦμαι δικαίως. Πολε-
μήσει δὲ ὑμᾶς ὁ πέμψας ἐμὲ, καὶ οὐκ ἐγώ· καὶ γὰρ αὐτὸς,
ὥσπερ ὑμεῖς, ἐπιτάσσομαι." Πρὸς ταῦτα τὸ πλῆθος πᾶν
17 ἐβόα, 'πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν.' Καταστεί-
λας δὲ ὁ Πετρώνιος αὐτῶν τὴν βοὴν, "Πολεμήσετε," εἶπεν,
"ἆρα Καίσαρι;" Καὶ Ἰουδαῖοι, 'περὶ μὲν Καίσαρος καὶ τοῦ

9 θαυμασ. τούτου L.N.T. μοι δοκεῖν E. ψάμμον οἰκείαν M. ψάμ. γίνεσθαι εἰκαίαν tr. P. εἴληχεν P. 10 ὑπὲρ αὐτῶν. P. 11 τοὺς μὲν ἀνδριάντας καὶ τὰς στρατιὰς P. Πτολ. λείπει P. 12 προσελθὼν L.P. et pri. ma. M. γνωρ. ἅπαντας T. εἰς Τιβερίαδα L.P. ἐτὶ δὲ τὴν P. 15 ὑπολαβὼν δὲ ὁ P. 16 ἐμὲ, οὐκ ἐγὼ M.E. καὶ γὰρ καὶ αὐτὸς T. πάντ' ἐβόα P. 17 Κατασ. τε αὐτῶν ὁ Πετ. P.

δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν, ἔφασαν. Εἰ δὲ 18
βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν
τὸ Ἰουδαίων ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς
ἑτοίμους εἰς σφαγὴν ἅμα τέκνοις καὶ γυναιξίν.' Ἐπὶ τού- 19
τοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον, τῆς τε ἀνυπερ-
βλήτου θρησκείας τῶν ἀνδρῶν, καὶ τοῦ πρὸς θάνατον ἑτοίμου
παραστήματος. Καὶ τότε μὲν ἄπρακτοι διελύθησαν.

5. Ταῖς δὲ ἑξῆς ἀθροίσας τε τοὺς δυνατοὺς κατ' ἰδίαν, καὶ 20
τὸ πλῆθος ἐν κοινῷ συλλέγων ποτὲ μὲν παρεκάλει ποτὲ δὲ
συνεβούλευε, τὸ μέντοι πλέον διηπείλει, τήν τε Ῥωμαίων
ἐπανατεινόμενος ἰσχύν, καὶ τοὺς Γαΐου θυμούς, τήν τε ἰδίαν
πρὸς τούτοις ἀνάγκην. Πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδιδόντων, 21
ὡς ἑώρα καὶ τὴν χώραν κινδυνεύουσαν ἄσπορον μεῖναι, κατὰ
γὰρ ὥραν σπόρου πεντήκοντα ἡμέρας ἀργὰ προσδιέτριβεν
αὐτῶν τὰ πλήθη, τελευταῖον ἀθροίσας αὐτούς, καὶ "Παρα- 22
κινδυνευτέον ἐμοὶ μᾶλλον" εἰπών, "ἢ γὰρ, τοῦ θεοῦ συνερ-
γοῦντος, πείσας Καίσαρα, σωθήσομαι μεθ' ὑμῶν ἡδέως, ἢ
παροξυνθέντος, ὑπὲρ τοσούτων ἑτοίμως ἐπιδώσω τὴν ἐμαυτοῦ
ψυχήν," διαφῆκε τὸ πλῆθος, πολλὰ κατευχόμενον αὐτῷ, καὶ
παραλαβὼν τὴν στρατιὰν ἐκ τῆς Πτολεμαΐδος ὑπέστρεψεν
εἰς Ἀντιόχειαν. Ἔνθεν εὐθέως ἐπέστελλε Καίσαρι τήν τε 23
ἐμβολὴν τὴν εἰς Ἰουδαίαν ἑαυτοῦ, καὶ τὰς τοῦ ἔθνους ἱκετείας,
ὅτι τε, εἰ μὴ βούλοιτο πρὸς τοῖς ἀνδράσι καὶ τὴν χώραν
ἀπολέσαι, δέοι φυλάττειν τε αὐτοὺς τὸν νόμον, καὶ παρεῖναι
τὸ πρόσταγμα. Ταύταις ταῖς ἐπιστολαῖς οὐ σφόδρα με- 24
τρίως Γάϊος ἀντέγραψεν, ἀπειλῶν Πετρωνίῳ θάνατον, ὅτι
τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγένετο. Ἀλλὰ 25
τοὺς μὲν τούτων γραμματοφόρους συνέβη χειμασθῆναι τρεῖς
μῆνας ἐν τῇ θαλάσσῃ, τὸν δὲ Γαΐου θάνατον ἄλλοι καταγ-

18 εἰς τὴν σφαγὴν P. 20 ἑξῆς ἀθρόους τε L.M.N.R.T. κοινῷ συλ-
λεγέντων P. τὸ πλέον μέντοι tr. P. ἐπανατεινάμενος M. 21 κιν-
δυν. ἄσπορας ν̄ γὰρ ἡμέρας ἀργὰ P. ἀργὰ διέτριβεν E. αὐτῷ τὰ πλή. P.
22 κατευχομένων P. ἐπέστρεψεν E. 23 τὰς ἱκεσίας τοῦ ἔθνους P.
εἰ μὴ βούλεται P. δέον φυλάτ. M.R.E. καὶ παρίεναι τὸ P.E. 24 ἐπι-
στολαῖς σφόδρα P. ἀντέγραψεν ὁ Γάϊος P.

26 γέλλοντες εὐπλόουν. Ἔφθη γοῦν τὰς περὶ τούτου λαβεῖν Πετρώνιος ἐπιστολὰς ἑπτὰ καὶ εἴκοσιν ἡμέρας, ἢ τὰς καθ' ἑαυτοῦ.

CAP. XI.

1 1. Γαΐου δὲ ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας ὀκτὼ, καὶ Antt. 19. δολοφονηθέντος, ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν Ῥώμῃ στρατευ- 7. 1.
2 μάτων εἰς τὴν ἀρχὴν Κλαύδιος. Ἡ δὲ σύγκλητος, ἐξηγουμένων τῶν ὑπάτων, Σεντίου Σατορνίνου καὶ Πομπωνίου Σεκούνδου, τρισὶ ταῖς συμμενούσαις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν, εἰς τὸ Καπιτώλιον ἠθροίσθη, καὶ διὰ τὴν
3 ὠμότητα τὴν Γαΐου Κλαυδίῳ πολεμεῖν ἐψηφίζετο· καταστήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχὴν, ἢ κρίνειν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας.
4 2. Συνέβη δὲ τηνικαῦτα προσεπιδημοῦντα τὸν Ἀγρίππαν, τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι, καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρή-
5 σιμος αὐτῷ γένοιτο. Καὶ ἐκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνά-
6 μει Καίσαρα, πρὸς Κλαύδιον ἄπεισιν. Ὁ δὲ αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἀρ-
7 παγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον, οὔτε ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι· καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως ἐπικίνδυνον εἶναι· ἔπειτα ὅτι διοικήσοι τὴν ἀρχὴν, ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δὲ ἐφ'
8 ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν ἀποδώσειν. Καὶ γὰρ

26 περὶ τούτων P. Πετρώνιος λαβὼν P. λαβεῖν ὁ Πετ. N. ἡμέραις L.M.N.T. 1 ἡγεμονεύοντος R. εἰς τὴν ἀρχὴν desunt P. 2 Σερτίου L.M.N.R.T. Σατορνίλου M.T. Σατορνείλου N. Σατουρνίνου E. Πομπονίου P. ταῖς σημαινούσαις σπείραις M. Καπετώλιον L.M.N.T. ὠμότητα τοῦ Γ.E. Κλαυδ. πόλεμον T. 4 Συνέβη τηνικαῦτα P. πέμψαι Κλαύδιον L.M.N.R.T. αὐτῷ γένηται T. 5 Καὶ ἐκεῖνος desunt P. 6 τὴν ἑαυτοῦ προ. P. τὴν ἑαυτοῦ τύχ. P. αὐτοῦ δίκην κρί. L. 7 καὶ γὰρ τὸ M.N.R.T. καὶ γὰρ τοῦ L. διοικήσει P. et ex cor. L.

εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.'

3. Ταῦτα ἀπήγγελλεν Ἀγρίππας. Ἡ δὲ βουλὴ ἀπε- 9
κρίνατο, 'καὶ στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκούσιον οὐχ ὑπομένειν.' Καὶ Κλαύδιος, ὡς ἤκουσε τὰ 10
παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν Ἀγρίππαν ἀπαγγελοῦντα αὐτοῖς, ὅτι 'προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὁμόσαντας οὐχ ὑπομένει, πολεμήσει δὲ ἄκων πρὸς οὓς ἥκιστα βούλοιτο. Δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς 11
πόλεως· οὐ γὰρ ὅσιον, διὰ τὴν αὐτῶν κακοβουλίαν, ὁμοφύλῳ φόνῳ μιαίνεσθαι τὰ τεμένη τῆς πατρίδος.' Ὁ μὲν οὖν ἀκούσας ταῦτα τοῖς βουλευταῖς ἀπήγγειλεν.

4. Μεταξὺ δὲ τῶν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις, 12
σπασάμενος τὸ ξίφος, "Ἄνδρες," ἐβόησε, "συστρατιῶται, τί παθόντες ἀδελφοκτονεῖν αἱρούμεθα, καὶ κατὰ τῶν μετὰ Κλαυδίου συγγενῶν ὁρμᾶν, ἔχοντες μὲν αὐτοκράτορα μηδὲν μεμφθῆναι δυνάμενον, τοσαῦτα δὲ δίκαια πρὸς οὓς μετὰ τῶν ὅπλων χωρεῖν μέλλομεν;" Ταῦτα εἰπὼν διὰ μέσης ὥρμησε 13
τῆς βουλῆς πάντας τοὺς συστρατιώτας ἐφελκόμενος. Οἱ δὲ εὐπατρίδαι παραχρῆμα μὲν πρὸς τὴν ἀπόλειψιν περιδεῶς ἔσχον. Αὖθις δὲ ὡς ἀποστροφὴ σωτήριος οὐ κατεφαίνετο, 14
τὴν τῶν στρατιωτῶν ὁδὸν ἠπείγοντο πρὸς Κλαύδιον. Ὑπήντων δὲ αὐτοῖς πρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν οἱ σφοδρότερον κολακεύοντες τὴν τύχην. Καὶ ἂν συνέβη κινδυνεῦ- 15
σαι τοὺς προάγοντας, πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ 'τὸ κινδύνευμα τῆς πράξεως ἐδήλωσεν· ὅτι τε, εἰ μὴ κατάσχοι τὴν 16
ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυσσηκότων, ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστι περίοπτον, ἐρημίας ἔσοιτο βασιλεύς.'

9 ἀπήγγειλλεν sic T. 10 pro ὁμόσαντας, ὁμονοήσαντας P. et in marg. L. οὐχ ὑπομένοι L.M.N.P. πολεμήσειν P. 11 τεμένη πατρίδος R.E. ὁ μὲν ἀκούσας P. 12 ἀδελφοκ. βουλόμεθα P. καὶ μετὰ τῶν Κλαυδίου L.N. κατὰ τῶν Κλ. sed in marg. μετὰ τῶν Κλ. T. τοσαῦ. δὲ τὰ δίκ. P. 13 πάντας τοὺς στρατιώτας N.E. τὴν ἀπόληψιν P. 14 οὐκ ἀπεφαίνετο P. 15 Καὶ συνέβη L.N.P.T.

17 5. Ταῦτα ἀκούσας Κλαύδιος ἐπέσχε τὰς ὁρμὰς τοῦ στρατιωτικοῦ, προσδέχεταί τε τὴν σύγκλητον εἰς τὸ στρατόπεδον, καὶ φιλοφρονησάμενος ἔξεισι σὺν αὐτοῖς αὐτίκα, θύσων
18 τῷ θεῷ τὰ περὶ τῆς ἡγεμονίας χαριστήρια. Καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδωρεῖτο τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ, προστιθεὶς ἔξωθεν καὶ τὰς ὑπ' Αὐγούστου δοθείσας Ἡρῴδῃ, Τραχωνίτιν καὶ Αὐρανίτιν, χωρὶς δὲ τούτων ἑτέραν βασι-
19 λείαν τὴν Λυσανίου καλουμένην. Καὶ τῷ μὲν δήμῳ διατάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν, ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπιτώλιον
20 ἀναθεῖναι· δωρεῖται δὲ αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρῴδην — ὁ δὲ αὐτὸς καὶ γαμβρὸς ἦν Βερνίκῃ συνοικῶν — βασιλείᾳ τῇ Χαλκίδι.

21 6. Ταχέως δὲ, ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο· τηλικοῦτον γὰρ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύ-
22 μοις τεῖχος, ἡλίκον ἂν τελεσθὲν ἀνήνυτον τὴν ἐν Ῥωμαίοις ἐποίησε πολιορκίαν. Ἀλλ' ἔφθη, πρὶν ὑψῶσαι τὸ ἔργον, τελευτήσας ἐν Καισαρείᾳ, βεβασιλευκὼς μὲν ἔτη τρία, πρό-
23 τερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. Καταλείπει δὲ τρεῖς μὲν θυγατέρας ἐκ Κύπρου γεγεννημένας, Βερνίκην, Μαριάμμην, Δρούσιλλαν· υἱὸν δὲ ἐκ
24 τῆς αὐτῆς, Ἀγρίππαν. Οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμ-
25 πει Κούσπιον Φάδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον· οἳ, μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν, ἐν εἰρήνῃ τὸ ἔθνος διεφύ-
26 λαξαν. Μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρῴδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερνίκης δύο

17 Κλαύ. κατέσχε P. φιλοφ. ἐξήει P. 19 χαλκοῖς P. 20 τῇ βασιλίδι τῇ Χαλκήτιδι P. 21 συνερρει P. οὐκ εἰς μακρὰν L.M.N. P.R.T. τηλικοῦτον δὲ R.E. τηλικοῦ. γὰρ τοῖς Ἱεροσ. περιβαλεῖν ἤρξατο P. ἡλίκον συντελεσθὲν P. ἀνήνυτον Ῥωμαίοις ἐποίησε τὴν πολιορ. P. 23 τρεῖς θυγατέρας P. γεγενημένας M.R. Βερενίκην L. καὶ Μαριάμμην καὶ P. Μαριάμνην et sic infra N. 24 Κοῦστον Φάδον P. 25 τῶν ἐπιχωρίων ἐθῶν εἰρήνῃ P. 26 τῆς ἀδελφῆς Βερ. M.P.

πρὸς τὸν Πιλάτον εἰς Καισάρειαν, ἱκέτευον ἐξενεγκεῖν Ἱεροσολύμων τὰς σημαίας, καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν ἱκεσίαν, πρηνεῖς καταπεσόντες, ἐπὶ πέντε ἡμέρας καὶ νύκτας ἴσας ἀκίνητοι διεκαρτέρουν.

3. Τῇ δὲ ἑξῆς ὁ Πιλάτος καθίσας ἐπὶ βήματος ἐν τῷ 9
μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος, ὡς ἀποκρίνεσθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον, ἐκ συντάγματος κυκλώσασθαι τοὺς Ἰουδαίους τοῖς ὅπλοις. Περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰου- 10
δαῖοι μὲν ἀχανεῖς ἦσαν, πρὸς τὸ ἀδόκητον τῆς ὄψεως· Πιλά- 11
τος δὲ κατακόψειν εἰπὼν αὐτοὺς, εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἔνευεν. Οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες, 12
καὶ τοὺς αὐχένας παρακλίναντες, ἑτοίμους εἰς ἀναίρεσιν σφᾶς ἐβόων μᾶλλον, ἢ τὸν νόμον παραβῆναι. Ὑπερθαυμάσας δὲ 13
ὁ Πιλάτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει.

4. Μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει, τὸν ἱερὸν θη- 14
σαυρὸν — καλεῖται δὲ Κορβανᾶς — εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. Κατῆγε δὲ ἀπὸ τετρακοσίων σταδίων. Πρὸς 15
τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα, περιστάντες τὸ βῆμα κατεβόων. Ὁ 16
δὲ, προῄδει γὰρ αὐτῶν τὴν ταραχὴν, καὶ τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους ἐσθήσεσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας, καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος· τυπτόμενοι δὲ οἱ Ἰουδαῖοι πολλοὶ μὲν 17
ὑπὸ τῶν πληγῶν, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ

8 πρὸς Πιλάτον P. περὶ τὴν οἰκίαν πρηνεῖς L.N.P. et in marg. T. 9 Ἰουδαίους ἐν τοῖς P. περιστάσης δὲ αὐτοῖς τρ. T. 10 τριστοιχεία N. et pri. ma. L. sed in hoc ex cor. τριστιχεῖ. τριστοιχὶ sed in marg. τριστοιχίᾳ T. 11 εἰπὼν αὐτοῖς P. ἐκέλευσεν sed in marg. ἔνευεν T. 12 ἑτοίμους ἀναιρεῖν σφᾶς P. σφᾶς αὐτοὺς ἑβ. M. 14 Κορβωνᾶς P. et L.N. sed in hor. utroque ex cor. rec. 15 Κατήγαγεν P. 16 ταραχὴν, τῷ πλή. P. ἐνόπλους ἐν P. ἐσθῆσιν P. et T. sed in huj. marg. ἐσθήσεσιν. 17 τυπτόμενοι δὲ Ἰου. M.T.

καταπατηθέντες ἀπώλοντο. Πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνηρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησε.

18 5. Καὶ ἐν τούτῳ κατήγορος Ἡρώδου τοῦ τετραρχοῦντος Ἀγρίππας υἱὸς Ἀριστοβούλου, ὃν ὁ πατὴρ Ἡρώδης ἀπέ-
19 κτεινε, παραγίνεται πρὸς Τιβέριον. Τοῦ δὲ μὴ προσδεξαμένου τὴν κατηγορίαν, μένων ἐπὶ Ῥώμης τούς τε ἄλλους τῶν γνωρίμων ἐθεράπευε, καὶ μάλιστα τὸν Γερμανικοῦ παῖδα
20 Γάϊον, ἰδιώτην ἔτι ὄντα. Καὶ δή ποτε ἑστιῶν αὐτὸν, τά τε ἄλλα ποικίλως ἐφιλοφρονεῖτο, καὶ τελευταῖον τὰς χεῖρας ἀνατείνας, φανερῶς ηὔξατο θᾶττον αὐτὸν θεάσασθαι τῶν
21 ὅλων δεσπότην, ἀποθανόντος Τιβερίου. Τοῦτό τις τῶν οἰκετῶν αὐτοῦ διαγγέλλει Τιβερίῳ· καὶ ὃς ἀγανακτήσας εἴργνυσι τὸν Ἀγρίππαν, καὶ μετ' αἰκίας εἶχεν ἐπὶ μῆνας ἓξ ἐν δεσμωτηρίῳ, μέχρις αὐτὸς ἐτελεύτησεν ἡγεμονεύσας ἔτη δύο πρὸς τοῖς εἴκοσι, καὶ τρεῖς ἡμέρας ἐπὶ μησὶν ἕξ.

22 6. Ἀποδειχθεὶς δὲ Γάϊος Καῖσαρ, ἀνίησί τε τῶν δεσμῶν τὸν Ἀγρίππαν, καὶ τῆς Φιλίππου τετραρχίας, ἐτεθνήκει
23 γὰρ οὗτος, καθίστησι βασιλέα. Παραγενόμενος δὲ εἰς τὴν ἀρχὴν Ἀγρίππας, φθόνῳ τὰς Ἡρώδου τοῦ τετράρχου διήγειρεν ἐπιθυμίας. Ἐνῆγε δὲ μάλιστα τοῦτον εἰς ἐλπίδα βασιλείας Ἡρωδιὰς ἡ γυνὴ, κατονειδίζουσα τὴν ἀργίαν, καὶ
24 φαμένη 'παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ Καίσαρα, στερίσκεσθαι μείζονος ἀρχῆς· ὅπου γὰρ Ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἦπού γε ἂν ἐκεῖνον διαναστήσειεν ἐκ τε-
25 τράρχου.' Τούτοις ἀναπεισθεὶς Ἡρώδης, ἦκε πρὸς Γάϊον,
26 ὑφ' οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς Ἱσπανίαν. Ἠκολούθησε γὰρ αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκε Γάϊος. Καὶ Ἡρώδης μὲν ἐν Ἱσπανίᾳ, συμφυγούσης αὐτῷ καὶ τῆς γυναικὸς, τελευτᾷ.

18 πρὸς Τιβέριον παραγίνεται tr. L. 19 ἄλλους πάντας τῶν T. ἔτι deest P. 21 διαγ. τῷ Τιβερίῳ P. εἶχεν αὐτὸν ἐπὶ P. 22 ἀνίεισί τε P. ἀνίησι τῶν T. δεσμῶν Ἀγρίππαν L. τεθνήκει N.T. θνήσκει P. 24 ὅπου μὲν Ἀγ. P. διαστάσειεν P. ἐκ τετραρχίας T. 25 Ἡρ. τοῖς λόγοις ἦκε T. εἰς Σπανίαν L.N. et sic infra.

CAP. X.

Antt. 18. 8. 2.

1. Γάϊος δὲ Καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύ- 1
χην, ὥστε θεὸν μὲν αὐτὸν καὶ δοκεῖν, καὶ βούλεσθαι καὶ καλεῖσθαι, τῶν τε εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα, ἐκτεῖναι δὲ τὴν ἀσέβειαν καὶ ἐπὶ Ἰουδαίους. Πετρώ- 2
νιον γοῦν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἔπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας, εἰ μὴ δέξαιντο Ἰουδαῖοι, τούς τε κωλύοντας ἀνελεῖν, καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. Θεῷ δὲ ἄρα τῶν προστα- 3
γμάτων ἔμελε. Καὶ Πετρώνιος μὲν, σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς Συρίας συμμάχοις, εἰς τὴν Ἰουδαίαν ἤλαυνεν ἐκ τῆς Ἀντιοχείας. Ἰουδαίων δὲ οἱ μὲν ἠπίστουν ἔτι ταῖς 4
τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. Ταχὺ δὲ ἐχώρει διὰ πάντων τὸ δέος· ἤδη γὰρ οὔσης εἰς τὴν Πτολεμαΐδα τῆς στρατιᾶς.

2. Πρόσεστι δὲ ἡ πόλις αὕτη τῆς Γαλιλαίας παράλιος 5
κατὰ τὸ μέγα πεδίον ἐκτισμένη. Περιέχεται δὲ ὄρεσιν, ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα τῷ τῆς Γαλιλαίας, ἀπὸ δὲ τοῦ μεσημβρινοῦ τῷ Καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι· τῷ δὲ ὑψηλοτάτῳ κατ' ἄρ- 6
κτον, ὃ καλοῦσι κλίμακα Τυρίων οἱ ἐπιχώριοι, καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. Τοῦ δὲ ἄστεως ἀπὸ δύο στα- 7
δίων ὁ καλούμενος Βήλεος ποταμὸς παραρρεῖ παντάπασιν ὀλίγος, παρ' ᾧ τὸ Μέμνονος μνημεῖόν ἐστιν, ἔχον ἐγγὺς αὐτοῦ τόπον ἑκατοντάπηχυν θαύματος ἄξιον. Κυκλοτερὴς 8
μὲν γάρ ἐστι καὶ κοῖλος, ἀναδίδωσι δὲ τὴν ὑαλινὴν ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσχόντα, πάλιν ἀντιπλη-

1 ἑαυτὸν δοκεῖν P. καὶ ἐπὶ Ἰουδαίαν P. 2 Πετρώνιον μὲν οὖν P. ἐγκαθιδρύσαντα L. δέξοιντο L.N.T.E. δέχοιντο P. ἀνδραποδίσασθαι T. 3 ἔμελλε L.M.N.P. 4 εἰς Πτολεμαΐδα P.T. 5 Πρόσεστιν ἡ N. et pri. ma. L. ἔστι δὲ πόλις sec. man. L. πόλις δ' ἐστὶν P. Γαλιλαίας saltus est ab hac voce ad eandem mox repetitam M. ἑξήκοντα τῆς N.T. et pri. ma. L. 7 ἄστεος T. Βήλαιος M. et ex cor. L. Βίλλαιος ex cor. T. ἑκατονταπήχη L.N.P.T. 8 ὑαλικὴν E. ὑελινὴν ex cor. L. et sic infra. ἀναπληροῦται E.

ροῦται τὸ χωρίον, κατασυρόντων μὲν ὥσπερ ἐπίτηδες τότε
9 τῶν ἀνέμων εἰς αὐτὸ τὴν ἔξωθεν ἀργὴν ψάμμον· τοῦ δὲ με-
τάλλου πᾶσαν εὐθέως μεταβάλλοντος εἰς ὕαλον, θαυμασιώ-
τερον τοῦτό μοι δοκεῖ, τὸ τὴν ὑπερχυθεῖσαν ὕαλον ἐκ τοῦ
τόπου πάλιν γίνεσθαι ψάμμον εἰκαίαν. Τὸ μὲν οὖν χωρίον
τοῦτο τοιαύτην εἴληφε φύσιν.

10 3. Ἰουδαῖοι δὲ, μετὰ γυναικῶν καὶ τέκνων ἀθροισθέντες εἰς
τὸ πεδίον τὸ πρὸς Πτολεμαΐδα, καθικέτευον τὸν Πετρώνιον,
11 ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ ἑαυτῶν. Ὁ
δὲ πρός τε τὸ πλῆθος καὶ τὰς δεήσεις ἐνδοὺς, τὴν μὲν στρα-
τιὰν καὶ τοὺς ἀνδριάντας ἐν Πτολεμαΐδι καταλείπει· προελ-
12 θὼν δὲ εἰς τὴν Γαλιλαίαν, καὶ συγκαλέσας τὸ πλῆθος καὶ
τοὺς γνωρίμους πάντας εἰς τὴν Τιβεριάδα, τήν τε Ῥωμαίων
διεξῄει δύναμιν, καὶ τὰς Καίσαρος ἀπειλὰς, ἔτι δὲ καὶ ‘τὴν
13 ἀξίωσιν ἀπέφηνεν ἀγνώμονα· πάντων γὰρ τῶν ὑποτεταγμέ-
νων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς
καὶ τὰς Καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάσσεσθαι
πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεθ’ ὕβρεως.’

14 4. Τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἔθος προτειναμένων,
καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρὸς, οὐ κατὰ τὸν
ναὸν μόνον, ἀλλ’ οὐδὲ ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι
15 θεμιτὸν εἴη, ὑπολαβὼν ὁ Πετρώνιος, “Ἀλλὰ μὴν καὶ ἐμοὶ
φυλακτέος ὁ τοῦ ἐμοῦ δεσπότου νόμος,” ἔφη· “παραβὰς
16 γὰρ αὐτὸν, καὶ φεισάμενος ὑμῶν, ἀπολοῦμαι δικαίως. Πολε-
μήσει δὲ ὑμᾶς ὁ πέμψας ἐμὲ, καὶ οὐκ ἐγώ· καὶ γὰρ αὐτὸς,
ὥσπερ ὑμεῖς, ἐπιτάσσομαι.” Πρὸς ταῦτα τὸ πλῆθος πᾶν
17 ἐβόα, ‘πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν.’ Καταστεί-
λας δὲ ὁ Πετρώνιος αὐτῶν τὴν βοὴν, “Πολεμήσετε,” εἶπεν,
“ἆρα Καίσαρι;” Καὶ Ἰουδαῖοι, ‘περὶ μὲν Καίσαρος καὶ τοῦ

9 θαυμασ. τούτου L.N.T. μοι δοκεῖν E. ψάμμον οἰκείαν M. ψάμ. γίνεσθαι εἰκαίαν tr. P. εἴληχεν P. 10 ὑπὲρ αὐτῶν. P. 11 τοὺς μὲν ἀνδριάντας καὶ τὰς στρατιὰς P. Πτολ. λείπει P. 12 προσελθὼν L.P. et pri. ma. M. γνωρ. ἅπαντας T. εἰς Τιβερίαδα L.P. ἐτὶ δὲ τὴν P. 15 ὑπολαβὼν δὲ ὁ P. 16 ἐμὲ, οὐκ ἐγώ M.E. καὶ γὰρ καὶ αὐτὸς T. πάντ’ ἐβόα P. 17 Κατασ. τε αὐτῶν ὁ Πετ. P.

δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν, ἔφασαν. Εἰ δὲ 18
βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν
τὸ Ἰουδαίων ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς
ἑτοίμους εἰς σφαγὴν ἅμα τέκνοις καὶ γυναιξίν.' Ἐπὶ τού- 19
τοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον, τῆς τε ἀνυπερ-
βλήτου θρησκείας τῶν ἀνδρῶν, καὶ τοῦ πρὸς θάνατον ἑτοίμου
παραστήματος. Καὶ τότε μὲν ἄπρακτοι διελύθησαν.

5. Ταῖς δὲ ἑξῆς ἀθροίσας τε τοὺς δυνατοὺς κατ' ἰδίαν, καὶ 20
τὸ πλῆθος ἐν κοινῷ συλλέγων ποτὲ μὲν παρεκάλει ποτὲ δὲ
συνεβούλευε, τὸ μέντοι πλέον διηπείλει, τήν τε Ῥωμαίων
ἐπανατεινόμενος ἰσχύν, καὶ τοὺς Γαΐου θυμούς, τήν τε ἰδίαν
πρὸς τούτοις ἀνάγκην. Πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδιδόντων, 21
ὡς ἑώρα καὶ τὴν χώραν κινδυνεύουσαν ἄσπορον μεῖναι, κατὰ
γὰρ ὥραν σπόρου πεντήκοντα ἡμέρας ἀργὰ προσδιέτριβεν
αὐτῶν τὰ πλήθη, τελευταῖον ἀθροίσας αὐτούς, καὶ "Παρα- 22
κινδυνευτέον ἐμοὶ μᾶλλον" εἰπών, "ἢ γὰρ, τοῦ θεοῦ συνερ-
γοῦντος, πείσας Καίσαρα, σωθήσομαι μεθ' ὑμῶν ἡδέως, ἢ
παροξυνθέντος, ὑπὲρ τοσούτων ἑτοίμως ἐπιδώσω τὴν ἐμαυτοῦ
ψυχήν," διαφῆκε τὸ πλῆθος, πολλὰ κατευχόμενον αὐτῷ, καὶ
παραλαβὼν τὴν στρατιὰν ἐκ τῆς Πτολεμαΐδος ὑπέστρεψεν
εἰς Ἀντιόχειαν. Ἔνθεν εὐθέως ἐπέστελλε Καίσαρι τήν τε 23
ἐμβολὴν τὴν εἰς Ἰουδαίαν ἑαυτοῦ, καὶ τὰς τοῦ ἔθνους ἱκετείας,
ὅτι τε, εἰ μὴ βούλοιτο πρὸς τοῖς ἀνδράσι καὶ τὴν χώραν
ἀπολέσαι, δέοι φυλάττειν τε αὐτοὺς τὸν νόμον, καὶ παρεῖναι
τὸ πρόσταγμα. Ταύταις ταῖς ἐπιστολαῖς οὐ σφόδρα με- 24
τρίως Γάϊος ἀντέγραψεν, ἀπειλῶν Πετρωνίῳ θάνατον, ὅτι
τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγένετο. Ἀλλὰ 25
τοὺς μὲν τούτων γραμματοφόρους συνέβη χειμασθῆναι τρεῖς
μῆνας ἐν τῇ θαλάσσῃ, τὸν δὲ Γαΐου θάνατον ἄλλοι καταγ-

18 εἰς τὴν σφαγὴν P. 20 ἑξῆς ἀθρόους τε L.M.N.R.T. κοινῷ συλ-
λεγόντων P. τὸ πλέον μέντοι tr. P. ἐπανατεινάμενος M. 21 κιν-
δυν. ἄσπορας ν̄ γὰρ ἡμέρας ἀργὰ P. ἀργὰ διέτριβεν E. αὐτῷ τὰ πλή. P.
22 κατευχομένων P. ἐπέστρεψεν E. 23 τὰς ἱκεσίας τοῦ ἔθνους P.
εἰ μὴ βούλεται P. δέον φυλάτ. M.R.E. καὶ παρίεναι τὸ P.E. 24 ἐπι-
στολαῖς σφόδρα P. ἀντέγραψεν ὁ Γάϊος P.

26 γέλλοντες εὐπλόουν. Ἔφθη γοῦν τὰς περὶ τούτου λαβεῖν Πετρώνιος ἐπιστολὰς ἑπτὰ καὶ εἴκοσιν ἡμέρας, ἢ τὰς καθ' ἑαυτοῦ.

CAP. XI.

1 1. Γαΐου δὲ ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας ὀκτὼ, καὶ Antt. 19. δολοφονηθέντος, ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν Ῥώμῃ στρατευ- 7. 1.
2 μάτων εἰς τὴν ἀρχὴν Κλαύδιος. Ἡ δὲ σύγκλητος, ἐξηγουμένων τῶν ὑπάτων, Σεντίου Σατορνίνου καὶ Πομπωνίου Σεκούνδου, τρισὶ ταῖς συμμενούσαις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν, εἰς τὸ Καπιτώλιον ἠθροίσθη, καὶ διὰ τὴν
3 ὠμότητα τὴν Γαΐου Κλαυδίῳ πολεμεῖν ἐψηφίζετο· καταστήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχὴν, ἢ κρίνειν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας.
4 2. Συνέβη δὲ τηνικαῦτα προσεπιδημοῦντα τὸν Ἀγρίππαν, τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι, καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρή-
5 σιμος αὐτῷ γένοιτο. Καὶ ἐκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνά-
6 μει Καίσαρα, πρὸς Κλαύδιον ἄπεισιν. Ὁ δὲ αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον,
7 οὔτε ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι· καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως ἐπικίνδυνον εἶναι· ἔπειτα ὅτι διοικήσοι τὴν ἀρχὴν, ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δὲ ἐφ'
8 ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν ἀποδώσειν. Καὶ γὰρ

26 περὶ τούτων P. Πετρώνιος λαβὼν P. λαβεῖν ὁ Πετ. N. ἡμέραις L.M.N.T. 1 ἡγεμονεύοντος R. εἰς τὴν ἀρχὴν desunt P. 2 Σεττίου L.M.N.R.T. Σατορνίλου M.T. Σατορνείλου N. Σατουρνίνου E. Πομπονίου P. ταῖς σημαινούσαις σπείραις M. Καπετώλιον L.M.N.T. ὠμότητα τοῦ Γ.E. Κλαυδ. πόλεμον T. 4 Συνέβη τηνικαῦτα P. πέμψαι Κλαύδιον L.M.N.R.T. αὐτῷ γένηται T. 5 Καὶ ἐκεῖνος desunt P. 6 τὴν ἑαυτοῦ προ. P. τὴν ἑαυτοῦ τύχ. P. αὐτοῦ δίκην κρί. L. 7 καὶ γὰρ τὸ M.N.R.T. καὶ γὰρ τοῦ L. διοικήσει P. et ex cor. L.

εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.'

3. Ταῦτα ἀπήγγελλεν Ἀγρίππας. Ἡ δὲ βουλὴ ἀπε- 9
κρίνατο, 'καὶ στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκούσιον οὐχ ὑπομένειν.' Καὶ Κλαύδιος, ὡς ἤκουσε τὰ 10
παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν Ἀγρίππαν ἀπαγγελοῦντα αὐτοῖς, ὅτι 'προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὁμόσαντας οὐχ ὑπομένει, πολεμήσει δὲ ἄκων πρὸς οὓς ἥκιστα βούλοιτο. Δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς 11
πόλεως· οὐ γὰρ ὅσιον, διὰ τὴν αὐτῶν κακοβουλίαν, ὁμοφύλῳ φόνῳ μιαίνεσθαι τὰ τεμένη τῆς πατρίδος.' Ὁ μὲν οὖν ἀκούσας ταῦτα τοῖς βουλευταῖς ἀπήγγειλεν.

4. Μεταξὺ δὲ τῶν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις, 12
σπασάμενος τὸ ξίφος, "Ἄνδρες," ἐβόησε, "συστρατιῶται, τί παθόντες ἀδελφοκτονεῖν αἱρούμεθα, καὶ κατὰ τῶν μετὰ Κλαυδίου συγγενῶν ὁρμᾶν, ἔχοντες μὲν αὐτοκράτορα μηδὲν μεμφθῆναι δυνάμενον, τοσαῦτα δὲ δίκαια πρὸς οὓς μετὰ τῶν ὅπλων χωρεῖν μέλλομεν;" Ταῦτα εἰπὼν διὰ μέσης ὥρμησε 13
τῆς βουλῆς πάντας τοὺς συστρατιώτας ἐφελκόμενος. Οἱ δὲ εὐπατρίδαι παραχρῆμα μὲν πρὸς τὴν ἀπόλειψιν περιδεῶς ἔσχον. Αὖθις δὲ ὡς ἀποστροφὴ σωτήριος οὐ κατεφαίνετο, 14
τὴν τῶν στρατιωτῶν ὁδὸν ἠπείγοντο πρὸς Κλαύδιον. Ὑπήντων δὲ αὐτοῖς πρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν οἱ σφοδρότερον κολακεύοντες τὴν τύχην. Καὶ ἂν συνέβη κινδυνεῦ- 15
σαι τοὺς προάγοντας, πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ 'τὸ κινδύνευμα τῆς πράξεως ἐδήλωσεν· ὅτι τε, εἰ μὴ κατάσχοι τὴν 16
ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυσσηκότων, ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστι περίοπτον, ἐρημίας ἔσοιτο βασιλεύς.'

9 ἀπήγγειλλεν sic T. 10 pro ὁμόσαντας, ὁμονοήσαντας P. et in marg. L. οὐχ ὑπομένοι L.M.N.P. πολεμήσειν P. 11 τεμένη πατρίδος R.E. ὁ μὲν ἀκούσας P. 12 ἀδελφοκ. βουλόμεθα P. καὶ μετὰ τῶν Κλαυδίου L.N. κατὰ τῶν Κλ. sed in marg. μετὰ τῶν Κλ. T. τοσαῦ. δὲ τὰ δίκ. P. 13 πάντας τοὺς στρατιώτας N.E. τὴν ἀπόληψιν P. 14 οὐκ ἀπεφαίνετο P. 15 Καὶ συνέβη L.N.P.T.

17 5. Ταῦτα ἀκούσας Κλαύδιος ἐπέσχε τὰς ὁρμὰς τοῦ στρατιωτικοῦ, προσδέχεταί τε τὴν σύγκλητον εἰς τὸ στρατόπεδον, καὶ φιλοφρονησάμενος ἕξεισι σὺν αὐτοῖς αὐτίκα, θύσων
18 τῷ θεῷ τὰ περὶ τῆς ἡγεμονίας χαριστήρια. Καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδωρεῖτο τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ, προστιθεὶς ἔξωθεν καὶ τὰς ὑπ' Αὐγούστου δοθείσας Ἡρώδῃ, Τραχωνίτιν καὶ Αὐρανίτιν, χωρὶς δὲ τούτων ἑτέραν βασι-
19 λείαν τὴν Λυσανίου καλουμένην. Καὶ τῷ μὲν δήμῳ διατάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν, ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπιτώλιον
20 ἀναθεῖναι· δωρεῖται δὲ αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρώδην — ὁ δὲ αὐτὸς καὶ γαμβρὸς ἦν Βερνίκῃ συνοικῶν — βασιλείᾳ τῇ Χαλκίδι.

21 6. Ταχέως δὲ, ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο· τηλικοῦτον γὰρ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύ-
22 μοις τεῖχος, ἡλίκον ἂν τελεσθὲν ἀνήνυτον τὴν ἐν Ῥωμαίοις ἐποίησε πολιορκίαν. Ἀλλ' ἔφθη, πρὶν ὑψῶσαι τὸ ἔργον, τελευτήσας ἐν Καισαρείᾳ, βεβασιλευκὼς μὲν ἔτη τρία, πρό-
23 τερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. Καταλείπει δὲ τρεῖς μὲν θυγατέρας ἐκ Κύπρου γεγεννημένας, Βερνίκην, Μαριάμμην, Δρούσιλλαν· υἱὸν δὲ ἐκ
24 τῆς αὐτῆς, Ἀγρίππαν. Οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμ-
25 πει Κούσπιον Φάδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον· οἳ, μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν, ἐν εἰρήνῃ τὸ ἔθνος διεφύ-
26 λαξαν. Μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρώδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερνίκης δύο

17 Κλαύ. κατέσχε P. φιλοφ. ἐξῄει P. 19 χαλκοῖς P. 20 τῇ βασιλίδι τῇ Χαλκήτιδι P. 21 συνερρει P. οὐκ εἰς μακρὰν L.M.N. P.R.T. τηλικοῦτον δὲ R.E. τηλικοῦ. γὰρ τοῖς Ἱεροσ. περιβαλεῖν ἤρξατο P. ἡλίκον συντελεσθὲν P. ἀνήνυτον Ῥωμαίοις ἐποίησε τὴν πολιορ. P. 23 τρεῖς θυγατέρας P. γεγενημένας M.R. Βερενίκην L. καὶ Μαριάμμην καὶ P. Μαριάμνην et sic infra N. 24 Κοῦστον Φάδον P. 25 τῶν ἐπιχωρίων ἐθῶν εἰρήνῃ P. 26 τῆς ἀδελφῆς Βερ. M.P.

παῖδας, Βερνικιανόν τε καὶ Ὑρκανὸν, ἐκ δὲ τῆς προτέρας Μαριάμμης, Ἀριστόβουλον. Ἐτεθνήκει δὲ αὐτῷ καὶ ἕτερος 27
ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης, καταλιπὼν Ἰωτάπην θυγατέρα. Οὗτοι μὲν οὖν ἦσαν, ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρώδου παῖδες. Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ 28
Μαριάμμης Ἡρώδῃ ἐγεγόνεισαν, οὓς ὁ πατὴρ ἀνεῖλεν· ἡ δὲ Ἀλεξάνδρου γενεὰ τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσε.

CAP. XII.

Antt. 20. 5. 3.

1. Μετὰ δὲ τὴν Ἡρώδου τελευτὴν, ὃς ἦρξε τῆς Χαλκίδος, 1
καθίστησι Κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου τὸν Ἀγρίππαν, υἱὸν Ἀγρίππα. Τῆς δὲ ἄλλης ἐπαρχίας διαδέχεται 2
τὴν ἐπιτροπὴν ἀπὸ Ἀλεξάνδρου Κούμανος, ἐφ' οὗ θόρυβοί τε ἤρξαντο, καὶ φθορὰ πάλιν Ἰουδαίων ἐγένετο. Συνεληλυ- 3
θότος γὰρ τοῦ πλήθους ἐπὶ τὴν ἑορτὴν τῶν ἀζύμων εἰς Ἱεροσόλυμα, καὶ τῆς Ῥωμαϊκῆς σπείρας ὑπὲρ τὴν τοῦ ἱεροῦ στοὰν ἐφεστώσης, — ἔνοπλοι δὲ ἀεὶ τὰς ἑορτὰς παραφυλάτ- 4
τουσιν, ὡς μή τι νεωτερίζοι τὸ πλῆθος συνηθροισμένον, — εἷς τις τῶν στρατιωτῶν ἀνασυράμενος τὴν ἐσθῆτα, καὶ κατακύψας ἀσχημόνως, προσαπέστρεψε τοῖς Ἰουδαίοις τὴν ἕδραν, καὶ τῷ σχήματι φωνὴν ὁμοίαν ἐπεφθέγξατο. Πρὸς τοῦτο 5
πᾶν μὲν τὸ πλῆθος ἠγανάκτησε, καὶ κατεβόων τοῦ Κουμάνου κολάζειν τὸν στρατιώτην. Οἱ δὲ ἧττον νήφοντες τῶν νέων, 6
καὶ τὸ φύσει στασιῶδες ἐκ τοῦ ἔθνους, ἐχώρουν ἐπὶ μάχην, λίθους τε ἁρπάσαντες εἰς τοὺς στρατιώτας ἔβαλλον. Καὶ 7
Κούμανος, δείσας μὴ τοῦ λαοῦ παντὸς ἐπ' αὐτὸν ὁρμὴ γένοιτο, πλείους ὁπλίτας μεταπέμπεται. Τῶν δὲ ταῖς στοαῖς 8
ἐπιχεομένων, φόβος ἐμπίπτει τοῖς Ἰουδαίοις ἀκατάσχετος· καὶ τραπέντες ἐκ τοῦ ἱεροῦ διέφυγον εἰς τὴν πόλιν. Τοσαύτη 9

27 τεθνήκει N.P.R.T. Ἰωπάτην ex cor. T. οὗτοι μὲν ἦσαν L.N.T. 28 γεγόνεισαν N.T. γεγόνασιν υἱεῖς P. ἐβασίλευε T. 1 τελευτὴν ἦρχε N. et pri. ma. L.T. sed in hor. utroque rec. man. ὃς adjectum est. τελευ. ὃς ἦρχε M.R. 4 τὰς ἑορτὰς πάσας T. ἠθροισμένον P. ἀπεφθέγξατο R. 5 πᾶν τὸ πλῆ. L.N.T. ἅπαν μὲν τὸ π. P. 6 ἐπὶ τοὺς στρατ. P. 8 διέφευγον L.M.

δὲ περὶ τὰς ἐξόδους βία συνωθουμένων ἐγένετο, ὥστε πατηθέντας ὑπ' ἀλλήλων καὶ συντριβέντας ὑπὲρ τοὺς μυρίους ἀποθανεῖν, γενέσθαι δὲ τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει, θρῆνον δὲ καθ' ἑκάστην οἰκίαν.

10 2. Μεταλαμβάνει δὲ ταύτην τὴν συμφορὰν λῃστρικὸς ἄλλος θόρυβος. Κατὰ γὰρ τὴν Βαιθωρὼ δημοσίαν ὁδὸν Στεφάνου τινὸς, δούλου Καίσαρος, ἀποσκευὴν κομιζομένην
11 διήρπασαν λῃσταὶ προσπεσόντες. Κούμανος δὲ περιπέμψας, τοὺς ἐκ τῶν πλησίον κωμῶν δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτὸν, ἐπικαλῶν, ὅτι μὴ διώξαντες τοὺς λῃστὰς
12 συλλάβοιεν. Ἔνθα τῶν στρατιωτῶν τις, εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον, διέρρηξέ τε τὸ βιβλίον, καὶ εἰς πῦρ κατέ-
13 βαλεν. Ἰουδαῖοι δὲ, ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης, συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι, εἰς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κούμανον συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιϊδεῖν ἀτιμώρητον.
14 Ὁ δὲ, οὐ γὰρ ἠρεμήσειν τὸ πλῆθος, εἰ μὴ τύχοι παραμυθίας, συνιδὼν, ἠξίου προσάγειν τε τὸν στρατιώτην, καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει. Καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν.

15 3. Αὖθις δὲ Γαλιλαίων καὶ Σαμαρέων γίνεται συμβολή. Κατὰ γὰρ τὴν Γημὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰου-
16 δαίων ἐπὶ τὴν ἑορτὴν, ἀναιρεῖταί τις Γαλιλαῖος. Πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλιλαίας συνέδραμον, ὡς πολεμήσοντες

9 ἀπ' ἀλλήλων E. ὑπὲρ τρισμυρίους P. θρῆνος δὲ L.M.N.T. αι

10 Μετελάμβανεν P. ἄλλος ληστρικὸς tr. P. Βεθώρω P. Βεθωρῶ sic T. δημοσίαν ἄνοδον P. 11 ἐπεγκαλῶν M. 12 ἔνθα στρατιω. E. διέρρηξεν τὸ P. κατέβαλλεν M.T. 13 πρὸς ἓν κήρυγ. P. νόμον αὐτὸν L. νόμον αὐτοῦ E. μὴ παριδεῖν P. 14 ἠρεμήσει P. ἠξίου τε προσάγειν P. καὶ διαμέσου P. ἀπαχθῆναι ἐπὶ E. 15 γὰρ Γημὰν P. γὰρ τὴν Ὥβὰν L. γὰρ τὴν Μᾶν N. Μαὰν sed in marg. Γημὰν T. πολλοὶ τῶν ἀναβαι. . . . . ἀναιροῦνται P. τις Γαλιλαῖος desunt P. τις Ἰουδαῖος sed in marg. ead. man. Γαλιλαῖος L. 16 συνέδραμον πολεμήσοντες L.N.T.

τοῖς Σαμαρεῦσιν. Οἱ γνώριμοι δὲ αὐτῶν, ἐλθόντες πρὸς 17
Κούμανον, ἠντιβόλουν, 'πρὶν ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα, τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος.' 18
Κούμανος μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων θέμενος, ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας.

4. Ἀγγελθὲν δὲ τὸ πάθος εἰς Ἱεροσόλυμα τοῦ πεφονευ- 19
μένου τὰ πλήθη συνετάραξε, καὶ τῆς ἑορτῆς ἀφέμενοι πρὸς τὴν Σαμάρειαν ἐξώρμησαν ἀστρατήγητοι, καὶ μηδενὶ τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. Τοῦ λῃστρικοῦ δὲ αὐτῶν 20
καὶ στασιώδους Δειναίου τις υἱὸς Ἐλεάζαρος καὶ Ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς ὁμόροις τῆς Ἀκραβατηνῆς τοπαρχίας προσπεσόντες, αὐτούς τε ἀνῄρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι, καὶ τὰς κώμας ἀνεπίμπρασαν.

5. Κούμανος δὲ ἀναλαβὼν ἀπὸ τῆς Καισαρείας μίαν ἴλην 21
ἱππέων καλουμένην Σεβαστηνῶν, ἐξεβοήθει τοῖς πορθουμένοις. Καὶ τῶν περὶ τὸν Ἐλεάζαρον πολλοὺς μὲν συνέλαβε, πλείστους δὲ ἀπέκτεινε. Πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν 22
πολεμεῖν τοῖς Σαμαρεῦσιν ὡρμημένων, οἱ ἄρχοντες τῶν Ἱεροσολύμων ἐκδραμόντες, σάκκους ἀμπεχόμενοι καὶ τέφραν τῶν κεφαλῶν καταχέοντες, ἱκέτευον 'ἀναχωρεῖν, καὶ μὴ διὰ τὴν εἰς Σαμαρεῖς ἄμυναν ἐπὶ Ἱεροσόλυμα Ῥωμαίους παροξύνειν· ἐλεῆσαι δὲ τὴν πατρίδα, καὶ τὸν ναόν, τέκνα τε καὶ 23
γυναῖκας ἰδίας, καὶ μὴ πάντα κινδυνεύειν δι' ἑνὸς ἐκδικίαν Γαλιλαίου παραπολέσθαι.' Τούτοις πεισθέντες οἱ Ἰουδαῖοι 24
διελύθησαν· ἐτράποντο δὲ πολλοὶ πρὸς λῃστείαν διὰ τὴν ἄδειαν, καὶ κατὰ πᾶσαν τὴν χώραν ἁρπαγαί τε ἦσαν, καὶ τῶν θρασυτέρων ἐπαναστάσεις. Καὶ τῶν Σαμαρέων οἱ δυ- 25
νατοὶ πρὸς Οὐμμίδιον Κουαδράτον, ὃς ἦν ἡγεμὼν τῆς Συ-

18 τῶν ἐν χειρὶ P. 19 δὲ τὸ πλῆθος εἰς M. εἰς Ἱεροσ. τὸ πάθος tr. P. ἐξώρμων L.M.N. ἐξόρμων P. 20 Ἀκραβατινῆς M.P. ἐνεπίμπρασαν L.M.N. 21 μίαν εἴλην N. et pri. ma. L. 22 ἄρχοντες Ἱεροσ. M. 23 ἐλεῆσαί τε τὴν L.P. ἰδίας ἅπαντα κινδυ. P. κινδυνεύειν μηδὲ δι' L. 24 πεισθέντες Ἰουδαῖοι L.P. 25 πρὸς Νουμίδιον M.N.T. ὃς ἡγεμών P.

ρίας, εἰς Τύρον παραγενόμενοι, δίκην τινὰ παρὰ τῶν πορθη-
26 σάντων τὴν χώραν λαβεῖν ἠξίουν. Παρόντες δὲ καὶ οἱ γνώ-
ριμοι τῶν Ἰουδαίων, καὶ ὁ ἀρχιερεὺς Ἰωνάθης υἱὸς Ἀνάνου,
κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς Σαμαρεῖς διὰ τὸν φόνον,
αἴτιον δὲ τῶν ἀποβεβηκότων Κούμανον γεγονέναι, μὴ θελή-
σαντα τοὺς αὐθέντας τοῦ σφαγέντος ἐπεξελθεῖν.

27 6. Κουαδράτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται, φήσας,
ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα.
28 Αὖθις δὲ προελθὼν εἰς Καισάρειαν τοὺς ὑπὸ Κουμάνου
ζωγρηθέντας ἀνεσταύρωσε πάντας· ἐκεῖθέν τε εἰς Λύδδαν
παραγενόμενος πόλιν, διήκουσε τῶν Σαμαρέων, καὶ μετα-
πεμψάμενος ὀκτωκαίδεκα τῶν Ἰουδαίων, οὓς ἐπέπυστο μετε-
29 σχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο. Δύο δὲ ἑτέρους
τῶν δυνατωτάτων, καὶ τοὺς ἀρχιερεῖς Ἰωνάθην, καὶ Ἀνανίαν,
τόν τε τούτου παῖδα Ἄνανον, καί τινας ἄλλους Ἰουδαίων
γνωρίμους, ἀνέπεμψεν ἐπὶ Καίσαρα, ὁμοίως δὲ καὶ Σαμαρέων
30 τοὺς ἐπιφανεστάτους. Παρήγγειλε δὲ καὶ Κουμάνῳ καὶ
Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης, δώσοντας Κλαυδίῳ
31 λόγον ὑπὲρ τῶν γεγενημένων. Ταῦτα διαπραξάμενος ἀπὸ
Λυδδῶν ἀνέβανειν εἰς Ἱεροσόλυμα· καὶ καταλαβὼν τὸ πλῆ-
θος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως, εἰς Ἀντιόχειαν
ἐπανῆει.

32 7. Κατὰ δὲ τὴν Ῥώμην Καῖσαρ ἀκούσας Κουμάνου καὶ
Σαμαρέων, — παρῆν δὲ καὶ Ἀγρίππας ἐκθύμως ὑπεραγωνιζό-
μενος Ἰουδαίων, ἐπειδὴ καὶ Κουμάνῳ πολλοὶ τῶν δυνατῶν
παρίσταντο — Σαμαρέων μὲν καταγνοὺς, τρεῖς ἀνελεῖν προσ-
33 έταξε τοὺς δυνατωτάτους, Κούμανον δὲ ἐφυγάδευσε. Κέλερα
δὲ δεσμώτην ἀναπέμψας εἰς Ἱεροσολύμα παραδοθῆναι Ἰου-

ἠξίουν λαβεῖν tr. P. 26 Σαμαρέας L.P.E. θελήσαντος L. 28 ἐσταύ-
ρωσε N. ἐκεῖθεν εἰς P. ἐκεῖθεν δὲ εἰς L. Λύδδα M.P.T. παραγεν.
πάλιν διή. P.L. πελέκει διεχειρίσατο P. 29 Ἰωνάθην τε καὶ Ἀναν.
τόν τε παῖδα τούτου M. 30 Παρήγγελλε N.T. Κέλερα M.
31 πλῆθος ἄγων P. 32 καὶ Σαμαρέων μὲν P. Κούμ. δὲ φυγαδεῦσαι
N.T.

δαίοις πρὸς αἰκίαν ἐκέλευσε, καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι.

8. Μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν 34
Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Γαλιλαίας καὶ Σαμαρείας καὶ Περαίας· ἐκ δὲ τῆς Χαλκίδος Ἀγρίππαν εἰς μείζονα βασιλείαν μετατίθησι, δοὺς αὐτῷ τήν τε Φιλίππου γενομένην τετραρχίαν· αὕτη δὲ ἦν Βαταναία καὶ Τραχωνίτις 35
καὶ Γαυλανίτις· προσέθηκε δὲ τήν τε Λυσανίου βασιλείαν, καὶ τὴν Οὐάρου γενομένην ἐπαρχίαν. Αὐτὸς δὲ διοικήσας 36
τὴν ἡγεμονίαν ἔτεσι τρισὶ καὶ δέκα, πρὸς δὲ μησὶν ὀκτὼ καὶ εἴκοσιν ἡμέραις, τελευτᾷ, καταλιπὼν Νέρωνα τῆς ἀρχῆς διάδοχον, ὃν ταῖς Ἀγριππίνης τῆς γυναικὸς ἀπάταις ἐπὶ κληρο- 37
νομίᾳ τῆς ἀρχῆς εἰσεποιήσατο, καίπερ υἱὸν ἔχων γνήσιον Βρεττανικὸν ἐκ Μεσσαλίνης τῆς προτέρας γυναικός, καὶ Ὀκταουΐαν θυγατέρα τὴν ὑπ' αὐτοῦ ζευχθεῖσαν Νέρωνι· ἐγεγόνει δὲ αὐτῷ καὶ ἐκ Πετίνης Ἀντωνία.

CAP. XIII.

Antt. 20. 8. 2.

1. Ὅσα μὲν οὖν Νέρων, δι' ὑπερβολὴν εὐδαιμονίας τε καὶ 1
πλούτου παραφρονήσας, ἐξύβρισεν εἰς τὴν τύχην, ἢ τίνα τρόπον τόν τε ἀδελφὸν καὶ τὴν γυναῖκα καὶ τὴν μητέρα διεξῆλθεν, ἀφ' ὧν εἰς τοὺς εὐγενεστάτους μετήνεγκε τὴν ὠμότητα, καὶ ὡς τελευταῖον ὑπὸ φρενοβλαβείας ἐξώκειλεν εἰς σκηνὴν 2
καὶ θέατρον, ἐπειδὴ δι' ὅχλου πᾶσιν ἐστί, παραλείψω. Τρέψομαι δὲ ἐπὶ τὰ Ἰουδαίοις κατ' αὐτὸν γενόμενα.

2. Τὴν μὲν οὖν μικρὰν Ἀρμενίαν δίδωσι μὲν βασιλεύειν 3
Ἀριστοβούλῳ τῷ Ἡρώδου· τῇ δὲ Ἀγρίππα βασιλείᾳ τέσ-

33 ἐκέλευσεν εἰς αἰκίαν L.T. 34 Φίληκα M. et sec. ma. T. Φίλικα P. et sic inf. τῆς τε Σαμαρείας καὶ Γαλιλαίας L.P. Χαλκίτιδος P. γενομένην ἐπαρχίαν L.M.N.P.T. 35 Τραχωνίτις καὶ Βαταναία tr. L.P. γενομένην τετραρχίαν L.M.N.P.T. 36 ἔτεσι τρισκαίδεκα P. μησὶν ἑπτὰ καὶ T. 37 Βρετγανικὸν T. Βρετανικὸν N. γεγόνει N.P.T.
1 Ὅσα μὲν Νέρων N.T. ὧν ἐπὶ τοὺς L.P. τοὺς συγγενεστάτους P.E.
2 φρενοβλαβίας N. ἐξώκιλεν P. καὶ θέατρα T. παρα καταλείψω sic T. τρέψω sed ma. rec. τρέψομαι. T.
3 δίδωσιν βασιλεύειν T. et ex ras. L.

σαρας πόλεις προστίθησι σὺν ταῖς τοπαρχίαις, Ἄβιλαν μὲν καὶ Ἰουλιάδα κατὰ τὴν Περαίαν, Ταριχαίας δὲ καὶ Τιβε-
4 ριάδα τῆς Γαλιλαίας. Εἰς δὲ τὴν λοιπὴν Ἰουδαίαν Φήλικα κατέστησεν ἐπίτροπον· οὗτος τὸν ἀρχιλῃστὴν Ἐλεάζαρον ἔτεσιν εἴκοσι τὴν χώραν δῃωσάμενον, καὶ πολλοὺς τοὺς σὺν
5 αὐτῷ ζωγρήσας ἀνέπεμψεν εἰς Ῥώμην. Τῶν δὲ ἀνασταυρωθέντων ὑπ' αὐτοῦ λῃστῶν, καὶ τῶν ἐπὶ κοινωνίᾳ φωραθέντων οὓς ἐκόλασεν, ἄπειρόν τι πλῆθος ἦν.

6 3. Καθαρθείσης δὲ τῆς χώρας, ἕτερον εἶδος λῃστῶν ἐν Ἱεροσολύμοις ὑπεφύετο, οἱ καλούμενοι σικάριοι, μεθ' ἡμέραν
7 καὶ ἐν μέσῃ τῇ πόλει φονεύοντες ἀνθρώπους· μάλιστα δὲ ἐν ταῖς ἑορταῖς μισγόμενοι τῷ πλήθει, καὶ ταῖς ἐσθήσεσιν ὑποκρύπτοντες μικρὰ ξιφίδια, τούτοις ἔνυττον τοὺς διαφόρους·
8 ἔπειτα πεσόντων, μέρος ἐγίνοντο τῶν ἐπαγανακτούντων οἱ πεφονευκότες· διὸ καὶ παντάπασιν ὑπ' ἀξιοπιστίας ἦσαν
9 ἀνεύρετοι. Πρῶτος μὲν οὖν ὑπ' αὐτῶν Ἰωνάθης ὁ ἀρχιερεὺς ἀποσφάζεται· μετὰ δὲ αὐτὸν καθ' ἡμέραν ἀνῃροῦντο πολλοί, καὶ τῶν συμφορῶν ὁ φόβος ἦν χαλεπώτερος, ἑκάστου καθάπερ ἐν πολέμῳ καθ' ὥραν τὸν θάνατον προσδεχομένου.
10 Προεσκοποῦντο δὲ πόρρωθεν τοὺς διαφόρους, καὶ οὐδὲ τοῖς φίλοις προσιοῦσιν ἔτι πίστις ἦν· ἐν μέσαις δὲ ταῖς ὑπονοίαις καὶ ταῖς φυλακαῖς ἀνῃροῦντο· τοσοῦτον τῶν ἐπιβουλευόντων τὸ τάχος ἦν, καὶ τοῦ λαθεῖν ἡ τέχνη.

11 4. Συνέστη δὲ πρὸς τούτοις στίφος ἕτερον πονηρῶν, χειρὶ μὲν καθαρώτερον, ταῖς γνώμαις δὲ ἀσεβέστερον, ὅπερ οὐδὲν ἧττον τῶν σφαγέων τὴν εὐδαιμονίαν τῆς πόλεως ἐλυμήνατο·
12 πλάνοι γὰρ ἄνθρωποι καὶ ἀπατεῶνες, προσχήματι θειασμοῦ νεωτερισμοὺς καὶ μεταβολὰς πραγματευόμενοι, δαιμονᾶν τὸ

Ἄβηλα μὲν L.M. Ἄβέλα μὲν P. 4 τόν τε ἀρχηληστὴν P. τόν τε ἀρχιλ. L. χώραν λῃϊσάμενον καὶ L.P. πολλοὺς τῶν σὺν L.M. 5 φωραθέντων δημοτῶν οὓς ἐκώλασεν P. φωραθέντων ὑπ' αὐτοῦ λῃστῶν ἐν Ἱεροσολύμοις desunt quæ media intersunt M. 6 ἐπεφύετο L.P. ὑποφύεται T. 7 μάλιστα ἐν ταῖς L.P. ἐσθῆσιν P. 9 ἀποσφάττεται. P. 10 ἔτι deest P. 11 Συνέστη δὲ τούτοις M.N.T. τῶν σφαγέντων τὴν T. 12 ἀπαταιῶνες P. ὑπὸ προσχήματι L.P.

πλῆθος ἀνέπειθον, καὶ προῆγον εἰς τὴν ἐρημίαν, ὡς ἐκεῖ τοῦ θεοῦ δείξοντος αὐτοῖς σημεῖα ἐλευθερίας. Ἐπὶ τούτοις ὁ 13
Φῆλιξ — ἐδόκει γὰρ ἀποστάσεως εἶναι καταβολή — πέμψας ἱππεῖς καὶ πεζοὺς ὁπλίτας πολὺ πλῆθος διέφθειρε.

5. Μείζονι δὲ ταύτης πληγῇ Ἰουδαίους ἐκάκωσεν ὁ Αἰ- 14
γύπτιος ψευδοπροφήτης. Παραγενόμενος γὰρ εἰς τὴν χώραν ἄνθρωπος γόης, καὶ προφήτου πίστιν ἐπιθεὶς ἑαυτῷ, περὶ τρισμυρίους μὲν ἀθροίζει τῶν ἠπατημένων. Περιαγα- 15
γὼν δὲ αὐτοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ Ἐλαιῶν καλούμενον ὄρος, ἐκεῖθεν οἷός τε ἦν εἰς Ἱεροσόλυμα παρελθεῖν βιάζεσθαι, καὶ κρατήσας τῆς τε Ῥωμαϊκῆς φρουρᾶς καὶ τοῦ δήμου τυραννεῖν, χρώμενος τοῖς συνεισπεσοῦσι δορυφόροις. Φθάνει δὲ 16
αὐτοῦ τὴν ὁρμὴν Φῆλιξ ὑπαντιάσας μετὰ τῶν Ῥωμαϊκῶν ὁπλιτῶν, καὶ πᾶς ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης· ὥστε 17
συμβολῆς γενομένης τὸν μὲν Αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, διαφθαρῆναι δὲ καὶ ζωγρηθῆναι πλείστους τῶν σὺν αὐτῷ, τὸ δὲ λοιπὸν πλῆθος σκεδασθὲν ἐπὶ τὴν ἑαυτῶν ἕκαστον διαλαθεῖν.

6. Κατεσταλμένων δὲ καὶ τούτων, ὥσπερ ἐν νοσοῦντι 18
σώματι, πάλιν ἕτερον μέρος ἐφλέγμαινεν. Οἱ γὰρ γόητες καὶ λῃστρικοὶ συναχθέντες πολλοὺς εἰς ἀπόστασιν ἐνῆγον, καὶ πρὸς ἐλευθερίαν παρεκρότουν, θάνατον ἐπιτιμῶντες τοῖς πειθαρχοῦσι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ πρὸς βίαν ἀφαιρεθήσεσθαι λέγοντες τοὺς ἑκουσίως δουλεύειν προαιρουμένους. Μεριζόμενοι δὲ εἰς τὴν χώραν κατὰ λόχους, διήρπαζόν τε 19
τὰς τῶν δυνατῶν οἰκίας, καὶ αὐτοὺς ἀνῄρουν, καὶ τὰς κώμας ἐνεπίμπρασαν, ὥστε τῆς ἀπονοίας αὐτῶν πᾶσαν τὴν Ἰουδαίαν ἀναπίμπλασθαι· καὶ οὗτος μὲν ὁ πόλεμος καθ' ἡμέραν ἀνερριπίζετο.

πλῆθος ἔπειθον L.P. ὡς εἰ καὶ L.P. δείξαντος L.P.E. 13 ἐπὶ τούτοις Φ sine ὁ L.M.P. 14 Μείζονι δὲ τούτου P. πίστιν περιτιθεὶς L. ἐπιθεὶς αὐτῷ M.N.T. 15 ἐρημ. πρὸς τὸ L. ἐρημ. ἐπὶ τὸ P. τῆς Ῥωμαϊκῆς P. τυραννεῖ M.N.T. et ex cor. L. 16 ὑπαντήσας P. τῶν Ῥωμαίων P. συναφήψατο N. 17 τὴν αὐτῶν ἕκαστον M.N.T. 18 ὡς ἐννοσοῦντι M. σώματι deest P. ἀποστασίαν P. ἀφαιρήσεσθαι L. 19 Μεριζόμενοι γὰρ E. ἐρριπίζετο L.P.

20 7. Ἑτέρα δὲ ταραχὴ συνίσταται περὶ Καισάρειαν, τῶν
ἀναμεμιγμένων Ἰουδαίων πρὸς τοὺς ἐν αὐτῇ Σύρους στασια-
21 σάντων. Οἱ μὲν γὰρ ἠξίουν σφετέραν εἶναι τὴν πόλιν, Ἰου-
δαῖον γεγονέναι τὸν κτίστην αὐτῆς λέγοντες· ἦν δὲ Ἡρώδης
22 ὁ βασιλεύς. Οἱ δὲ ἕτεροι τὸν οἰκιστὴν μὲν προσωμολόγουν
Ἰουδαῖον, αὐτὴν μέντοι γε τὴν πόλιν Ἑλλήνων ἔφασαν· οὐ
γὰρ ἂν ἀνδριάντας καὶ ναοὺς ἐγκαθιδρύσαι, Ἰουδαίοις αὐτὴν
23 ἀνατιθέντα. Διὰ ταῦτα μὲν ἠμφισβήτουν ἑκάτεροι, προῆει
δὲ αὐτοῖς τὸ φιλόνεικον εἰς ὅπλα, καὶ καθ' ἡμέραν οἱ θρασύ-
24 τεροι παρ' ἀμφοῖν προεπήδων ἐπὶ μάχην· οὔτε γὰρ Ἰου-
δαίων οἱ γεραιοὶ τοὺς ἰδίους στασιαστὰς κατέχειν οἷοί τε
ἦσαν, καὶ τοῖς Ἕλλησιν αἶσχος ἐδόκει Ἰουδαίων ἐλαττοῦ-
25 σθαι. Προεῖχον δὲ οἱ μὲν πλούτῳ καὶ σωμάτων ἀλκῇ, τὸ δὲ
Ἑλληνικὸν τῇ παρὰ τῶν στρατιωτῶν ἀμύνῃ· τὸ γὰρ πλέον
Ῥωμαίοις τῆς ἐκεῖ δυνάμεως ἐκ Συρίας ἦν κατειλεγμένον, καὶ
26 καθάπερ συγγενεῖς ἦσαν εἰς τὰς βοηθείας ἕτοιμοι. Τοῖς γε
μὴν ἐπάρχοις φροντὶς ἦν ἀναστέλλειν τὴν ταραχήν, καὶ τοὺς
μαχιμωτέρους ἑκατέρωθεν ἀεὶ συλλαμβάνοντες ἐκόλαζον μά-
27 στιξι καὶ δεσμοῖς· οὐ μὴν τὰ πάθη τῶν συλλαμβανομένων
ἐνεποίει τοῖς καταλειπομένοις ἀνακοπὴν ἢ δέος, ἀλλ' ἔτι
28 μᾶλλον παρωξύνοντο πρὸς τὴν στάσιν. Νικῶντας δέ ποτε
τοὺς Ἰουδαίους παρελθὼν εἰς τὴν ἀγορὰν ὁ Φῆλιξ μετὰ ἀπει-
λῆς ἐκέλευσεν ἀναχωρεῖν· τῶν δὲ μὴ πειθομένων ἐπιπέμψας
τοὺς στρατιώτας ἀναιρεῖ συχνούς, ὧν διαρπαγῆναι συνέβη καὶ
29 τὰς οὐσίας. Μενούσης δὲ τῆς στάσεως, ἐπιλέξας ἑκατέρωθεν
τοὺς γνωρίμους ἔπεμψε πρέσβεις ἐπὶ Νέρωνα, διαλεξομένους
περὶ τῶν δικαίων.

CAP. XIV.

1 1. Διαδεξάμενος δὲ παρὰ τούτου τὴν ἐπιτροπὴν Φῆστος, Antt. 20.
τὸ μάλιστα λυμαινόμενον τὴν χώραν ἐπεξῄει· τῶν γοῦν 8. 9.

22 οὐ γὰρ ἀνδρίαν. P. 23 ταῦτα δὲ ἠμφισ. L. εἰς μάχην T.
24 οὐδὲ γὰρ P. οἱ γηραιοὶ T. 25 Προεῖχον οἱ μὲν P. σωμάτων ἀλ-
καῖς L. πλέον Ῥωμαίων τῆς M. ἦσαν πρὸς τὰς L.P. 28 προελθὼν
εἰς P. 1 ὁ Φῆστος L.P.

λῃστῶν συνέλαβε τοὺς πλείστους, καὶ διέφθειρεν οὐκ ὀλίγους. Ἀλλ' οὐχ ὁ μετὰ Φῆστον Ἀλβῖνος τὸν αὐτὸν τρόπον ἐξη- 2
γήσατο τῶν πραγμάτων· οὐκ ἔστι δὲ ἥντινα κακουργίας
ἰδέαν παρέλιπεν. Οὐ μόνον γοῦν ἐν τοῖς πολιτικοῖς πρά- 3
γμασιν ἔκλεπτε καὶ διήρπαζε τὴν ἑκάστων οὐσίαν, οὐδὲ τὸ
πᾶν ἔθνος ἐβάρει ταῖς εἰσφοραῖς, ἀλλὰ καὶ τοὺς ἐπὶ λῃστείᾳ
δεδεμένους, ὑπὸ τῆς παρ' ἑκάστοις βουλῆς, ἢ τῶν προτέρων
ἐπιτρόπων, ἀπελύτρου τοῖς συγγενέσι. Καὶ μόνος ὁ μὴ 4
δοὺς τοῖς δεσμωτηρίοις ὡς πονηρὸς ἐγκατελείπετο. Τηνι-
καῦτα καὶ τῶν νεωτερίζειν βουλομένων ἐν Ἱεροσολύμοις ἐθάρ-
σησαν αἱ τόλμαι, καὶ χρήμασι μὲν οἱ δυνατοὶ τὸν Ἀλβῖνον
προσελάμβανον, ὥστε τοῦ στασιάζειν αὐτοῖς παρέχειν ἄδειαν.
Τοῦ δημοτικοῦ δὲ τὸ μὴ χαῖρον ἡσυχίᾳ πρὸς τοὺς Ἀλβίνου 5
κοινωνοὺς ἀπέκλινεν· ἕκαστος δὲ τῶν πονηρῶν ἴδιον στίφος
ὑπεζωσμένος, αὐτὸς μὲν ὥσπερ ἀρχιλῃστὴς ἢ τύραννος προ-
ανεῖχεν ἐκ τοῦ λόχου, τοῖς δορυφοροῦσι δὲ πρὸς ἁρπαγὰς
τῶν μετρίων κατεχρῆτο. Συνέβαινε δὲ τοὺς μὲν ἀφῃρημέ- 6
νους, ὑπὲρ ὧν ἀγανακτεῖν ἐχρῆν, σιωπᾶν, τοὺς ἁπλῆγας δὲ,
δέει τοῦ μὴ τὰ αὐτὰ παθεῖν, καὶ κολακεύειν τὸν ἄξιον κολά-
σεως. Καθόλου δὲ ἡ μὲν παρρησία πάντων περιεκέκοπτο, 7
τυραννὶς δὲ ἦν διὰ πλειόνων. Καὶ τὰ σπέρματα τῆς μελ-
λούσης ἁλώσεως ἐκ τότε τῇ πόλει κατεβάλλετο.

2. Τοιοῦτον δὲ ὄντα τὸν Ἀλβῖνον ἀπέδειξεν ὁ μετὰ τοῦ- 8
τον ἐλθὼν Γέσσιος Φλῶρος ἀγαθώτατον κατὰ σύγκρισιν.
Ὁ μέν γε λάθρα τὰ πολλὰ, καὶ μεθ' ὑποστολῆς ἐκακούρ-
γησε, Γέσσιος δὲ τὰς εἰς τὸ ἔθνος παρανομίας ἐπόμπευσε.
Καὶ ὥσπερ ἐπὶ τιμωρίᾳ κατακρίτων πεμφθεὶς δήμιος, οὔτε 9
ἁρπαγῆς τινα τρόπον, οὔτε αἰκίας παρέλιπεν. Ἦν δὲ ἐν μὲν
τοῖς ἐλεεινοῖς ὠμότατος, ἐν δὲ τοῖς αἰσχροῖς ἀναιδέστατος.

συνελαβέν τε πλείστ. L.P. συνελάβετο πλείστ. T. 2 κακουργ. εἰδέαν P. παρέλειπεν N.P. 3 τὰς ἑκάστων οὐσίας L.P. τῆς παρ' ἑκάστου P. 5 ὑποζωσάμενος M.N.R.T. ἀρχληστὴς P. δὲ τὰς ἁρπαγὰς τῶν sine πρὸς P. δὲ προσαρπάσας τὰ τῶν N.T. 7 περικέκοπτο P. κατεβάλετο L. 8 ὁ μετ' αὐτὸν ἐλ. L.P. Κέσσιος L. et sic inf. λάθρα πολλά τε δι' ὑποσ. N.T. 9 αἰκίας παρέπεμπεν L.N. τοῖς ἐχθροῖς ἀναιδ. L.

10 Οὔτε δὲ πλείω τις ἀπιστίαν τῆς ἀληθείας κατέχεεν, οὔτε ἐν
11 τῷ πανουργεῖν δολιωτέρας ὁδοὺς ἐπενόησεν· ᾧ τὸ μὲν κατ'
ἄνδρα κερδαίνειν μικρὸν ἐδόκει, πόλεις δὲ ὅλας ἐξεδίδυσκε, καὶ
δήμους ἀθρόους ἐλυμαίνετο, καὶ μόνον οὐκ ἐκήρυξεν ἀνὰ τὴν
χώραν πᾶσιν ἐξεῖναι λῃστεύειν, ἐφ' ᾧ μέρος αὐτὸς λήψεται
12 τῶν λαφύρων. Διὰ γοῦν τὴν ἐκείνου πλεονεξίαν πάσας ἐρη-
μωθῆναι συνέβη τὰς τοπαρχίας, καὶ πολλοὺς τῶν πατρίων
ἐθῶν ἐξαναστάντας φυγεῖν εἰς τὰς ἀλλοφύλους ἐπαρχίας.
13 3. Μέχρι μὲν οὖν ἐν Συρίᾳ Κέστιος Γάλλος ἦν προδιέ-
πων τὴν ἐπαρχίαν, οὐδὲ πρεσβεύσασθαί τις πρὸς αὐτὸν ἐτόλ-
14 μησε κατὰ τοῦ Φλώρου. Παραγενόμενον δὲ εἰς Ἱεροσόλυμα, τῆς τῶν ἀζύμων ἑορτῆς ἐνστάσης, περιστὰς ὁ δῆμος οὐκ ἐλάττους τριακοσίων μυριάδων ἱκέτευον ἐλεῆσαι τὰς τοῦ ἔθνους συμφορὰς, καὶ τὸν λυμεῶνα τῆς χώρας Φλῶρον ἐκε-
15 κράγεσαν. Ὁ δὲ παρὼν, καὶ τῷ Κεστίῳ παρεστὼς, διεχλεύαζε τὰς φωνάς· ὅ γε μὴν Κέστιος, τὴν ὁρμὴν τοῦ πλήθους καταστείλας, καὶ δοὺς ἔμφασιν, ὡς πρὸς τὸ μέλλον αὐτοῖς τὸν Φλῶρον κατασκευάσειε μετριώτερον, ὑπέστρεψεν εἰς
16 Ἀντιόχειαν. Προέπεμπε δὲ αὐτὸν μέχρι Καισαρείας Φλῶρος ἐξαπατῶν, καὶ πόλεμον ἤδη τῷ ἔθνει θυμούμενος ἐπορίζετο, ᾧ μόνῳ συγκρύψειν τὰς αὐτοῦ παρανομίας ὑπελάμβα-
17 νεν. Εἰρήνης μὲν γὰρ οὔσης, κατηγόρους ἔξειν ἐπὶ Καίσαρος Ἰουδαίους προσεδόκα· πραγματευσάμενος δὲ ἀπόστασιν αὐτῶν τῷ μείζονι κακῷ περισπάσειν τὸν ἔλεγχον αὐτῶν ἀπὸ τῶν μετριωτέρων. Ὁ μὲν οὖν, ὡς ἂν ἀπορραγείη τὸ ἔθνος, καθ' ἡμέραν ἐπέτεινεν αὐτοῖς τὰς συμφοράς.
18 4. Ἐν δὲ τούτῳ καὶ οἱ Καισαρέων Ἕλληνες, νικήσαντες

11 ἐξεδιδύσκει P. 12 συνέβη ἐρημωθῆναι tr. M. συνέβη τὰς πόλεις, καὶ P. εἰς τὰς ἀλλοτρίους ἐπ. M.N.T. 13 ἦν διέπων P. τὴν ἐπάρχιον N. 14 ἑορτῆς ἐνεστώσης L. τὸν λυμεῶνα διεχλεύαζε τὰς omissis quæ intersunt P. ἐκεκράγεσεν T. 15 ὑπέστρεφεν L.P. 16 Προέπεμψε P. τῷ ἔθνει σκοπούμενος, ᾧ μόνῳ L.P. et in marg. T. ἐπορίζετο ὡμὸν ᾧ συγκ. N. συγκαλύψειν T. συγκάμψειν in marg. R. τὰς ἑαυτοῦ P. 17 τὸν ἔλεγχον ἀπὸ τῶν L.P. ὡς ἀπορραγείη L.

παρὰ Νέρωνι τῆς πόλεως ἄρχειν, τὰ τῆς κρίσεως ἐκόμισαν γράμματα, καὶ προσελάμβανε τὴν ἀρχὴν ὁ πόλεμος δωδεκάτῳ μὲν ἔτει τῆς Νέρωνος ἡγεμονίας, ἑπτακαιδεκάτῳ δὲ τῆς Ἀγρίππα βασιλείας, Ἀρτεμισίου μηνός. Πρὸς δὲ τὸ μέγε- 19
θος τῶν ἐξ αὐτοῦ συμφορῶν οὐκ ἀξίαν ἔσχε πρόφασιν. Οἱ γὰρ ἐν Καισαρείᾳ Ἰουδαῖοι, συναγωγὴν ἔχοντες παρὰ χωρίον, οὗ δεσπότης ἦν τις Ἕλλην Καισαρεὺς, πολλάκις μὲν κτήσασθαι τὸν τόπον ἐσπούδασαν, τιμὴν πολλαπλασίονα τῆς ἀξίας διδόντες. Ὡς δὲ ὑπερορῶν τὰς δεήσεις, πρὸς ἐπή- 20
ρειαν ἔτι καὶ προσῳκοδόμει τὸ χωρίον ἐκεῖνος, ἐργαστήρια κατασκευαζόμενος, στενὴν δὲ καὶ παντάπασι βιαίαν πάροδον ἀπέλιπεν αὐτοῖς, τὸ μὲν πρῶτον οἱ θερμότεροι τῶν νέων 21
προπηδῶντες οἰκοδομεῖν ἐκώλυον. Ὡς δὲ τούτους εἶργε τῆς βίας Φλῶρος, ἀμηχανοῦντες οἱ δυνατοὶ τῶν Ἰουδαίων, σὺν οἷς ὁ τελώνης Ἰωάννης, πείθουσι τὸν Φλῶρον ἀργυρίου ταλάντοις ὀκτὼ διακωλῦσαι τὸ ἔργον. Ὁ δὲ πρὸς μόνον τὸ λα- 22
βεῖν ὑποσχόμενος πάντα συμπράξειν, λαβὼν ἔξεισι τῆς Καισαρείας εἰς Σεβαστὴν, καὶ καταλείπει τὴν στάσιν αὐτεξούσιον, ὥσπερ ἄδειαν πεπρακὼς Ἰουδαίοις τοῦ μάχεσθαι.

5. Τῆς δὲ ἐπιούσης ἡμέρας ἑβδομάδος οὔσης, τῶν Ἰουδαίων 23
εἰς τὴν συναγωγὴν ἀθροισθέντων, στασιαστής τις Καισαρεὺς γάστραν καταστρέψας, καὶ παρὰ τὴν εἴσοδον αὐτῶν θέμενος, ἐπέθυεν ὄρνεις. Τοῦτο τοὺς Ἰουδαίους ἀνηκέστως παρώξυνεν, 24
ὡς ὑβρισμένων μὲν αὐτοῖς τῶν νόμων, μεμιασμένου δὲ τοῦ χωρίου. Τὸ μὲν οὖν εὐσταθὲς καὶ πρᾷον ἐπὶ τοὺς ἡγεμόνας καταφεύγειν πάλιν ᾤετο χρῆναι, τὸ στασιῶδες δὲ καὶ ἐν νεό-

18 Νέρωνος T. τὰ τοῦ βασιλέως ἐκομ. M.T. et in marg. R. sed in marg. T. τὰ τῆς κρίσεως. ἐκομίσαντο γράμ. L. Ἀρτεμησίου L.N.P. 19 Πρὸς δέ γε τὸ M. τίς ἦν tr. M. 20 παρωκοδόμει P. στενήν τε καὶ P.T. ἀπέλειπεν L. παρέλιπεν M. παρέλειπεν P. ὑπέλιπεν sic T. 21 θερμότεροι L.M.N.T.E. εἶργε ταῖς βίαις T. Ἰωάννης ὁ τελώνης L.P. ἀργυρίῳ ταλάντων ὁ P. 23 συναθροισθέντων L. θέμενος ἔθυεν M.N. ὄρνις R. 24 ὑβρισμένων αὐτοῖς L.N.P.R.T. μεμιαμμένου N.E. ἡγεμ. ἀναφεύγειν L.P. πάλιν deest P.

25 τητι φλεγμαῖνον ἐξεκαίετο πρὸς μάχην. Παρεσκευασμένοι δὲ εἱστήκεσαν οἱ τῶν Καισαρέων στασιασταί· τὸν γὰρ ἐπιθύσαντα προπεκόμφεσαν ἐκ συντάγματος. Καὶ ταχέως
26 ἐγένετο ἡ συμβολή. Προσελθὼν δὲ Ἰουκοῦνδος ὁ διακωλύειν τεταγμένος ἱππάρχης, τήν τε γάστραν αἴρει καὶ καταπαύειν
27 ἐπειρᾶτο τὴν στάσιν. Ἠττωμένου δὲ αὐτοῦ τῆς τῶν Καισαρέων βίας, Ἰουδαῖοι τοὺς νόμους ἁρπάσαντες ἀνεχώρησαν εἰς Νάρβατα· χώρα τις αὐτῶν οὕτω καλεῖται, σταδίους ἑξή-
28 κοντα διέχουσα τῆς Καισαρείας. Οἱ δὲ περὶ τὸν Ἰωάννην δυνατοὶ δώδεκα πρὸς Φλῶρον ἐλθόντες εἰς Σεβαστὴν, ἀπωδύροντο περὶ τῶν πεπραγμένων, καὶ βοηθεῖν ἱκέτευον, αἰδημό-
29 νως ὑπομιμνήσκοντες τῶν ὀκτὼ ταλάντων. Ὁ δὲ καὶ συλλαβὼν ἔδησε τοὺς ἄνδρας, αἰτιώμενος ὑπὲρ τοῦ τοὺς νόμους ἐξενεγκεῖν τῆς Καισαρείας.

30 6. Πρὸς τοῦτο τοῖς ἐν Ἱεροσολύμοις ἀγανάκτησις ἦν· ἔτι μέντοι καὶ τοὺς θυμοὺς κατεῖχον. Ὁ δὲ Φλῶρος, ὥσπερ ἠργολαβηκὼς, ἐκριπίζει τὸν πόλεμον· καὶ πέμψας ἐπὶ τὸν ἱερὸν θησαυρὸν, ἐξαίρει ἑπτακαίδεκα τάλαντα, σκηψάμενος
31 εἰς τὰς Καίσαρος χρείας. Σύγχυσις δὲ εὐθέως εἶχε τὸν δῆμον, καὶ συνδραμόντες εἰς τὸ ἱερὸν βοαῖς διαπρυσίοις τὸ Καίσαρος ἀνεκάλουν ὄνομα, καὶ τῆς Φλώρου τυραννίδος ἐλευθε-
32 ροῦν σφᾶς ἱκέτευον. Ἔνιοι δὲ τῶν στασιαστῶν λοιδορίας αἰσχίστους εἰς τὸν Φλῶρον ἐκεκράγεσαν, καὶ κανοῦν περιφέροντες ἐπήτουν αὐτῷ κέρμα, καθάπερ ἀκλήρῳ καὶ ταλαιπώρῳ.
33 Τούτοις οὐκ ἐνετράπη τὴν φιλαργυρίαν, ἀλλ' ἐπὶ τὸ μᾶλλον χρηματίσασθαι προσωργίσθη. Δέον γοῦν εἰς Καισάρειαν
34 ἐλθόντα σβέσαι τὸ τοῦ πολέμου πῦρ ἐκεῖθεν ἀρχόμενον, καὶ

φλογμαῖνον T. 25 ἐπιθύσοντα P. ἐγίνετο συμβ. L. ἐγένετο συμβ. P. 26 Ἰούκινδος P. αἱρεῖ M.T.E. 27 Ἠττομένου P. 28 ὑπομμ. περὶ τῶν T. 29 νόμους ἐξαγάγειν τῆς T. 30 Πρὸς τούτοις P. τῶν ἐν Ἱεροσ. L.N.P.R.E. μέντοι τοὺς L. ἐργολαβηκὼς L.M.N.R.T.E. ἐκριπίζειν L.P. πόλεμον, πέμψας L.P. ἐξαί. δεκαεπτὰ τάλ. L. 31 διαπρυ. καὶ τὸ P.E. 32 Φλόρον P. ἐκεκρ. καὶ κόνιν ex cor. M. ἐπιφέροντες ἐπητ. M.N.R.T. ἀπήτουν αὐτῷ P. κέρματα L.P. 33 οὐκ ἀνετράπη L.P. ἐπὶ τῷ μᾶλ. L.M.R.E. παρωργίσθη L.P.

τῆς ταραχῆς ἀνελεῖν τὰς αἰτίας, ἐφ' ᾧ καὶ μισθὸν ἔλαβεν, ὁ δὲ μετὰ στρατιᾶς ἱππικῆς τε καὶ πεζικῆς ἐπὶ Ἱεροσολύμων ὥρμησεν, ἵνα τοῖς Ῥωμαίων ὅπλοις ἐργάσηται, καὶ τῷ δέει καὶ ταῖς ἀπειλαῖς περιδύσῃ τὴν πόλιν.

7. Ὁ δὲ δῆμος προδυσωπῆσαι τὴν ὁρμὴν αὐτοῦ βουλόμε- 35
νος, ὑπαντᾷ τοῖς στρατιώταις μετ' εὐφημίας, καὶ τὸν Φλῶ-
ρον θεραπευτικῶς ἐκδέχεσθαι παρεσκεύαστο. Καὶ ἐκεῖνος
προπέμψας σὺν ἱππεῦσι πεντήκοντα Καπίτωνα ἑκατοντάρ-
χην, ἀναχωρεῖν αὐτοὺς ἐκέλευσε, καὶ ' μὴ πρὸς ὃν οὕτως ἐλοι-
δόρησαν αἰσχρῶς, εἰρωνεύεσθαι τὰς νῦν φιλοφρονήσεις· δεῖν 36
γὰρ αὐτοὺς, εἴπερ γενναῖοί εἰσι καὶ παρρησιασταὶ, σκώπτειν
μὲν αὐτὸν καὶ παρόντα· φαίνεσθαι δὲ μὴ μόνον ἐν τοῖς λό-
γοις, ἀλλὰ καὶ ἐν τοῖς ὅπλοις φιλελευθέρους.' Τούτοις 37
καταπλαγὲν τὸ πλῆθος, ἅμα καὶ τῶν περὶ Καπίτωνα ἱππέων
εἰς μέσους φερομένων, διεσκεδάσθη, πρὶν ἀσπάσασθαι τὸν
Φλῶρον, ἢ τοῖς στρατιώταις φανερὸν ποιῆσαι τὸ πειθήνιον.
Ἀναχωρήσαντες δὲ εἰς τὰς οἰκίας μετὰ δέους καὶ ταπεινότη- 38
τος διενυκτέρευσαν.

8. Φλῶρος δὲ τότε μὲν ἐν τοῖς βασιλείοις αὐλίζεται, τῇ 39
δὲ ὑστεραίᾳ βῆμα πρὸ αὐτῶν θέμενος καθέζεται, καὶ προσελ-
θόντες οἵ τε ἀρχιερεῖς καὶ δυνατοὶ, τό τε γνωριμώτατον τῆς
πόλεως πᾶν, παρέστησαν τῷ βήματι. Τούτοις ὁ Φλῶρος 40
ἐκέλευσε ' τοὺς λοιδορήσαντας αὐτὸν ἐκδοῦναι, φάμενος αὐ-
τοὺς ἀπολαύσειν τῆς ἀμύνης, εἰ μὴ προσάγοιεν τοὺς αἰτίους.'
Οἱ δὲ ' τὸν μὲν δῆμον ἀπέφαινον εἰρηνικὰ φρονοῦντα, τοῖς δὲ 41
παραφθεγξαμένοις ἠτοῦντο συγγνώμην· ἐν γὰρ τοσούτῳ
πλήθει θαυμαστὸν οὐδὲν εἶναί τινας θρασυτέρους, καὶ δι' ἡλι-
κίαν ἄφρονας· ἀμήχανον δὲ τῶν ἡμαρτηκότων τὴν διάκρισιν
γενέσθαι, ἑκάστου μετανοοῦντός τε, καὶ δι' ἃ δέδοικεν ἀρνου-

34 ἐργάζηται τὸ βουλόμενον καὶ τῷ M.E. 35 ὑπήντα T. παρε-
σκευάσατο L. 37 Οὕτω καταπλ. M.N.T. εἰς μέσον L.P. 38 ἐνυκ-
τέρευσαν. L.P. 39 τῶν τε γνωριμωτάτων T. πόλεως παρέστησαν L.
πόλεως πᾶν τὸ ἀκρότατον παρέσ. T. 40 ἐκέλευε M.N.T. ἀπολαύσαι
L.P. μὴ προάγοιεν P. 41 ἀπέφηναν L. θαυμαστὸν μὲν οὐδὲν L.P.
καὶ ἃ δέδρακεν ἀρν. L. καὶ δι' ἃ δέδ. ἀρν. P. καὶ δὲ ἃ δέδοικ. ἀρν. E.

42 μένου· δεῖν μέντοι γε ἐκεῖνον προνοεῖν τῆς κατὰ τὸ ἔθνος εἰρήνης, καὶ βουλεύεσθαι Ῥωμαίοις περισώζειν τὴν πόλιν, καὶ μᾶλλον διὰ τοὺς πολλοὺς ἀκαταιτιάτους συγγνῶναι καὶ τοῖς ὀλίγοις πλημμελήσασιν, ἢ δι' ὀλίγους πονηροὺς ταράξαι δῆμον ἀγαθὸν τοσοῦτον.'

43 9. Πρὸς ταῦτα μᾶλλον παροξυνθεὶς ἐμβοᾷ τοῖς στρατιώταις, διαρπάζειν τὴν ἄνω καλουμένην ἀγορὰν, καὶ κτείνειν τοὺς ἐντυγχάνοντας. Οἱ δὲ, ἐπιθυμίᾳ κέρδους προσλαμβάνοντες ἡγεμονικὴν παρακέλευσιν, οὐ μόνον ἐφ' ὃν ἐπέμφθησαν τόπον ἥρπαζον, ἀλλ' εἰς πάσας ἐμπηδῶντες τὰς οἰκίας,

44 ἔσφαζον τοὺς οἰκήτορας. Φυγὴ δὲ ἦν ἐκ τῶν στενωπῶν, καὶ φόνος τῶν καταλαμβανομένων, τρόπος τε ἁρπαγῆς οὐδεὶς παρελιμπάνετο. Καὶ πολλοὺς τῶν μετρίων συλλαμβάνοντες ἐπὶ τὸν Φλῶρον ἦγον, οὓς μάστιξι προαικισάμενος ἀνεσταύ-

45 ρωσεν. Ὁ γοῦν σύμπας τῶν ἐκείνης ἀπολομένων τῆς ἡμέρας ἀριθμὸς σὺν γυναιξὶ καὶ παιδίοις, οὐδὲ γὰρ νηπίων ἀπέ-

46 σχοντο, περὶ τρισχιλίους καὶ ἑξακοσίους συνήχθη. Βαρυτέραν δὲ ἐποίει τὴν συμφορὰν τὸ καινὸν τῆς Ῥωμαίων ὠμότητος· ὃ γὰρ μηδεὶς πρότερον τότε Φλῶρος ἐτόλμησεν, ἄνδρας ἱππικοῦ τάγματος μαστιγῶσαι πρὸ τοῦ βήματος, καὶ σταυρῷ προσηλῶσαι, ὧν εἰ καὶ τὸ γένος Ἰουδαῖον, ἀλλὰ τὸ γοῦν ἀξίωμα Ῥωμαϊκὸν ἦν.

CAP. XV.

1 1. Κατὰ τοῦτον τὸν καιρὸν ὁ μὲν βασιλεὺς Ἀγρίππας ἔτυχεν εἰς τὴν Ἀλεξάνδρειαν πεπορευμένος, ὅπως Ἀλεξάν-

42 ἐκεῖνον εἰ προνοεῖ L. ἐκεῖνο εἰ προνοεῖ P. καὶ βούλεται Ῥωμ. L.P. καὶ βούλεσθαι Ῥωμ. M. πόλιν, μᾶλλον L.P. πλημμελήμασιν N. ἀγαθὸν θῶν sic R. 43 παρωξυνθεὶς P. διαρπάζειν τε τὴν L.M.N.T. κέρδους προσλαβόντες L.P. ἐπιπηδῶντες P. 44 Φυγὴ δὲ ἐκ τῶν N. οὐδεὶς παρελείπετο L.P. μετρίων συλλαβόντες L.P. ἀνῆγον, οὓς L.P. ἐστούρωσεν L. 45 Ὁ σύμπας δὲ τῶν L. Ὁ δὲ σύμπας τῶν P. τῆς ἡμέρας desunt P. καὶ τέκνοις οὐδὲ L.P. οὐ γὰρ νηπ. M. περὶ τριάκοντα καὶ ἑξακοσίους L.P. 46 μαστιγῶσαι τε πρὸ L.P. γένος Ἰουδαῖοι M.N.T.

δρῳ συνησθείη, πεπιστευμένῳ τὴν Αἴγυπτον ὑπὸ Νέρωνος, καὶ πεμφθέντι διέπειν. Τὴν δὲ ἀδελφὴν αὐτοῦ Βερνίκην παροῦσαν ἐν Ἱεροσολύμοις, καὶ τὴν παρανομίαν τῶν στρατιωτῶν ἀποθεωμένην, δεινὸν εἰσήει πάθος. Καὶ πολλάκις τούς τε ἱππάρχας αὐτῆς καὶ σωματοφύλακας πέμπουσα πρὸς Φλῶρον ἐδεῖτο παύσασθαι τοῦ φόνου. Καὶ ὁ μὲν οὔτε εἰς τὸ πλῆθος τῶν ἀναιρουμένων, οὔτε εἰς τὴν εὐγένειαν τῆς παρακαλούσης, ἀλλ' εἰς μόνον τὸ λυσιτελὲς τὸ ἐκ τῶν ἁρπαγῶν ἀποβλέπων παρήκουσεν. Ἡ δὲ ὁρμὴ τῶν στρατιωτῶν ἐλύσσησε καὶ κατὰ τῆς βασιλίδος· οὐ μόνον γοῦν ἐν ὄμμασιν αὐτῆς ἠκίζοντο τοὺς ἁλισκομένους καὶ διέφθειρον, ἀλλὰ καὶ ἂν αὐτὴν ἀνεῖλον, εἰ μὴ καταφυγεῖν εἰς τὴν βασιλικὴν αὐλὴν ἔφθη· καὶ ἐκεῖ διενυκτέρευσε μετὰ φυλακῆς, δεδοικυῖα τὴν τῶν στρατιωτῶν ἔφοδον. Ἐπεδήμει δὲ ἐν τοῖς Ἱεροσολύμοις, εὐχὴν ἐκτελοῦσα τῷ θεῷ· τοὺς γὰρ ἢ νόσῳ καταπονουμένους, ἤ τισιν ἄλλαις ἀνάγκαις, ἔθος εὔχεσθαι πρὸ τριάκοντα ἡμερῶν, ἧς ἀποδώσειν μέλλοιεν θυσίας, οἴνου τε ἀφέξεσθαι, καὶ ξυρήσασθαι τὰς κόμας. Ἃ δὴ τότε τελοῦσα Βερνίκη, γυμνούς τε πρὸ τοῦ βήματος ἱκέτευσε τὸν Φλῶρον, καὶ πρὸς τῷ μὴ τυχεῖν αἰδοῦς αὐτὴν, τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπείρασεν.

2. Ταῦτα μὲν οὖν ἐκκαιδεκάτῃ μηνὸς Ἀρτεμισίου συνέβη· τῇ δὲ ἐπιούσῃ τὸ μὲν πλῆθος ὑπερπαθῆσαν εἰς τὴν ἄνω συνέρρευσεν ἀγοράν, καὶ βοαῖς ἐξαισίοις περὶ τῶν ἀπολωλότων ἀνωδύροντο. Τὸ πλέον δὲ ἦσαν εἰς τὸν Φλῶρον ἐπίφθονοι φωναί· πρὸς ὃ δείσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι τὰς ἐσθῆτας περιερρήξαντο, καὶ προσπίπτοντες ἑκάστοις, ἐδέοντο

1 καὶ πεμφθεὶς N. 2 Τὴν ἀδελφὴν δὲ L.P. 3 ἱππάρχους L.M. P.R.T. ἑαυτῆς L.P. ἐδέετο P. 4 λυσιτελὲς ἐκ τῶν L.P. 5 οὐ μόνον δὲ ἐν L. τοὺς ἀναλισκομένους N. 6 μετὰ τῆς φυλακῆς M. 7 ἔθος deest P. 8 Ἃ δὴ καὶ τότε P. γυμνόπους πρὸ ex ras. T. Φλόρον P. πρὸς τὸ μὴ L.M.N.P.T.E. αὐτὴ, τὸν ex ras. T. αὐτὴν, καὶ τὸν M.R. 9 ἑξκαιδεκάτῃ P. Ἀρτεμησίου L.N.P. Ἀρτεμ. συνηνέχθη· τῇ δ' ἐπ. L.P. ἀνωδύρετο L.P. 10 ἐπίφθροι φωναί sic R. ἐπίφθοροι φων. M. ἕκαστος ἐδέοντο L.P.

παύσασθαι, καὶ μὴ πρὸς οἷς πεπόνθασιν εἰς ἀνήκεστόν τι τὸν
11 Φλῶρον ἐρεθίζειν. Ἐπείσθη δὲ τὸ πλῆθος ταχέως, αἰδοῖ τε
τῶν παρακαλούντων, καὶ κατ' ἐλπίδα τοῦ μηδὲν ἔτι τὸν Φλῶ-
ρον εἰς αὐτοὺς παρανομήσειν.

12 3. Ὁ δὲ σβεσθείσης τῆς ταραχῆς ἦχθετο, καὶ πάλιν αὐ-
τὴν ἀνάψαι πραγματευόμενος, τούς τε ἀρχιερεῖς σὺν τοῖς
γνωρίμοις μεταπέμπεται, καὶ ‘μόνον, ἔφη, τεκμήριον ἔσε-
σθαι τοῦ μηδὲν ἔτι τὸν δῆμον νεωτερίσειν, εἰ προελθόντες
ὑπαντήσουσι τοῖς ἀπὸ Καισαρείας ἀνιοῦσι στρατιώταις·’
13 παρεγίνοντο δὲ δύο σπεῖραι. Τῶν δὲ ἔτι συγκαλούντων τὸ
πλῆθος, προπέμψας διεδήλου τοῖς τῶν σπειρῶν ἑκατοντάρ-
χαις, ὅπως παραγγείλωσι τοῖς ὑφ' ἑαυτοὺς, μήτε ἀντασπά-
σασθαι τοὺς Ἰουδαίους, καὶ ἐάν τι κατ' αὐτοῦ φθέγξωνται,
14 χρήσασθαι τοῖς ὅπλοις. Οἱ δὲ ἀρχιερεῖς εἰς τὸ ἱερὸν τὴν
πληθὺν συναγαγόντες ὑπαντᾶν τοῖς Ῥωμαίοις παρεκάλουν,
15 καὶ πρὸ ἀνηκέστου πάθους τὰς σπείρας δεξιοῦσθαι. Τούτοις
τὸ στασιῶδες ἠπείθει, καὶ διὰ τοὺς ἀπολωλότας τὸ πλῆθος
ἔρρεπε πρὸς τοὺς θρασυτέρους.

16 4. Ἔνθα δὴ πᾶς μὲν ἱερεὺς, πᾶς δὲ ὑπηρέτης τοῦ θεοῦ, τὰ
ἅγια σκεύη προκομίσαντες, καὶ τὸν κόσμον, ἐν ᾧ λειτουργεῖν
ἔθος ἦν αὐτοῖς, ἀναλαβόντες, κιθαρισταί τε καὶ ὑμνῳδοὶ, μετὰ
τῶν ὀργάνων προσπίπτοντες, κατηντιβόλουν φυλάξαι τὸν
ἱερὸν κόσμον αὐτοῖς, καὶ μὴ πρὸς ἁρπαγὴν τῶν θείων κειμη-
17 λίων Ῥωμαίους ἐρεθίσαι. Τοὺς δὲ ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν
καταμωμένους μὲν τῆς κεφαλῆς κόνιν, γυμνοὺς δὲ τὰ στέρνα
18 τῶν ἐσθήτων περιερρηγμένων. Ὀνομαστὶ δὲ ἕκαστον τῶν
γνωρίμων καὶ κοινῇ τὸ πλῆθος ἱκέτευον, ‘μὴ δι' ἐλαχίστης
πλημμελείας προδοῦναι τὴν πατρίδα τοῖς ἐπιθυμοῦσι πορθῆ-
19 σαι. Τίνα γὰρ ἢ τοῖς στρατιώταις φέρειν ὠφέλειαν τὸν
ἀπὸ Ἰουδαίων ἀσπασμὸν, ἢ διόρθωσιν αὐτοῖς τῶν συμβεβη-

μὴ καὶ πρὸς tr. P. 12 καὶ πάλαι αὐτὴν N. εἰ προελθόντες L.P. ἀπαντήσωσι L. ὑπαντήσωσι N. παρεγένοντο M.N.R.T.E. 13 ἑκατοντάρχοις M.P. παραγγ. τοὺς ὑφ' ἑαυ. N.P. 14 τὴν πληθὺν εἰς τὸ ἱερὸν tr. L. 16 προσέπιπτον καὶ κατηντιβ. L.P. 17 τὴν κεφαλὴν κόνει P. τῆς κεφαλῆς μὲν tr. T.

κότων τὸ μὴ νῦν προελθεῖν; Εἰ δὲ δὴ δεξιώσαιντο τοὺς προσιόντας, ὡς ἔθος, Φλώρῳ μὲν ἀποκοπήσεσθαι τὴν ἀφορμὴν τοῦ πολέμου, κερδήσειν δὲ αὐτοὺς τὴν πατρίδα, καὶ τὸ μηδὲν παθεῖν πλέον. Ἄλλως τε καὶ τὸ πείθεσθαι στασιάζουσιν ὀλίγοις, δέον αὐτοὺς δῆμον ὄντας τοσοῦτον συναναγκάζειν καὶ ἐκείνους συγγνωμονεῖν, δεινῆς ἀκρασίας εἶναι.' 20 21

5. Τούτοις μειλισσόμενοι τὸ πλῆθος, ἅμα καὶ τῶν στασιαστῶν οὓς μὲν ἀπειλαῖς οὓς δὲ αἰδοῖ κατέστειλαν. Ἔπειτα ἐξηγούμενοι μεθ' ἡσυχίας τε καὶ κόσμου τοῖς στρατιώταις ὑπήντων, καὶ πλησίον γενομένους ἠσπάσαντο. Τῶν δὲ μηδὲν ἀποκριναμένων, οἱ στασιασταὶ Φλώρου κατεβόων· τοῦτο δὲ ἦν σύνθημα κατ' αὐτῶν δεδομένον. Αὐτίκα γοῦν οἱ στρατιῶται, περισχόντες αὐτοὺς, ἔπαιον ξύλοις, καὶ φεύγοντας οἱ ἱππεῖς καταδιώκοντες συνεπάτουν. Ἔπιπτον δὲ πολλοὶ μὲν ὑπὸ Ῥωμαίων τυπτόμενοι, πλείους δὲ ὑπ' ἀλλήλων βιαζόμενοι. Δεινὸς δὲ περὶ τὰς πύλας ὠθισμὸς ἦν· καὶ φθάνειν ἑκάστου σπεύδοντος, βραδυτέρα μὲν ἡ φυγὴ πᾶσιν ἐγίνετο, τῶν δὲ σφαλέντων ἀπώλεια δεινή. Πνιγόμενοι γὰρ καὶ κλώμενοι πλήθει τῶν ἐπιβαινόντων ἠφανίζοντο, καὶ οὐδὲ πρὸς ταφήν τις γνώριμος τοῖς ἰδίοις κατελείπετο. Συνέπιπτον δὲ καὶ στρατιῶται παίοντες ἀνέδην τοὺς καταλαμβανομένους, καὶ διὰ τῆς Βεζεθὰ καλουμένης ἀνώθουν τὸ πλῆθος, βιαζόμενοι παρελθεῖν καὶ κρατῆσαι τοῦ τε ἱεροῦ καὶ τῆς Ἀντωνίας· ὧν Φλῶρος ἐφιέμενος ἐξήγαγεν ἐκ τῆς βασιλικῆς αὐλῆς τοὺς σὺν αὐτῷ, καὶ πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. Διήμαρτέ γε μὴν τῆς ἐπιβολῆς· ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστραφεὶς εἶργε τὴν ὁρμὴν, καὶ διαστάντες ἐπὶ τῶν τειχῶν τοὺς Ῥωμαίους ἔβαλλον. Καταπονούμενοι δὴ τοῖς ὑπερθε βέλεσι, 22 23 24 25 26 27 28 29

20 ἔθος Φλώρου N.E. et pri. ma. T. ἀπὸ ἀνακοπήσεσθαι R. ἀποκείσεσθαι P. τὸ μὴ παθεῖν τι πλέον T. 21 καὶ τοῦ πειθ. N. ὀλίγοις, οὐ δέον L. ἐκείνους συνευδαιμονεῖν P. et L. sed in huj. marg. συνευγνωμονεῖν man. cad. ἐκει. μὴ συγγνωμονεῖν N. εὐγνωμονεῖν in marg. T. 23 τοῦτ' ἦν σύνθημα L.P. 25 πᾶσιν ἐγένετο M. 26 τοῖς Ἰουδαίοις κατελείπετο N. 27 ἀναίδην τοὺς sic N. Βεθεζὰ P. καλ. ὤθουν τὸ L. ὧν καὶ Φλῶρος L.M.P.E. ἐξῆγε τῆς L.P. 28 τῆς ἐπιβουλῆς P.T. τῆς ὁρμῆς P. καὶ δὴ στάντες ex cor. L. 29 Καταπ. δὲ τοῖς N.P.R.T.

καὶ διακόψαι τὸ τοὺς στενωποὺς ἐμφράξαν πλῆθος ἀσθενήσαντες, ἀνεχώρουν εἰς τὸ πρὸς τοῖς βασιλείοις στρατόπεδον.

30 6. Οἱ δὲ στασιασταὶ, δείσαντες μὴ πάλιν ἐπελθὼν ὁ Φλῶρος κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς Ἀντωνίας, ἀναβάντες εὐθέως τὰς συνεχεῖς στοὰς τοῦ ἱεροῦ πρὸς τὴν Ἀντωνίαν διε-
31 κοψαν. Τοῦτο ἔψυξε τὴν Φλώρου πλεονεξίαν· τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμενος, καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν Ἀντωνίαν, ὡς ἀπερράγησαν αἱ στοαὶ, τὴν ὁρμὴν �ανε-
32 τράπη. Καὶ μεταπεμψάμενος τούς τε ἀρχιερεῖς καὶ τὴν βουλὴν, αὐτὸς μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρουρὰν δὲ κατα-
33 λείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσι. Τῶν δὲ πάντα περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτερίσειν ὑποσχομένων, εἰ μίαν
34 αὐτοῖς καταλείψει σπεῖραν, μὴ μέντοι τὴν μαχεσαμένην· πρὸς γὰρ ταύτην ἀπεχθῶς δι' ἃ πέπονθεν ἔχειν τὸ πλῆθος· ἀλλάξας τὴν σπεῖραν, ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Καισάρειαν.

CAP. XVI.

1 1. Ἑτέραν δὲ ἐπιβολὴν τῷ πολέμῳ ποριζόμενος, ἐπέστελλε Κεστίῳ, Ἰουδαίων ἀπόστασιν καταψευδόμενος, τήν τε ἀρχὴν τῆς μάχης περιθεὶς αὐτοῖς, καὶ δράσαι λέγων ἐκεί-
2 νους ἃ πεπόνθασιν. Οὐ μὴν οὐδ' οἱ τῶν Ἱεροσολύμων ἄρχοντες ἐσίγησαν, ἀλλ' αὐτοί τε καὶ Βερνίκη τῷ Κεστίῳ,
3 περὶ ὧν Φλῶρος εἰς τὴν πόλιν παρηνόμησεν, ἔγραφον. Ὁ δὲ τὰ παρ' ἀμφοῖν ἀναγνοὺς, μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο, καὶ τοῖς μὲν αὐτῶν ἐδόκει, Κέστιον μετὰ στρατιᾶς ἀναβαίνειν, ἢ τιμωρησόμενον τὴν ἀπόστασιν, εἰ γέγονεν, ἢ βεβαιο-

διακόψαι τοὺς P. 30 πάλιν ελθὼν M. κρατήσει τοῦ M. 32 βουλὴν, αὐτὸν M.N.P.R.E. μὲν ἐξεῖναι τῆς M.N.P.T. φρουρὰν δ' ἐγκαταλείψειν L.P. 33 Τῶν δὲ πάντως ex cor. L. καταλείψοι M.N.P. R.T.E. καταλίποι L. 34 δι' ἃ πεπόνθεσαν L. 1 ἐπιβουλὴν P.L. T. sed in his duobus ex rec. adjec. ἃ πεπόνθεσαν L. 2 Οὐ μὴν οὖν N. 3 μετὰ ἡγεμόνων P.E. ἐβου. τοῖς μὲν οὖν αὐτῶν L.P.

τέρους καταστήσοντα Ἰουδαίους καὶ συμμένοντας· αὐτῷ δὲ 4
προπέμψαι τινὰ τῶν ἑταίρων τὸν κατασκεψόμενον τὰ πράγματα, καὶ τὰ φρονήματα τῶν Ἰουδαίων πιστῶς ἀγγελοῦντα. Πέμπει δή τινα τῶν χιλιάρχων Νεαπολιτανὸν, ὃς, ἀπὸ τῆς 5
Ἀλεξανδρείας ὑποστρέψαντι περιτυχὼν Ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ Ἰάμνειαν, τὸν πέμψαντα καὶ τὰς αἰτίας ἐδήλωσεν.

2. Ἔνθα καὶ Ἰουδαίων οἵ τε ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς 6
καὶ ἡ βουλὴ παρῆν, δεξιουμένη τὸν βασιλέα. Μετὰ δὲ τὴν εἰς ἐκεῖνον θεραπείαν ἀπωδύροντο τὰς ἑαυτῶν συμφορὰς, καὶ τὴν Φλώρου διεξῆεσαν ὠμότητα. Πρὸς ἣν ἠγανάκτει μὲν 7
Ἀγρίππας, στρατηγικῶς δὲ τὴν ὀργὴν εἰς οὓς ἠλέει Ἰουδαίους μετέφερε, ταπεινοῦν αὐτῶν βουλόμενος τὰ φρονήματα, καὶ τῷ μὴ δοκεῖν ἀδίκως τι παθεῖν, τῆς ἀμύνης ἀποτρέπων. Οἱ μὲν οὖν, ὡς ἂν ὄντες ἔκκριτοι, καὶ διὰ τὰς αὐτῶν κτήσεις 8
ἐπιθυμοῦντες εἰρήνης, συνίεσαν εὐνοϊκὴν τὴν ἐπίπληξιν τοῦ βασιλέως. Ὁ δὲ δῆμος ἐκ τῶν Ἱεροσολύμων, ἐπὶ ἑξήκοντα προελθὼν σταδίους, ἐδεξιοῦτο τὸν Ἀγρίππαν, καὶ τὸν Νεαπολιτανόν. Ἐκώκυον δὲ αἱ τῶν ἀπεσφαγμένων γυναῖκες 9
προεκθέουσαι· καὶ πρὸς τὴν τούτων οἰμωγὴν ὁ δῆμος, εἰς ὀλοφυρμοὺς τραπόμενος, ἐπικουρεῖν τὸν Ἀγρίππαν ἱκέτευε· τῷ τε Νεαπολιτανῷ κατεβόων, ὅσα πάθοιεν ὑπὸ Φλώρου· 10
καὶ παρελθοῦσιν εἰς τὴν πόλιν τήν τε ἀγορὰν ἠρημωμένην ὑπεδείκνυσαν, καὶ πεπορθημένας τὰς οἰκίας. Ἔπειτα δι' 11
Ἀγρίππα πείθουσι τὸν Νεαπολιτανὸν σὺν ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ Σιλοᾶ τὴν πόλιν, ἵνα γνῷ Ἰουδαίους τοῖς μὲν ἄλλοις ἅπασι Ῥωμαίοις εἴκοντας, μόνῳ δὲ ἀπεχθα-

4 προπέμψαι τῶν ἑταί. P. ἀναγγελοῦντα P. 5 Πέμπει δὲ L.P. πέμπει οὖν δὴ M.N.R.T.E. Νεοπολιτανὸν M.N.T. et sic infra. ὑποστρέφοντι τυχὼν P. Ἰάμνιαν M.P.R.T. Ἰαμ. τότε πέμψαντα P. 6 διεξίεσαν P. 8 τὰς ἑαυτῶν P. ἐπιθυ. εἰρήνην M.N.R. 9 καὶ τῶν ἀπεσφιγμένων αἱ γυναῖκες L.P. ἱκέτευον P. 10 Τοῦ τε Νεαπολιτάνου L.P. ἐπεδείκνυσαν L.P. ὑπεδείκνυον E. 11 θεράπ. παρελθεῖν M. θεράπ. προελθεῖν P. Σιλωᾶ R. Σιλωὰ sic T. Σιλωὰν L. τοὺς μὲν ἄλβους ἅπαντας M. Ῥωμαίοις ἅπασιν tr. L.P.

νομένους Φλώρῳ δι' ὑπερβολὴν τῆς εἰς αὐτοὺς ὠμότητος. Ὁ δὲ, ὡς διοδεύσας πεῖραν ἔλαβεν ἱκανὴν τῆς πραότητος αὐτῶν, εἰς τὸ ἱερὸν ἀνέβαινεν. Ἔνθα συγκαλέσας τὸ πλῆθος, καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς Ῥωμαίους ἐπαινέσας, πολλὰ δὲ εἰς τὸ τηρεῖν τὴν εἰρήνην προτρεψάμενος, καὶ τοῦ θεοῦ προσκυνήσας ὅσον ἐξῆν τὰ ἅγια, πρὸς Κέστιον ἐπανήει.

3. Τὸ δὲ πλῆθος τῶν Ἰουδαίων ἐπί τε τὸν βασιλέα καὶ τοὺς ἀρχιερεῖς τραπόμενον, πρέσβεις κατὰ Φλώρου πέμπειν ἠξίου πρὸς Νέρωνα, καὶ μὴ σιωπήσαντας ἐπὶ τοσούτῳ φόνῳ καταλιπεῖν ἑαυτοῖς ὑπόνοιαν ἀποστάσεως· δόξειν γὰρ αὐτοὺς κατάρξαι τῶν ὅπλων, εἰ μὴ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα. Φανεροὶ δὲ ἦσαν οὐκ ἠρεμήσοντες, εἰ τὴν πρεσβείαν τις ἀποκωλύοι. Ἀγρίππᾳ δὲ τὸ μὲν χειροτονεῖν Φλώρου κατηγόρους ἐπίφθονον ἐδόκει· τὸ περιϊδεῖν δὲ Ἰουδαίους εἰς πόλεμον ἐκριπισθέντας, οὐδὲ αὐτῷ λυσιτελὲς κατεφαίνετο. Προσκαλεσάμενος δὲ εἰς τὸν ξυστὸν τὸ πλῆθος, καὶ παραστησάμενος ἐν περιόπτῳ τὴν ἀδελφὴν Βερνίκην ἐπὶ τῆς Ἀσαμωναίων οἰκίας, — αὕτη γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω πόλεως, καὶ γέφυρα τῷ ξυστῷ τὸ ἱερὸν συνῆπτεν, — ἔλεξε τοιάδε.

4. "Εἰ μὲν ἐώρων πάντας ὑμᾶς πολεμεῖν Ῥωμαίοις ὡρμημένους, καὶ μὴ τοῦ δήμου τὸ καθαρώτατον καὶ εἰλικρινέστατον εἰρήνην ἄγειν προηρημένους, οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς, οὔτε συμβουλεύειν ἐθάρσησα· περισσὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν πᾶς λόγος, ὅταν ἡ τῶν ἀκουόντων πάντων πρὸς τὸ χεῖρον ὁμόνοια ᾖ. Ἐπεὶ δέ τινας μὲν ἡλικία τῶν ἐν

τῆς ἐπ' αὐτοὺς L. 12 ἱκανὴν ἔλαβεν tr. L.P. ἀναβαίνει L.P. 13 τηρεῖν τὴν εἰρημένην προτρ. M. ὅθεν ἐξῆν L.P. 14 πέμπειν κατὰ Φλώρου πρέσβεις tr. L.P. ἠξίουν M.N.R.T. σιωπῶντας L.P. 15 γὰρ αὐτοῖς L. γὰρ αὐτοὶ P. κατάρξειν L. κατάρξαι sic R. ἐπιδείξαιντο P. ἀποκωλύει P. 16 ἐδόκει, τὸ desunt L. ἐδόκει deest P. ἐκριπισθέντας ἀνάξιον· ἀνελθὸν δὲ εἰς τὸν desunt quæ interveniunt M. οὔτε αὐτῷ L.N.P. 17 δὴ εἰς τὸν E. 18 προηρημένους M. προηρημένους sic R. ἐθάρρησα L.P. 19 ᾖ τῶν ἀκου. πάν. ἡ πρὸς L.P.R.

πολέμῳ κακῶν ἀπείρατος, τινὰς δὲ ἐλπὶς ἀλόγιστος ἐλευθερίας, ἐνίους δὲ πλεονεξία τις παροξύνει, καὶ τὸ παρὰ τῶν ἀσθενεστέρων, ἐὰν τὰ πράγματα συγχυθῇ, κέρδος, ὅπως αὐ- 21
τοί τε σωφρονισθέντες μεταβάλωνται, καὶ μὴ τῆς ἐνίων κακοβουλίας οἱ ἀγαθοὶ παραπολαύσωσιν, ᾠήθην δεῖν ἐπὶ τὸ αὐτὸ πάντας ὑμᾶς συναγαγὼν εἰπεῖν, ἃ νομίζω συμφέρειν. Θορυβήσῃ δέ μοι μηδεὶς, ἐὰν μὴ τὰ πρὸς ἡδονὴν ἀκούῃ· τοῖς 22
μὲν γὰρ ἀνηκέστως ἐπὶ τὴν ἀπόστασιν ὡρμημένοις ἔνεστι καὶ μετὰ τὴν ἐμὴν παραίνεσιν τὰ αὐτὰ φρονεῖν· ἐμοὶ δὲ διαπίπτει καὶ πρὸς τοὺς ἀκούειν ἐθέλοντας ὁ λόγος, ἐὰν μὴ παρὰ πάντων ἡσυχία γένηται. Οἶδα μὲν οὖν, ὅτι πολλοὶ 23
τὰς ἐκ τῶν ἐπιτρόπων ὕβρεις καὶ τὰ τῆς ἐλευθερίας ἐγκώμια τραγῳδοῦσιν. Ἐγὼ δὲ πρὶν ἐξετάζειν, τίνες ὄντες, καὶ τίσιν ἐπιχειρεῖτε πολεμεῖν, πρῶτον διαζεύξω τὴν συμπλοκὴν τῶν προφάσεων. Εἰ μὲν γὰρ ἀμύνεσθε τοὺς ἀδικοῦντας, τί σεμ- 24
νύνετε τὴν ἐλευθερίαν; Εἰ δὲ τὸ δουλεύειν ἀφόρητον ἡγεῖσθε, περισσὴ πρὸς τοὺς ἡγεμόνας ἡ μέμψις· καὶ γὰρ ἐκείνων 25
μετριαζόντων, αἰσχρὸν ὁμοίως τὸ δουλεύειν. Σκοπεῖτε δὲ καὶ καθ' ἕκαστον τούτων, ὡς ἔστι μικρὰ τοῦ πολεμεῖν ἡ ὑπόθεσις· καὶ πρῶτά γε τὰ τῶν ἐπιτρόπων ἐγκλήματα. Θερα- 26
πεύειν δὲ, οὐκ ἐρεθίζειν, δεῖ τὰς ἐξουσίας· ὅταν δὲ τῶν μικρῶν ἁμαρτημάτων τοὺς ἐξονειδισμοὺς ποιῆσθε μεγάλους, καθ' ἑαυτῶν τοὺς ὀνειδιζομένους ἀπελέγχετε· καὶ παρέντες τὸ 27
λάθρα καὶ μετ' αἰδοῦς ὑμᾶς βλάπτειν, πορθοῦσι φανερῶς. Οὐδὲν δὲ οὕτω τὰς πληγὰς, ὡς τὸ φέρειν, ἀναστέλλει. Καὶ τὸ τῶν ἀδικουμένων ἡσύχιον τοῖς ἀδικοῦσι γίνεται διατροπή. Φέρε δὲ, εἶναι τοὺς Ῥωμαίων ὑπηρέτας ἀνηκέστους χαλεπούς· 28

20 ἀπείραστος R. ἄπειρος L. τις deest N.T. παροξύνει P. 21 μεταβάλλωνται T. 22 Θορυβήσει M.N.P. ἀκούσῃ T. ἀποστασίαν L. ταῦτα φρονεῖν P. ἐμοὶ διαπίπτει P. 23 ἐπιχειρῆτε P. συμπλοκὴν τῆς προτάσεως. N. et T. sed in huj. marg. τῶν προφάσεων. 24 Εἰ μὲν ἀμυν. P.E. ἀμύνασθε sic M. 25 πολεμεῖν ὑπόθεσις P. 26 Θεραπεύειν γὰρ οὐκ L.P. ἐρεθίζειν χρὴ τὰς L.P. ποιεῖσθε M.N.P. T.E. et pri. ma. L. ἐλέγχετε T.

οὕπω Ῥωμαῖοι πάντες ἀδικοῦσιν ὑμᾶς, οὐδὲ Καῖσαρ, πρὸς οὓς αἱρεῖσθε τὸν πόλεμον· οὐ γὰρ ἐξ ἐντολῆς ἦκει τις πονηρὸς ἀπ' ἐκείνων, οὐδέ γε τοὺς ὑπὸ τὴν ἀνατολὴν οἱ ἀφ' ἑσπέ-
29 ρας ἐπιβλέπουσιν· ἀλλ' οὐδ' ἀκούειν ταχέως τὰ ἐντεῦθεν ἐκεῖ ῥᾴδιον· ἄτοπον δὲ, καὶ δι' ἕνα πολλοῖς, καὶ διὰ μικρὰς αἰτίας τηλικούτοις, καὶ μηδὲ γινώσκουσιν ἃ μεμφόμεθα, πολεμεῖν.
30 Καὶ τῶν μὲν ἡμετέρων ἐγκλημάτων ταχεῖα γένοιτ' ἂν ἡ διόρθωσις· οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μενεῖ διαπαντὸς, καὶ
31 τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρους. Κινηθέντα δ' ἅπαξ τὸν πόλεμον οὔτ' ἀποθέσθαι ῥᾴδιον δίχα συμφορῶν, οὔτε βαστάσαι. Ἀλλὰ μὴν τό γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον ὑπὲρ τοῦ μηδὲ ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον· ἡ γὰρ πεῖρα τῆς δουλείας χαλεπὴ, καὶ
32 περὶ τοῦ μηδὲ ἄρξασθαι ταύτης ὁ ἀγὼν δίκαιος· ὁ δὲ ἅπαξ χειρωθεὶς ἔπειτα ἀφιστάμενος αὐθάδης δοῦλός ἐστιν, οὐ φιλελεύθερος. Τότε γὰρ οὖν ἐχρῆν πάντα ὑπὲρ τοῦ μὴ δέξασθαι Ῥωμαίους ποιεῖν, ὅτε τὴν ἀρχὴν ἐπέβαινε τῆς χώρας ὁ
33 Πομπήϊος. Ἀλλ' οἱ μὲν ἡμέτεροι πρόγονοι, καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ χρήμασι καὶ σώμασι καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακείμενοι, πρὸς μοῖραν ὀλίγην τῆς Ῥωμαίων δυνά-
34 μεως οὐκ ἀντέσχον· ὑμεῖς δὲ, οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς παρειληφότες, τοῖς πράγμασι δὲ τῶν πρώτων ἀκουσάντων τοσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστασθε τὴν Ῥωμαίων
35 ἡγεμονίαν. Καὶ Ἀθηναῖοι μὲν, οἱ περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας παραδόντες ποτὲ καὶ πυρὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον Ξέρξην διὰ γῆς πλεύσαντα, καὶ διὰ θαλάσσης ὁδεύσαντα, καὶ μὴ χωρούμενον μὲν τοῖς πελάγεσι, πλατυτέραν
36 δὲ τῆς Εὐρώπης τὴν στρατιὰν ἄγοντα, δραπέτην ἐπὶ μιᾶς

28 οὐδὲ γὰρ ἐξ L.P. τις παρ' ἐκείνων πονηρὸς M. ἀνατολὴν ἀφ' L.P.
29 ἀκούειν ῥαδίως τἀντεῦθεν ἐκεῖ ταχέως· M. 30 ἂν διόρθωσις L.P.
31 βαστάζειν L.P. ἀλλὰ νῦν τό γε νῦν P. ἄωρον, τὸ δ' ὑπὲρ τοῦ μὴ ἀποβαλεῖν L. 32 Τότε τοιγαροῦν L.P. ὅτε ἐπέβαινεν τῆς χώ. Πομπήϊος L.P. 34 τῶν πρώτως M. ὑπακουσάντων L. ὅλην ἀνίστασθε L.
35 Ἀθην. μὲν ὑπὲρ τῆς R. et ex cor. T. ποτὲ πυρὶ καὶ M.

νεὼς διώξαντες, περὶ δὲ τῇ σμικρᾷ Σαλαμῖνι τὴν τοσαύτην
'Ασίαν κλάσαντες, νῦν δουλεύουσι 'Ρωμαίοις, καὶ τὴν ἡγεμο-
νίδα τῆς 'Ελλάδος πόλιν διοικεῖ τὰ ἀπὸ τῆς 'Ιταλίας προσ-
τάγματα. Λακεδαιμόνιοί τε μετὰ Θερμοπύλας καὶ Πλα- 37
ταιὰς καὶ τὸν ἐρευνήσαντα τὴν 'Ασίαν 'Αγησίλαον, ἀγαπῶσι
τοὺς αὐτοὺς δεσπότας. Καὶ Μακεδόνες, ἔτι φανταζόμενοι
Φίλιππον σὺν 'Αλεξάνδρῳ, καὶ παρασπείρουσαν αὐτοῖς τὴν
τῆς οἰκουμένης ἡγεμονίαν ὁρῶντες, φέρουσι τὴν τοσαύτην
μεταβολὴν, καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη προσκυνοῦσιν· 38
ἄλλα τε ἔθνη μυρία, πλείονος γέμοντα πρὸς ἐλευθερίαν παρ-
ρησίας, εἴκει· μόνοι δὲ ὑμεῖς ἀδοξεῖτε δουλεύειν, οἷς ὑποτέτακ-
ται τὰ πάντα. Ποίᾳ στρατιᾷ, ποίοις πεποιθότες ὅπλοις;
Ποῦ μὲν ὁ στόλος ὑμῶν διαληψόμενος τὰς 'Ρωμαίων θαλάσ- 39
σας; Ποῦ δὲ οἱ ταῖς ἐπιβολαῖς ἐξαρκέσοντες θησαυροί;
Πρὸς Αἰγυπτίους ἆρα καὶ πρὸς Ἄραβας οἴεσθε κινεῖν τὸν
πόλεμον; Οὐ περισκέψεσθε τὴν 'Ρωμαίων ἡγεμονίαν; Οὐ 40
μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; Οὐ τὰ μὲν ὑμέτερα καὶ τῶν
προσοίκων ἐθνῶν ἡττήθη πολλάκις; Ἡ δὲ ἐκείνων ἰσχὺς διὰ
τῆς οἰκουμένης ἀνίκητος. Μᾶλλον δὲ καὶ ταύτης ἐζήτησάν 41
τι πλέον· οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅλος Εὐφράτης ὑπὸ τὴν
ἀνατολὴν, οὐδὲ τῶν προσαρκτίων Ἴστρος, ἥ τε μεσημβρινὴ
μέχρι τῶν ἀοικήτων ἐρευνηθεῖσα Λιβύη, καὶ Γάδειρα πρὸς
ἑσπέραν· ἀλλ' ὑπὲρ ὠκεανὸν ἑτέραν ἐζήτησαν οἰκουμένην, καὶ 42
μέχρι τῶν ἀνιστορήτων πρότερον Βρεττανῶν διήνεγκαν τὰ
ὅπλα. Τί οὖν; Ὑμεῖς πλουσιώτεροι Γαλατῶν, ἰσχυρότε- 43
ροι Γερμανῶν, Ἑλλήνων συνετώτεροι, πλείους τῶν κατὰ τὴν
οἰκουμένην ἐστὲ πάντων; Τί τὸ πεποιθὸς ὑμᾶς κατὰ 'Ρω-
μαίων ἐπαίρει; Χαλεπὸν τὸ δουλεύειν, ἐρεῖ τις. Πόσῳ μᾶλ- 44

36 τῇ μικρᾷ L.P. 37 Λακεδ. δὲ μετὰ L.P. Πλατέας P. Φίλιππον καὶ σὺν L.N.E. Φίλ. καὶ τὴν σὺν P. 'Αλεξάνδρῳ παρασπ. L.N.P. παρασπαίρουσιν N. παρασπείροντα E. ὁρῶντες ἡγεμονίαν tr. T. 38 παρρησίας ἥκει P. στόλος ὑμῖν L.P. 39 ἐπιβουλαῖς T. 40 περισκέπτεσθε P. in marg. ὑμέτερα πρὸς τῶν M.E. 41 Εὐφ. ὑπὲρ τὴν P. ὁ Ἴστρος P. Γάδηρα P. 42 Βρεττανῶν καὶ Γερμανῶν διην. L.

λον Ἕλλησιν, οἳ τῶν ὑφ' ἥλιον πάντων εὐγενείᾳ προέχειν δοκοῦντες, καὶ τοσαύτην νεμόμενοι χώραν, ἐξ Ῥωμαίων ὑπείκουσι ῥάβδοις; Τοσαύταις δὲ καὶ Μακεδόνες, οἱ δικαιότερον
45 ὑμῶν ὀφείλοντες ἐλευθερίας ἀντιποιεῖσθαι. Τί δὲ αἱ πεντακόσιαι τῆς Ἀσίας πόλεις; Οὐχὶ δίχα φρουρᾶς ἕνα προσκυ-
46 νοῦσιν ἡγεμόνα, καὶ τὰς ὑπατικὰς ῥάβδους; Τί δεῖ λέγειν Ἠνιόχους τε καὶ Κόλχους, καὶ τὸ τῶν Ταύρων φῦλον, Βόσπορανούς τε καὶ τὰ περίοικα τοῦ Πόντου καὶ τῆς Μαιώτιδος ἔθνη, παρ' οἷς πρὶν μὲν οὐδὲ οἰκεῖος ἐγινώσκετο δεσπότης, νῦν δὲ τρισχιλίοις ὁπλίταις ὑποτάσσεται, καὶ τεσσαράκοντα νῆες μακραὶ τὴν πρὶν ἄπλωτον καὶ ἀγρίαν εἰρηνεύουσι θάλασ-
47 σαν; Πόσα Βιθυνία καὶ Καππαδοκία καὶ τὸ Παμφύλιον ἔθνος, Λύκιοί τε καὶ Κίλικες ὑπὲρ ἐλευθερίας ἔχοντες εἰ-
48 πεῖν, χωρὶς ὅπλων φορολογοῦνται; Τί δὲ Θρᾷκες, οἳ πέντε μὲν εὖρος, ἑπτὰ δὲ μῆκος ἡμερῶν χώραν διειληφότες, τραχυτέραν τε καὶ πολλῷ τῆς ὑμετέρας ὀχυροτέραν, καὶ βαθεῖ κρυμῷ τοὺς ἐπιστρατεύοντας ἀνακόπτουσαν, οὐχὶ δισχι-
49 λίοις Ῥωμαίων ὑπακούουσι φρουροῖς; Οἱ δὲ ἀπὸ τούτων Ἰλλυριοὶ τὴν μέχρι Δαλματίας ἀποτεμνομένην Ἴστρῳ κατοικοῦντες, οὐ δυσὶ μόνοις τάγμασιν ὑπείκουσι, μεθ' ὧν
50 αὐτοὶ τὰς Δακῶν ἀνακόπτουσιν ὁρμάς; Οἱ δὲ τοσαυτάκις πρὸς ἐλευθερίαν ἀναχαιτίσαντες Δαλμάται, καὶ πρὸς τὸ μόνον ἀεὶ χειρωθέντες, ὥστε συλλεξάμενοι τὴν ἰσχὺν πάλιν ἀποστῆναι, νῦν οὐχ ὑφ' ἑνὶ τάγματι Ῥωμαίων ἡσυχίαν ἄγου-
51 σιν; Ἀλλὰ μὴν εἴ γέ τινας εἰς ἀπόστασιν ὤφειλον ἀφορμαὶ μεγάλαι παροξύνειν, μάλιστα Γαλάτας ἐχρῆν, τοὺς οὕτως

44 ὑφ' ἡλίῳ N.P.T. προῦχειν εὐγενείᾳ tr. L. χώραν ταῖς Ῥωμ. L.P. Ῥωμαίοις N. ὑπήκουσιν P. ῥάβδοις· ταῖς αὐταῖς L.P. δὲ Μακεδόνες E. 45 Οὐ δίχα L.M.N.P.T. 46 Τί χρὴ λέγ. L.P. τί δὲ λέγ. sed in marg. δεῖ T. καὶ τὸ Ταύρων M.N.T. Βοσπορήνους N.T. τὰ τοῦ Πόντου M. τεσσαρ. ναῦς P. 47 θάλασσαν. Πρὸς ἃ Βι. N.T. Βηθυνία P. καὶ Παμφύλιον L.P. 48 Τί δαὶ Θρ. P. ὀχυρωτέραν P. βαθεῖ κρυμνῷ M. ἐπιστρατεύσοντας P. 49 Δαλματείας L. ἀποτεμόμενοι M. καὶ ἀποτεμόμενοι R. in marg. ἐκτεινομένην E. ἐν δὲ Ἴστρῳ M. N.R.E. et pri. ma. T. 50 πρὸς τὸ μᾶλλον L. πρὸς τοῦτο μόνον E. χειρωθ. τότε συλ. L.M.P.R.T. 51 ὄφειλον P. προξύνειν T.

ὑπὸ τῆς φύσεως τετειχισμένους, ἐξ ἀνατολῆς μὲν ταῖς Ἄλπεσι, πρὸς ἄρκτῳ δὲ Ῥήνῳ ποταμῷ, μεσημβρινοῖς δὲ τοῖς Πυρρηναίοις ὄρεσιν, ὠκεανῷ δὲ πρὸς δυσμαῖς. Ἀλλὰ καίτοι 52
τηλικαῦτα μὲν ἔρκη προβεβλημένοι, πέντε δὲ καὶ τριακοσίοις πληθύνοντες ἔθνεσι, τὰς δὲ πηγὰς, ὡς ἄν τις εἴποι, τῆς εὐδαιμονίας ἐπιχωρίους ἔχοντες, καὶ τοῖς ἀγαθοῖς σχεδὸν ὅλην ἐπικλύζοντες τὴν οἰκουμένην, ἀνέχονται Ῥωμαίων πρόσοδος ὄντες, καὶ ταμιευόμενοι παρ' αὐτῶν τὴν οἰκείαν εὐδαιμονίαν. Καὶ τοῦτο ὑπομένουσιν, οὐ διὰ φρονημάτων μαλακίαν, οὐδὲ 53
δι' ἀγένειαν, οἵ γε διήνεγκαν ὀγδοήκοντα ἔτη πόλεμον ὑπὲρ τῆς ἐλευθερίας, ἀλλὰ μετὰ τῆς δυνάμεως Ῥωμαίων καὶ τὴν τύχην καταπλαγέντες, ἥτις αὐτοῖς κατορθοῖ πλείονα τῶν ὅπλων. Τοιγαροῦν ὑπὸ χιλίοις καὶ διακοσίοις στρατιώταις 54
δουλεύουσιν, ὧν ὀλίγου δεῖν πλείους ἔχουσι πόλεις. Οὐδὲ 55
Ἴβηρσιν ὁ γεωργούμενος χρυσὸς εἰς τὸν ὑπὲρ τῆς ἐλευθερίας πόλεμον ἐξήρκεσεν, οὐδὲ τὸ τοσοῦτον ἀπὸ Ῥωμαίων γῆς καὶ θαλάσσης διάστημα, φῦλά τε Λυσιτανῶν καὶ Καντάβρων ἀρειμάνια, οὐδὲ γείτων ὠκεανὸς φοβερὰν καὶ τοῖς ἐπιχωρίοις ἄμπωτιν ἐπάγων. Ἀλλ' ὑπὲρ τὰς Ἡρακλείους στήλας ἐκτεί- 56
ναντες τὰ ὅπλα, καὶ διὰ νεφῶν ὁδεύσαντες τὰ Πυρρηναῖα ὄρη, καὶ τούτους ἐδουλώσαντο Ῥωμαῖοι· φρουρὰ δὲ ἤρκεσε 57
τῶν οὕτω δυσμάχων καὶ τοσοῦτον ἀπῳκισμένων ἓν τάγμα. Τίς ὑμῶν οὐκ ἀκοῇ παρείληφε τὸ Γερμανῶν πλῆθος; Ἀλκὴν 58
μὲν γὰρ καὶ μεγέθη σωμάτων εἴδετε δήπου πολλάκις, ἐπεὶ πανταχοῦ Ῥωμαῖοι τοὺς τούτων αἰχμαλώτους ἔχουσιν. Ἀλλ' 59
οὗτοι γῆν μὲν ἄπειρον νεμόμενοι, μείζω δὲ τῶν σωμάτων ἔχοντες τὰ φρονήματα, καὶ τὴν μὲν ψυχὴν θανάτου κατα-

τοῖς Κυρηναίοις P. et ex cor. rec. L. τοῖς Πυρηναίοις T. πρὸς δυσμῶν L.P. πρὸς δυσμαῖς sic R. 52 προσβεβλημένοι T. πέντε καὶ P. πληθύοντες N. πληθυνθέντες L. πρόσοδον διδόντες P. 55 Οὐδὲ Ἤβηρσιν P. ἐξήρκεσεν πόλεμον tr. L.P. Λυσιτιάνων M.N. Λουσιτιάνων P.R.T. καὶ Κανταύρων P. Καντ. ἀρμένια N. et T. sed in huj. marg. ἀριμένια. Καντ. γερμανία P. οὐδέ τι τῶν ὠκεανὸς N. 56 τὰ Τυρηναῖα L. τὰ Πυρηνίων P. 57 Τίς ἡμῶν N.T. 58 σωμάτων deest E. ἴδετε P.E. ἤδη που πολλάκις L. 59 Ἀλλά τοι γῆν L. τὴν μὲν τύχην θανάτου N.

φρονοῦσαν, τοὺς δὲ θυμοὺς τῶν ἀγριωτάτων θηρίων σφοδροτέρους, Ῥῆνον τῆς ὁρμῆς ὅρον ἔχουσι, καὶ Ῥωμαίων ὀκτὼ τάγμασι δαμαζόμενοι, δουλεύουσι μὲν ἁλόντες, τὸ δὲ ὅλον
60 αὐτῶν ἔθνος φυγῇ διασώζεται. Σκέψασθε δὲ καὶ τὸ Βρεττανῶν τεῖχος, οἱ τοῖς Ἱεροσολύμων τείχεσι πεποιθότες· καὶ γὰρ ἐκείνους περιβεβλημένους ὠκεανὸν, καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης οὐκ ἐλάσσονα νῆσον οἰκοῦντας, πλεύσαντες ἐδουλώσαντο Ῥωμαῖοι· τέσσαρα δὲ τάγματα τὴν τοσαύτην νῆ-
61 σον διαφυλάττει. Καὶ τί δεῖ πολλὰ λέγειν, ὅπου καὶ Πάρθοι, τὸ πολεμικώτατον φῦλον, τοσούτων ἄρχοντες ἐθνῶν, καὶ τηλικαύτην περιβεβλημένοι δύναμιν, ὁμήρους πέμπουσι Ῥωμαίοις, καὶ ἔστιν ἐπὶ τῆς Ἰταλίας ἰδεῖν ἐν εἰρήνης προφά-
62 σει δουλεύουσαν τὴν ἀπὸ τῆς ἀνατολῆς εὐγένειαν. Πάντων δὴ σχεδὸν τῶν ὑφ' ἥλιον τὰ Ῥωμαίων ὅπλα προσκυνούντων, ὑμεῖς μόνοι πολεμήσετε, μηδὲ τὸ Καρχηδονίων τέλος σκοποῦντες, οἳ τὸν μέγαν αὐχοῦντες Ἀννίβαν, καὶ τὴν ἀπὸ
63 Φοινίκων εὐγένειαν, ὑπὸ τὴν Σκιπίωνος δεξιὰν ἔπεσον. Οὔτε δὲ Κυρηναῖοι τὸ Λακώνων γένος, οὔτε Μαρμαρίδαι, τὸ μέχρι τῆς διψάδος ἐκτεταμένον φῦλον, οὔθ' αἱ φοβεραὶ καὶ τοῖς ἀκούουσι Σύρτεις, Νασαμῶνές τε καὶ Μαῦροι, καὶ τὸ Νομά-
64 δων ἄπειρον πλῆθος, τὰς Ῥωμαίων ἀνέκοψαν ἀρετάς. Τὴν δὲ τρίτην τῆς οἰκουμένης μοῖραν, ἧς οὐδὲ ἐξαριθμήσασθαι τὰ ἔθνη ῥᾴδιον, ὁριζομένην Ἀτλαντικῷ τε πελάγει καὶ στήλαις Ἡρακλείοις, καὶ μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης τοὺς ἀπείρους
65 νέμουσαν Αἰθίοπας, ἐχειρώσαντο μὲν ὅλην· χωρὶς δὲ τῶν ἐτησίων καρπῶν, οἳ μησὶν ὀκτὼ τὸ κατὰ τὴν Ῥώμην πλῆθος τρέφουσι, καὶ ἔξωθεν παντοίως φορολογοῦνται, καὶ ταῖς

δουλεύουσιν ἁλόντες P. 60 Σκέψασθε δὴ L. καὶ Βρεττανῶν P. Βρετ. πλῆθος οἱ N. τείχεσιν Ἱεροσολ. tr. T. 61 πολεμ. ἔθνος sed in marg. φῦλον T. 62 Πάντων οὖν σχ. T. ὑφ' ἡλίῳ N.P.T. Ἀννίβαλι sed ι rec. adj. L. Σκηπίωνος L.M.R. Σκήπίωνος sic. T. Σκιπίονος P. Σκηπίωνος, οὔτε Μαρμαρίδαι desunt quæ interveniunt M. τ
63 Λακόνων P. Μαρμαρίδαι sic T. τῆς δαψίδος N.T. καὶ τῶν Νομάδων P. ἀνέκοψ$^{\alpha}$ἐν sic T. 64 ῥᾴδιον ἦν P. Ἀτλαντικῷ πελάγει L.P.T. 65 τρέφουσιν, ἔξωθεν L.

χρείαις τῆς ἡγεμονίας παρέχουσιν ἑτοίμους τὰς εἰσφοράς, οὐδὲν τῶν ἐπιταγμάτων, ὥσπερ ὑμεῖς, ὕβριν ἡγούμενοι, καίπερ ἑνὸς τάγματος αὐτοῖς παραμένοντος. Καὶ τί δεῖ πόρ- 66
ρωθεν ὑμῖν ὑποδεικνύειν τὴν Ῥωμαίων δύναμιν, παρὸν ἐξ Αἰγύπτου τῆς γειτνιώσης, ἥτις ἐκτεινομένη μέχρις Αἰθιόπων καὶ τῆς εὐδαίμονος Ἀραβίας, ὅμορός τε οὖσα τῆς Ἰνδικῆς, πεντήκοντα πρὸς ταῖς ἑπτακοσίαις ἔχουσα μυριάδας ἀνθρώπων, δίχα τῶν Ἀλεξάνδρειαν κατοικούντων, ὡς ἔνεστιν ἐκ 67
τῆς καθ' ἑκάστην κεφαλὴν εἰσφορᾶς τεκμήρασθαι, τὴν Ῥωμαίων ἡγεμονίαν οὐκ ἀδοξεῖ, καίτοι πηλίκον ἀποστάσεως κέντρον ἔχουσα τὴν Ἀλεξάνδρειαν, πλήθους τε ἀνδρῶν ἕνεκα καὶ πλούτου, πρὸς δὲ καὶ μεγέθους, μῆκος μέν γε αὐτῆς τριά- 68
κοντα σταδίων, εὖρος δὲ οὐκ ἔλαττον δέκα· τοῦ δὲ ἐνιαυσίου παρ' ὑμῶν φόρου καθ' ἕνα μῆνα πλέον Ῥωμαίοις παρέχει, καὶ τῶν χρημάτων ἔξωθεν τῇ Ῥώμῃ σῖτον μηνῶν τεσσάρων· τε- 69
τείχισται δὲ πάντοθεν ἢ δυσβάτοις ἐρημίαις, ἢ θαλάσσαις ἀλιμένοις, ἢ ποταμοῖς, ἢ ἕλεσιν. Ἀλλ' οὐδὲν τούτων ἰσχυρότερον εὑρέθη τῆς Ῥωμαίων τύχης· δύο δ' ἐγκαθήμενα τῇ πόλει τάγματα τὴν βαθεῖαν Αἴγυπτον ἅμα τῇ Μακεδόνων εὐγενείᾳ χαλινοῖ. Τίνας οὖν ἐπὶ τὸν πόλεμον ἐκ τῆς ἀοική- 70
του παραλήψεσθε συμμάχους; Οἱ μὲν γὰρ ἐπὶ τῆς οἰκουμένης πάντες εἰσὶ Ῥωμαῖοι, εἰ μή τις ὑπὲρ Εὐφράτην ἐκτείνει τὰς ἐλπίδας, καὶ τοὺς ἐκ τῆς Ἀδιαβηνῆς ὁμοφύλους οἴεται προσαμύνειν. Οἱ δὲ οὔτε δι' αἰτίαν ἄλογον τηλικούτῳ πο- 71
λέμῳ συμπλέξουσιν ἑαυτοὺς, οὔτε βουλευσαμένοις κακῶς ὁ Πάρθος ἐπιτρέψει· πρόνοια γὰρ αὐτῷ τῆς πρὸς Ῥωμαίους

66 τὴν Ῥωμαίων ὑποδεικνύναι δύναμιν tr. L.P. Ἀρ. ὅρμος τε οὖσα L. P. 67 ἐκ τῶν κ. ἑ. κ. εἰσφορῶν T. ἐκ τῶν κ. ε. κ. εἰσφοράς N.R. τεκμηρίσασθαι M. 68 δὲ μεγέθους L.P. μέν γε αὐτῷ M. δέκα· καὶ τοῦ ἐν L. δέκα· τὸν δὲ τοῦ ἐν. M.N.R. δέκα· τοῦ ἐν. T. ἐνιαυσιαίου L. ἐνιαυσίου sic N. παρ' ὑμῖν φόρου L. 69 πάντοθεν δυσβ. P.

70 προσλήψεσθε sic T. προσλήψεσθε M. παραλήψεσθαι P. καὶ προσλήψεσθαι in marg. R. ἐκτείνῃ N. οἴεται ἐπαμύνειν L.P. 71 συνεμπλέξουσιν P. βουλευσαμένους T.

ἐκεχειρίας, καὶ παραβαίνειν οἰήσεται τὰς σπονδὰς, ἄν τις τῶν
72 ὑπ' αὐτὸν ἐπὶ Ῥωμαίους ἴῃ. Λοιπὸν οὖν ἐπὶ τὴν ἐκ τοῦ
θεοῦ συμμαχίαν καταφευκτέον· ἀλλὰ καὶ τοῦτο παρὰ Ῥω-
μαίοις τέτακται· δίχα γὰρ θεοῦ συστῆναι τηλικαύτην ἡγε-
73 μονίαν ἀδύνατον. Σκέψασθε δὲ, ὡς ὑμῖν τὸ τῆς θρησκείας
ἄκρατον, εἰ καὶ πρὸς εὐχειρώτους πολεμοίητε, δυσδιοίκητον·
74 καὶ δι' ἃ μάλιστα τὸν θεὸν ἐλπίζετε σύμμαχον, ταῦτα ἀναγ-
75 καζόμενοι παραβαίνειν ἀποστρέφετε. Τηροῦντες γε μὴν τὰ
τῶν ἑβδομάδων ἔθη, καὶ πρὸς μηδεμίαν πρᾶξιν κινούμενοι,
ῥᾳδίως ἀλώσεσθε, καθάπερ οἱ πρόγονοι Πομπηΐῳ, ταύτας
μάλιστα τὰς ἡμέρας ἐνεργοὺς ποιησαμένῳ τῆς πολιορκίας, ἐν
76 αἷς ἤργουν οἱ πολιορκούμενοι. Παραβαίνοντες δὲ ἐν τῷ πο-
λέμῳ τὸν πάτριον νόμον, οὐκ οἶδα, ὑπὲρ ὅτου λοιπὸν ποιή-
σεσθε τὸν ἀγῶνα· σπουδὴ γὰρ ὑμῖν μία, τὸ μὴ τῶν πατρίων
77 τι καταλῦσαι. Πῶς δὲ ἐπικαλέσεσθε τὸ θεῖον εἰς τὴν ἄμυ-
ναν, οἱ παραβαίνοντες ἑκουσίως τὴν εἰς αὐτὸ θεραπείαν;
Ἐπαναιροῦνται δὲ ἕκαστοι πόλεμον, ἢ θείᾳ πεποιθότες, ἢ
ἀνθρωπίνῃ βοηθείᾳ· ὅταν δὲ τὴν παρ' ἀμφοῖν τὸ νεῖκος ἀπο-
78 κόπτῃ, φανερὰν ἅλωσιν οἱ πολεμοῦντες αἱροῦνται. Τί δὲ
κωλύει ταῖς ἑαυτῶν χερσὶ διαχρήσασθαι τέκνα καὶ γυναῖκας,
καὶ τὴν περικαλλεστάτην πατρίδα ταύτην καταφλέξαι; Μα-
79 νέντες γὰρ οὕτω τό γε τῆς ἥττης ὄνειδος κερδήσετε. Καλὸν,
ὦ φίλοι, καλὸν, ἕως ἔτι ἐν ὅρμῳ τὸ σκάφος, προσκέπτεσθαι
τὸν μέλλοντα χειμῶνα, μηδὲ εἰς μέσας τὰς θυέλλας ἀπολου-
80 μένους ἀναχθῆναι· τοῖς μὲν γὰρ ἐξ ἀδήλων ἐπιπεσοῦσι δει-

σπονδὰς κἂν τις M.N.R.E. deest καὶ ex ras. T. Ῥωμ. ᾖει N. Ῥωμ. ᾖιει P. 72 τὴν τοῦ θεοῦ L.P. τηλ. πόλιν ἀδύν. L.N. et R.T. sed in his duobus ad marg. ἡγεμονίαν. 73 πολεμώητε L.N. 74 ἃ μᾶλλον τὸν L.P. ἃ ἂν μάλιστα τὸν R.E. ἀποστρέψετε L. 75 τηροῦντες μέν γε τὰ M.N.R.T.E. 76 ὑπὲρ οὗ τὸ λοιπὸν sed οὗ ex cor. L. πατρώων L. 47 ἐπικάλεσθε P. πρὸς τὴν ἄμυναν L.P. εἰς ἄμυναν E. οἱ παραβάντες L.P. τὴν εἰς αὐτὸν R.E. ἡ ἀνθρωπείᾳ N.R.E. ἀνθρωπείᾳ
πινῃ sic T. ἀμφοῖν τὸ εἰκὸς P. et T. sed in huj. marg. man. vet. τὸ νεῖκος. ἀποκόπτῃ νευρὰν, φαν. M.R. ἀποκόπτῃ νευρὰν, ἅλω. N. 78 τί δὴ κωλ. L.P. χερσὶ διαχειρίσασθαι M. περικαλεστάτην R. 79 ἕως ὅτε ἐν M.N.T. ἕως ὅτι ἐν R. ἀπολλυμένους L. ἀπὸ λιμένος M.R.E.

νοῖς τὸ γοῦν ἐλεεῖσθαι περίεστιν, ὁ δὲ εἰς πρόδηλον ἀπώ- 81
λειαν ὁρμήσας καὶ προσονειδίζεται. Πλὴν εἰ μή τις ὑπο-
λαμβάνει κατὰ συνθήκας πολεμήσειν, καὶ Ῥωμαίους κρατή-
σαντας ὑμῶν μετριάσειν, ἀλλ' οὐκ εἰς ὑπόδειγμα τῶν ἄλλων
ἐθνῶν καταφλέξειν μὲν τὴν ἱερὰν πόλιν, ἀναιρήσειν δὲ πᾶν
ὑμῶν τὸ φῦλον· οὐδὲ γὰρ περιλειφθέντες φυγῆς εὑρήσετε 82
τόπον, ἁπάντων ἐχόντων Ῥωμαίους δεσπότας, ἢ δεδοικότων
σχεῖν. Ὁ δὲ κίνδυνος οὐ τῶν ἐνθάδε μόνον, ἀλλὰ καὶ τῶν
κατὰ τὰς ἄλλας πόλεις κατοικούντων· οὐ γάρ ἐστιν ἐπὶ τῆς
οἰκουμένης δῆμος, ὁ μὴ μοῖραν ὑμετέραν ἔχων. Οὓς ἅπαντας 83
πολεμησάντων ὑμῶν κατασφάξουσιν οἱ διάφοροι, καὶ δι' ὀλί-
γων ἀνδρῶν κακοβουλίαν πᾶσα πληρωθήσεται πόλις Ἰου-
δαϊκοῦ φόνου. Καὶ συγγνώμη μὲν τοῖς τοῦτο πράξασιν· ἂν 84
δὲ μὴ πραχθῇ, λογίσασθε, πῶς πρὸς οὕτω φιλανθρώπους
ὅπλα κινεῖν ἀνόσιον. Εἰσελθέτω δὲ οἶκτος ὑμᾶς, εἰ μὴ καὶ
τέκνων καὶ γυναικῶν, ἀλλὰ τῆς γε μητροπόλεως ταύτης, καὶ
τῶν ἱερῶν περιβόλων. Φείσασθε τοῦ ἱεροῦ, καὶ τὸν ναὸν 85
ἑαυτοῖς μετὰ τῶν ἁγίων τηρήσατε· ἀφέξονται γὰρ οὐκ ἔτι
Ῥωμαῖοι τούτων κρατήσαντες, ὧν φεισάμενοι πρότερον ἠχα-
ρίστηνται. Μαρτύρομαι δὲ ἐγὼ μὲν ὑμῶν τὰ ἅγια, καὶ 86
τοὺς ἱεροὺς ἀγγέλους τοῦ θεοῦ, καὶ πατρίδα τὴν κοινήν, ὡς
οὐδὲν τῶν σωτηρίων ὑμῖν καθυφηκάμην. Ὑμεῖς δὲ, βουλευ- 87
σάμενοι μὲν τὰ δέοντα, κοινῇ σὺν ἐμοὶ τὴν εἰρήνην ἕξετε·
προαχθέντες δὲ τοῖς θυμοῖς, χωρὶς ἐμοῦ κινδυνεύσετε."

5. Τοσαῦτα εἰπὼν ἐπεδάκρυσέ τε μετὰ τῆς ἀδελφῆς, καὶ 88
τὸ πολὺ τῆς ὁρμῆς αὐτῶν ἔπαυσε τοῖς δάκρυσιν. Ἀνεβόων
δὲ ' οὐ Ῥωμαίοις, ἀλλὰ Φλώρῳ, δι' ἃ πεπόνθασι, πολεμεῖν.'
Πρὸς ταῦτα ὁ βασιλεὺς Ἀγρίππας, " Ἀλλὰ τὰ ἔργα," 89

81 ὑπολαμβάνῃ P. 82 δεδοικότας R. πόλεις deest P. μοῖραν ἡμετέραν L.M.N.R.T. 83 ὑμῶν ἕνεκα κατασφ. M.R.E. πᾶσα πλησθήσεται P. 84 εἰ μὴ τέκνων T. εἰ καὶ μὴ τέκ P. τῆς μητροπόλ. N.R.E. 85 φείσασθε δὲ τοῦ T. τὸν νόμον ἑαυτοῖς M.N.R. 86 ἐγὼ μὲν τὰ ἅγια L. 87 κοινὴν σὺν ἐμοὶ L.P.E. 88 καὶ πολὺ L.M. τοῖς δακρύοις L.P. 89 πρὸς τοῦτο βασιλ. L.P.

ἔφη, " 'Ρωμαίοις ἤδη πολεμούντων ἐστίν· οὔτε γὰρ τῷ Καίσαρι δεδώκατε τὸν φόρον, καὶ τὰς στοὰς ἀπεκόψατε τῆς
90 'Αντωνίας. 'Αποσκευάσεσθε δ' ἂν τὴν αἰτίαν τῆς ἀποστάσεως, εἰ ταύτας τε συνάψετε πάλιν, καὶ τελέσετε τὴν εἰσφοράν· οὐ γὰρ ἤδη γε Φλώρου τὸ φρούριόν ἐστιν, ἢ Φλώρῳ τὰ χρήματα δώσετε."

CAP. XVII.

1 1. Τούτοις ὁ δῆμος ἐπείθετο, καὶ μετὰ τοῦ βασιλέως τῆς τε Βερνίκης ἀναβάντες εἰς τὸ ἱερὸν, κατήρξαντο τῆς τῶν στοῶν δομήσεως. Εἰς δὲ τὰς κώμας οἵ τε ἄρχοντες καὶ οἱ
2 βουλευταὶ μερισθέντες τοὺς φόρους συνέλεγον. Ταχέως δὲ τὰ τεσσαράκοντα τάλαντα, τοσοῦτον γὰρ ἔλειπεν, ἠθροίσθη.
3 Καὶ τοῦ μὲν πολέμου τότε τὴν ἀπειλὴν οὕτω κατέστειλεν
4 'Αγρίππας. Αὖθις δὲ ἐπειρᾶτο πείθειν τὸ πλῆθος ὑπακούειν Φλώρῳ, ἄχρις ἂν ἀντ' αὐτοῦ πέμψῃ Καῖσαρ διάδοχον. Προσπαροξυνθέντες δὲ ἐβλασφήμουν εἰς τὸν βασιλέα, καὶ
5 τῆς πόλεως αὐτὸν ἐξεκήρυσσον. 'Ετόλμων δέ τινες τῶν στασιαστῶν καὶ λίθους ἐπ' αὐτὸν βάλλειν. 'Ο δὲ βασιλεὺς τὴν ὁρμὴν τῶν νεωτεριζόντων ἀκατάσχετον ὁρῶν, καὶ χαλε-
6 πήνας ἐφ' οἷς προπεπηλάκιστο, τοὺς μὲν ἄρχοντας ἅμα τοῖς δυνατοῖς αὐτῶν ἔπεμπε πρὸς Φλῶρον εἰς Καισάρειαν, ἵνα ἐκεῖνος ἐξ αὐτῶν ἀποδείξῃ τοὺς τὴν χώραν φορολογήσοντας· αὐτὸς δὲ ἀνεχώρησεν εἰς τὴν βασιλείαν.

7 2. Καὶ ἐν τούτῳ τινὲς τῶν μάλιστα κινούντων τὸν πόλεμον συνελθόντες, ὥρμησαν ἐπὶ φρούριόν τι καλούμενον Μα-

'Ρωμαίοις πολεμ. L. γὰρ Καίσαρι L.P. ἀπεκόψ. τὰς 'Αντ. L.P. 90 ἀποσκευάσασθε L. et T. sed in hoc ex rec. man. ἀπεσκευάσασθε P. ἀποσκευάσεσθε M. sed ε ex cor. ejusd. man. εἰ ταῦτά τε P. οὐ γὰρ δή γε L.P. 1 καὶ βουλευταὶ L. 2 ἔλιπεν L.P. et T. sed in hoc ex ras. 3 οὑτὼ τὴν ἀπειλὴν tr. L.P. ἀπειλ. κατέλιπεν 'Αγ. L. ἀπειλ. κατεῖχεν 'Αγ. P. 4 μέχρις ἀντ' αὐτοῦ L.P. ἄχρις ἀντ' αὐτοῦ N. ἄχρις ἂν αὐτοῦ T. πρὸς δ παροξυν. ἐβλασ. L.P. προπαροξυνθέντες R. 5 στασιαστῶν λίθους L. ἰδὼν τὴν ὁρμὴν ἤδη τῶν L.P. ὁρῶν deest L.P. προπεπηλάκισται P. 6 ἄρχοντας αὐτῶν ἅμα L.P. δυνατοῖς ἔπεμπε L.T. ἔπεμψε M. ἀπέπεμψε L. φορολογήσαντας P. βασιλείαν αὐτοῦ. E.

σάδαν· καὶ καταλαβόντες αὐτὸ λάθρα, τοὺς μὲν Ῥωμαίων φρουροὺς ἀπέσφαξαν, ἑτέρους δὲ κατέστησαν ἰδίους. Ἅμα 8
δὲ καὶ κατὰ τὸ ἱερὸν Ἐλεάζαρος υἱὸς Ἀνανία τοῦ ἀρχιερέως, νεανίας θρασύτατος, στρατηγῶν τότε, τοὺς κατὰ τὴν λατρείαν λειτουργοῦντας ἀναπείθει, μηδενὸς ἀλλοφύλου δῶρον ἢ θυσίαν προσδέχεσθαι. Τοῦτο δὲ ἦν τοῦ πρὸς Ῥωμαίους 9
πολέμου καταβολή· τὴν γὰρ ὑπὲρ τούτων θυσίαν Καίσαρος ἀπέρριψαν· καὶ πολλὰ τῶν τε ἀρχιερέων καὶ τῶν γνωρίμων 10
παρακαλούντων ‘μὴ παραλιπεῖν τὸ ὑπὲρ τῶν ἡγεμόνων ἔθος,’ οὐκ ἐνέδοσαν, πολὺ μὲν καὶ τῷ σφετέρῳ πλήθει πεποιθότες —καὶ γὰρ τὸ ἀκμαιότατον τῶν νεωτεριζόντων συνήργει— μάλιστα δὲ ἀφορῶντες εἰς τὸν Ἐλεάζαρον στρατηγοῦντα.

3. Συνελθόντες οὖν οἱ δυνατοὶ τοῖς ἀρχιερεῦσιν —συνί- 11
σταντο καὶ τῶν Φαρισαίων οἱ γνώριμοι —ὡς ἐπ’ ἀνηκέστοις ἤδη συμφοραῖς ἐβουλεύοντο περὶ τῶν ὅλων. Καὶ δόξαν 12
ἀποπειραθῆναι τῶν στασιαστῶν λόγοις, πρὸ τῆς χαλκῆς πύλης ἀθροίζουσι τὸν δῆμον, ἥτις ἦν τοῦ ἔνδον ἱεροῦ τετραμμένη πρὸς ἀνατολὴν ἡλίου. Καὶ πρῶτον αὐτῶν πολλὰ πρὸς 13
τὴν τόλμαν τῆς ἀποστάσεως χαλεπήναντες, καὶ τὸ τηλικοῦτον ἐπισείειν τῇ πατρίδι πόλεμον, ἔπειτα τῆς προφάσεως τὸ 14
ἄλογον διήλεγχον, φάμενοι, ‘τοὺς μὲν προγόνους αὐτῶν κεκοσμηκέναι τὸν ναὸν ἐκ τῶν ἀλλοφύλων τὸ πλέον, ἀεὶ προσδεχομένους τὰς ἀπὸ τῶν ἔξωθεν ἐθνῶν δωρεάς. Καὶ οὐ 15
μόνον οὐ διακεκωλυκέναι θυσίας τινῶν, τοῦτο γὰρ ἀσεβέστατον, ἀλλὰ καὶ τὰ βλεπόμενα καὶ τὰ παραμένοντα τὸν τοσοῦτον χρόνον ἀναθήματα περὶ τῷ ἱερῷ καθιδρυκέναι. Αὐ- 16
τοὺς δὲ νῦν ἐρεθίζοντας τὰ Ῥωμαίων ὅπλα, καὶ μνηστευομέ-

7 Ῥωμαίους ἀπέσφαξαν P.E. ἐγκατέστησαν L.P. 8 ἅμα δὲ κατὰ R. Ἀνανίου ex cor. rec. T. Ἀνανία ἀρχιερ. L. μηδενὸς ἀλλοτρίου P. θυσίαν προσδέχεσθαι. Sequentia usque ad §. 28. et vv. μέρους εἶκον absunt a Cod. R. 9 θυσίαν καὶ Καίσ. L.P. 10 πολὺ μᾶλλον καὶ P. 11 Συνελθόντες γοῦν L.P. ἀρχιερεῦσιν εἰς τὸ αὐτὸ καὶ τοῖς τῶν Φαρ. γνωρίμοις L.P. 12 ἀνατολὰς L.P. 13 καὶ τὸν τηλικ. L. ἐπισείσειν M.T. 14 τὸ τῆς προφ. ἄλογον L.P. ναὸν ἐκ τῶν ἀναθημάτων τῶν M.T.E. 15 μόνον οὐ διακεκρικέναι θυσίας M.N.T. τοῦτο μὲν γὰρ L.N.P.T. παραμένοντα τοσοῦτον L.P.

νους τὸν ἀπ' ἐκείνων πόλεμον, καινοτομεῖν θρησκείαν ξένην, καὶ μετὰ τοῦ κινδύνου καταψηφίσασθαι τῆς πόλεως ἀσέβειαν, εἰ παρὰ μόνοις Ἰουδαίοις οὔτε θύσει τις ἀλλότριος,
17 οὔτε προσκυνήσει. Καὶ ἐὰν μὲν ἐπὶ ἰδιώτου τις ἑνὸς τοῦτον εἰσφέρῃ τὸν νόμον, ἀγανακτεῖν, ὡς ὁριζομένης ἀπανθρωπίας· περιορᾶν δὲ, ὅτε Ῥωμαῖοι καὶ ὁ Καῖσαρ ἔκσπονδοι γίνονται.
18 Δεδοικέναι μέντοι, μὴ τὰς ὑπὲρ ἐκείνων ἀπορρίψαντες θυσίας κωλυθῶσι θύειν καὶ τὰς ὑπὲρ ἑαυτῶν, γένηταί τε ἔκσπονδος τῆς ἡγεμονίας ἡ πόλις, εἰ μὴ ταχέως σωφρονήσαντες ἀποδώσουσι τὰς θυσίας, καὶ πρὶν ἐξελθεῖν ἐφ' οὓς ὑβρίκασι τὴν φήμην, διορθώσονται τὴν ὕβριν.'

19 4. Ἅμα ταῦτα λέγοντες παρῆγον τοὺς ἐμπείρους τῶν πατρίων ἱερεῖς, ἀφηγουμένους, ὅτι πάντες οἱ πρόγονοι τὰς ἀπὸ τῶν ἀλλογενῶν θυσίας ἀπεδέχοντο. Προσεῖχε δὲ οὐδεὶς τῶν νεωτεριζόντων, ἀλλ' οὐδὲ προσήεσαν οἱ λειτουργοὶ, τὴν
20 τοῦ πολέμου μεταβολὴν ἐνσκευαζόμενοι. Συνειδότες οὖν οἱ δυνατοὶ τήν τε στάσιν ἤδη δυσκαθαίρετον ὑπ' αὐτῶν οὖσαν, καὶ τὸν ἀπὸ Ῥωμαίων κίνδυνον ἐπὶ πρώτους αὐτοὺς ἀφιξό-
21 μενον, ἀπεσκευάζοντο τὰς αἰτίας· καὶ πρέσβεις οὓς μὲν πρὸς Φλῶρον ἔπεμψαν, ὧν ἦρχεν υἱὸς Ἀνανίου Σίμων, οὓς δὲ πρὸς Ἀγρίππαν, ἐν οἷς καὶ ἦσαν ἐπίσημοι Σαῦλός τε καὶ Ἀντίπας καὶ Κοστόβαρος, προσήκοντες τῷ βασιλεῖ κατὰ γένος.
22 Ἐδέοντο δὲ ἀμφοτέρων ἀναβῆναι μετὰ δυνάμεως εἰς τὴν πόλιν, καὶ πρὶν γενέσθαι δυσκαθαίρετον ἐπικόψαι τὴν στάσιν. Φλώρῳ μὲν οὖν τοῦτο δεινὸν εὐαγγέλιον ἦν· καὶ προῃρημένος ἐξάπτειν τὸν πόλεμον, οὐδὲν ἀπεκρίνατο τοῖς πρεσβευταῖς.
23 Ἀγρίππας δὲ κηδόμενος ἐπ' ἴσης τῶν τε ἀφισταμένων, καὶ

16 οὔτε θυσία τις L. 17 εἰσφέρει L. καὶ Καῖσαρ M. ἔκσπονδος γίνεται L.N. 18 μέντοι γε μὴ L. ἡ πόλις τῆς ἡγεμονίας tr. T. σωφρονίσαντες L. ἀποδώσωσι N. διορθώσωνται L.N. 19 ἀφηγ. ὅπως πάντες E. τὰς παρὰ τῶν P. θυσίας ἐδέξαντο T. οὐδὲ προσίεσαν N.P. προσί. οἱ ληστρικοὶ καὶ τὴν P. et L. sed in hoc ex rec. cor. πολέμου καταβολὴν L.P.E. 20 Συνιδόντες οὖν οἱ L.P. et T. sed in hoc ex cor. ἀπὸ τῶν Ῥωμαίων E. 21 Φλῶρον ἔπεμπον L.P. οἷς καὶ ἦσαν E. Σκῦλός τε καὶ N.T. Κωστόβαρος T. 22 οὖν δεινὸν L.P. οὖν τὸ δεινὸν M. οὐδὲ ἀπεκρί. L.

πρὸς οὓς ὁ πόλεμος ἠγείρετο, βουλόμενός τε Ῥωμαίοις μὲν Ἰουδαίους σώζεσθαι, Ἰουδαίοις δὲ τὸ ἱερὸν καὶ τὴν μητρόπολιν, ἀλλ' οὐδὲ αὐτῷ λυσιτελήσειν τὴν ταραχὴν ἐπιστάμενος, ἔπεμψε τοὺς ἐπαμυνοῦντας τῷ δήμῳ τρισχιλίους ἱππεῖς, Αὐρανίτας τε καὶ Βαταναίους καὶ Τραχωνίτας, ὑπὸ Δαρείῳ μὲν ἱππάρχῳ, στρατηγῷ δὲ τῷ Ἰακίμου Φιλίππῳ.

5. Τούτοις θαρσήσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι, καὶ πᾶν ὅσον τοῦ πλήθους εἰρήνην ἠγάπα, τὴν ἄνω καταλαμβάνονται πόλιν· τῆς κάτω γὰρ τὸ στασιάζον ἐκράτει, καὶ τοῦ ἱεροῦ. Χερμάσι μὲν οὖν καὶ τοῖς ἐκηβόλοις ἀδιαλείπτως ἐκέχρηντο, καὶ συνεχεῖς ἦσαν βελῶν ἀφέσεις ἐξ ἑκατέρων τῶν κλιμάτων. Ἔστι δὲ ὅτε καὶ κατὰ λόχους ἐκτρέχοντες συστάδην ἐμάχοντο, τόλμαις μὲν οἱ στασιασταὶ προέχοντες, ἐμπειρίᾳ δὲ οἱ βασιλικοί. Καὶ τούτοις μὲν ἦν ἀγὼν τοῦ ἱεροῦ κρατῆσαι μάλιστα, καὶ τοὺς μιαίνοντας τὸν ναὸν ἐξελάσαι, τοῖς δὲ περὶ τὸν Ἐλεάζαρον στασιασταῖς, πρὸς οἷς εἶχον καὶ τὴν ἄνω πόλιν προσλαβεῖν. Ἑπτὰ μὲν οὖν ἡμέραις συχνὸς ἀμφοτέρων φόνος ἐγίνετο· οὐδέτεροι δὲ τοῦ καταληφθέντος μέρους εἶκον.

6. Τῇ δὴ ἐξῆς τῆς τῶν ξυλοφορίων ἑορτῆς οὔσης, — ἐν ᾗ πᾶσιν ἔθος ὕλην τῷ βωμῷ προσφέρειν, ὅπως μήποτε τροφὴ τῷ πυρὶ λίποιτο, διαμένει γὰρ ἄσβεστον ἀεί, — τοὺς μὲν διαφόρους τῆς θρησκείας ἐξέκλεισαν· τῷ δὲ ἀσθενεῖ λαῷ συνεισρυέντας πολλοὺς τῶν σικαρίων — οὕτω γὰρ ἐκάλουν τοὺς λῃστὰς ἔχοντας ὑπὸ τοῖς κόλποις ξίφη — προσλαβόντες, θαρραλεώτερον ἤπτοντο τῆς ἐπιθέσεως. Ἡττῶντο δὲ οἱ βασιλικοὶ πλήθει τε καὶ τόλμῃ, καὶ βιασαμένοις εἶκον ἐκ τῆς

24 λυσιτ. τήν τε ἀρχὴν ἐπισ. N. ἔπεμπε τοὺς L.P. ἐπαμύνοντας M.N.P. δήμῳ δισχιλίους L. Αὐραντάς sed in marg. man. rec. αὐρανίτας T. καὶ Τραχω. καὶ Βαταν. tr. P. ἱππάρχῃ L. 26 ἀδιαλίπτως N. ἐχρῶντο· καὶ L. 27 πρὸς οἷς ἔσχον P. 28 καὶ οὐδέτεροι τοῦ L.P. καταλειφθέντος L.M.N. 29 ἑξῆς τῶν L.M.N.R.E. et T. sed in hoc supra script. τῆς. ἔθος ἦν ὕλην P. λείποιτο N. λείποι L.P. διαμένειν L.P.T. 30 σιρικαρίων P. ἔχοντας deest P. ἤπτοντο τῆς ἐπιχειρήσεως. L.P.

ἄνω πόλεως. Οἱ δὲ ἐπιπεσόντες τήν τε Ἀνανίου τοῦ ἀρχιε-
ρέως οἰκίαν, καὶ τὰ Ἀγρίππα καὶ τὰ Βερνίκης βασίλεια
32 κατέκαυσαν· μεθ' ἃ τὸ πῦρ ἐπὶ τὰ ἀρχεῖα ἔφερον, ἀφανίσαι
σπεύδοντες τὰ συμβόλαια τῶν δεδανεικότων, καὶ τὰς εἰσπρά-
ξεις ἀποκόψαι τῶν χρεῶν, ὅπως αὐτοί τε πλῆθος προσλά-
βωσι τῶν ὠφεληθέντων, καὶ μετ' ἀδείας τοῖς εὐπόροις ἐπανα-
33 στήσωσι τοὺς ἀπόρους· φυγόντων δὲ τῶν πρὸς τῷ γραμμα-
τοφυλακείῳ, τὸ πῦρ ἐνίεσαν. Ἐπεὶ δὲ τὰ νεῦρα τῆς πόλεως
34 κατέφλεξαν, ἐπὶ τοὺς ἐχθροὺς ἐχώρουν. Ἔνθα δὴ τῶν δυνα-
τῶν καὶ τῶν ἀρχιερέων οἱ μὲν εἰς τοὺς ὑπονόμους καταδύντες
35 διελάνθανον, οἱ δὲ σὺν τοῖς βασιλικοῖς εἰς τὴν ἀνωτέρω κατα-
φύγοντες αὐλὴν ταχέως ἀπέκλεισαν τὰς πύλας· σὺν οἷς Ἀνα-
νίας ὁ ἀρχιερεὺς, Ἐζεκίας τε ὁ ἀδελφὸς αὐτοῦ, καὶ οἱ πρε-
σβεύσαντες πρὸς Ἀγρίππαν ἦσαν. Τότε μὲν οὖν τῇ νίκῃ
καὶ τοῖς ἐμπρησθεῖσιν ἀρκεσθέντες ἀνεπαύσαντο.
36 7. Τῇ δὲ ἑξῆς, πεντεκαιδεκάτῃ δὲ ἦν Λώου μηνὸς, ὥρμη-
σαν ἐπὶ τὴν Ἀντωνίαν, καὶ τοὺς ἐν αὐτῇ φρουροὺς δυσὶν
ἡμέραις πολιορκήσαντες, αὐτούς τε εἷλον καὶ κατέσφαξαν,
37 καὶ τὸ φρούριον ἐνέπρησαν. Ἔπειτα μετέβαινον εἰς τὴν
αὐλὴν, εἰς ἣν οἱ βασιλικοὶ κατέφυγον, καὶ διανείμαντες σφᾶς
38 αὐτοὺς εἰς τέσσαρα μέρη τῶν τειχῶν ἐπειρῶντο. Τῶν δὲ
ἔνδον πρὸς ἐκδρομὴν μὲν οὐδεὶς ἐθάρρει διὰ τὸ πλῆθος τῶν
ἐφεστώτων, διϊστάμενοι δὲ ἐπὶ τὰ θωράκια καὶ τοὺς πύργους,
ἔβαλλον τοὺς προσιόντας, καὶ συχνοὶ τῶν λῃστῶν ὑπὸ τοῖς
39 τείχεσιν ἔπιπτον. Οὔτε δὲ νυκτὸς οὔτε ἡμέρας διέλιπεν ἡ
συμβολὴ, τῶν μὲν στασιαστῶν ἀπαγορεύειν τοὺς ἔνδον οἰο-
μένων ἐνδείᾳ τροφῆς, τῶν δὲ ἔνδοθεν καμάτῳ τοὺς πολιορ-
κοῦντας.

31 καὶ Βερνίκης L.P.T. Βερνίκης ὑποπιμπρᾶσι βασίλεια L.P. 32 αὐ-
τοί τε τὸ πλ. T. αὐτοὶ πλ. P. 33 φενγόντων L. γραμματοφυλακίῳ
L.M.R.T. καταφλέξαντες P. 35 καταφεύγοντες M.N.T. φεύγοντες
R.E. τὰς θύρας· σὺν οἷς L. 36 Λώου. in marg. ead. man. script.
Αὐγούστου R. 38 τῶν ἀφεστώτων M. 39 διέλειπεν N. διέλιπεν
sic R. ἀπαγορεῦσιν P. τῶν δὲ ἔνδον E.

8. Καὶ ἐν τούτῳ Μανάϊμός τις, υἱὸς Ἰούδα τοῦ καλου- 40
μένου Γαλιλαίου, ὃς ἦν σοφιστὴς δεινότατος, ὁ καὶ ἐπὶ Κυ-
ρηνίου ποτὲ Ἰουδαίους ὀνειδίσας, ὅτι Ῥωμαίοις ὑπετάσσοντο
μετὰ τὸν θεὸν, ἀναλαβὼν τοὺς γνωρίμους, ἀνεχώρησεν εἰς
Μασάδαν· ἔνθα τὴν Ἡρώδου τοῦ βασιλέως ὁπλοθήκην ἀναρ- 41
ρήξας, καὶ πρὸς τοῖς δημόταις ἑτέρους λῃστὰς καθοπλίσας,
τούτοις τε χρώμενος δορυφόροις, οἷα δὴ βασιλεὺς ἐπάνεισιν εἰς
Ἱεροσόλυμα, καὶ γενόμενος ἡγεμὼν τῆς στάσεως διέτασσε τὴν
πολιορκίαν. Ἀπορία δὲ ἦν ὀργάνων, καὶ φανερῶς ὑπορύττειν 42
τὸ τεῖχος οὐχ οἷόν τε ἦν ἄνωθεν βαλλομένους. Ὑπόνομον
δὴ πόρρωθεν ἐφ' ἕνα τῶν πύργων διορύξαντες ἀνακρημνᾶσιν
αὐτὸν, ἔπειτα τὴν ἔχουσαν ὕλην ἐμπρήσαντες ἐξῆλθον. Ὑπο- 43
καέντων δὲ τῶν στηριγμάτων, ὁ μὲν πύργος ἐξαίφνης κατα-
σείεται, τεῖχος δὲ ἕτερον ἔνδοθεν ἀντῳκοδομημένον διεφάνη.
Τὴν γὰρ ἐπιβουλὴν αὐτῶν προαισθόμενοι, τάχα καὶ τοῦ
πύργου κινηθέντος ὡς ὑπωρύττετο, δεύτερον ἑαυτοῖς ἔρυμα
κατεσκεύασαν· πρὸς ὃ τῶν μὲν ἀδοκήτως ἰδόντων, καὶ κρατεῖν 44
ἤδη πεπεισμένων, κατάπληξις ἦν. Οἱ δὲ ἔνδοθεν πρός τε τὸν
Μανάϊμον καὶ τοὺς ἐξάρχοντας τῆς στάσεως ἔπεμπον, ἀξι-
οῦντες ἐξελθεῖν ὑπόσπονδοι. Καὶ δοθὲν μόνοις τοῖς βασιλι- 45
κοῖς καὶ τοῖς ἐπιχωρίοις, οἱ μὲν ἐξῆσαν. Ἀθυμία δὲ τοὺς
Ῥωμαίους καταλειφθέντας μόνους ὑπέλαβεν· οὔτε γὰρ βιά-
σασθαι τοσοῦτον πλῆθος ἐδύναντο, καὶ τὸ δεξιὰν αἰτεῖν ὄνει-
δος ὑπελάμβανον, πρὸς τῷ μηδὲ πιστεύειν, εἰ διδοῖτο. Κα- 46
ταλιπόντες δὴ τὸ στρατόπεδον, ὡς εὐάλωτον, ἐπὶ τοὺς βασι-

40 Μανάημος P. et ita semper. ὃς ἦν desunt L.P. δεινότατος, καὶ P.E. ὑποτάσσονται M.N.R. μετὰ θεὸν P. 41 τούτοις δὴ χρώμ. E. 42 ὑπόνομον δὲ N. πύργων ὑπορύξαντες L. ἀνακρήμνισαν L.P. et in marg. T. τὴν ἀνασχοῦσαν L. τὴν ὠνέχουσαν P. et ex cor. rec. T. 43 ἔνδοθεν ἕτερον tr. L. ἔνδοθεν deest P. ἀνωκοδομημένον L.P. ἐφάνη T. 44 τῶν ἀδοκήτως L.P. πρόσπονδοι M.N.P. et pri. man. T. πρόσσπονδοι R. 45 οἱ μὲν desunt P. ἐξιέσαν M. δεξιὰς αἰτεῖν L.P. πρὸς τὸ μηδὲ L.M.N.P.E. διδῶτο M.P.R. et N sed in hoc man. rec. διδῶται. et T. in marg. δίδοται. 46 Καταλιπ. δὲ τὸ M.N.R.T.

λικοὺς ἀνέφυγον πύργους, τόν τε Ἱππικὸν καλούμενον, καὶ
47 τὸν Φασάηλον, καὶ τὸν Μαριάμμην. Οἱ δὲ περὶ τὸν Μα-
νάϊμον, εἰσπεσόντες ὅθεν οἱ στρατιῶται διέφυγον, ὅσους τε
αὐτῶν κατέλαβον μὴ φθάσαντας ἀνελθεῖν διέφθειραν, καὶ
τὰς ἀποσκευὰς διαρπάσαντες ἐνέπρησαν τὸ στρατόπεδον.
Ταῦτα μὲν οὖν ἕκτῃ Γορπιαίου μηνὸς ἐπράχθη.

48 9. Κατὰ δὲ τὴν ἐπιοῦσαν ὅ τε ἀρχιερεὺς Ἀνανίας περὶ
τὸν τῆς βασιλικῆς αὐλῆς εὗριπον διαλανθάνων ἁλίσκεται, καὶ
πρὸς τῶν λῃστῶν ἀναιρεῖται σὺν Ἐζεκίᾳ τῷ ἀδελφῷ. Καὶ
τοὺς πύργους ἐπισχόντες οἱ στασιασταὶ παρεφύλαττον, μή
49 τις τῶν στρατιωτῶν διαφύγῃ. Τὸν δὲ Μανάϊμον ἥ τε τῶν
ὀχυρῶν καταστροφὴ χωρίων, καὶ ὁ τοῦ ἀρχιερέως Ἀνανίου
θάνατος ἐτύφωσεν εἰς ὠμότητα, καὶ μηδένα νομίζων ἔχειν
ἐπὶ τοῖς πράγμασιν ἀντίπαλον, ἀφόρητος ἦν τύραννος.
50 Ἐπανίστανται δὲ οἱ περὶ τὸν Ἐλεάζαρον αὐτῷ, καὶ λόγον
ἀλλήλοις δόντες, ὡς ‘ οὐ χρὴ Ῥωμαίων ἀποστάντας δι’ ἐλευ-
θερίας πόθον καταπροέσθαι ταύτην οἰκείῳ δήμῳ, καὶ δεσπό-
την φέρειν, εἰ καὶ μηδὲν πράττοι βίαιον, ἀλλ’ οὖν ἑαυτῶν τα-
51 πεινότερον· εἰ γὰρ καὶ δέοι τινὰ τῶν ὅλων ἀφηγεῖσθαι,
52 παντὶ μᾶλλον, ἢ ἐκείνῳ, προσήκειν συντίθενται.’ Καὶ κατὰ
τὸ ἱερὸν ἐπεχείρουν αὐτῷ· σοβαρὸς γὰρ ἀνεβεβήκει προσκυ-
νήσων, ἐσθῆτί τε βασιλικῇ κεκοσμημένος, καὶ τοὺς ζηλωτὰς
53 ἐνόπλους ἐφελκόμενος. Ὡς δὲ οἱ περὶ τὸν Ἐλεάζαρον ἐπ’
αὐτὸν ὥρμησαν, ὅ τε λοιπὸς δῆμος ἐπὶ τὰς ὀργὰς λίθους ἁρ-
πάσαντες τὸν σοφιστὴν ἔβαλλον, οἰόμενοι τούτου καταλυ-
54 θέντος διαρρίψειν ὅλην τὴν στάσιν, πρὸς ὀλίγον οἱ περὶ τὸν
Μανάϊμον ἀντισχόντες, ὡς εἶδον πᾶν ἐπ’ αὐτοὺς τὸ πλῆθος
ὁρμήσαν, ἔφευγον ὅπη τις ἴσχυεν. Καὶ φόνος μὲν ἦν τῶν

ἀνέφευγον P. καὶ Φασάηλον L.P.T. καὶ Μαριάμμην L.M.N.P.T.
47 διέφευγον N.T. κατελάμβανον μ. φ. ἐκδραμεῖν διέφ. L.P. Γορπιαίου.
ad marg. Σεπτεμβρίου R. 48 εὗριπον N. 46 νομίζειν man. rec.
suprascrip. N. 50 πράττει βίαιον L.M.T. ἑαυτὸν ταπεινότερον L.
51 συντίθεται P. 52 σοβαρῶς P. ἀναβεβήκει L.M.N.P.R. 53 ἐπὶ
τὰς ὀργὰς desunt L. ἐπὶ τὰς ὁρμὰς R.E. διαστρέψειν ὅλην L. 54 ὀλί-
γον δὲ οἱ L.N.P.T.E. ἔφυγον N.P. ἔφυγεν R.E. ἴσχυσεν P.

καταληφθέντων, ἔρευνα δὲ τῶν ἀποκρυπτομένων. Καὶ διεσώ- 55
θησαν ὀλίγοι, λάθρα διαδράντες εἰς Μασάδαν, σὺν οἷς Ἐλεά-
ζαρος, υἱὸς Ἰαείρου, προσήκων τῷ Μαναΐμῳ κατὰ γένος, ὃς
ὕστερον ἐτυράννησε τῆς Μασάδας. Αὐτόν τε τὸν Μανάϊ- 56
μον εἰς τὸν καλούμενον Ὀφλᾶν συμφυγόντα, καὶ ἐκεῖ ταπει-
νῶς ὑπολανθάνοντα ζωγρήσαντες, εἰς τὸ φανερὸν ἐξείλκυσαν,
καὶ πολλαῖς αἰκισάμενοι βασάνοις ἀνεῖλον, ὁμοίως δὲ καὶ τοὺς
ὑπ' αὐτὸν ἡγεμόνας, τόν τε ἐπισημότατον τῆς τυραννίδος
ὑπηρέτην Ἀψάλωμον.

10. Ὁ μὲν οὖν δῆμος, ὡς ἔφην, εἰς ταῦτα συνήργησεν, 57
ἐλπίζων τινὰ τῆς ὅλης στάσεως λαμβάνειν διόρθωσιν. Οἱ δὲ
οὐ καταλῦσαι τὸν πόλεμον σπεύδοντες, ἀλλὰ ἀδεέστερον
πολεμεῖν, Μανάϊμον ἀνῃρήκεσαν. Ἀμέλει τοῦ δήμου πολλὰ 58
τοῖς στρατιώταις ἀνεῖναι τὴν πολιορκίαν παρακαλοῦντος, οἱ
δὲ προσέκειντο χαλεπώτερον, μέχρι μηκέτι ἀντέχοντες οἱ
περὶ τὸν Μετίλιον — οὗτος γὰρ ἦν τῶν Ῥωμαίων ἔπαρχος —
διαπέμπονται πρὸς τοὺς περὶ τὸν Ἐλεάζαρον, ἐξαιτούμενοι 59
μόνας τὰς ψυχὰς ὑποσπόνδους, τὰ δὲ ὅπλα καὶ τὴν λοιπὴν
κτῆσιν παραδώσειν λέγοντες. Οἱ δὲ καὶ τὴν ἱκεσίαν ἁρπά- 60
σαντες, ἀπέπεμψαν πρὸς αὐτοὺς Γωρίωνά τε Νικομήδους
υἱὸν, καὶ Ἀνανίαν Σαδδουκὶ, καὶ Ἰούδαν Ἰωνάθου, δεξιάς τε
καὶ ὅρκους δώσοντας. Ὧν γενομένων, κατῆγε τοὺς στρατιώ-
τας ὁ Μετίλιος. Οἱ δὲ μέχρι μὲν ἦσαν ἐν τοῖς ὅπλοις, οὔτε 61
ἐπεχείρει τις τῶν στασιαστῶν αὐτοῖς, οὔτε ἐνέφαινεν ἐπιβου-
λήν. Ὡς δὲ κατὰ τὰς συνθήκας ἅπαντες ἀπέθεντο τοὺς θυ- 62
ρεοὺς καὶ τὰ ξίφη, καὶ μηδὲν ἔτι ὑποπτεύοντες ἀνεχώρουν,
ὥρμησαν ἐπ' αὐτοὺς οἱ περὶ τὸν Ἐλεάζαρον, καὶ περισχόντες
ἀνῄρουν, οὔτε ἀμυνομένους, οὔτε ἱκετεύοντας, μόνας δὲ τὰς
συνθήκας καὶ τοὺς ὅρκους ἀναβοῶντας. Καὶ οἱ μὲν οὕτως 63

καταλειφθέντων L.M. 55 Ἐλεάζαρος ὁ υἱὸς R.E. προσῆκον P.
56 καλούμ. Οὐλὰν P. 57 λαμβάνειν deest L.P. 58 πολλὰ τοῦ δή-
μου L. στασιασταῖς sed in marg. στρατιώταις T. Μοτίλιον et sic in-
fra L. 60 ἀνέπεμψαν L. Γνωρίωνα L. Γωρίονα P. Ἀνανία T.
Σαδούκι P. Σαδουκαίου L. Σαδδουκι sic T. δεξιάν P. 62 ἀναβοῶντας.
Οἱ μὲν L.P. 63 Οἱ μὲν οὖν οὕτως P.

ὡμῶς ἀπεσφάγησαν ἅπαντες πλὴν Μετιλίου· τοῦτον γὰρ ἱκετεύσαντα, καὶ μέχρι περιτομῆς ἰουδαΐσειν ὑποσχόμενον,
64 διέσωσαν μόνον. Τὸ δὲ πάθος Ῥωμαίοις μὲν ἦν κοῦφον· ἐκ γὰρ ἀπλέτου δυνάμεως ἀπανηλώθησαν ὀλίγοι· Ἰουδαίοις δὲ
65 προοίμιον ἀλώσεως ἔδοξε. Καὶ κατιδόντες ἀνηκέστους μὲν ἤδη τὰς αἰτίας τοῦ πολέμου, τὴν δὲ πόλιν τηλικούτῳ μιάσματι πεφυρμένην, ἐξ οὗ δαιμόνιόν τι μήνιμα προσδοκᾶν εἰκὸς ἦν, εἰ καὶ μὴ τὴν ἐκ Ῥωμαίων ἄμυναν, ἐπένθουν δημοσίᾳ, καὶ
66 πλήρης μὲν κατηφείας ἦν ἡ πόλις. Ἕκαστος δὲ τῶν μετρίων, ὡς αὐτὸς ὑπὲρ τῶν στασιαστῶν δίκας δώσων, ἐτετάρακτο· καὶ γὰρ δὴ σαββάτῳ συνέβη πραχθῆναι τὸν φόνον, ἐν ᾧ διὰ τὴν θρησκείαν τῶν ὁσίων ἔργων ἔχουσιν ἐκεχειρίαν.

CAP. XVIII.

1 1. Τῆς δὲ αὐτῆς ἡμέρας καὶ ὥρας, ὥσπερ ἐκ δαιμονίου προνοίας, ἀνῄρουν οἱ Καισαρεῖς τοὺς παρ' αὐτοῖς Ἰουδαίους, ὡς ὑπὸ μίαν ὥραν ἀποσφαγῆναι μὲν ὑπὲρ δισμυρίους, κενω-
2 θῆναι δὲ πᾶσαν Ἰουδαίων τὴν Καισάρειαν· καὶ γὰρ τοὺς διαφεύγοντας ὁ Φλῶρος συλλαβών, κατήγαγε δεσμώτας εἰς τὰ νεώρια. Πρὸς δὲ τὴν ἐκ τῆς Καισαρείας πληγὴν ὅλον τὸ
3 ἔθνος ἐξαγριοῦται· καὶ διαμερισθέντες τάς τε κώμας τῶν Σύρων καὶ τὰς προσεχεῖς ἐπόρθουν πόλεις, Φιλαδέλφειάν τε καὶ Σεβωνίτιν καὶ Γέρασαν καὶ Πέλλαν καὶ Σκυθόπολιν.
4 Ἔπειτα Γαδάροις καὶ Ἵππῳ καὶ τῇ Γαυλανίτιδι προσπεσόντες, τὰς μὲν καταστρεψάμενοι, τὰς δὲ ὑποπρήσαντες, ἐχώρουν ἐπὶ Κέδασαν τὴν Τυρίων, καὶ Πτολεμαΐδα, Γάβαν
5 τε καὶ Καισάρειαν. Ἀντέσχε δὲ οὐδὲ Σεβαστὴ ταῖς ὁρμαῖς αὐτῶν, οὐδὲ Ἀσκάλων· ἀλλ' ἐπὶ ταύταις πυρποληθείσαις
6 Ἀνθηδόνα καὶ Γάζαν κατέσκαπτον. Πολλαὶ δὲ περὶ ἑκά-

Ἰουδαΐζειν L.P. 64 ἀπαναλώθησαν L.M.N.P.T. Ἰουδαίων δὲ L.P. 65 τὴν Ῥωμαίων L.P. 66 τετάρακτο P. θρησκείαν καὶ τῶν L.P. 1 ἀνῄρουν Καισαρεῖς L.M.N.P.R.T παρ' ἑαυτοῖς L.P. 2 Φλόρος P. κατῆγεν P. 3 τὰς προσεχούσας ἐπόρ. L.P. Γεβωνίτιν M.N.P.R. Γέρασα N. Γέρασσα R. 4 τὰ μὲν κατασ. L.P. τὰ δ' ὑποπρή. L. Κέδασα P. Κάδασα L. Γάβαλά τε sed in marg. ead. man. γαΐαν L. 5 Ἀντέσχον P. οὔτε . . . οὔτε L.P. 6 Πολλαὶ δὲ ἑκάστη P.

στην τούτων τῶν πόλεων ἀνηρπάζοντο κῶμαι, καὶ τῶν ἁλισκομένων ἀνδρῶν φόνος ἦν ἄπειρος.

2. Οὐ μὴν οἱ Σύροι τῶν Ἰουδαίων ἔλαττον πλῆθος ἀνήρουν, ἀλλὰ καὶ αὐτοὶ τοὺς ἐν ταῖς πόλεσι λαμβανομένους ἀπέσφαττον, οὐ μόνον κατὰ μῖσος, ὡς πρότερον, ἀλλ ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς κίνδυνον φθάνοντες. Δεινὴ δὲ ὅλην τὴν Συ- 8
ρίαν ἐπέσχε ταραχή, καὶ πᾶσα πόλις εἰς δύο διῄρητο στρατόπεδα· σωτηρία δὲ τοῖς ἑτέροις ἦν τὸ τοὺς ἑτέρους φθάσαι. Καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι διῆγον, τὰς δὲ νύκτας δέει 9
χαλεπωτέρας· ἀπεσκευάσθαι γὰρ τοὺς Ἰουδαίους δοκοῦντες ἕκαστοι, τοὺς ἰουδαΐζοντας εἶχον ἐν ὑποψίᾳ, καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον οὔτε ἀνελεῖν τις προχείρως ὑπέμενε, καὶ μεμιγμένον ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. Προεκαλεῖτο 10
δὲ ἐπὶ τὰς σφαγὰς τῶν διαφόρων καὶ τοὺς πάλαι πραστάτους εἶναι δοκοῦντας ἡ πλεονεξία· τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων ἀδεῶς διήρπαζον, καὶ καθάπερ ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνῃρημένων εἰς τοὺς σφετέρους οἴκους μετέφερον. Ἔνδοξός τε ἦν ὁ πλεῖστα κερδάνας, ὡς κατισχύσας πλειό- 11
νων. Ἦν δὲ ἰδεῖν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ 12
νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδῶ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις μετάστασιν.

3. Μέχρι μὲν δὴ τούτων Ἰουδαίοις πρὸς τὸ ἀλλόφυλον 13
ἦσαν συμβολαί. Κατατρέχοντες δὲ εἰς Σκυθόπολιν τοὺς παρ' ἐκείνῃ Ἰουδαίους ἐπειράσαντο πολεμίους· ταξάμενοι γὰρ μετὰ τῶν Σκυθοπολιτῶν καὶ τῆς ἑαυτῶν ἀσφαλείας ἐν δεύ-

τούτων τῷ πολέμῳ ἀνηρπάζ. N.T. 7 ἀλλ' ἤδη τὸν L. 8 ἐπεῖχεν ταραχὴ L.P. ἑτέρους φθάσασθαι M. 9 καὶ γὰρ ἀπεσκευάσθαι τοὺς L.P. καὶ τὸν παρ' P. προθύμως sed in marg. προχείρως T. ὑπέμειναν L.P. 10 πραστ. πάνυ δοκοῦντας L.P. 11 πλείστα κερδήσας T. 12 ἐρριμένους L.M.T. γυναῖκάς τε T. μήτε τῆς N.R.T.E. ἐπ' αἰδοῖ T. μετειληφυίας Γ. τολμημένων M. τελουμένων sed in marg. τολμωμένων T. ἀπειλ. ἀνάστασιν. L.P. 13 ἦσαν προσβολαί. L.P. παρ' ἐκείνοις L.P. ἐπείρασαν M.

τέρῳ θέμενοι τὴν συγγένειαν, ὁμόσε τοῖς ὁμοφύλοις ἐχώ-
14 ρουν. Ὑποπτεύθη δὲ αὐτῶν καὶ τὸ λίαν πρόθυμον· οἱ γοῦν Σκυθοπολῖται δείσαντες, μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει, καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογή-
15 σωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον αὐτοὺς, εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι, καὶ τὸ πρὸς τοὺς ἀλλοεθνεῖς πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος.
16 Τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ Σκυθοπολῖται, τὴν πίστιν αὐτῶν δελεάζοντες· τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες οὓς μὲν ἀφυλάκτους οὓς δὲ κοιμωμένους ἅπαντας ἀπέσφαξαν, ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τάς τε κτήσεις διήρπασαν ἁπάντων.

17 4. Ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὸ Σίμωνος πάθος, ὃς υἱὸς μὲν ἦν Σαούλου τινὸς τῶν οὐκ ἀσήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων, ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατε-
18 χρήσατο. Προσιὼν γοῦν ὀσημέραι πολλοὺς μὲν ἀνῄρει τῶν πρὸς τῇ Σκυθοπόλει Ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐ-
19 τοὺς πάντας μόνος ἦν ῥοπὴ τῆς παρατάξεως. Περιέρχεται δὲ αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου· ἐπεὶ γὰρ περισχόντες οἱ Σκυθοπολῖται κατηκόντιζον αὐτοὺς ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ' οὐδένα μὲν τρέπεται τῶν πολεμίων, καὶ γὰρ ἑώρα τὸ πλῆθος ἀνήνυτον, ἀναβοήσας δὲ μάλα ἐκπα-
20 θῶς, "Ἄξιά γε ὧν ἔδρασα πάσχω, Σκυθοπολῖται, καθ' ὑμῶν, ὅτι τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπιστωσάμην· τοιγαροῦν οἷς ἄπιστον μὲν εὐλόγως εὑρηται
21 τὸ ἀλλόφυλον, ἠσέβηται δὲ εἰς ἔσχατα τὸ οἰκεῖον. Θνήσκω μὲν ὡς ἐναγὴς χερσὶν ἰδίαις· οὐ γὰρ πρέπον ἐν ταῖς τῶν πο-

τὴν εὐγένειαν M. 14 ὑποπτεύθη P. οἰκείοις αὐτῶν ἀπολ. L. ἀπολογήσονται P. αὐτοῖς, εἰ L.P. 15 τοὺς ἀλλογενεῖς πιστὸν L.M. 16 τῇ τρίτῃ δὲ M.N.R. τὰς δὲ κτήσεις L.P. 17 Ἄξιον καὶ ἀφη. E. τὸ τοῦ Σίμωνος E. ῥώμῃ τε σώ. M. 18 ὡσημέραι P. ἀναιρεῖ τῶν M.N.R. ἅπαντας μ. ἦν ἐν ῥωπῇ P. 19 συγγενοῦς sed in marg. συγγενικοῦ T. ἐπειδὴ περισ. P. αὐτοῦ ἀνὰ L. οὐδένα μὲν ὥρμησε τῶν L.P. 20 Ἄξια μὲν ὧν T. ἐπιστωσάμεθα L.P. εὐλόγως εἴρηται L.P. εἰς ἔσχατα desunt P. 21 Θνήσκομεν ὡς ἐναγεῖς L.

λεμίων. Τὸ δὲ αὐτὸ ἂν εἴη μοι καὶ ποινὴ τοῦ μιάσματος ἀξία, καὶ πρὸς ἀνδρείαν ἔπαινος, ἵνα μηδεὶς τῶν ἐχθρῶν τὴν ἐμὴν αὐχήσῃ σφαγὴν, μηδὲ ἐπαλαζονεύσηται πεσόντι." Ταῦτα εἰπὼν, ἐλεοῦσιν ἅμα καὶ τεθυμωμένοις ὄμμασι περι- 22
σκέπτεται τὴν ἑαυτοῦ γενεάν· ἦν δὲ αὐτῷ καὶ γυνὴ καὶ τέκνα καὶ γηραιοὶ γονεῖς. Ὁ δὲ πρῶτον τὸν πατέρα τῆς πολιᾶς 23
ἐπισπασάμενος διελαύνει τῷ ξίφει, μεθ' ὃν οὐκ ἄκουσαν τὴν μητέρα, καὶ ἐπὶ τούτοις τήν γε γυναῖκα καὶ τὰ τέκνα, μονονουχὶ ὑπαντῶντος ἑκάστου τῷ ξίφει, καὶ σπεύδοντος φθάσαι τοὺς πολεμίους. Ὁ δὲ διελθὼν πᾶσαν τὴν γενεὰν, καὶ περί- 24
οπτος ἐπιστὰς τοῖς σώμασι, τήν τε δεξιὰν ἀνατείνας, ὡς μηδένα λαθεῖν, ὅλον εἰς τὴν ἑαυτοῦ σφαγὴν ἐβάπτισε τὸ ξίφος· ἄξιος μὲν ἐλέους ὁ νεανίας δι' ἀλκὴν σώματος, καὶ ψυχῆς 25
παράστημα, τῆς δὲ πρὸς ἀλλοφύλους πίστεως ἕνεκεν ἀκολούθοις πάθεσι χρησάμενος.

5. Πρὸς δὲ τὴν ἐκ Σκυθοπόλει φθορὰν αἱ λοιπαὶ πόλεις 26
ἐπανίσταντο τοῖς καθ' ἑαυτὴν Ἰουδαίοις ἑκάστη, καὶ πεντακοσίους μὲν ἐπὶ δισχιλίους Ἀσκαλωνῖται, Πτολεμαιεῖς δὲ δισχιλίους ἀνεῖλον, ἔδησάν τε οὐκ ὀλίγους. Καὶ Τύριοι μὲν 27
συχνοὺς διεχρήσαντο, τὸ πλεῖον δὲ αὐτῶν δεσμώτας ἐφρούρουν. Ἱππηνοί τε καὶ Γαδαρεῖς ὁμοίως τοὺς μὲν θρασυτέρους ἀπεσκευασάντο, τοὺς δὲ φοβεροὺς διὰ φυλακῆς εἶχον· αἵ τε λοιπαὶ πόλεις τῆς Συρίας, ὅπως ἑκάστη πρὸς τὸ Ἰουδαϊκὸν ἢ μίσους ἢ δέους εἶχον. Μόνοι δὲ Ἀντιοχεῖς καὶ Σιδώ- 28
νιοι καὶ Ἀπαμεῖς ἐφείσαντο τῶν μετοικούντων, καὶ οὔτε ἀνελεῖν τινα Ἰουδαίων ὑπέμειναν, οὔτε δῆσαι, τάχα μὲν καὶ διὰ τὸ σφέτερον πλῆθος ὑπερορῶντες αὐτῶν πρὸς τὰ κινήματα, τὸ πλέον δὲ, ἔμοιγε δοκεῖ, οἴκτῳ πρὸς οὓς οὐδὲν ἑώρων νεωτε-

Τὸ αὐτὸ δ' ἂν L. τὸ δ' αὐτὸ δ' ἂν P. ἀνδρίαν R. ἐπαλαζονεύσητε P. 22 καὶ θυμουμένοις T. αὐτῷ γυνή τε καὶ T. 23 πρῶτον μὲν τὸν P. πολιᾶς σπασάμενος L. τὴν γυναῖκα P. μονονοὺχ P. 25 Ἄξιον μὲν N. ἐλέου νεανίας L. πρὸς τοὺς ἀλλοφ. M. 26 ἐπανίστανται T. ἑκάστη, πεντακοσ. P. δισχιλίοις T. Πτολεμαὶς L.P. Πτολεμαεῖς R. 27 συχνοὺς μὲν tr. L.P. διεχειρίσαντο L. τὸ πλεῖστον δὲ T. πλείστους δὲ L.P. Ἱππινοί τε P. διὰ φυλακῶν E. 28 τινὰς Ἰουδαίων L.P.

29 ρίζοντας. Γερασηνοί τε οὔτε εἰς τοὺς ἐμμείναντας ἐπλημμέλησαν, καὶ τοὺς ἐξελθεῖν ἐθελήσαντας προέπεμψαν μέχρι τῶν ὅρων.

30 6. Συνέστη δὲ καὶ κατὰ τὴν Ἀγρίππα βασιλείαν ἐπιβουλὴ κατὰ Ἰουδαίων. Αὐτὸς γὰρ ἐπεπόρευτο πρὸς Κέστιον Γάλλον εἰς Ἀντιόχειαν, καταλελοίπει δὲ διοικεῖν τὰ πράγματά τινα τῶν ἑταίρων τὸ ὄνομα Νόαρον, Σοέμῳ τῷ βασι-

31 λεῖ προσήκοντα κατὰ γένος. Ἦκον δὲ ἐκ τῆς Βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸν ἄνδρες, οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκιμώτατοι, στρατιὰν αἰτοῦντες, ἵνα, εἴ τι γένοιτο κίνημα, καὶ περὶ σφᾶς ἔχοιεν ἀξιόχρεων φυλακὴν,

32 κωλύειν τοὺς ἐπανισταμένους. Τούτους ὁ Νόαρος, ἐκπέμψας νύκτωρ τῶν βασιλικῶν ὁπλιτῶν τινας, ἅπαντας ἀναιρεῖ, τολμήσας μὲν τὸ ἔργον δίχα τῆς Ἀγρίππα γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφύλους ἐλόμενος ἀσεβεῖν,

33 τὴν βασιλείαν διέφθειρεν. Διετέλει τε ὠμῶς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμενος Ἀγρίππας, ἀνελεῖν μὲν αὐτὸν

34 ᾐδέσθη διὰ Σόεμον, ἔπαυσε δὲ τῆς ἐπιτροπῆς. Οἱ δὲ στασιασταὶ καταλαβόμενοι φρούριον, ὃ καλεῖται μὲν Κύπρος, καθύπερθε δὲ ἦν Ἱεριχοῦντος, τοὺς μὲν φρουροὺς ἀπέσφαξαν,

35 τὰ δὲ ἐρύματα κατέρριψαν εἰς γῆν. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας, καὶ τῶν ἐν Μαχαιροῦντι Ἰουδαίων τὸ πλῆθος ἔπειθον τοὺς φρουροῦντας Ῥωμαίους ἐκλείπειν τὸ χωρίον, καὶ παραδιδόναι σφίσιν. Οἱ δὲ τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες, συντίθενται πρὸς αὐτοὺς ἐκχωρήσειν ὑπόσπονδοι.

36 Καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φυλακῇ κρατυνόμενον κατεῖχον οἱ Μαχαιρῖται.

37 7. Κατὰ δὲ τὴν Ἀλεξάνδρειαν ἀεὶ μὲν ἦν στάσις πρὸς τὸ

30 Γάλον M. καταλελειπτο δὲ L.P. καταλέλιπε δὲ M. πράγματα τούτου τῶν L.M.P. ἑταίρων τινὰ τοῦνομα M. Νόαρος L.P. Νούαρον T. Σοαίμῳ L.P. et sic infra. προσήκων L. προσῆκον P. 31 κίνημα, περὶ M.T. ἀξιόχρεω N.P. 32 τινας ὁπλιτῶν tr. L.P. 33 Διετέλει δὲ T. 34 τι φρούριον P. κατέκρυψαν εἰς L. 35 ἔπειθεν τοὺς L.P. ἐκλιπεῖν L. ἐκλειπεῖν P. τὸ φρούριον καὶ L. 36 παραδίδωσι P. κρατυνάμενοι L.P.

Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις, ἀφ' οὗ χρησάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος, γέρας τῆς συμμαχίας ἔδωκε τὸ μετοικεῖν κατὰ τὴν πόλιν ἐξ ἰσοτιμίας πρὸς Ἕλληνας. Διέμεινε δὲ αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν 38
διαδόχων, οἳ καὶ τόπον ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν ἔχοιεν τὴν δίαιταν, ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας. Ἐπεί τε 39
Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος οὔτε τῶν μετ' αὐτόν τις ὑπέμεινε τὰς ἀπὸ Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. Συμβολαὶ δὲ ἦσαν αὐτῶν ἀδιάλειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς ὀσημέραι παρ' ἀμφοῖν κολαζόντων, ἡ στάσις μᾶλλον παρωξύνετο. Τότε δὲ ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάρακτο, 40
μᾶλλον ἐξήφθη τὰ παρ' ἐκείνοις. Καὶ δή τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα, συνερρύησαν μὲν εἰς τὸ ἀμφιθέατρον ἅμα τοῖς Ἕλλησι συχνοὶ Ἰουδαίων. Κατιδόντες δὲ αὐτοὺς οἱ διάφοροι, 41
παραχρῆμα ἀνεβόων, πολεμίους καὶ κατασκόπους λέγοντες, ἔπειτα ἀναπηδήσαντες ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. Οἱ 42
μὲν οὖν λοιποὶ φεύγοντες διεφθάρησαν· τρεῖς δὲ ἄνδρας συλλαβόντες ἔσυρον ὡς ζῶντας καταφλέξοντες. Ἤιρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ τὴν ἄμυναν. Καὶ τὸ μὲν πρῶτον λίθοις 43
τοὺς Ἕλληνας ἔβαλλον· αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν, ἀπειλοῦντες καταφλέξειν ἐν αὐτῷ τὸν δῆμον αὖτανδρον. Καὶ ἂν ἔφθησαν τοῦτο δράσαν- 44
τες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκοψε Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. Οὐ μὴν οὗτός γε ἀπὸ τῶν ὅπλων 45
ἤρξατο σωφρονίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους αὐτοῖς, παύσασθαι παρεκάλει, καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν τὸ

37 προθυμότατα τοῖς κατὰ L.P. ἐξ ἴσου μοίρας πρὸς P. πρὸς τοὺς Ἑλλ. L.P. 38 αὐτοῖς ἴδιον tr. L. 39 Ἐπεὶ δὲ L.P.E. τὰς Ἀλεξάνδρου P. ὠσημέραι P. 41 ἐπέβαλον T. 43 εἰς τὸ ἀμφιθ. T. ἐν αὐτῷ καταφλέξειν tr. L.P. 45 οὗτός τε ἀπὸ L.P.R.E. παύσασθε M. καθ' ἑαυτον T. διερεθίζειν M. τὰ Ῥωμ. ὅπλα sed in marg. τὸ P. στράτευμα T.

Ῥωμαίων στράτευμα. Καταχλευάζοντες δὲ τῆς παρακλήσεως οἱ στασιώδεις, ἐβλασφήμουν τὸν Τιβέριον.

46 8. Καὶ ἐκεῖνος συνιδὼν ὡς χωρὶς μεγάλης συμφορᾶς οὐκ ἂν παύσαιντο νεωτερίζοντες, ἐπαφίησιν αὐτοῖς τὰ κατὰ τὴν πόλιν Ῥωμαίων δύο τάγματα, καὶ σὺν αὐτοῖς πεντακισχιλίους στρατιώτας, κατὰ τύχην παρόντας εἰς τὸν Ἰουδαίων
47 ὄλεθρον ἐκ Λιβύης· ἐπέτρεψε δὲ οὐ μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπάζειν, καὶ τὰς οἰκίας καταφλέγειν. Οἱ δὲ ὁρμήσαντες εἰς τὸ καλούμενον Δέλτα, συνῴκιστο γὰρ ἐκεῖ τὸ Ἰουδαϊκὸν, ἐτέλουν τὰς ἐντολὰς, οὐ μὴν ἀναιμωτί·
48 συστραφέντες γὰρ οἱ Ἰουδαῖοι, καὶ τοὺς ἄμεινον ὡπλισμένους αὐτῶν προτάξαντες, μέχρι πλείστου μὲν ἀντέσχον.
49 Ἅπαξ δὲ κλίναντες ἀνέδην διεφθείροντο· καὶ παντελὴς ἦν αὐτῶν ὄλεθρος, τῶν μὲν ἐν τῷ πεδίῳ καταλαμβανομένων, τῶν
50 δὲ εἰς τὰς οἰκίας συνωθουμένων. Ὑπεπίμπρασαν δὲ καὶ ταύ-
51 τας οἱ Ῥωμαῖοι, προδιαρπάζοντες τὰ ἔνδον. Καὶ οὔτε νηπίων ἔλεος αὐτοῖς, οὔτε αἰδὼς εἰσήει γερόντων, ἀλλὰ διὰ πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ὡς ἐπικλυσθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριάδας σωρευθῆναι νεκρῶν.
52 Περιελείφθη δ' ἂν οὔτε τὸ λοιπὸν, εἰ μὴ πρὸς ἱκετείαν ἐτράποντο· κατοικτείρας δὲ αὐτοὺς Ἀλέξανδρος, ἀναχωρεῖν τοὺς Ῥωμαίους ἐκέλευσεν. Καὶ οἱ μὲν ἐξ ἔθους ἔχοντες τὸ πειθήνιον, ἅμα νεύματι τοῦ φονεύειν ἐπαύσαντο· τὸ δημοτικὸν δὲ τῶν Ἀλεξανδρέων δι' ὑπερβολὴν μίσους δυσανάκλητον ἦν, καὶ μόλις ἀπεσπᾶτο τῶν σωμάτων.

53 9. Τοιοῦτο μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος συνηνέχθη. Κεστίῳ δὲ οὐκ ἔτι ἠρεμεῖν ἐδόκει, πανταχοῦ τῶν Ἰουδαίων ἐκπεπολεμωμένων. Ἀναλαβὼν δὲ ἀπὸ τῆς Ἀντιο-

46 αὐτοῖς δισχιλίους P. εἰς τῶν Ἰουδαίων R. 47 οὐ μόνον κτείνειν T. ἀναιμωτεὶ L. ἀναιμοτί P. 48 ἑαυτῶν προταξάμενοι L.P. 49 ἐκκλίναντες P. ἀναίδην διεφ. N. καὶ παντοῖος ἦν L.P. αὐτοῖς ὄλεθρος L. 50 ὑπεμπρασαν sic P. ὑπεμπίμπρασαν N. ἔλεος αὐτους L.P. 51 μυριάδες ἐσωρεύθησαν P. τῷ αἵματι T. 52 οὐδὲ τὸ λοιπὸν L.P. πρὸς ἱκετηρίας L.P. ἐτράπετο M. κατοικτειρήσας M. ἐκέλευσεν. Οἱ μὲν οὖν L. τὸ πειθήνιον ἔχοντες tr. L.P. ἀπεσπάσατο L. 53 Τοιοῦτον μὲν L.M.N. ἐμπεπολεμωμένων M.

χείας τὸ μὲν δωδέκατον τάγμα πλῆρες, ἀπὸ δὲ τῶν λοιπῶν ἀνὰ δισχιλίους ἐπιλέκτους, πεζῶν τε ἐξ σπείρας, καὶ τέσσα- 54
ρας ἴλας ἱππέων, πρὸς αἷς τὰς παρὰ τῶν βασιλέων συμμαχίας, Ἀντιόχου μὲν δισχιλίους ἱππεῖς, καὶ πεζοὺς τρισχιλίους, τοξότας πάντας, Ἀγρίππα δὲ πεζοὺς μὲν τοὺς ἴσους, ἱππεῖς δὲ δισχιλίων ἐλάττους, — εἵπετο δὲ καὶ Σόεμος μετὰ 55
τετρακισχιλίων, ὧν ἦσαν ἱππεῖς ἡ τρίτη μοῖρα, καὶ τὸ πλέον τοξόται, — προῆλθεν εἰς Πτολεμαΐδα. Πλεῖστοι δὲ καὶ ἐκ 56
τῶν πόλεων ἐπίκουροι συνελέγησαν, ἐμπειρίᾳ μὲν ἡττώμενοι τῶν στρατιωτῶν, ταῖς δὲ προθυμίαις καὶ τῷ κατὰ Ἰουδαίων μίσει τὸ λεῖπον ἐν ταῖς ἐπιστήμαις ἀναπληροῦντες. Συμ- 57
παρῆν δὲ καὶ αὐτὸς Ἀγρίππας Κεστίῳ, τῆς τε ὁδοῦ καὶ τῶν συμφερόντων ἐξηγούμενος. Ἀναλαβὼν δὲ μέρος τῆς δυνάμεως Κέστιος, ὥρμησεν ἐπὶ πόλιν καρτερὰν τῆς Γαλιλαίας Ζαβουλὼν, ἣ καλεῖται ἀνδρῶν, διορίζει δὲ ἀπὸ τοῦ ἔθνους τὴν Πτολεμαΐδα. Καταλαβὼν δὲ αὐτὴν ἔρημον μὲν 58
ἀνδρῶν, καταπεφεύγει γὰρ τὸ πλῆθος εἰς τὰ ὄρη, πλήρη δὲ παντοίων κτημάτων, τὰ μὲν ἐφῆκε τοῖς στρατιώταις διαρπάζειν, τὸ δὲ ἄστυ, καίτοι θαυμαστοῦ κάλλους ἔχον τὰς οἰκίας, ὁμοίως ταῖς ἐν Τύρῳ καὶ Σιδῶνι καὶ Βηρυτῷ δεδομημένας, ἐνέπρησεν. Ἔπειτα τὴν χώραν καταδραμὼν, καὶ διαρ- 59
πάσας μὲν πᾶν τὸ προσπίπτον, καταφλέξας δὲ τὰς πέριξ κώμας, ὑπέστρεφεν εἰς τὴν Πτολεμαΐδα. Πρὸς δὲ ταῖς ἁρπαγαῖς ἔτι τῶν Σύρων ὄντων, καὶ τὸ πλέον Βηρυτίων, ἀναθαρσήσαντες οἱ Ἰουδαῖοι, καὶ γὰρ ἀποκεχωρηκότα συνίεσαν 60
Κέστιον, τοῖς ἀπολειφθεῖσιν ἀδοκήτως ἐπέπεσον, καὶ περὶ δισχιλίους αὐτῶν διέφθειραν.

δισχιλίους ἐπιλέξας M. 54 πεζῶν δὲ P.E. τέσσαρας εἴλας N. δισχιλίους ἐλάττους P. χιλίων ἐλατ. T. 55 Σόαιμος L.P. ὁ Σοέμος E. τρισχιλίων sed in marg. τετρακισχ. T. προῆλθον L.M.P. 56 ἡττόμενοι P. τὸ λοιπὸν L. ἀντιπληροῦντες L.N.P.R.E. 57 Παρῆν δὲ καὶ L.P. δυνάμ. ὁ Κέστιος T. Ζαβουλῶνα L. ἀνδρὼν R. 58 Καὶ καταλ. αὐτὴν P. ἀναπεφεύγει L.P. θαυμάσας τοῦ κάλλους M.P. et T. sed in huj. marg. θαυμάστου κάλλους. ὁμοίας ταῖς T. καὶ Σιδόνι P. καὶ Βυρητῷ M. 59 διαρπάξας P. ὑπέστρεψεν L.P. εἰς Πτολεμ. L. ἔτι δὲ τῶν M. Βυρητίων M. 60 ἐπέπεσαν P.

61 10. Ὁ δὲ Κέστιος ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος, αὐτὸς μὲν εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς προέπεμψεν εἰς Ἰόππην, προστάξας, εἰ μὲν ἐγκαταλαβέσθαι
62 δυνηθεῖεν τὴν πόλιν, φρουρεῖν· εἰ δὲ προαίσθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε καὶ τὴν ἄλλην δύναμιν. Τῶν δὲ οἱ μὲν κατὰ θάλασσαν, οἱ δὲ κατὰ γῆν ἐπειχθέντες, ἀμφοτέρω-
63 θεν αἱροῦσι τὴν πόλιν ῥᾳδίως· καὶ μηδὲ φυγεῖν φθασάντων τῶν οἰκητόρων, οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς, καὶ τὴν πόλιν
64 διαρπάσαντες ἐνέπρησαν. Ὁ δὲ ἀριθμὸς τῶν φονευθέντων τετρακόσιοι πρὸς ὀκτακισχιλίοις. Ὁμοίως δὲ καὶ εἰς τὴν ὅμορον τῆς Καισαρείας Ναρβατηνὴν τοπαρχίαν ἔπεμψε συχνοὺς τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον, καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρίων, τάς τε κτήσεις διήρπασαν, καὶ τὰς κώμας κατέφλεξαν.

65 11. Εἰς δὲ τὴν Γαλιλαίαν ἔστειλε Κεσέννιον Γάλλον ἡγεμόνα τοῦ δωδεκάτου τάγματος, παραδοὺς δύναμιν, ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανεν. Τοῦτον ἡ καρτερωτάτη τῆς Γαλιλαίας πόλις Σεπφώρις μετ' εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν αἱ λοιπαὶ πόλεις ἠρέμουν.
66 Τὸ δὲ στασιῶδες καὶ λῃστρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς Γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἄντικρυς τῆς Σεπ-
67 φώρεως, καλεῖται δὲ Ἀσαμών. Τούτοις ὁ Γάλλος ἐπῆγε τὴν δύναμιν· οἱ δέ, ἕως μὲν ἦσαν ὑπερδέξιοι, ῥᾳδίως τοὺς Ῥωμαίους ἔβαλλον προσιόντας, καὶ πρὸς διακοσίους αὐτῶν
68 ἀνεῖλον· περιελθόντων δὲ καὶ γενομένων ἐν τοῖς ὑψηλοτέροις ἡττῶντο ταχέως, καὶ οὔτε γυμνῆται τοὺς ὁπλίτας συστάδην

61 Κέστιος ἀπὸ τῆς M. εἰ μὴ ἐγκαταλαβέσθαι N. καταλαβέσθαι P. et T. sed in hoc ex ras. 62 τὴν Ἰόπην ῥᾳδίως M. τ. Ἰόππην ῥ. R.N. τὴν πόλιν Ἰόππην ῥ. T. 63 ἐμπεσόντες δὲ ἅπαντας N. ἐνέπρησαν. ἀριθμὸς P. 64 ὀκτακισχιλίους M.N.P.R.T.E. Ναβαρτίνην L. Νερβατινὴν P. ἐπαρχίαν ἔπεμψε M.N.R.T. 65 ἀπέστειλε Κεσσένιον Γάλλον L. ἀπεσ. Κεσσαίνιον Γάλλον P. 66 Τὸ στασιῶδες δὲ tr. P. πᾶν ἔφευγεν L. τὸ μεσώτατον P. ἄντικρυ P. τῆς Σεπφώρης L. τῆς Σεπφώρις P. 67 Ῥωμαίους ἠμύναντο προσιόντας L.P. 68 τοῖς ὑψηλοῖς M.N.T. γυμνῆτες ὁπλίτας L.P. γυμνῖται τοὺς ὁπ. M.N.

ἔφερον, οὔτε ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφυγον, ὥστε ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δὲ ὑπὲρ δισχιλίους.

CAP. XIX.

1. Γάλλος μὲν οὖν, ὡς οὐδὲν ἑώρα κατὰ τὴν Γαλιλαίαν 1 νεωτεριζόμενον, ὑπέστρεφε μετὰ τῆς στρατιᾶς εἰς Καισάρειαν. Κέστιος δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας, ἐνέβαλεν εἰς Ἀντιπατρίδα· καὶ πυθόμενος ἔν τινι πύργῳ 2 Ἀφαικοῦ καλουμένῳ συνηθροῖσθαι Ἰουδαίων δύναμιν οὐκ ὀλίγην, προέπεμψε τοὺς συμβαλοῦντας. Οἱ δὲ πρὶν εἰς χεῖρας ἐλθεῖν δέει τοὺς Ἰουδαίους διεσκέδασαν, ἐπελθόντες δὲ ἔρημον τὸ στρατόπεδον καὶ τὰς πέριξ κώμας ἐνέπρησαν. Ἀπὸ δὲ 3 τῆς Ἀντιπατρίδος Κέστιος εἰς Λύδδα προελθὼν κενὴν ἀνδρῶν τὴν πόλιν καταλαμβάνει· διὰ γὰρ τὴν τῆς σκηνοπηγίας ἑορτὴν ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς Ἱεροσόλυμα. Πεντή- 4 κοντα δὲ τῶν παραφανέντων διαφθείρας, καὶ τὸ ἄστυ κατακαύσας, ἐχώρει πρόσω, καὶ διὰ Βαιθωρῶν ἀναβὰς στρατοπεδεύεται κατά τινα χῶρον Γαβαὼ καλούμενον, ἀπέχοντα τῶν Ἱεροσολύμων πεντήκοντα σταδίους.

2. Οἱ δὲ Ἰουδαῖοι κατιδόντες ἤδη πλησιάζοντα τῇ μητρο- 5 πόλει τὸν πόλεμον, ἀφέμενοι τῆς ἑορτῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα τῷ πλήθει θαρροῦντες, ἄτακτοι καὶ μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν μάχην, μηδὲ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες· ἦν γὰρ δὴ τὸ μάλιστα παρ' αὐτοῖς θρησκευόμενον σάββατον. Ὁ δὲ ἐκσείσας αὐτοὺς τῆς εὐσεβείας 6 θυμὸς ἐποίησε πλεονεκτῆσαι καὶ κατὰ τὴν μάχην· μετὰ τοσαύτης γοῦν ὁρμῆς τοῖς Ῥωμαίοις προσέπεσον, ὡς διαρρῆξαι τὰς τάξεις αὐτῶν, καὶ διὰ μέσων χωρεῖν ἀναιροῦντας. Εἰ δὲ 7 μὴ τῷ μὴ χαλασθέντι τῆς φάλαγγος οἵ τε ἱππεῖς ἐκπεριελ-

ἐξέφευγον M.N.P.T. et L. sed in hoc ex cor. 1 οὐδὲν ἔτι ἑώρα L.P.E. 2 πυθ. ἑνί τινι L.P. Ἀφεκοῦ L.P.E. προσέπεμπε L. προέπεμπε P. ἐπελθόντες τε L. 3 Λύδδαν M. προσελθὼν N. 4 Βεθώρων L. et sic infra. 5 τὴν ἑορτὴν L.P. ἄτακτοι μετὰ L.P. 6 πλεονεκτῆσαι κατὰ T. τοιαύτης R.E. 7 εἰ μὴ τῷ μὴ χαλ. L. εἰ δὲ μὴ τῷ χαλ. M. εἰ δὲ δὴ τῷ μὴ χαλ. N.P.R.T.E.

θόντες ἐπήμυναν, καὶ τῶν πεζῶν τὸ μὴ σφόδρα καμὸν, καὶ
8 ἂν ἐκινδύνευσεν ὅλῃ τῇ δυνάμει Κέστιος. Ἀπέθανον δὲ Ῥω-
μαίων πεντακόσιοι δεκαπέντε· τούτων ἦσαν οἱ τετρακόσιοι
πεζοὶ, τὸ δὲ λοιπὸν ἱππεῖς· τῶν δὲ Ἰουδαίων δύο πρὸς τοῖς
9 εἴκοσι. Γενναιότατοι δὲ αὐτῶν ἔδοξαν οἱ Μονοβάζου τοῦ
τῆς Ἀδιαβηνῆς βασιλέως συγγενεῖς, Μονόβαζός τε καὶ Κε-
νεδαῖος, μεθ' οὓς ὁ Περαΐτης Νίγερ, καὶ Σίλας ὁ Βαβυλώ-
νιος, αὐτομολήσας εἰς τοὺς Ἰουδαίους ἀπὸ Ἀγρίππα τοῦ
10 βασιλέως· ἐστρατεύετο γὰρ παρ' αὐτῷ. Κατὰ πρόσωπον
μὲν οὖν ἀνακοπέντες οἱ Ἰουδαῖοι πρὸς τὴν πόλιν ὑπέστρεφον·
κατόπιν δὲ τοῖς Ῥωμαίοις ἐπὶ τὴν Βαιθωρῶν ἀνιοῦσι προσ-
πεσὼν ὁ τοῦ Γιώρα Σίμων, πολὺ τῆς οὐραγίας ἐσπάραξε, καὶ
συχνὰ τῶν σκευοφόρων ἐξαρπάσας ἤγαγεν εἰς τὴν πόλιν.
11 Μένοντος δὲ τοῦ Κεστίου κατὰ χώραν τρισὶν ἡμέραις, οἱ
Ἰουδαῖοι τὰ μετέωρα κατειληφότες ἐπετήρουν τὰς παρό-
δους· δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες, ἀρξαμένων τῶν Ῥω-
μαίων ὁδεύειν.

12 3. Ἔνθα δὴ κατιδὼν Ἀγρίππας οὐδὲ τὰ Ῥωμαίων ἀκίν-
δυνα, πλήθους ἀπείρου πολεμίων τὰ ὄρη περιέχοντος, ἔκρινεν
ἀποπειραθῆναι τῶν Ἰουδαίων λόγοις· ἢ γὰρ πάντας πείσειν
καταθέσθαι τὸν πόλεμον, ἢ τῶν ἐναντίων ἀποστήσειν τὸ μὴ
13 συμφρονοῦν. Ἔπεμψεν οὖν τῶν παρ' ἑαυτῷ τοὺς μάλιστα
γνωρίμους ἐκείνοις, Βορκαΐόν τε καὶ Φοῖβον, δεξιάς τε παρὰ
Κεστίου καὶ συγγνώμην παρὰ Ῥωμαίων ἀσφαλῆ περὶ τῶν
ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες πρὸς αὐ-
14 τοὺς μεταβάλοιντο. Δείσαντες δὲ οἱ στασιασταὶ, μὴ πᾶν
τὸ πλῆθος ἀδείας ἐλπίδι πρὸς τὸν Ἀγρίππαν μεταβάληται,
15 τοὺς ἀπ' αὐτοῦ πρεσβεύοντας ὥρμησαν ἀνελεῖν. Καὶ πρὶν ἢ

καὶ τοῦ πεζοῦ L.P.T. καὶ τοὺς πεζοὺς N. κάμνον L. 9 Κενεδέος L.P. οὓς ὁ Πραίτης L. Ἰουδαίους Ἀγρίππα L.M.N.P.R.T. 10 ἀνα-
κοπέντες Ἰουδαῖοι P. ὑπέστρεψαν R. Γειώρα L. σκευ. ἀποσπάσας ἤγαγ. L. 11 ἡμέραις Ἰουδαῖοι P. 12 πλήθους τε ἀπείρου N.T. τῶν ἐναντιωθέντων ἀποσ. L.P. ἀπυστῆσαι τὸ μὴ M.N.R.T.E. τὸ μὴ σωφρονοῦν M. 13 γνωρίμους ἐκείνων M.N. Βόρκιόν τε P. et sic infra. δεξίας τε καὶ παρὰ P. παρὰ Ῥωμαίοις P.T. 14 μή τι ἂν τὸ M.N.R. πρεσβεύσοντας P.

φθέγξασθαι τὸν μὲν Φοῖβον διέφθειραν, ὁ δὲ Βορκαῖος τρωθεὶς ἔρθη διαφυγεῖν· τοῦ δήμου δὲ τοὺς ἐπαγανακτήσαντας λίθοις καὶ ξύλοις παίοντες εἰς τὸ ἄστυ συνήλασαν.

4. Κέστιος δὲ τὴν πρὸς ἀλλήλους αὐτῶν ταραχὴν εὔκαι- 16
ρον ἰδὼν εἰς ἐπίθεσιν, ἅπασαν ἐπῆγε τὴν δύναμιν, καὶ τρα-
πέντας μέχρι Ἱεροσολύμων κατεδίωξεν. Στρατοπεδευσάμε- 17
νος δὲ ἐπὶ τοῦ καλουμένου Σκοποῦ, διέχει δὲ οὗτος ἑπτὰ τῆς
πόλεως σταδίους, τρισὶ μὲν ἡμέραις οὐκ ἐπεχείρει τῇ πόλει,
τάχα τι παρὰ τῶν ἔνδον ἐνδοθήσεσθαι προσδοκῶν, εἰς δὲ τὰς
περιξ κώμας ἐφ' ἁρπαγὴν σίτου πολλοὺς διαφῆκε τῶν στρα-
τιωτῶν. Τῇ τετάρτῃ δὲ, ἥτις ἦν τριακὰς Ὑπερβερεταίου 18
μηνὸς, διατάξας τὴν στρατιὰν, εἰσήγαγεν εἰς τὴν πόλιν. Ὁ
μὲν οὖν δῆμος ὑπὸ τοῖς στασιασταῖς ἔμφρουρος ἦν· οἱ δὲ 19
στασιασταὶ τὴν εὐταξίαν τῶν Ῥωμαίων καταπλαγέντες, τῶν
μὲν ἔξω τῆς πόλεως μερῶν εἶκον, εἰς δὲ τὴν ἐνδοτέρω καὶ τὸ
ἱερὸν ἀνεχώρουν. Κέστιος δὲ παρελθὼν ὑπεμπίπρησι τήν 20
τε Βεζεθὰν προσαγορευομένην, καὶ τὴν Καινόπολιν, καὶ τὸ
καλούμενον Δοκῶν ἀγοράν. Ἔπειτα πρὸς τὴν ἄνω πόλιν
ἐλθὼν ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς ἐστρατοπεδεύετο. Καὶ 21
ἂν, εἴπερ ἠθέλησε κατ' αὐτὴν ἐκείνην τὴν ὥραν ἐντὸς τῶν
τειχῶν βιάσασθαι, παραυτίκα τὴν πόλιν ἔσχε, καὶ τὸν πόλε-
μον συνέβη καταλελῦσθαι· ἀλλὰ γὰρ ὅ τε στρατοπεδάρχης 22
Τυράννιος Πρίσκος, καὶ τῶν ἱππάρχων οἱ πλεῖστοι, χρήμα-
σιν ὑπὸ Φλώρου δελεασθέντες ἀπέστρεψαν αὐτὸν τῆς ἐπι-
χειρήσεως. Καὶ παρὰ τὴν αἰτίαν ταύτην ὅ τε πόλεμος ἐπὶ 23
τοσοῦτον μῆκος προέβη, καὶ Ἰουδαίους ἀνηκέστων συμφορῶν
ἀναπλησθῆναι συνέπεσεν.

5. Ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν Ἀνάνῳ 24

15 τοὺς ἀγανακ. L.P. 16 ἅπασαν ἦγεν L.P. μέχρις L.N. 17 ἐπιχειρεῖ L. τῶν ἔνδοθεν P. 18 Ὑπερβερεταίου ad marg. ὀκτωβρίου R. εἰσῆγεν L.P. στασιασταῖς φρουρὸς L. 19 οἱ στασιασταὶ δὲ tr. M.N.T. ἔξω μερῶν τῆς πόλ. tr. M.N.R.T. τὴν ἐνδοτέραν P.E. 20 ὑποπίμπρησι L.M.P. ὑπεμπίμπρησι E. Βεζδαβὰν L. Βηθεσδὰν P. ἐστρατοπεδεύσατο T. 21 Καὶ εἴπερ N.P. εἶχεν καὶ L. καταλύεσθαι L.P. 22 Φλώρου δεκασθέντες et in marg. ὑποφθαρέντες L. 23 ἀνηκέστων Ἰουδαίοις P. 24 Ἀνάνῳ τοῦ Ἰωνάθου T.

τῷ Ἰωνάθου παιδὶ πεισθέντες, ἐκάλουν τὸν Κέστιον ὡς ἀνοίξοντες αὐτῷ τὰς πύλας. Ὁ δὲ καὶ πρὸς ὀργὴν ὑπεριδὼν,
25 καὶ μὴ πάνυ πιστεύσας διεμέλλησεν, ἕως οἱ στασιασταὶ, τὴν προδοσίαν αἰσθόμενοι, τοὺς μὲν περὶ τὸν Ἄνανον ἀπὸ τοῦ τείχους κατέβαλον, καὶ λίθοις παίοντες συνήλασαν εἰς τὰς οἰκίας· αὐτοὶ δὲ διαστάντες ἐπὶ τῶν πύργων τοὺς ἀποπειρω-
26 μένους τοῦ τείχους ἔβαλλον. Πέντε μὲν οὖν ἡμέραις πάντοθεν ἐπιχειροῦσι τοῖς Ῥωμαίοις ἀμήχανος ἦν ἡ προσβολή· τῇ δὲ ἐπιούσῃ ἀναλαβὼν ὁ Κέστιος τῶν τε ἐπιλέκτων συχνοὺς καὶ τοὺς τοξότας, κατὰ τὸ προσάρκτιον ἐπιχειρεῖ κλίμα τῷ
27 ἱερῷ. Ἰουδαῖοι δὲ ἀπὸ τῆς στοᾶς εἶργον, καὶ πολλάκις μὲν ἀπεκρούσαντο τοὺς τῷ τείχει προσελθόντας· τέλος δὲ τῷ πλήθει τῶν βελῶν ἀνακοπέντες ὑπεχώρησαν. Τῶν δὲ Ῥωμαίων οἱ πρῶτοι τοὺς θυρεοὺς εἰς τὸ τεῖχος ἐξερείσαντες, καὶ κατὰ τούτων οἱ κατόπιν ἄλλους, οἵ τε ἑξῆς ὁμοίως, τὴν
28 καλουμένην παρ' αὐτοῖς χελώνην ἐφράξαντο. Καθ' ἣς τὰ βέλη φερόμενα περιωλίσθαινεν ἄπρακτα, μηδὲν δὲ οἱ στρατιῶται κακούμενοι τὸ τεῖχος ὑπώρυσσον, καὶ τοῦ ἱεροῦ τὴν πύλην ὑποπιμπράναι παρεσκευάζοντο.

29 6. Δεινὴ δὲ τοὺς στασιαστὰς ἔκπληξις κατέλαβεν· ἤδη δὲ πολλοὶ διεδίδρασκον ἀπὸ τῆς πόλεως, ὡς ἁλωσομένης αὐτίκα. Τὸν δὲ δῆμον συνέβαινεν ἐπὶ τούτοις θαρρεῖν, καὶ καθὸ παρείκοιεν οἱ πονηροὶ, προσήεσαν αὐτοὶ τὰς πύλας ἀνοίξοντες, καὶ
30 δεξόμενοι τὸν Κέστιον ὡς εὐεργέτην· ὃς, εἰ βραχὺ τῇ πολιορκίᾳ προσελιπάρησε, καὶ ἂν εὐθέως τὴν πόλιν παρέλαβεν. Ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς ἀπεστραμμένος ὁ θεὸς ἤδη καὶ

διημέλησεν P. 25 διαστάντες ἀπὸ τῶν L.P. ἀποπειραμένους N. τείχους ἀπὸ τῶν πύργων ἔβαλλον P. 26 ἀμήχανον N. τῇ ἐπιούσῃ δὲ R. ἐπεχείρει L. κλίμα τὸ ἱερὸν M. 27 πολλάκι μὲν N. ἀποκοπέντες L. ἀνεχώρησαν L.P. ἐξερείσαντες εἰς τὸ τεῖχος tr. L.M.N. T. ἐξαιρήσαντες εἰς τὸ τ. P. 28 περιωλίσθανεν L.N.P. περιολίσθαινε M. καὶ οἱ ἄπρακτα· οἱ δὲ στρατ. N. μηδὲν στρ. sic. R. καλούμενοι N. τεῖχος ὑπέσυρον P. 29 ὡς ἁλουμένης P. ἐπὶ τούτοις συνέβαινε L.P. παρήκοιεν P. ἀνοίξαντες N.T.E. δεξάμενοι L. 30 προσεπιλιπάρησε sic R.

τὰ ἅγια, τέλος λαβεῖν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐκώλυσε τὸν πόλεμον.

7. Ὁ γοῦν Κέστιος οὔτε τὴν τῶν πολιορκουμένων ἀπό- 31
γνωσιν, οὔτε τὸ φρόνημα τοῦ δήμου συνιδὼν, ἐξαίφνης ἀνε-
κάλεσε τοὺς στρατιώτας, καὶ καταγνοὺς ἐπ' οὐδεμιᾷ πληγῇ
τῶν ἐλπίδων, παραλογώτατα ἀπὸ τῆς πόλεως ἀνέζευξεν.
Πρὸς δὲ τὴν ἀδόκητον αὐτοῦ τροπὴν ἀναθαρρήσαντες οἱ 32
λῃσταὶ κατὰ τῶν ὑστάτων ἐξέδραμον, καὶ συχνοὺς τῶν ἱπ-
πέων καὶ πεζῶν διέφθειραν. Τότε μὲν οὖν ἐν τῷ κατὰ τὸν 33
Σκοπὸν στρατοπέδῳ αὐλίζεται Κέστιος, τῇ δὲ ἐπιούσῃ προσ-
ωτέρω χωριζόμενος, μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους.
Καὶ τοὺς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον, καθ' ἕτε- 34
ρον δὲ τῆς ὁδοῦ προσιόντες ἠκόντιζον εἰς πλαγίους. Οὔτε 35
δὲ ἐπιστραφῆναι πρὸς τοὺς κατόπιν τιτρώσκοντας ἐθάρρουν
οἱ τελευταῖοι, ἄπειρόν τι πλῆθος οἰόμενοι διώκειν, καὶ τοὺς
κατὰ πλευρὰν ἐγκειμένους ἀναστέλλειν οὐχ ὑπέμενον, αὐτοὶ
μὲν ὄντες βαρεῖς, καὶ δεδοικότες τὴν τάξιν διασπᾶν, τοὺς δὲ
Ἰουδαίους ὀρῶντες κούφους, καὶ πρὸς τὰς ἐπιδρομὰς εὐκόλους·
ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι μηδὲν ἀντιβλά-
πτουσι τοὺς ἐχθρούς. Παρ' ὅλην δὲ τὴν ὁδὸν παιόμενοι, καὶ 36
τῆς φάλαγγος ἐκσειόμενοι κατέπιπτον, μέχρι πολλῶν δια-
φθαρέντων, ἐν οἷς ἦν Πρίσκος μὲν στρατάρχης τάγματος
ἕκτου, Λογγῖνος δὲ χιλίαρχος, ἔπαρχος δὲ ἴλης Αἰμίλιος
Ἰουκοῦνδος ὄνομα, μόγις εἰς Γαβαὼ κατήντησαν ἐπὶ τὸ πρό-
τερον στρατόπεδον, τὰ πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες.
Ἔνθα δύο μὲν ἡμέρας ἐπέμεινεν ὁ Κέστιος, ἀμηχανῶν, ὅ τι 37
χρὴ ποιεῖν· τῇ τρίτῃ δὲ πολλῷ πλείους τοὺς πολεμίους θεα-
σάμενος, καὶ πάντα τὰ κύκλῳ μεστὰ Ἰουδαίων, ἔγνω καθ'

31 τοῦ δήμου τὸ φρόνημα tr. L.P. 32 αὐτοῦ προτροπὴν L.P. ἐπε-
ξέδραμον P. 33 αὐλίζεται στρατοπέδῳ tr. L.P. στραπέδῳ R. προσ-
οτέρω P. 34 καὶ καθ' ἑκάτερον τῆς L.P. ὁδοῦ περιόντες P. 35 κατὰ
πλευρὸν N. αὐτοὺς πολλὰ M.P. 36 μὲν Πρίσκος tr. L. εἴλης N.
ὀνόματι N.T. μόλις εἰς Γαβαὼν P. 37 ἐπέμενεν M. πάντα κύκλῳ M.

ἑαυτοῦ τε βραδύνας, καὶ ἐὰν ἔτι μείνῃ πλείοσι χρησόμενος ἐχθροῖς.

38 8. Ἵνα δὲ συντομωτέρᾳ χρήσαιτο φυγῇ, τὰ τὴν στρατιὰν ἀνθέλκοντα περικόπτειν προσέταξε. Διαφθαρέντων δὲ τῶν τε ὀρέων καὶ τῶν ὑποζυγίων, πλὴν ὅσα βέλη παρεκόμιζε καὶ μηχανὰς, τούτων γὰρ ἐπὶ χρείαν περιείχοντο, καὶ μάλιστα δεδοικότες, μὴ Ἰουδαίοις κατ' αὐτῶν ἀλῷη, προῆγε τὴν
39 δύναμιν ἐπὶ Βαιθώρας. Οἱ δὲ Ἰουδαῖοι κατὰ μὲν τὰς εὐρυχωρίας ἧττον ἐπέκειντο· συνειληθέντων δὲ εἰς τὴν κατὰ τὰ στενὰ κατάβασιν, οἱ μὲν φθάσαντες εἶργον αὐτοὺς τῆς ἐξόδου, ἄλλοι δὲ τοὺς ὑστάτους κατεώθουν εἰς τὴν φάραγγα.
40 Τὸ δὲ πᾶν πλῆθος παρεκταθὲν ὑπὲρ τὸν αὐχένα τῆς ὁδοῦ κατεκάλυπτε τὴν φάλαγγα τοῖς βέλεσιν. Ἔνθα καὶ τῶν πεζῶν ἀμηχανούντων προσαμύνειν ἑαυτοῖς, ἐπισφαλέστερος
41 τοῖς ἱππεῦσιν ὁ κίνδυνος ἦν· οὔτε γὰρ ἐν τάξει κατὰ τῆς ὁδοῦ βαδίζειν ἐδύναντο βαλλόμενοι, καὶ τὸ πρόσαντες ἐπὶ τοὺς
42 πολεμίους ἱππάσιμον οὐκ ἦν. Τὸ δὲ ἐπὶ θάτερα κρημνοὶ καὶ φάραγγες, εἰς οὓς ἀποσφαλέντες κατεφέροντο, καὶ οὔτε φυγῆς τόπον, οὔτε ἀμύνης εἶχον ἐπίνοιαν, ἀλλ' ὑπ' ἀμηχανίας ἐπ' οἰμωγὴν ἐτράποντο, καὶ τοὺς ἐν ἀπογνώσεσιν ὀδυρ-
43 μούς. Ἀντήχει δὲ αὐτοῖς τὸ παρὰ Ἰουδαίων ἐγκέλευσμα, καὶ κραυγὴ χαιρόντων ἅμα καὶ τεθυμωμένων. Ὀλίγου δὲ δεῖν πᾶσαν ἂν ἥρπασαν τὴν ἅμα Κεστίῳ δύναμιν, εἰ μὴ νὺξ ἐπέλαβεν, ἐν ᾗ Ῥωμαῖοι μὲν εἰς τὴν Βαιθώραν κατέφυγον, Ἰουδαῖοι δὲ πάντα τὰ κύκλῳ περισχόντες ἐφρούρουν αὐτῶν τὴν ἔξοδον.

βραδύνων M.N.R.T. ἔτι μένοι M.N.R.E. ἐπιμένοι T. πλείοσιν ἐχθροῖς χρησόμενος L.P. 38 Ἵνα δὴ L.E. τῶν ὀρέων R.E. ὀρέων καὶ τῶν ἡμιόνων, ἔτι δὲ καὶ τῶν ὑποζυγίων L. ὀρέων καὶ τῶν ὄνων, ἔτι δὲ καὶ των ὑποζ. P. τούτων ἐπὶ χρείαν M. τ. γὰρ διὰ τὴν χρείαν L.P. et ex cor. T. ἁλῶ, προσῆγε L.P. ἁλοίη ex cor. T. κατὰ Βεθώρας L. κατὰ Βεθώρων P. 39 Ἰουδαῖοι μετὰ μὲν R.E. κατὰ στενὰ P.R.E. καὶ τὴν κατάβασιν P. εἰς τὰ στενὰ καὶ τὴν κατάβασιν L. 40 τὴν φάραγγα P. τοῖς βέλεσι τὴν φάλαγγα R. 42 κατεφθείροντο, καὶ L.P. φυγῆς τις τόπον L.P.T. εἶχεν L.T. 43 ἐγκέλευσμα sed in marg. ead. man. ἐγκάλυμμα L. πᾶσαν ἥρπασαν M.N.R.T.E. πᾶσαν ἀνήρπασαν L.

9. Ἔνθα δὴ Κέστιος τὴν φανερὰν ὁδὸν ἀπογνοὺς, δρασ- 44
μὸν ἐβουλεύετο, καὶ διακρίνας τοὺς εὐψυχοτάτους στρατιώ-
τας εἰς τετρακοσίους ἐπέστησε τοῖς ὀχυρώμασι, προστάξας
ἀναβάντας σημαίας τῶν ἐν τοῖς στρατοπέδοις φυλάκων ἱστᾶν,
ὅπως οἱ Ἰουδαῖοι πᾶσαν οἴωνται τὴν δύναμιν κατὰ χώραν
μένειν· αὐτὸς δὲ τοὺς λοιποὺς ἀναλαβὼν ἡσυχῇ τριάκοντα 45
πρόεισι σταδίους. Ἕωθεν δὲ Ἰουδαῖοι κατιδόντες ἔρημον
τὴν ἔπαυλιν αὐτῶν, ἐπὶ τοὺς ἐξαπατήσαντας τετρακοσίους
ἔδραμον, καὶ ἐκείνους μὲν ταχέως κατηκόντισαν, ἐδίωκον δὲ
τὸν Κέστιον. Ὁ δὲ τῆς τε νυκτὸς οὐκ ὀλίγον προειλήφει, 46
καὶ συντονώτερον ἤλαυνεν μεθ' ἡμέραν, ὥστε τοὺς στρατιώ-
τας, ὑπ' ἐκπλήξεως καὶ δέους, τάς τε ἐλεπόλεις καὶ τοὺς ὀξυ-
βελεῖς καὶ τὰ πολλὰ τῶν ἄλλων ὀργάνων καταλιπεῖν, ἃ τότε
Ἰουδαῖοι λαβόντες αὖθις ἐχρήσαντο κατὰ τῶν ἀφέντων.
Προῆλθον δὲ τοὺς Ῥωμαίους διώκοντες μέχρις Ἀντιπατρί- 47
δος. Ἔπειτα ὡς οὐ κατελάμβανον, ὑποστρέφοντες τάς τε
μηχανὰς ἦρον, καὶ τοὺς νεκροὺς ἐσύλων, τήν τε ἀπολειφθεῖ-
σαν λείαν συνῆγον, καὶ μετὰ παιάνων εἰς τὴν μητρόπολιν
ἐπαλινδρόμουν, αὐτοὶ μὲν ὀλίγους ἀποβεβλημένοι παντάπασι, 48
τῶν δὲ Ῥωμαίων καὶ τῶν συμμάχων πεζοὺς μὲν πεντακισχι-
λίους καὶ τριακοσίους ἀνῃρηκότες, ἱππεῖς δὲ τριακοσίους καὶ
ὀγδοήκοντα. Ταῦτα μὲν οὖν ἐπράχθη Δίου μηνὸς ὀγδόῃ, δω-
δεκάτῳ ἔτει τῆς Νέρωνος ἡγεμονίας.

CAP. XX.

1. Μετὰ δὲ τὴν Κεστίου συμφορὰν πολλοὶ τῶν ἐπιφα- 1

44 ὡς εἰς τετρακ. L. ὡσεὶ τετρακ. P. τῶν ὀχυρωμάτων N.T. τῶν δω-
μάτων L.P. προστάξας ἀναβοᾷν τὰ σημεῖα τῶν L.P. φυλάκων, ὅπως
L.P. ὅπως Ἰουδαῖοι P. οἴονται P. 45 ἕωθεν δὲ οἱ Ἰου. L.M. τὴν
αὐλὴν αὐτῶν L.P. κατηκόντησαν P. 46 τῆς νυκτὸς P.E. συντ. ἔφευγε
μεθ' ἡμ. L.N.P.T, et ad marg. R. τὰς ὀξυβελεῖς M. καὶ τὰ λοιπὰ τῶν
ἄλλων M.N.R.T. 47 ἐσύλουν P. 48 Ῥωμαίων τῶν συμ. L.P.
πεζοὺς μὲν τετρακισχιλίους ἀνῃρηκότες R. ὀγδοήκοντα καὶ τετρακοσίους tr.
L.P. τάδε μὲν οὖν L.P. Δίου ad marg. Νοεμβρίου R. δωδεκ. τῆς
Νέρωνος ἡγεμ. ἔτει tr. L.P. hæc omnia ad marg. ead. man. T.

νῶν Ἰουδαίων, ὥσπερ βαπτιζομένης νεώς, ἀπενήχοντο τῆς πόλεως. Κοστόβαρος οὖν καὶ Σαοῦλος ἀδελφοὶ σὺν Φιλίππῳ τῷ Ἰακίμου — στρατοπεδάρχης δὲ ἦν οὗτος Ἀγρίππα τοῦ βασιλέως — διαδράντες ἐκ τῆς πόλεως, ᾤχοντο πρὸς Κέ-
2 στιον. Ὁ δὲ σὺν τούτοις κατὰ τὴν βασιλικὴν αὐλὴν πολιορκηθεὶς Ἀντίπας, ὑπεριδὼν τὴν φυγήν, αὖθις, ὡς ὑπὸ τῶν
3 στασιαστῶν διεφθάρη, δηλώσομεν. Κέστιος δὲ τοὺς περὶ Σαοῦλον ἀξιώσαντας ἀνέπεμψεν εἰς Ἀχαΐαν πρὸς Νέρωνα, τήν τε αὐτῶν δηλώσοντας ἀνάγκην, καὶ τὰς αἰτίας τοῦ πολέμου τρέψοντας εἰς Φλῶρον· τῇ γὰρ ἐπ' ἐκεῖνον ὀργῇ κουφίσειν καὶ τοὺς ἑαυτοῦ κινδύνους ἤλπισεν.

4 2. Καὶ ἐν τούτῳ Δαμασκηνοὶ τὴν τῶν Ῥωμαίων φθορὰν πυθόμενοι, τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνελεῖν ἐσπούδασαν.
5 Καὶ καθὸ μὲν εἶχον αὐτοὺς ἐν τῷ γυμνασίῳ πάλαι συνηθροισμένους διὰ τὰς ὑποψίας, τοῦτο πραγματευσάμενοι, ῥᾴστην τὴν ἐπιχείρησιν ἐδόκουν. Ἐδεδοίκεσαν δὲ τὰς ἑαυτῶν γυναῖκας, ἁπάσας πλὴν ὀλίγων ὑπηγμένας τῇ Ἰουδαϊκῇ
6 θρησκείᾳ. Διὸ μέγιστος αὐτοῖς ἀγὼν ἐγένετο λαθεῖν ἐκείνας· τοὺς δὲ Ἰουδαίους, ὡς ἂν ἐν στενῷ χωρίῳ, τὸν ἀριθμὸν ὄντας μυρίους καὶ πάντας ἀνόπλους ἐπελθόντες, ὑπὸ μίαν ὥραν ἀδεῶς ἔσφαξαν.

7 3. Οἱ δὲ διώξαντες τὸν Κέστιον ὡς ὑπέστρεψαν εἰς Ἱεροσόλυμα, τοὺς μὲν βίᾳ τῶν ἔτι Ῥωμαϊζόντων, τοὺς δὲ πειθοῖ προσήγοντο, καὶ συναθροισθέντες εἰς τὸ ἱερὸν, στρατηγοὺς
8 ἀπέδειξαν τοῦ πολέμου πλείονας. Ἡιρέθη δὲ Ἰώσηπος υἱὸς Γωρίωνος, καὶ ὁ ἀρχιερεὺς Ἄνανος, τῶν τε κατὰ τὴν πόλιν ἁπάντων αὐτοκράτορες, καὶ μάλιστα τὰ τείχη τῆς πόλεως

1 βαπτιζ. νηὸς P. Καὶ Κοστόβαρος M. Κοστ. γοῦν L.P. καὶ ὁ Σαῦλος L. Ἰωακείμου M. Ἰωκείμου sic R. 2 διεφθάρει δηλώσωμενP. 3 δηλωσ. φυγὴν καὶ M.N.T. τὴν γὰρ ἐπ' ἐκεῖνον ὀργὴν L.N.P. 5 συνηθροισμένους πάλαι tr. L.P. διὰ τῆς ὑποψίας M.N.T.E. ἐδεδοίκεισαν L. 6 ἀριθμὸν μυρίους καὶ πεντακοσίους πάντας L.P. ἀριθ. ὄντας μυρ. καὶ πεντακ. πάντας T. ἐπελθόντας P. ἀπέσφαξαν L.P. 7 εἰς τὰ Ἱεροσ. R. πειθῶ P. ἀπεδείκνυσαν L.M.N.P.T. 8 Εὑρέθη P. Ἰώσηπός τε υἱὸς L.T. Γωρίονος P.

ἀνεγείρειν· τὸν γὰρ τοῦ Σίμωνος υἱὸν Ἐλεάζαρον, καίπερ 9
ὑφ' ἑαυτῷ πεποιημένον τὴν Ῥωμαίων λείαν, καὶ τὰ ἁρπα-
γέντα Κεστίου χρήματα, πρὸς οἷς πολλὰ τῶν δημοσίων θη-
σαυρῶν, ὅμως οὐκ ἐπέστησαν ταῖς χρείαις, αὐτόν τε τυραννι-
κὸν ὁρῶντες, καὶ τοὺς ὑπ' αὐτῷ ζηλωτὰς δορυφόρων ἔθεσι
χρωμένους. Κατ' ὀλίγον γε μὴν ἥ τε χρεία τῶν χρημάτων, 10
καὶ γοητεύων Ἐλεάζαρος ἐκπεριῆλθε τὸν δῆμον, ὥστε αὐτῷ
πειθαρχεῖν περὶ τῶν ὅλων.

4. Εἰς δὲ τὴν Ἰδουμαίαν ἑτέρους ἐπέλεξαν στρατηγοὺς, 11
Ἰησοῦν τε υἱὸν Σαπφία τῶν ἀρχιερέων ἕνα, καὶ Ἐλεάζαρον
ἀρχιερέως υἱὸν Ἀνανίου. Τῷ δὲ ἄρχοντι τότε τῆς Ἰδου-
μαίας Νίγερι — γένος δὲ ἦν ἐκ τῆς περὶ Ἰορδάνην Περαίας,
διὸ καὶ Περαΐτης ἐπεκαλεῖτο — προσέταξαν ὑποτάσσεσθαι
τότε τοῖς στρατηγοῖς. Ἡμέλουν δὲ οὐδὲ τῆς ἄλλης χώρας, 12
ἀλλ' εἰς μὲν Ἰεριχοῦντα Ἰώσηπος ὁ Σίμωνος, εἰς δὲ τὴν
Περαίαν Μανασσῆς, Θαμνᾶ δὲ τοπαρχίας Ἰωάννης ὁ Ἐσ-
σαῖος στρατηγήσων ἐπέμφθη· προσκεκλήρωτο δὲ αὐτῷ
Λύδδα καὶ Ἰόππη καὶ Ἀμμαοῦς. Τῆς δὲ Γοφνιτικῆς καὶ 13
Ἀκραβατηνῆς ὁ Ἀνανίου Ἰωάννης ἡγεμὼν ἀποδείκνυται, καὶ
τῆς Γαλιλαίας ἑκατέρας Ἰώσηπος Ματθίου· προσώριστο
δὲ τῇ τούτου στρατηγίᾳ καὶ Γάμαλα, τῶν ταύτῃ πόλεων
ὀχυρωτάτη.

5. Τῶν μὲν οὖν ἄλλων στρατηγῶν ἕκαστος, ὡς εἶχε προ- 14
θυμίας ἢ συνέσεως, διῴκει τὰ πεπιστευμένα· Ἰώσηπος δὲ εἰς
τὴν Γαλιλαίαν ἐλθὼν πρῶτον ἐφρόντισε τῆς εἰς αὐτὸν εὐ-
νοίας τῶν ἐπιχωρίων, εἰδὼς, ὅτι ταύτῃ πλεῖστα κατορθώσει,
καὶ ἐὰν τὰ ἄλλα διαμαρτάνῃ. Συνιδὼν δὲ, ὅτι τοὺς μὲν 15
δυνατοὺς οἰκειώσεται μεταδιδοὺς τῆς ἐξουσίας αὐτοῖς, τὸ δὲ

9 ὑφ' ἑαυτὸν ex cor. L. τοὺς ὑφ' ἑαυτῷ M.N.T. 11 Ἰησοῦν υἱὸν L.P. Ἰησοῦν τε τὸν υἱὸν R.E. Σαπφὰν L.N.R. Σαπφᾶ M.T. Σαπφῶ P. υἱὸν νέου· τῷ δὲ L.M.N.P.R.T. ἄρχοντι τῆς L.P. περὶ ἀρδάνην N. ἐκαλεῖτο L. προσέταξεν L.M. 12 Ἰεριχοῦν Ἰώσ. L.N. Θαμνὰ τοπαρ. N. et T. sed in hoc rec. man. suprascrip. δὲ. ὁ Ἐσσαῖς R. 13 Γνοφιτικῆς N. et T. sed in huj. marg. Γοφν. Ἀκραβετηνῆς L. Ἀκραβητηνῆς N. Ἀκραβετγινῆς P. τῶν ταύτης M.R.T. 14 πλεῖστα ταύτῃ tr. N.R.T. διαμαρτάνει M.

πᾶν πλῆθος, εἰ δι' ἐγχωρίων καὶ συνήθων τὰ πολλὰ προστάσσοι, τῶν μὲν γηραιῶν ἑβδομήκοντα τοὺς σωφρονεστάτους
16 ἐπιλέξας ἐκ τοῦ ἔθνους, κατέστησεν ἄρχοντας ὅλης τῆς Γαλιλαίας, ἑπτὰ δὲ ἐν ἑκάστῃ πόλει δικαστὰς τῶν εὐτελεστέρων διαφορῶν· τὰ γὰρ μείζω πράγματα καὶ τὰς φονικὰς δίκας ἐφ' ἑαυτὸν ἀναπέμπειν ἐκέλευσε καὶ τοὺς ἑβδομήκοντα.

17 6. Καταστησάμενος δὲ τὰ πρὸς ἀλλήλους νόμιμα τῶν κατὰ πόλιν, ἐπὶ τὴν ἔξωθεν αὐτῶν ἀσφάλειαν ἐχώρει. Καὶ γινώσκων Ῥωμαίους προσβαλοῦντας εἰς τὴν Γαλιλαίαν, τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἰωτάπατα καὶ Βηρσαβεὲ καὶ Σελαμὶν, ἔτι δὲ Καφαρεκχὼ καὶ Ἰαφὰ καὶ Σιγὼφ, τό τε Ἰταβύριον καλούμενον ὄρος, καὶ Ταριχαίας καὶ Τιβεριάδα·
18 πρὸς δὲ τοίτοις τὰ περὶ Γεννησὰρ τὴν λίμνην σπήλαια κατὰ τὴν κάτω καλουμένην Γαλιλαίαν ἀνετειχίσατο, τῆς τε ἄνω Γαλιλαίας τήν τε προσαγορευομένην Ἀχαβάρων πέτραν,
19 καὶ Σὲφ καὶ Ἰαμνὶθ καὶ Μηρώ. Κατὰ δὲ τὴν Γαυλανίτιν, Σελεύκειάν τε καὶ Σωγάνην καὶ Γάμαλαν ὠχύρωσεν· μόνοις δὲ Σεπφωρίταις ἀφῆκε καθ' ἑαυτοὺς τεῖχος ἀναδείμασθαι, χρημάτων τε εὐπόρους ὁρῶν ὄντας, καὶ προθύμους ἐπὶ τὸν
20 πόλεμον δίχα προστάγματος. Ὁμοίως γε καὶ Γίσχαλα Ἰωάννης ὁ Λευΐου υἱὸς καθ' ἑαυτὸν ἐτείχιζεν, Ἰωσήπου καλεύσαντος· τοῖς δὲ ἄλλοις ἐρύμασιν αὐτὸς ἅπασι συμπονῶν
21 ἅμα καὶ προστάσσων παρῆν. Κατέλεξε δὲ καὶ δύναμιν ἐκ τῆς Γαλιλαίας ὑπὲρ δέκα μυριάδας νέων ἀνδρῶν, οὓς πάντας ἐκ τῶν συλλεγομένων παλαιῶν ὅπλων ἐγκατασκευαζόμενος ὥπλιζεν.

15 δι' ἐπιχωρίων L. 16 ὅλης Γαλιλαίας M.N.T. διαφόρων L.P. ἀναπέμψειν R. ἐκέλευεν P. 17 προσεμβαλοῦντας L. προβαλοῦντας R. Ἰωτάπατα μὲν L.P. Βηρσαβὲ P. Σελλάμην P. καὶ Καμφαρεκχῶ L. καὶ Περιεκχὼ M. καὶ Περεκχὼ N.R.T. καὶ Φαρεκχὼ P. καὶ Σιγὼ E. Ταριχαία P. 18 Γεννησαρὲτ L.T. ἐτειχίσατο L. τῆς δὲ ἄνω L.P. Ἀκχαβαρων L. Χαβάρων P. Ἀχαβρῶν R. Σὲπφ P.T. Σεὴφ L. Ἰαμνεὶν L. Ἰαμνεὶθ P. Μηρώθ. E. 19 Γαυλανίτην L. Γαυλανιτικὴν N.P.R.T. Σωγαναίαν L.P. Σωγάνιν N. Σεπφ. ἔφη καθ' P. καθ' αὐτοὺς M.T. ὁρῶν αὐτοὺς ὄντας T. 20 Ὁμοίως δὲ καὶ L. Ἰωάννης ὁ Σολίου M. Ἰωάν. ὁ Λησυίου L. Ἰω. Σολίου T. et R. sed in huj. marg. ὁ Λευίου. Ἰω. Συλήου N. Ἰω. ὁ Λήιου P. υἱὸς deest L.P. ἅπασιν αὐτὸς tr. L.P. προστάσσων ἦν. R. 21 ἔκ τε τῶν L.P. ὅπλων αὐτοὺς ἐρκατ. P.R.E.

7. Ἔπειτα συνιδὼν ἀήττητον τὴν Ῥωμαίων ἰσχὺν γεγε- 22
νημένην εὐπειθείᾳ μάλιστα καὶ μελέτῃ τῶν ὅπλων, τὴν μὲν διδασκαλίαν ἀπέγνω τῇ χρείᾳ διωκομένην. Τὸ δὲ εὐπειθὲς 23
ὁρῶν περιγινόμενον ἐκ τοῦ πλήθους τῶν ἡγεμόνων, Ῥωμαϊκώτερον ἔτεμνε τὴν στρατιὰν, καὶ πλείους καθίστατο ταξιάρχους. Στρατιωτῶν δὲ ἀπεδείκνυ διαφορὰς, καὶ τούτους 24
μὲν ὑπέτασσε δεκαδάρχαις, καὶ ἑκατοντάρχαις, ἔπειτα χιλιάρχοις, καὶ ἐπὶ τούτοις ἡγεμόσι ταγμάτων ἀδροτέρων ἀφηγουμένοις. Ἐδίδασκέ τε σημείων παραδόσεις, καὶ σάλ- 25
πιγγος προσκλήσεις τε καὶ ἀνακλήσεις, προσβολάς τε κεράτων καὶ περιαγωγὰς, καὶ πῶς δεῖ πρὸς μὲν τὸ κάμνον ἐπιστρέφειν ἐκ τοῦ περιόντος, ἐν δὲ τῷ πονοῦντι συμπαθεῖν. Ὅσα τε εἰς παράστημα ψυχῆς, καὶ σώματος καρτερίαν συν- 26
εχῶς ἀφηγεῖτο· μάλιστα δὲ αὐτοὺς ἤσκει πρὸς τὸν πόλεμον, παρ' ἕκαστα τὴν Ῥωμαίων εὐταξίαν διηγούμενος, καὶ ὡς πολεμήσουσι πρὸς ἄνδρας, οἳ δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα πάσης ὀλίγου δεῖν τῆς οἰκουμένης κρατοῦσιν. Ἔφη δὲ πεῖραν αὐτῶν λαβεῖν τῆς κατὰ τὸν πόλεμον εὐτα- 27
ξίας καὶ πρὸ παρατάξεως, εἰ τῶν συνήθων ἀδικημάτων ἀπόσχοιντο, κλοπῆς τε καὶ λῃστείας καὶ ἁρπαγῆς, τοῦ τε ἐξαπατᾶν τὸ ὁμόφυλον, τό τε κέρδος οἰκεῖον ἡγεῖσθαι τὴν βλάβην τῶν συνηθεστάτων· διοικεῖσθαι γὰρ κάλλιστα τοὺς πο- 28
λέμους, παρ' οἷς ἂν ἀγαθὸν τὸ συνειδὸς ἔχωσιν οἱ στρατευόμενοι· τοὺς δὲ οἴκοθεν φαύλους οὐ μόνον τοῖς ἐπιοῦσιν ἐχθροῖς, ἀλλὰ καὶ τῷ θεῷ χρῆσθαι πολεμίῳ.

22 εὐπειθίᾳ P. 23 περιγενόμενον L. πλείστους L. καθίσταται P. ταξιάρχας R. 24 στρατιωτῶν τε γὰρ ἀπεδείκνυεν L.P. δεκάρχαις M. καὶ ἑκατοντάρχαις desunt L. τούτοις ἡγεμόνας L.P. et sec. man. T. ἀφηγουμένους P. et sec. man. T. 25 ἐδίδασκε δὲ L.P. σαλπίγγων L.E. προβολάς τε M. πονοῦντι συναμύνειν E. νοσοῦντι συμπαθεῖν M. 26 εἰς παράστασιν ψυχῆς L.P. ἢ καρτερίαν συνετέλει σώματος ἀφηγ. L.P. ἢ καρτ. σώμ. συνεχῶς ἀφηγ. M.T. 27 αὐτῶν λήψεσθαι τῆς L. αὐτ. λήψεσθε τῆς P. πόλεμ. πειθαρχίας καὶ πρὸ L.P. κλοπῆς καὶ M.N.R.T. τοῦ τε ἐξαπαντᾶν L. ὁμόφ. καὶ μὴ κέρδος M.R. ὁμόφ. καὶ μὴ τὸ κέρδος T. ὁμόφ. τὸ κέρδος N.P. 28 γὰρ deest P. τοὺς πολεμίους L.M.R. πρὸς οἷς ἂν P. ἔχουσι P. ἔχωσι τὸ συνειδὸς tr. L. πάντες οἱ στρατευόμενοι L.P.

29 8. Πολλὰ τοιαῦτα παραινῶν διετέλει. Καὶ τὸ μὲν ἕτοι-
μον εἰς παράταξιν αὐτῷ συγκεκρότητο, πεζῶν μὲν ἓξ μυ-
30 ριάδες, ἱππεῖς δὲ διακόσιοι καὶ πεντήκοντα· χωρὶς δὲ τούτων,
οἷς ἐπεποίθει μάλιστα, μισθοφόροι περὶ τετρακισχιλίους
καὶ πεντακοσίους. Ἐπιλέκτους δὲ περὶ αὐτὸν εἶχεν ἑξακο-
31 σίους φύλακας τοῦ σώματος. Ἔτρεφον δὲ πλὴν τῶν μισθο-
φόρων τὴν ἄλλην στρατιὰν αἱ πόλεις ῥᾳδίως· τῶν γὰρ κα-
ταλεγέντων ἑκάστη τοὺς ἡμίσεις ἐπὶ τὴν στρατιὰν ἐκπέμ-
πουσα, τοὺς λοιποὺς ἐπὶ συμπορισμὸν αὐτοῖς τῶν ἐπιτηδείων
32 κατεῖχεν· ὥστε τοὺς μὲν εἰς ὅπλα, τοὺς δὲ εἰς ἐργασίαν διη-
ρῆσθαι, καὶ τοῖς τὰ σῖτα πέμπουσιν ἀντιχορηγεῖσθαι παρὰ
τῶν ὁπλιτῶν τὴν ἀσφάλειαν.

CAP. XXI.

1 1. Διοικοῦντι δὲ οὕτω τῷ Ἰωσήπῳ τὰ κατὰ τὴν Γαλι-
λαίαν παρανίσταταί τις ἐπίβουλος ἀνὴρ ἀπὸ Γισχάλων,
2 υἱὸς Λευΐου, Ἰωάννης ὄνομα· πανουργότατος μὲν καὶ δο-
λιώτατος τῶν ἐπισήμων, ἐν δὲ τοῖς πονηρεύμασιν ἁπάντων.
Πένης δὲ τὰ πρῶτα, καὶ μέχρι πολλοῦ κώλυμα ἔχων τῆς
κακίας τὴν ἀπορίαν, ἕτοιμος μὲν ψεύδεσθαι, δεινὸς δὲ ἐπι-
3 θεῖναι πίστιν τοῖς ἐψευσμένοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην,
καὶ ταύτῃ κατὰ τῶν φιλτάτων χρώμενος, ὑποκριτὴς φιλαν-
θρωπίας, καὶ δι' ἐλπίδα κέρδους φονικώτατος, ἀεὶ μὲν ἐπιθυ-
μήσας μεγάλων, τρέφων δὲ τὰς ἐλπίδας ἐκ τῶν ταπεινῶν
4 κακουργημάτων. Λῃστὴς γὰρ ἦν μονότροπος, ἔπειτα καὶ
συνοδίαν εὗρε τῆς τόλμης, τὸ μὲν πρῶτον ὀλίγην, προκόπτων
δὲ ἀεὶ πλείονα. Φροντὶς δὲ ἦν αὐτῷ μηδένα προσλαμβάνειν
εὐάλωτον, ἀλλὰ τοὺς εὐεξίᾳ σώματος, καὶ ψυχῆς παραστή-
5 ματι, καὶ πολέμων ἐμπειρίᾳ διαφέροντας ἐξελέγετο. Μέχρι

29 συνεκεκρότητο P. ἱππεῖς δὲ πεντήκοντα καὶ τριακόσιοι L.P. 30 μι-
σθοφόροις P. et L. sed in hoc ex adj. rec. 31 αὐτοὺς τῶν ἐπ. κα-
τεῖχον P. 32 διηρεῖσθαι M.P. 1 Ἰωσήπῳ κατὰ L.P. Λῃΐου L.P.
Λῃοῦι N.T. et sec. man. R. 2 πανουργώτατος P. ἐν τοῖσδε τοῖς
πονη. L.P. κώλυμα σχὼν L.P. ψεύσασθαι L. πίστιν τοῖς τετολμημέ-
νοις R. 3 κακουργημάτων λῃστὴς, ἦν μονοτ. M. 5 Μέχρι καὶ τετρακ. L.P.

γοῦν τετρακοσίων ἀνδρῶν στίφος συνεκρότησεν, οἳ τὸ πλέον ἐκ τῆς Τυρίων χώρας, καὶ τῶν ἐν αὐτῇ κωμῶν φυγάδες ἦσαν, δι' ὧν ἐληΐζετο πᾶσαν τὴν Γαλιλαίαν, καὶ μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τοὺς πολλοὺς ἐσπάρασσεν.

2. Ἤδη δὲ αὐτὸν στρατηγιῶντα, καὶ μειζόνων ἐφιέμενον, 6 ἔνδεια χρημάτων κατεῖχεν. Ἐπεὶ δὲ τὸν Ἰώσηπον ὁρῶν αὐτοῦ σφόδρα χαίροντα τῷ δραστηρίῳ, πείθει μὲν πρῶτον αὐτῷ πιστεῦσαι τὸ τεῖχος ἀνοικοδομῆσαι τῆς πατρίδος· ἐν ᾧ πολλὰ παρὰ τῶν πλουσίων ἐκέρδησεν· ἔπειτα συνθεὶς σκηνὴν 7 πανουργοτάτην, ὡς ἄρα φυλάττοιντο πάντες οἱ κατὰ τὴν Συρίαν Ἰουδαῖοι ἐλαίῳ χρῆσθαι, μὴ δι' ὁμοφύλων ἐγκεχειρισμένῳ, πέμπειν αὐτοῖς ἐπὶ τὴν μεθορίαν ἐξητήσατο. Συνω- 8 νούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμφορεῖς, τῆς αὐτῆς ἐπίπρασκε τιμῆς ἡμιαμφόριον. Οὔσης δὲ τῆς Γαλιλαίας ἐλαιοφόρου, μάλιστα 9 καὶ τότε εὐφορηκυίας, εἰς σπανίζοντας πέμπων πολὺ καὶ μόνος, ἄπειρόν τι πλῆθος συνήγαγε χρημάτων, οἷς εὐθέως ἐχρῆτο κατὰ τοῦ τὴν ἐργασίαν παρασχόντος. Καὶ ὑπολα- 10 βών, εἰ καταλύσειε τὸν Ἰώσηπον, αὐτὸς ἡγήσεσθαι τῆς Γαλιλαίας, τοῖς μὲν ὑφ' ἑαυτὸν λῃσταῖς προσέταξεν εὐτονώτερον ἐγχειρεῖν ταῖς ἁρπαγαῖς, ὅπως, πολλῶν νεωτεριζόντων κατὰ τὴν χώραν, ἢ διαχρήσαιτό που τὸν στρατηγὸν ἐκβοηθοῦντα λοχήσας, ἢ περιορῶντα τοὺς λῃστὰς διαβάλοι πρὸς τοὺς ἐπιχωρίους. Ἔπειτα διεφήμιζε πόρρωθεν, ὡς ἄρα προδιδῷη 11 Ῥωμαίοις τὰ πράγματα Ἰώσηπος· καὶ πολλὰ τοιαῦτα πρὸς κατάλυσιν τοῦ ἀνδρὸς ἐπραγματεύετο.

3. Καθ' ὃν καιρὸν ἀπὸ Δαβαρίττων κώμης νεανίσκοι τινὲς 12 τῶν ἐν τῷ Μεγάλῳ πεδίῳ καθεζομένων φυλάκων, ἐνεδρεύ-

πλέων ἐκ τῆς Τύρων P. πᾶσαν ἐληΐζετο tr. L.P. 6 Ἰώσηπον ἑώρα ex cor. T. σφόδρα deest P. πρῶτον μὲν tr. L.M.N.P.R.T. ἐκέρδανεν L.P. 7 ἐλαίῳ χρήσασθαι N.P.T. ἐγκεχειρισμένων N. 9 Οὔσης τῆς R. εἰσπέμπων πολὺ L.P. συνῆγεν χρημ. L.P. 10 ἡγήσασθαι L.N.T. ὑφ' αὐτὸν R.E. ὑφ' ἑαυτῶν P. ἀμφ' αὐτὸν N.T. νεωτεριζομένων κατὰ L. διαβάλλοι L.P. 11 προδιδοίη ex cor. T. τὰ πράγματα Ῥωμαίοις tr. L.P. 12 Διβαρίθθων L. Δεβαρρίθων P. ἐνεδρεύσαντες L.P.

οντες Πτολεμαῖον τὸν Ἀγρίππα καὶ Βερνίκης ἐπίτροπον, ἀφείλοντο πᾶσαν ὅσην ἦγεν ἀποσκευὴν, ἐν ᾗ πολυτελεῖς ἐσθῆτες οὐκ ὀλίγαι, καὶ πλῆθος ἐκπωμάτων ἀργυρῶν, χρυσοί
13 τε ἦσαν ἑξακόσιοι. Μὴ δυνάμενοι δὲ διαθέσθαι κρύφα τὴν ἁρπαγὴν, πάντα πρὸς Ἰώσηπον εἰς Ταριχαίας ἐκόμισαν. Ὁ δὲ μεμψάμενος αὐτῶν τὸ πρὸς τοὺς βασιλικοὺς βίαιον, τίθησι τὰ κομισθέντα παρὰ τῷ δυνατωτάτῳ τῶν Ταριχαιατῶν Αἰνέᾳ, πέμψαι κατὰ καιρὸν τοῖς δεσπόταις προαιρούμενος.
14 Ὁ δὴ μέγιστον αὐτῷ κίνδυνον ἐπήγαγεν. Οἱ γὰρ ἁρπάσαντες, ἅμα μὲν ἐπὶ τῷ μηδεμιᾶς τυχεῖν μερίδος ἐκ τῶν κεκομισμένων ἀγανακτοῦντες, ἅμα δὲ καὶ προσκεψάμενοι τοῦ
15 Ἰωσήπου τὴν διάνοιαν, ὅτι μέλλοι τοῖς βασιλεῦσι τὸν πόνον αὐτῶν χαρίζεσθαι, νύκτωρ εἰς τὰς κώμας αὐτῶν διέδραμον, καὶ πᾶσιν ἐνεδείκνυντο τὸν Ἰώσηπον ὡς προδότην. Ἐνέπλησαν δὲ καὶ τὰς πλησίον πόλεις ταραχῆς, ὥστε ὑπὸ τὴν
16 ἕω δέκα μυριάδας ὁπλιτῶν ἐπ' αὐτὸν συνδραμεῖν. Καὶ τὸ μὲν πλῆθος ἐν τῷ κατὰ Ταριχαίας ἱπποδρόμῳ συνηθροισμένον πολλὰ πρὸς ὀργὴν ἀνεβόα· καὶ καταλεύειν, οἱ δὲ καίειν τὸν προδότην ἐκεκράγεσαν. Παρώξυνε δὲ τοὺς πολλοὺς Ἰωάννης, καὶ σὺν αὐτῷ Ἰησοῦς τις υἱὸς Σαπφία, τότε ἄρχων
17 τῆς Τιβεριάδος. Οἱ μὲν οὖν φίλοι καὶ σωματοφύλακες τοῦ Ἰωσήπου, καταπλαγέντες τὴν ὁρμὴν τοῦ πλήθους, ἔφυγον πλὴν τεσσάρων πάντες. Αὐτὸς δὲ κοιμώμενος ἤδη προσφερομένου τοῦ πυρὸς διανίσταται, καὶ παραινούντων φεύγειν
18 τῶν τεσσάρων, οἳ παρέμειναν, οὔτε πρὸς τὴν καθ' ἑαυτὸν ἐρημίαν, οὔτε πρὸς τὸ πλῆθος τῶν ἐφεστώτων καταπλαγεὶς, προπηδᾷ, περιρρηξάμενος μὲν τὴν ἐσθῆτα, καταπασάμενος δὲ

ἀφείλαντο N.P. et pri. ma. L. πολυτελεῖς τε ἐσθ. L. 13 διελέσθαι κρύφα L.P. μεμψάμενος sed in marg. μεμφόμενος R. πρὸς τοὺς βασιλεῖς M.R. Αἰναίῳ sed in marg. Αἰνέᾳ R. Ἐννέᾳ M. Ἀνναίῳ L.P. Ἀναίῳ N.T. 15 τὸν πόν. αὐτῶν τοῖς βασιλ. tr. L.P. κώμας διέδραμον L.P. ἀνεδείκνυντο M. ἐπεδείκνυντο E. ἐνδείκνυντο N. ἐπ' αὐτοῖς συνδ. R. 16 πρὸς τὴν ὀργὴν M. καὶ οἱ μὲν καταλ. E. καταλύειν N.P.E. οἱ δὲ καίειν πολλοὺς Ἰωάννης M. Σαμπφία P. Ἀπφία in marg. L. 18 καθ' αὐτὸν M.N.R.E. περιρρηξ. δὲ τὴν N. καταμησάμενος δὲ τῆς L.R.E. καταπασσάμενος δὲ τῆς M. κατασπασάμενος δὲ τῆς N. καταπασάμ. τε τῆς T.

τῆς κεφαλῆς κόνιν, ἀποστρέψας δὲ ὀπίσω τὰς χεῖρας, καὶ τὸ ἴδιον ξίφος ἐπιδήσας τῷ τένοντι. Πρὸς ἃ τῶν μὲν οἰκείως 19
ἐχόντων, καὶ μάλιστα Ταριχαιατῶν, οἶκτος ἦν· οἱ δὲ ἀπὸ τῆς χώρας, καὶ τῶν πλησίον ὅσοις ἐδόκει φορτικὸς, ἐβλασφήμουν, προφέρειν τε τὰ κοινὰ χρήματα θᾶττον ἐκέλευον, καὶ τὰς προδοτικὰς συνθήκας ἐξομολογεῖσθαι· προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος οὐδὲν αὐτὸν ἀρνήσεσθαι τῶν ὑπονοηθέντων, ἀλλὰ ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι τὰ πρὸς τὸν ἔλεον. Τῷ δὲ ἦν ἡ ταπείνωσις προκατα- 21
σκευὴ στρατηγήματος· καὶ τεχνιτεύων τοὺς ἀγανακτοῦντας καθ' αὑτοῦ κατ' ἀλλήλων στασιάσαι ἐφ' οἷς ὠργίζοντο, πάντα ὁμολογήσειν ὑπισχνεῖτο. Εἶτα δοθὲν αὐτῷ λέγειν, 22
"Ἐγὼ ταῦτα," ἔφη, "τὰ χρήματα οὔτε ἀναπέμπειν Ἀγρίππᾳ προηρούμην, οὔτε κερδαίνειν αὐτός· μὴ γὰρ ἡγησαίμην ποτὲ ἢ φίλον τὸν ὑμῖν διάφορον, ἢ κέρδος τὸ φέρον τῷ κοινῷ βλάβην. Ὁρῶν δὲ, ὦ Ταριχαιάται, μάλιστα τὴν 23
ὑμετέραν πόλιν ἀσφαλείας δεομένην, καὶ πρὸς κατασκευὴν τείχους χρήζουσαν ἀργυρίου, δεδοικὼς δὲ τὸν Τιβεριέων δῆμον, καὶ τὰς ἄλλας πόλεις ἐφεδρευούσας τοῖς ἡρπασμένοις, κατασχεῖν ἡσυχῇ τὰ χρήματα προειλόμην, ἵνα ὑμῖν περιβάλωμαι τεῖχος. Εἰ δὲ μὴ δοκεῖ, προφέρω τὰ κεκομισμένα, 24
καὶ παρέχω διαρπάζειν· εἰ δὲ καλῶς ὑμῖν ἐβουλευσάμην, κολάζετε τὸν εὐεργέτην."

4. Ἐπὶ τούτοις οἱ Ταριχαιάται μὲν αὐτὸν ἀνευφήμουν· οἱ 25
δὲ ἀπὸ τῆς Τιβεριάδος σὺν τοῖς ἄλλοις ἐκάκιζον, καὶ διεπείλουν. Καταλιπόντες δὲ ἑκάτεροι τὸν Ἰώσηπον ἀλλή-

19 Πρὸς ταῦτα τῶν μὲν L.P. τῶν Ταριχαιάτων P. φορτικὸν N. προσφέρειν τε M. 20 αὐτὸν ἀρνεῖσθαι M. 21 προπαρασκευὴ στρατ. L.P. ἀγανακ. κατ' αὐτοῦ P.T. ὁμολογήσων ὑπισχνεῖτο· ἔπειτα L. ὁμολογήσων· εἶτα N. ὁμολογήσον· ἔπειτα P. ὁμολογήσων προήει· εἶτα T. 22 Ἀγρ. προηγούμην N. ἡγησάμην M.N.P.R.T.E. ποτὲ φίλον L.E. 23 πρὸς τὴν κατασκευὴν R.E. χρήζουσιν ἀργ. N. δὲ τῶν Τιβεριέων L. M.N.R.E. ἡρπαγμένοις T. ἵν' ὑμῖν περιβάλλωμαι L. ἵνα ὑμῖν ἐβουλευσάμην κολάζετε cætera desunt M. 24 εἰ μὴ δοκεῖ L.N.P. ἢ εἰ μὴ δοκεῖ T. προσφέρω L. εἰ δὲ μὴ καλῶς N.R.T. εἰ μὴ καλῶς P. 25 Ταριχαιῶται P.

26 λοις διεφέροντο. Καὶ ἐκεῖνος θαρρῶν ἤδη τοῖς ᾠκειωμένοις, ἦσαν δὲ οἱ Ταριχαιάται ὡς τετρακισμύριοι, παντὶ τῷ πλήθει
27 παρρησιαστικώτερον ὡμίλει. Καὶ πολλὰ τὴν προπέτειαν αὐτῶν κατονειδίσας ‘ἐκ μὲν τῶν παρόντων Ταριχαίας, ἔφη, τειχίσειν, ἀσφαλιεῖσθαι δὲ ὅμως καὶ τὰς ἄλλας πόλεις· οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν ὁμονοῶσιν ἐφ’ οὓς δεῖ πορίζειν, καὶ μὴ παροξύνωνται κατὰ τοῦ πορίζοντος.’
28 5. Ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἠπατημένων ἀπανεχώρει, καίτοι διωργισμένον· δισχίλιοι δὲ ἐπ’ αὐτὸν ὥρμησαν ἔνοπλοι, καὶ φθάσαντος εἰς τὸ δωμάτιον παρελθεῖν ἀπει-
29 λοῦντες ἐφεστήκεσαν. Ἐπὶ τούτοις πάλιν Ἰώσηπος ἀπάτῃ δευτέρᾳ χρῆται· ἀναβὰς γὰρ ἐπὶ τὸ τέγος, καὶ τῇ δεξιᾷ καταστείλας τὸν θόρυβον αὐτῶν, ‘ἀγνοεῖν, ἔφη, τίνων ἀξιοῦσι
30 τυχεῖν· οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγχυσιν. Ὅσα δ’ ἂν κελεύσωσι, πάντα ποιήσειν, εἰ τοὺς διαλεξομένους ἡσυχῇ πέμψειαν εἴσω πρὸς αὐτόν.’ Ταῦτα ἀκούσαντες οἱ γνώρι-
31 μοι σὺν τοῖς ἄρχουσιν εἰσῆεσαν. Ὁ δὲ σύρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας, καὶ τὴν αὔλειον ἐπικλείσας, ἐμαστίγωσεν, μέχρι πάντων τὰ σπλάγχνα γυμνῶσαι. Περιειστήκει δὲ τέως τὸ πλῆθος, δικαιολογεῖσθαι μακρότερα τοὺς εἰσ-
32 ελθόντας οἰόμενον. Ὁ δὲ τὰς θύρας ἐξαπίνης ἀνοίξας, ἠμαγμένους ἐξαφῆκε τοὺς ἄνδρας, καὶ τοσαύτην τοῖς ἀπειλοῦσιν ἐνειργάσατο κατάπληξιν, ὥστε ῥίψαντας τὰ ὅπλα φεύγειν.
33 6. Πρὸς ταῦτα Ἰωάννης ἐπετείνετο τὸν φθόνον, καὶ δευτέραν ἤρτυεν ἐπιβουλὴν κατὰ τοῦ Ἰωσήπου. Σκηψάμενος δὲ νόσον, ἱκέτευε δι’ ἐπιστολῆς τὸν Ἰώσηπον, ἐπιτρέψαι

26 οἰκειωμένοις P. ἦσαν δὲ εἰς τετρακισμυρίους Ταριχαιάται L.P.E. 27 τειχίζειν L.P. ἀσφαλ. δὲ ὁμοίως P. ἐφ’ οἷς δεῖ Γ. παροξύνονται P. 28 ἀνεχώρει L. ἐπανεχώρει N. καὶ τὸ διωργισμένον M.R. φθάσαντες εἰς M.N. δομάτιον P. ἀφεστήκεσαν M. 29 πάλιν deest L.P. 30 κελεύωσι M.R. διαλεγομένους L.P. ἄρχουσιν εἰσίεσαν M.P. 31 τὴν αὖλιον N.P. ἀποκλείσας L.P. τοὺς ἐλθόντας N. et pri. ma. T. 32 εἰργάσατο L.P. 33 ὁ Ἰωάννης L. ἐπέτεινε τὸν L.P. ἤρτυσεν L.P. τοῦ Ἰωσήπου· ἐπιτρέψαι cetera desunt M. σκεψάμενος L. δὴ νόσον ἱκέτευσε L. δὴ νόσον ἐκέλευσεν P.

πρὸς θεραπείαν αὐτῷ χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασιν. Ὁ δὲ, οὔπω γὰρ ὑπώπτευε τὸν ἐπίβουλον, γράφει 34
τοῖς κατὰ τὴν πόλιν ὑπάρχοις, ξενίαν τε καὶ τὰ ἐπιτήδεια Ἰωάννῃ παρασχεῖν. Ὧν ἀπολαύσας μετὰ δύο ἡμέρας
ἐφ' ᾧ παρῆν διεπράττετο. Καὶ τοὺς μὲν ἀπάταις τοὺς δὲ 35
χρήμασι διαφθείρων, ἀνέπειθεν ἀποστῆναι Ἰωσήπου. Καὶ
γνοὺς ταῦτα Σίλας, ὁ φυλάσσειν τὴν πόλιν ὑπὸ Ἰωσήπου
καθεστάμενος, γράφει τὰ κατὰ τὴν ἐπιβουλὴν αὐτῷ κατὰ
τάχος. Ὁ δὲ Ἰώσηπος, ὡς ἔλαβε τὴν ἐπιστολὴν, νυκτὸς 36
ὁδεύσας συντόνως, ἐωθινὸς παρῆν πρὸς τὴν Τιβεριάδα. Καὶ
τὸ μὲν ἄλλο πλῆθος αὐτῷ ὑπήντα, Ἰωάννης δὲ, καίτοι τὴν
παρουσίαν ὑποπτεύων ἐπ' αὐτὸν, ὅμως πέμψας τινὰ τῶν
γνωρίμων, ὑπεκρίνατο τὴν ἀσθένειαν, καὶ κλινήρης ὢν ὑστερῆ-
σαι τῆς θεραπείας ἔλεγεν. Ὡς δὲ εἰς τὸ στάδιον τοὺς Τι- 37
βεριεῖς ἀθροίσας Ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι περὶ τῶν
ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας προσέταξεν αὐτὸν ἀνε-
λεῖν. Τούτους τὰ ξίφη γυμνοῦντας ὁ δῆμος προϊδὼν ἀνε-
βόησεν· πρὸς δὲ τὴν κραυγὴν Ἰώσηπος ἐπιστραφεὶς, καὶ θεα- 38
σάμενος ἐπὶ τῆς σφαγῆς ἤδη τὸν σίδηρον, ἀπεπήδησεν εἰς τὸν
αἰγιαλὸν, — εἱστήκει δὲ δημηγορῶν ἐπὶ βουνοῦ τινος ἐξαπ-
ήχους τὸ ὕψος, — καὶ παρορμοῦντος ἐπιπηδήσας σκάφους,
σὺν δυσὶ σωματοφύλαξιν εἰς μέσην τὴν λίμνην ἀνέφευγεν.

7. Οἱ στρατιῶται δὲ αὐτοῦ ταχέως ἁρπάσαντες ὅπλα 39
κατὰ τῶν ἐπιβούλων ἐχώρουν. Ἔνθα δείσας Ἰώσηπος, μὴ
πολέμου κινηθέντος ἐμφυλίου, δι' ὀλίγων φθόνον παραναλ-
ώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις ἀγγέλλων, μόνης
προνοεῖν τῆς αὐτῶν ἀσφαλείας, μήτε δὲ κτείνειν τινὰ, μήτε

34 πόλιν ἐπάρχοις E. ἐφ' ὃ παρῆν P. 35 καθιστάμενος M.R. τὰ περὶ τῆς ἐπιβουλῆς L. τὰ περὶ τὴν ἐπιβουλὴν P. 36 παρῆν ἐπὶ τὴν R.E. ὑποπτεύσας L.P. τινὰς τῶν γνω. M. ὑπεκρίνετο M. ὑπετιμᾶτο N.R. et in marg. T. sed in marg. R. ὑπεκρίνατο. 37 ὁ Ἰώσηπος L.M.N.P. ὁπλίτας ἐκέλευσεν αὐτὸν T. 38 ὁ Ἰώσηπος M. παρορμῶντος M.N.P.R.T.E. 39 ἁρπάσαντες τὰ ὅπλα L.P. ὁ Ἰώσηπος L.M.N.P.T. δι' ὀλίγων φόνων M. δι' ὀλίγων φόνον N. δι' ὀλιγον φόνον P. σφετέροις ἀγγέλων M. σφετ. ἄγγελον P. τῆς ἑαυτῶν T.

40 ἀπελέγχειν τῶν αἰτίων. Καὶ οἱ μὲν τῷ παραγγέλματι πεισθέντες ἠρέμησαν· οἱ δὲ ἀνὰ τὴν πέριξ χώραν πυθόμενοι τήν τε ἐπιβουλὴν καὶ τὸν συσκευάσαντα, συνηθροίζοντο κατὰ τοῦ Ἰώαννου. Φθάνει δὲ ἐκεῖνος εἰς Γίσχαλα φυγὼν τὴν
41 πατρίδα. Συνέρρεον δὲ πρὸς τὸν Ἰώσηπον οἱ Γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι, ‘παρεῖναι σφᾶς ἐπὶ Ἰωάννην τὸν κοινὸν ἐπίβουλον ἐβόων· συγκατα-
42 φλέξειν γὰρ αὐτῷ καὶ τὴν ὑποδεξαμένην πόλιν.’ Ὁ δὲ ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκε τὴν εὔνοιαν, εἶργε δὲ τὴν ὁρμήν, χειρώσασθαι συνέσει τοὺς ἐχθροὺς μᾶλλον, ἢ κτεῖναι προαι-
43 ρούμενος. Ἐκλαβὼν δὲ τοὺς ἀφ’ ἑκάστης πόλεως συνεφεστῶτας Ἰώσηπος κατ’ ὄνομα, — προθύμως δὲ ἐνεδείκνυντο τοὺς σφετέρους οἱ δημόται, — καὶ διὰ κηρύκων ἀπειλήσας, τῶν ἐντὸς ἡμέρας πέμπτης μὴ καταλιπόντων τὸν Ἰώαννην τάς τε οὐσίας διαρπάσειν, καὶ τὰς οἰκίας ἅμα ταῖς γενεαῖς καταφλέξειν, τρισχιλίους μὲν ἀπέστησεν εὐθέως, οἳ παραγενόμε-
44 νοι τὰ ὅπλα παρὰ τοῖς ποσὶν ἔρριψαν αὐτοῦ. Σὺν δὲ τοῖς καταλειφθεῖσιν, ἦσαν δὲ ὅσον εἰς δισχιλίους Σύρων φυγάδες, ἀνέστελλεν Ἰωάννης πάλιν εἰς τὰς λαθραίους ἐπιβουλὰς ἐκ
45 τῶν φανερωτέρων. Κρύφα γοῦν ἔπεμψεν ἀγγέλους εἰς Ἱεροσόλυμα, διαβάλλων τὸν Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον οὐδέπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ προκαταληφθείη. Ταῦθ’ ὁ μὲν δῆμος ἦν
46 προειδὼς, οὐ προσεῖχε δέ. Οἱ δυνατοὶ δὲ κατὰ φθόνον, καὶ

ιτ

40 κατὰ Ἰωάννου L.P. 41 ὅπλῶν sic R. ἐπίβουλον ἀνεβόων M. ὑποδεξαμένην πατρίδα L.P. 42 ἀνεῖργεν δὲ L.P. 43 πόλεως Ἰωάννη συναφεστῶτας L.P.E. et in marg. T. συνεφεστῶτας pri. ma. L. ἀνεδείκνυντο R. ἀπειλήσαντος ἐντὸς L. ἀπειλησάντων ἐντὸς N.P.T. πέμπτης τῶν μὴ καταλιπόντων L.P.T. πέμπτης εἰ μὴ καταλίποιεν M.R.
δι
καταλιπόντων Ἰωάννην N. ἁρπάσειν sic T. τά τε ὅπλα L. αὐτοῦ ἔρριψαν tr. P. 44 ἀνέστειλεν L. πάλιν ἐπὶ τὰς L.M.P. ἐπιβουλὰς τῶν L. 45 γοῦν ἀπέστελλεν ἀγγέλους T. Τούτοις ὁ μὲν δῆμος M. N.T. δῆμος προειδὼς L.P. et ex ras. T. οὐ προσεῖχον δέ M.N.E. et pri. man. T. οὐ προσεῖχεν sine δέ. L.P.

τῶν ἀρχόντων τινὲς λάθρα τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν μισθοφόρων ἔπεμψαν, ὅπως πολεμῇ πρὸς Ἰώσηπον· ἐψηφίσαντο δὲ καθ' ἑαυτοὺς, καὶ μετακαλεῖν αὐτὸν ἀπὸ τῆς στρατηγίας. Οὐ μὴν ἠξίουν ἀποχρήσειν τὸ δόγμα· δισχι- 47
λίους δὲ καὶ πεντακοσίους ὁπλίτας, καὶ τέσσαρας τῶν ἐπιφανῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ Νομικοῦ Ἰώεσδρον, καὶ Ἀνανίαν Σαδδουκὶ, καὶ Σίμωνα καὶ Ἰούδην Ἰωνάθου, πάντας εἰπεῖν δυνατωτάτους, ἵνα οὗτοι τὴν πρὸς τὸν Ἰώσηπον εὔνοιαν ἀποστρέψωσι, ‘καὶ ἐὰν μὲν ἑκὼν παραγίνηται, λόγον ὑπο- 48
σχεῖν ἐᾶν αὐτόν· εἰ δὲ βιάζοιτο μένειν, ὡς πολεμίῳ χρῆσθαι.’ Ἰωσήπῳ δὲ παραγενέσθαι μὲν στρατιὰν ἐπεστάλκεσαν οἱ φίλοι· τὴν δὲ αἰτίαν οὐ προσεδήλουν, ἅτε δὴ τῶν ἐχθρῶν λάθρα βεβουλευμένων. Διὸ καὶ μὴ προφυλαξαμένου, τέσ- 49
σαρες πόλεις εὐθέως πρὸς τοὺς διαφόρους ἀπέστησαν ἐλθόντας, Σεπφώρις τε καὶ Γάμαλα καὶ Γίσχαλα καὶ Τιβεριάς. Ταχέως δὲ καὶ ταύτας προσηγάγετο δίχα τῶν ὅπλων, καὶ 50
χειρωσάμενος στρατηγήματι τοὺς τέσσαρας ἡγεμόνας, τῶν τε ὁπλιτῶν τοὺς δυνατωτάτους, ἀνέπεμψεν εἰς Ἱεροσόλυμα. Πρὸς οὓς ὁ δῆμος ἠγανάκτησεν οὐ μετρίως, καὶ σὺν αὐτοῖς 51
ὥρμησε τοὺς προπέμψαντας ἀνελεῖν, εἰ μὴ φθάσαντες ἀπέδρασαν.

8. Ἰωάννην δὲ τὸ λοιπὸν ἐντὸς τοῦ Γισχάλων τείχους ὁ 52
παρὰ Ἰωσήπου φόβος ἐφρούρει. Καὶ μετ' ὀλίγας ἡμέρας πάλιν ἀπέστη Τιβεριὰς, ἐπικαλεσαμένων τῶν ἔνδον Ἀγρίππαν τὸν βασιλέα. Καὶ τοῦ μὲν μὴ καταντήσαντος ἐφ' ἣν 53
συνετέτακτο προθεσμίαν, Ῥωμαϊκῶν δὲ ἱππέων ὀλίγων κατ'

46 ὅπως πολεμήσωσιν P. καθ' αὑτοὺς L.M.N.T. αὑτοὺς καμὲ καλεῖν N. 47 οὐ μὴν ἀξιοῦν L.P. Νομικοῦ Ἰωάζαρον E. Νομ. Ἰώσεδρον T. Σαδουκὶ P. καὶ Τούδην L. καὶ Πούδην M.N.R.T. Τούδου Ἰωνάθην in marg. L. 48 παραγένηται P.T.E. et pri. ma. L. παραγίνεσθαι μὲν L.P. προεδήλουν L.P.R.E. λάθρα τῶν ἐχθρῶν tr. L.P. 49 τέσσαρας L. ἐλθόντες L.P. Σεπφωρεῖς τε καὶ Γάδαρα L.P. 50 στρατηγήμασιν L.P. 51 οὐ μετρίως ἠγανάκτησεν tr. L.P. προσπέμψαντας M. ἀπέδραν ex cor. T. 52 Ἰωάννην δὲ λοιπὸν P. λοιπὸν ἐγγὺς τοῦ L. ὀλίγων ἱππέων tr. L.P.

ἐκείνην τὴν ἡμέραν παραφανέντων, τὸν Ἰώσηπον ἐξεκήρυσ-
54 σον. Τῶν δὲ ἠγγέλη μὲν εἰς Ταριχαίας ἡ ἀπόστασις εὐ-
θέως. Ἐκπεπομφὼς δὲ τοὺς στρατιώτας πάντας ἐπὶ σίτου
συλλογήν, οὔτε μόνος ἐξορμᾶν ἐπὶ τοὺς ἀποστάντας, οὔτε
μένειν ὑπέμενε, δεδοικὼς, μὴ, βραδύνοντος αὐτοῦ, φθάσωσιν οἱ
55 βασιλικοὶ παρελθεῖν εἰς τὴν πόλιν· οὐδὲ γὰρ τὴν ἐπιοῦσαν
ἐνεργὸν ἔξειν ἔμελλεν, ἐπέχοντος σαββάτου. Δόλῳ δὲ περι-
ελθεῖν ἐπενόει τοὺς ἀποστάντας. Καὶ τὰς μὲν πύλας τῶν Τα-
ριχαιῶν ἀποκλεῖσαι κελεύσας, ὡς μὴ προεξαγγείλειε τις τὸ
σκέμμα τοῖς ἐπιχειρουμένοις, τὰ δὲ ἐπὶ τῆς λίμνης σκάφη
56 πάντα συναθροίσας — διακόσια δὲ καὶ τριάκοντα εὑρέθη, καὶ
ναῦται τεσσάρων οὐ πλείους ἦσαν ἐν ἑκάστῳ — διὰ τάχους
57 ἐλαύνει πρὸς τὴν Τιβεριάδα. Καὶ τοσοῦτον ἀποσχὼν τῆς
πόλεως, ἐξ ὅσου συνιδεῖν οὐ ῥᾴδιον ἦν, κενὰς τὰς ἁλιάδας
μετεώρους σαλεύειν ἐκέλευσεν, αὐτὸς δὲ μόνους ἑπτὰ τῶν σω-
58 ματοφυλάκων ἀνόπλους ἔχων, ἔγγιον ὀφθῆναι προσῄει. Θεα-
σάμενοι δὲ αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦντες οἱ διά-
φοροι, καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη γέμειν ὁπλι-
τῶν νομίσαντες, ἔρριψαν τὰ ὅπλα, καὶ κατασείοντες ἱκετη-
ρίας ἐδέοντο φείσασθαι τῆς πόλεως.

59 9. Ὁ δὲ Ἰώσηπος πολλὰ διαπειλησάμενος αὐτοῖς, καὶ
κατονειδίσας, εἰ πρῶτον μὲν ἀράμενοι τὸν πρὸς Ῥωμαίους
πόλεμον, εἰς στάσεις ἐμφυλίους προαναλίσκουσι τὴν ἰσχὺν,
60 καὶ τὰ εὐκταιότατα ποιοῦσι τοῖς ἐχθροῖς, ἔπειτα τὸν κηδε-
μόνα τῆς ἀσφαλείας αὐτῶν ἀναρπάσαι σπεύδουσι, καὶ κλείειν

54 Τῶν δὲ ἠγγελμένων εἰς P. Τούτων δὲ ἠγγελμένων εἰς L. Τούτων δὲ ἠγγέλη sed τούτων ex cor. T. εὐθέως ἦει· ἐκπεπομ. L.P. πάντας τοὺς στρατ. tr. L.P. ὑπέμεινεν P. βραδύναντος L. 55 ἐπιοῦσαν ἡμέραν ἐνεργὸν L.P. ἔμελλον M.N. δόλῳ δὴ L.E. περιελθεῖν εἰς τὴν πόλιν ἐπενόει L. πύλας τῶν ἀποστατῶν ἀποκλεῖσαι L. προεξαγγειλείη τις L. ἐξαγγειλειέ τις P. προεξαγγείλοι τις E. προεξαγγείλαι M.N.R.T. ἐπὶ τὴν λίμνην L. 56 τριάκοντα δ' εὑρέθησαν καὶ διακόσια L.P. ἦσαν οὐ πλείους tr. L. 57 τοσαῦτα ἀποσχὼν M. μόνας ἑπτὰ M. ἐνόπλους ἔχων ex cor. T. προσείη L. 58 αὐτῶν ἀπὸ τῶν P. 59 πρῶτα μὲν R.E. εὐκταιότατα δρῶσι τοῖς L.P.

οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῶν τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκε, καὶ δι' ὧν βεβαιώσαιτο τὴν πόλιν. Κατέβαινον δὲ εὐθέως δέκα τῶν Τιβεριέων οἱ δυνα- 61
τώτατοι· καὶ τοὺς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων ἀνήγαγε πορρωτάτω. Πεντήκοντα δὲ ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα γνωρίμους κελεύει προσελθεῖν, ὡς καὶ παρ' ἐκείνων πίστιν τινὰ βουλόμενος λαβεῖν. Ἔπειτα καινοτέρας σκή- 62
ψεις ἐπινοῶν, ἄλλους ἐπ' ἄλλοις ὡς ἐπὶ συνθήκαις προσεκαλεῖτο. Τοῖς δὲ κυβερνήταις ἐκέλευσε τῶν πλησιαζόντων διὰ 63
τάχους εἰς Ταριχαίας ἀναπλεῖν, καὶ συγκλείειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν βουλὴν οὖσαν εἰς ἑξακοσίους, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβών, ἀνήγαγε σκάφεσιν εἰς Ταριχαίας.

10. Βοώντων δὲ τῶν λοιπῶν, 'αἴτιον εἶναι μάλιστα τῆς 64
ἀποστάσεως Κλεῖτόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείδεσθαι τὴν ὀργήν,' ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προῄρητο, Λευΐαν δέ τινα τῶν αὐτοῦ φυλάκων ἐκέλευσεν ἐξελξεῖν, ἵνα ἀποκόψῃ τὰς χεῖρας τοῦ Κλείτου. Δείσας δὲ ἐκεῖ- 65
νος εἰς ἐχθρῶν στίφος ἀποβήσεσθαι μόνος, οὐκ ἔφη. Σχετλιάζοντα δὲ τὸν Ἰώσηπον ἐπὶ τοῦ σκάφους ὁ Κλεῖτος ὁρῶν, καὶ προθυμούμενον αὐτὸν ἀποπηδᾶν ἐπὶ τὴν τιμωρίαν, ἱκέτευεν ἀπὸ τῆς ἀκτῆς τὴν ἑτέραν τῶν χειρῶν καταλιπεῖν. Καὶ ἐκείνου κατανεύσαντος, ἐφ' ᾧ τὴν ἑτέραν αὐτὸς ἀποκό- 66
ψειεν ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἀπέκοψε τὴν λαιάν· εἰς τοσοῦτον δέους ὑπ' αὐτοῦ Ἰωσήπου προήχθη. Τότε μὲν δὴ κενοῖς σκάφεσι, καὶ δορυφόροις ἑπτὰ τὸν δῆμον 67
αἰχμαλωτισάμενος, πάλιν τὴν Τιβεριάδα προσηγάγετο.

60 αὐτῷ τῷ L.P. βεβαιώσηται L.P. 61 Τιβεριαίων L. Τιβεριατῶν sed in marg. -ριέων T. ἀνήγαγεν πορρωτέρω L. προελθεῖν L. et ex cor. T. ἐπ' ἀλλήλοις P. ἄλλοις ἐπισυνθήκαις L. προὐκαλεῖτο L. προκαλεῖτο M. 63 οὖσαν ἑξακοσίων P. 64 προηρεῖτο T. Λευὶν P. et ex cor. L. Λίουιν N. et R. sed in hoc sup. lin. Λευίαν. Ληούιν T. τῶν ἑαυτοῦ L. 65 εἰς ἐχθρὸν P. ἐπιπηδᾶν L.P. ἀποπηδᾶν αὐτὸν tr. E. καταλειπεῖν P. 66 ἀποκόψειεν αὑτοῦ L.N.T. ὑπὸ τοῦ Ἰωσήπου L.P. et ex cor. T. 67 πάλιν Τιβεριάδα P.

Μετὰ δὲ ἡμέρας ὀλίγας Γίσχαλα Σεπφωρίταις συναποστᾶ-
68 σαν ἐλὼν, ἐπέτρεψε διαρπάσαι τοῖς στρατιώταις. Συναγα-
γὼν μέντοι πάντα τοῖς δημόταις δέδωκε, τοῖς τε κατὰ Σεπφώ-
ριν ὁμοίως καὶ Τιβεριάδα· καὶ γὰρ καὶ ἐκείνους χειρωσάμε-
νος, νουθετῆσαι διὰ τῆς ἁρπαγῆς ἠθέλησε· καὶ τῇ ἀποδόσει
τῶν χρημάτων πάλιν εἰς εὔνοιαν προσηγάγετο.

CAP. XXII.

1 1. Τὰ μὲν οὖν κατὰ Γαλιλαίαν ἐπέπαυτο κινήματα. Καὶ
τῶν ἐμφυλίων παυσάμενοι θορύβων, ἐπὶ τὰς πρὸς Ῥωμαίους
ἐτράποντο, παρασκευάς. Ἐν δὲ τοῖς Ἱεροσολύμοις Ἀνανός
τε ὁ ἀρχιερεὺς, καὶ τῶν δυνατῶν ὅσοι μὴ τὰ Ῥωμαίων
ἐφρόνουν, τό τε τεῖχος ἐπεσκεύαζον, καὶ πολλὰ τῶν πολεμι-
2 στηρίων ὀργάνων. Καὶ διὰ πάσης μὲν τῆς πόλεως ἐχαλ-
κεύετο βέλη, καὶ πανοπλία. Πρὸς ἀτάκτοις δὲ γυμνασίαις
τὸ τῶν νέων πλῆθος ἦν, καὶ μεστὰ ἦν πάντα θορύβου.
3 Δεινὴ δὲ κατήφεια τῶν μετρίων, καὶ πολλοὶ, τὰς μελλούσας
προορώμενοι συμφορὰς, ἀπωλοφύροντο. Θειασμοὶ δὲ τοῖς
4 εἰρήνην ἀγαπῶσι δύσφημοι, τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν
ἐσχεδιάζοντο πρὸς ἡδονήν· καὶ τὸ κατάστημα τῆς πόλεως
5 πρὶν ἐπελθεῖν Ῥωμαίους ἦν οἷον ἀπολουμένης. Ἀνάνῳ γε
μὴν φροντὶς ἦν, κατὰ μικρὸν ἀφισταμένῳ τῶν εἰς τὸν πόλε-
μον παρασκευῶν, κάμψαι πρὸς τὸ συμφέρον τούς τε στα-
6 σιαστὰς, καὶ τὴν τῶν κληθέντων ζηλωτῶν ἀφροσύνην. Ἥτ-
τητο δὲ τῆς βίας, καὶ ἐν τοῖς ἑξῆς οἷου τέλους ἔτυχε δηλώ-
σομεν.

7 2. Κατὰ δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν ὁ Γιώρα Σί-

Γίσχαλα deest L.N.P. et T. sed in hujus marg. man. rec. adscrip. Σέπφωριν N. συναφιστᾶσαν E. συναποστᾶσαν εὑρὼν P. ἐπέτρεψε μὲν M.N. 68 ἔδωκε L.M.P.R.T. δημόταις κατὰ Σεπφώριν N. καὶ Τιβεριάδα desunt L.P. καὶ γὰρ ἐκείνους L.P. τῇ δ' ἀποδόσει P. πάλιν sup. lin. T. 1 ὅσοι τὰ μὴ M.N.R.T. τὸ τεῖχος P. 2 μεστὰ δ' ἦν π. L. καὶ μεστὰ πάντα P. 3 θειασμοί τε L.P. 4 ἐσχετλιάζοντο πρὸς T. ἦν οἷα E. 5 Ἀνάνῳ τε μὴν L. 6 Ἡττήθη δὲ L.P. 7 Ἀκραβετήνην L.P. ὁ Σίμων Γιώρα tr. M.

μων, πολλοὺς τῶν νεωτεριζόντων συστησάμενος, ἐφ' ἁρπαγὰς ἐτράπετο, καὶ οὐ μόνον τὰς οἰκίας ἐσπάρασσε τῶν πλουσίων, ἀλλὰ καὶ τὰ σώματα κατηκίζετο, δῆλός τε ἦν ἤδη πόρρωθεν ἀρχόμενος τυραννεῖν. Πεμφθείσης δὲ ἐπ' αὐτὸν ὑπ' Ἀνάνου 8 καὶ τῶν ἀρχόντων στρατιᾶς, πρὸς τοὺς ἐν Μασάδᾳ λῃστὰς μεθ' ὧν εἶχε κατέφυγε, καὶ ἐκεῖ μέχρι τῆς Ἀνάνου καὶ τῶν ἄλλων ἐχθρῶν ἀναιρέσεως μένων συνελήζετο τὴν Ἰδουμαίαν· ὥστε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλῆθος τῶν φονευο- 9 μένων, καὶ τὰς συνεχεῖς ἁρπαγὰς, στρατιὰν ἀθροίσαντας ἐμφρούρους τὰς κώμας ἔχειν. Καὶ τὰ μὲν κατὰ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν.

ἐφ' ἁρπαγὴν P. ἐτάρασσε L.P. σώματα κατηκοντίζετο N. et in marg. T. 8 Ἀνάνου τῆς τῶν P. Μασάδᾳ L.M.N.T. Μασάδη P. Μεσάδᾳ R. 9 ἔχειν· ἀλλὰ τὰ μὲν M.T. κατὰ τὴν Ἰδουμαίαν L. κατὰ Ἰουδαίαν R.T. et M. sed in hoc Ἰου. ex cor.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Γ.

ARGUMENTUM LIB. III.

1. ΟΥΕΣΠΑΣΙΑΝΟΣ ὑπὸ Νέρωνος πέμπεται ἐπὶ τοὺς Ἰουδαίους. 2. Μεγάλη Ἰουδαίων σφαγὴ περὶ Ἀσκάλωνα. 3. Ἔκφρασις Γαλιλαίας, Σαμαρείας καὶ Ἰουδαίας. 4. Τίτος σὺν μεγάλῃ δυνάμει εἰς Πτολεμαΐδα ἀφικνεῖται. 5. Ἀναγραφὴ τῶν Ῥωμαϊκῶν στρατευμάτων. 6. Οὐεσπασιανὸς εἰσβάλλει εἰς Γαλιλαίαν, καὶ 7. Ἰωτάπατα αἱρεῖ. 8. Ὁποῖα Ἰώσηπος πρὸς Οὐεσπασιανὸν ἀχθεὶς εἶπε, καὶ ὅπως ἐκεῖνος αὐτῷ ἐχρήσατο. 9. Ὡς ἑάλω Ἰόππη, καὶ ἐνεδόθη Τιβεριάς. 10. Ὡς ἑάλωσαν αἱ Ταριχαῖαι.

CAP. I.

1 1. Νέρωνι δὲ ὡς ἠγγέλη τὰ κατὰ τὴν Ἰουδαίαν πταίσματα, λεληθυῖα μὲν, ὡς εἰκὸς, ἔκπληξις ἐμπίπτει καὶ δέος, φανερῶς δὲ ὑπερηφάνει καὶ προσωργίζετο, ‘στρατηγοῦ μὲν ῥαστώνῃ μᾶλλον, ἢ ταῖς τῶν πολεμίων ἀρεταῖς, γεγονέναι
2 τὰ συμβάντα λέγων· πρέπειν δὲ ἡγούμενος αὐτῷ διὰ τὸν ὄγκον τῆς ἡγεμονίας κατασοβαρεύεσθαι τῶν σκυθρωπῶν, καὶ δοκεῖν δεινοῦ παντὸς ἐπάνω τὴν ψυχὴν ἔχειν.’ Διηλέγχετό γε μὴν ὁ τῆς ψυχῆς θόρυβος ὑπὸ τῶν φροντίδων.
3 2. Σκεπτόμενος δὲ, τίνι πιστεύσειε κινουμένην τὴν ἀνατολὴν, ὃς τιμωρήσεται μὲν τὴν Ἰουδαίων ἐπανάστασιν, προκα-

1 στρατηγῶν μὲν P. 2 ἑαυτῷ διὰ L.P. et sup. lin. T. 3 Σκεπτομένου τίνι L.P.T. πιστεύσῃ L. πιστεύσει P. τὴν τῶν Ἰουδαίων P.T.

ταλήψεται δὲ αὐτοῖς ἤδη καὶ τὰ πέριξ ἔθνη συννοσοῦντα, μόνον εὑρίσκει Οὐεσπασιανὸν ταῖς χρείαις ἀναλογοῦντα, καὶ 4 τηλικούτου πολέμου μέγεθος ἀναδέξασθαι δυνάμενον· ἄνδρα ταῖς ἀπὸ νεότητος στρατείαις ἐγγεγηρακότα, καὶ προειρηνεύσαντα μὲν πάλαι Ῥωμαίοις τὴν ἑσπέραν ὑπὸ Γερμανῶν ταρασσομένην, προσκτησάμενον δὲ τοῖς ὅπλοις Βρεττανίαν 5 τέως λανθάνουσαν· ὅθεν αὐτοῦ καὶ τῷ πατρὶ Κλαυδίῳ παρέσχε χωρὶς ἱδρῶτος ἰδίου θρίαμβον καταγαγεῖν.

3. Ταῦτά τε δὴ προκληδονιζόμενος, καὶ σταθερὰν μετ' 6 ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν, μετὰ δὲ πίστεως αὐτοῦ τοὺς υἱοὺς ὅμηρον, καὶ τὰς τούτων ἀκμὰς χεῖρα τῆς πατρῴας συνέσεως, τάχα τι καὶ περὶ τῶν ὅλων ἤδη τοῦ θεοῦ προοικονομουμένου, πέμπει τὸν ἄνδρα διαληψόμενον τὴν ἡγεμονίαν τῶν 7 ἐπὶ Συρίας στρατευμάτων, πολλὰ πρὸς τὸ ἐπεῖγον, οἷα κελεύουσιν αἱ ἀνάγκαι, μειλιξάμενός τε καὶ προθεραπεύσας. Ὁ 8 δὲ ἀπὸ τῆς Ἀχαΐας, ἔνθα συνῆν τῷ Νέρωνι, τὸν μὲν υἱὸν Τίτον ἔστειλεν ἐπ' Ἀλεξανδρείας, τό τε πέμπτον καὶ τὸ δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα. Περάσας δὲ αὐτὸς τὸν 9 Ἑλλήσποντον, πεζὸς εἰς Συρίαν ἀφικνεῖται, καὶ ἐκεῖ τάς τε Ῥωμαϊκὰς δυνάμεις συνῆγε, καὶ συχνοὺς παρὰ τῶν γειτνιώντων βασιλέων συμμάχους.

CAP. II.

1. Ἰουδαῖοι δὲ μετὰ τὴν Κεστίου πληγὴν ἐπῃρμένοι ταῖς 1 ἀδοκήτοις εὐπραγίαις, ἀκρατεῖς ἦσαν ὁρμῆς, καὶ ὥσπερ ἐκριπιζόμενοι τῇ τύχῃ προσωτέρω τὸν πόλεμον ἐξῆγον. Πᾶν 2 γοῦν εὐθέως ὅσον ἦν μαχιμώτατον αὐτῶν ἀθροισθέντες, ὥρμησαν ἐπ' Ἀσκάλωνα. Πόλις ἐστὶν ἀρχαία, τῶν Ἱεροσο- 3 λύμων εἴκοσι πρὸς τοῖς πεντακοσίοις ἀπέχουσα σταδίους,

4 μόνον γοῦν man. rec. sup. lin. adj. γοῦν T. Οὐεσπεσιανὸν N. στρατίαις ἐγ. M.N.P.R. 5 προσκτησάμενόν τε L.P. ὅθεν αὐτῷ καὶ P. et ex cor. L. 6 σταθηρὰν T. 7 ἄνδρα λῃψομενον L.P. Συρίας ταγμάτων sed in marg. στρατευμάτων T. 8 ἐπ' Ἀλεξανδρείαν P. et ex cor. L. τὸ πέμπτον L. τάγματα. M. 9 συνήγαγε P. γειτνιόντων P. 3 Πόλις δέ ἐστιν M.T.

αἰεὶ διὰ μίσους Ἰουδαίοις γεγενημένη· διὸ καὶ τότε ταῖς
4 πρώταις ὁρμαῖς ἐγγιεῖν ἔδοξεν. Ἐξηγοῦντο δὲ τῆς καταδρομῆς τρεῖς ἄνδρες, ἀλκήν τε κορυφαῖοι καὶ σύνεσιν, Νίγερ τε ὁ Περαΐτης, καὶ ὁ Βαβυλώνιος Σίλας, πρὸς οἷς Ἰωάννης ὁ
5 Ἐσσαῖος. Ἡ δὲ Ἀσκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν ἔρημος· ἐφρουρεῖτο γὰρ ὑπό τε σπείρας πεζῶν, καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, ἧς ἐπῆρχεν Ἀντώνιος.
6 2. Οἱ μὲν οὖν πολὺ ταῖς ὀργαῖς συντονώτερον ὁδεύσαντες, ὡς ἐγγύθεν ὡρμημένοι καὶ δὴ παρῆσαν. Ὁ δὲ Ἀντώνιος, οὐ γὰρ ἠγνόει μέλλουσαν ἔτι τὴν ἔφοδον αὐτῶν, προεξήγαγε τοὺς ἱππεῖς, καὶ οὐδὲν οὔτε πρὸς τὸ πλῆθος, οὔτε πρὸς τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, καρτερῶς τὰς πρώτας ὁρμὰς ἀνεδέξατο, καὶ τοὺς ἐπὶ τὸ τεῖχος ὠθουμένους ἀνέ-
7 στειλεν. Οἱ δὲ πρὸς ἐμπείρους γε πολέμων ἄπειροι, καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύντακτοί τε πρὸς ἡνωμένους, καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους εἰκαιότερον ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι, πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα
8 πράττοντας ἀντιτασσόμενοι, πονοῦσι ῥᾳδίως· ὡς γὰρ αὐτῶν ἅπαξ ἤδη συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατόπιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιπίπτοντες, ἀλλήλων ἦσαν πολέμιοι· μέχρι πάντες, ταῖς τῶν ἱππέων εἰσβολαῖς εἴξαντες, ἐσκεδάσθησαν ἀνὰ
9 πᾶν τὸ πεδίον. Τὸ δὲ ἦν πλατὺ, καὶ πᾶν ἱππάσιμον, ὃ δὴ καὶ τοῖς Ῥωμαίοις συνεργῆσαν πλεῖστον εἰργάσατο τῶν Ἰουδαίων φόνον· τούς τε γὰρ φεύγοντας αὐτῶν φθάνοντες

αἰεὶ διὰ L.M. ὁρμαῖς ἔγγιον L.P. ἐγγίων ex cor. T. 4 καὶ συνέσει P. 5 σχεδὸν deest R. σπείρης L.N.P. μιᾶς εἴλης N. ἧς ὑπῆρχεν P. 6 Οἱ μὲν οὖν πολλοὶ ταῖς M. ταῖς ὁρμαῖς P. et ex cor. rec. L. συντομώτερον L. προεξήγαγε adjecto in marg. τε N. οὔτε τὴν τόλμαν L.P. τεῖχος ὠρμημένους ἀνεσ. L. 7 Τοῖς δὲ ἐμπείρους πολέμου ἀπείροις, καὶ πεζοῖς π. ἱ. ἀσυντάκτοις τε προσηνωμένοις . . . . ὡπλισμένοις P. ἐμπείρους τε πολεμεῖν L. ἐξηρτημένους N. ἐξηρτημένους sic R. ἀντιτασσόμενοι πόνοι ἦσαν ῥᾴδιοι L. ἀντιτασσομένοις πόνος ἦν ῥᾴδιος P. 8 αὐτῶν ἤδη L.N.T. ἱππέων ἐμβολαῖς L.P. ἱππέων ἀπειλαῖς N. et T. sed in huj. marg. εἰσβολαῖς. 9 ἦν πολὺ καὶ πᾶν L.P. τοῖς Ῥωμαίων N. εἰργάσαντο M.

ἐπέστρεφον, καὶ τῶν ὑπὸ τοῦ δρόμου συνειλουμένων διεκπαίοντες, ἀπείρους ἀνήρουν. Ἄλλοι δὲ ἄλλους, ὅπη τρέποιντο, κυκλούμενοι καὶ περιελαύνοντες κατηκόντιζον ῥᾳδίως. Καὶ τοῖς μὲν Ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία παρὰ τὰς ἀμηχανίας κατεφαίνετο, Ῥωμαῖοι δ' ἐν ταῖς εὐπραγίαις, καίπερ ὄντες ὀλίγοι τῷ πολέμῳ, καὶ περισσεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. Καὶ τῶν μὲν προσφιλονεικούντων τοῖς πταίσμασιν, αἰδοῖ τε φυγῆς ταχείας καὶ μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέτεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνηρέθησαν μὲν μύριοι τῶν Ἰουδαίων ἀριθμὸν ἄνδρες, καὶ δύο τῶν ἡγεμόνων, Ἰωάννης τε καὶ Σίλας· οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλέον, σὺν τῷ περιλειπομένῳ τῶν ἡγεμόνων Νίγερι, τῆς Ἰδουμαίας εἰς πολίχνην τινὰ —Σάλλις καλεῖται —συνέφυγον. Ὀλίγοι δέ τινες καὶ τῶν Ῥωμαίων ἐπὶ τῆσδε τῆς παρατάξεως ἐτρώθησαν.

3. Οὐ μὴν οἱ Ἰουδαῖοι τηλικαύτῃ συμφορᾷ κατεστάλησαν τὰ φρονήματα· μᾶλλον δὲ αὐτῶν τὸ πάθος ἤγειρε τὰς τόλμας. Ὑπερορῶντές τε τοὺς ἐν ποσὶ νεκροὺς, ἐδελεάζοντο τοῖς προτέροις κατορθώμασιν ἐπὶ πλείονα δευτέραν. Διαλιπόντες γοῦν οὐδὲ ὅσον ἰάσασθαι τὰ τραύματα, καὶ τὴν δύναμιν πᾶσαν ἐπισυλλέξαντες, ὀργιλώτεροι καὶ πολὺ πλείους ἐπαλινδρόμουν ἐπὶ τὴν Ἀσκάλωνα. Παρείπετο δὲ αὐτοῖς μετὰ τῆς ἀπειρίας καὶ τῶν ἄλλων πρὸς πόλεμον ἐλασσωμάτων ἡ προτέρα τύχη· τοῦ γὰρ Ἀντωνίου τὰς παρόδους προλοχίσαντος, ἀδόκητοι ταῖς ἐνέδραις ἐμπεσόντες, καὶ ὑπὸ τῶν ἱππέων, πρὶν εἰς μάχην συντάξασθαι, κυκλωθέντες, πάλιν πίπτουσι μὲν ὑπὲρ ὀκτακισχιλίους· οἱ λοιποὶ δὲ πάντες ἔφυγον, σὺν οἷς καὶ Νίγερ, πολλὰ κατὰ τὴν φυγὴν εὐτολμίας

διεκπαίοντες supra lin. ead. man. scrip. est διεκπεσόντες P. 10 ὅποι τρέποιντο L.M. 11 Ῥωμαῖοι δὲ ταῖς N.T. αἰδοῦς τε φυγῆς P. 12 ἀνηρέθ. μύριοι P. δύο τῶν ἡγουμένων L. 13 Χάαλλις καλεῖται P. ἡ Σάλλις καλ. T. 14 μὴν Ἰουδαῖοι L.R. αὐτῶν τὸ πλῆθος L. ὑπερορῶντες δὲ L. 15 οὐχ ὅσον P. ὅσον ἰᾶσθαι N. ὀργιλώτερον L.P. καὶ πολλῷ πλείους P.E. 16 μετά τε τῆς L. μετὰ τῆς sic P. ἐλασσομάτων P. προλοχήσαντος L. ἀδόκιτοι P. 17 καὶ πάλιν in marg. L.

18 ἐπιδειξάμενος ἔργα. Συνελαύνονται δ' οὖν, προσκειμένων
τῶν πολεμίων, εἴς τινα πύργον ὀχυρὸν κώμης Βεζεδὲλ καλου-
19 μένης. Οἱ δὲ περὶ τὸν Ἀντώνιον, ὡς μήτε τρίβοιντο περὶ
τὸν πύργον ὄντα δυσάλωτον, μήτε ζῶντα τὸν ἡγεμόνα καὶ
γενναιότατον τῶν πολεμίων περιΐδοιεν, ὑποπιμπρᾶσι τὸ τεῖ-
20 χος. Φλεγομένου δὲ τοῦ πύργου, Ῥωμαῖοι μὲν ἀναχωροῦσι
γεγηθότες, ὡς διεφθαρμένου καὶ Νίγερος. Ὁ δὲ εἰς τὸ μυ-
χαίτατον τοῦ φρουρίου σπήλαιον καταπηδήσας ἐκ τοῦ πύρ-
γου διασώζεται, καὶ μεθ' ἡμέραν τρίτην τοῖς μετ' ὀλοφυρμῶν
21 πρὸς κηδείαν αὐτὸν ἐρευνῶσιν ὑποφθέγγεται. Προελθὼν δὲ
χαρᾶς ἀνελπίστου πάντας ἐπλήρωσεν Ἰουδαίους, ὡς προνοίᾳ
θεοῦ σωθεὶς αὐτοῖς στρατηγὸς εἰς τὰ μέλλοντα.

22 4. Οὐεσπασιανὸς δὲ τὰς δυνάμεις ἀναλαβὼν ἐκ τῆς Ἀντιο-
χείας, — ἡ μητρόπολίς ἐστι τῆς Συρίας, μεγέθους τε ἕνεκα
καὶ τῆς ἄλλης εὐδαιμονίας τρίτον ἀδηρίτως ἐπὶ τῆς ὑπὸ Ῥω-
μαίοις οἰκουμένης ἔχουσα τόπον, — ἔνθα μετὰ πάσης τῆς ἰδίας
ἰσχύος ἐκδεχόμενον αὐτοῦ τὴν ἄφιξιν καὶ Ἀγρίππαν τὸν βα-
23 σιλέα κατειλήφει, ἐπὶ Πτολεμαΐδος ἠπείγετο. Καὶ κατὰ
ταύτην ὑπαντῶσιν αὐτῷ τὴν πόλιν οἱ τῆς Γαλιλαίας Σεπφώ-
ριν νεμόμενοι, τῶν τῇδε εἰρηνικὰ φρονοῦντες, οἳ καὶ τῆς ἑαυ-
24 τῶν σωτηρίας, καὶ τῆς Ῥωμαίων ἰσχύος οὐκ ἀπρονόητοι, πρὶν
ἀφικέσθαι Οὐεσπασιανὸν, Κεστίῳ Γάλλῳ πίστεις τε ἔδοσαν,
καὶ δεξιὰς ἔλαβον, καὶ παρεδέξαντο φρουράν. Τότε γε μὴν
φιλοφρόνως ἐκδεξάμενοι τὸν ἡγεμόνα, προθύμως σφᾶς αὐ-
25 τοὺς ὑπέσχοντο κατὰ τῶν ὁμοφύλων συμμάχους· οἷς ὁ στρα-
τηγὸς ἀξιώσασι τέως πρὸς ἀσφάλειαν ἱππεῖς τε καὶ πεζοὺς
παραδίδωσιν, ὅσους ἀνθέξειν ταῖς καταδρομαῖς, εἴ τι Ἰουδαῖοι
26 παρακινοῖεν, ὑπελάμβανεν· καὶ γὰρ οὐδὲ μικρὸν ἐδόκει τὸ

ἐπιδειξάμενοι P. 18 συνελαύνεται δ' οὖν L. συνελαύνονται προσκ. P. συνελαύνεται προσκ. ex cor. et ras. T. Βεδεζὲλ L. Βελζεδὲκ P. 19 ὑποπιπρᾶσι R. 20 τοῦ σπηλαίου καταπ. P. μεθ' ἡμέρας τρεῖς L.P. μετ' ὀλοφυρμοῦ L. αὐτὸν ἀνερευνῶσιν L. 22 ἔνθα κατὰ πάσης P.R.E. κατηλήφει T. 23 Καὶ κατ' αὐτὴν L.P. νεμόμενοι μόνοι τῶν P. 24 Κεσεννίῳ τῷ Γάλλῳ L. καὶ Σεντίῳ Γάλλῳ P. 25 ὑπελάμβανον· καὶ γὰρ οὐ μ. L.P.

κινδύνευμα πρὸς τὸν μέλλοντα πόλεμον, ἀφαιρεθῆναι τὴν Σεπφώριν, μεγίστην μὲν οὖσαν τῆς Γαλιλαίας πόλιν, ἐρυμνοτάτῳ δὲ ἐπεκτισμένην χωρίῳ, καὶ φρουρὰν ὅλου τοῦ ἔθνους ἐσομένην.

CAP. III.

1. Δύο δ' οὔσας τὰς Γαλιλαίας, τήν τε ἄνω, καὶ τὴν κάτω προσαγορευομένην, περιέσχει μὲν ἡ Φοινίκη καὶ Συρία. Διορίζει δὲ ἀπὸ μὲν δύσεως ἡλίου Πτολεμαΐς τοῖς τῆς χώρας τέρμασι, καὶ Κάρμηλος, τὸ πάλαι μὲν Γαλιλαίων, νῦν δὲ Τυρίων ὄρος, — ᾧ προσίσχει Γαβὰ, πόλις ἱππέων, οὕτως ἀγορευομένη διὰ τὸ τοὺς ὑφ' Ἡρώδου τοῦ βασιλέως ἀπολυομένους ἱππεῖς ἐν αὐτῇ κατοικεῖν· — ἀπὸ δὲ μεσημβρίας Σαμαρίς τε, καὶ Σκυθόπολις μέχρι τῶν Ἰορδάνου ῥείθρων. Πρὸς ἕω δὲ Ἱππηνή τε καὶ Γαδαρὶς ἀποτέμνεται, καὶ ἡ Γαυλανῖτις αὕτη, καὶ τῆς Ἀγρίππα βασιλείας οἱ ὅροι. Τὰ προσάρκτια δὲ αὐτῆς Τύρῳ τε καὶ τῇ Τυρίων χώρᾳ περατοῦται. Καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας ἀπὸ Τιβεριάδος μέχρι Ζαβουλὼν, ἧς ἐν τοῖς παραλίοις Πτολεμαΐς γείτων, τὸ μῆκος ἐκτείνεται. Πλατύνεται δὲ ἀπὸ τῆς ἐν τῷ Μεγάλῳ πεδίῳ κειμένης κώμης, ἣ Ξαλὼθ καλεῖται, μέχρι Βηρσάβης, ἣ καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης· αὕτη δὲ τὴν Τυρίων γῆν ὁρίζει. Μηκύνεται δὲ μέχρι Μηρὼθ ἀπὸ Θελλᾶ κώμης Ἰορδάνου γείτονος.

2. Τηλικαῦται δὲ οὖσαι τὸ μέγεθος, καὶ τοσούτοις ἔθνεσιν ἀλλοφύλοις κεκυκλωμέναι, πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν

26 ἐπιτετειχισμένην χωρίῳ L.P. 1 καὶ κάτω L.P. προσαγορευομένας L. Φοινίκη τε καὶ L.P. 2 Γάβαλα πόλις L. et ex cor. T. Γαβλαὰ π. N. Γάμαλα π. M.R. οὕτω προσαγορευομένη L.P. et ex cor. T. διὰ τὸ τῆς ὑφ' Ἡρ. P. Ἡρώδου βασιλέως L. Σαμαρεῖτίς τε L.P. Σαμαρία τε T. Ἰορδάνου ναμάτων. L. 3 καὶ Γαδάροις L. ἀποτ. τῇ Γαυλανίτιδι ταύτῃ L. ἀποτ. καὶ τῇ Γαυλωνίτιδι ταύτῃ N.P.T. βασιλείας ὅροι. N. βασ. ὅροις. T. 4 Τὰ πρὸς ἀρκτικὰ L. αὐτοῖς Τύρῳ P. καὶ Τυρίων M. N.R.T.E. μέχρι Χαβουλώνης ἐν M.N. μέχρι Ζαβουλώνης ἐν R. Πτολεμαΐτῶν τὸ μῆκος P. et ex cor. et ras. L. 5 κώμης Ἐξαλὼθ L.M.P. κώμης Καλὼθ N.R. κώμης Καιλὼθ T. μέχρι Βησάρβης M. τὴν τῶν Τυρίων R.E. 6 Θελλαὴ κώμης L.

ἀντέσχον· μάχιμοί τε γὰρ ἐκ νηπίων, καὶ πολλοὶ πάντοτε Γαλιλαῖοι, καὶ οὔτε δειλία ποτὲ τοὺς ἄνδρας, οὔτε λειπαν-
8 δρεία τὴν χώραν κατέσχεν, ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος, καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐπαθείας
9 προκαλέσασθαι καὶ τὸν ἥκιστα γῆς φιλόπονον. Προσησκήθη γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος αὐτῆς οὐδὲν ἀργόν· ἀλλὰ καὶ πόλεις πυκναὶ, καὶ τὸ τῶν κωμῶν πλῆθος πανταχοῦ πολυάνθρωπον διὰ τὴν εὐθηνίαν, ὡς τὴν
10 ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας.

3. Καθόλου δὲ, εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς Περαίας τὴν Γαλιλαίαν, προέλοιτο ἂν τῇ δυνάμει· ἡ μὲν γὰρ ἐνεργὸς ὅλη, καὶ συνεχής ἐστι καρποφόρος, ἡ Περαία δὲ πολὺ μὲν μείζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον, πρός τε καρπῶν
11 ἡμέρων αὔξησιν ἀγριωτέρα. Τό γε μὴν μαλθακὸν αὐτῆς καὶ πάμφορον, καὶ τὰ πεδία δένδρεσι κατάφυτα ποικίλοις, τὸ πλεῖστον δὲ εἰς ἐλαίαν τε καὶ ἄμπελον καὶ φοινικῶνας ἤσκηται, διαρδομένη χειμάρροις τε τοῖς ἀπὸ τῶν ὀρῶν καὶ πη-
12 γαῖς ἀενάοις ἅλις, εἴ ποτε ἐκεῖνοι σειρίῳ φθίνοιεν. Μῆκος μὲν οὖν αὐτῆς ἀπὸ Μαχαιροῦντος εἰς Πέλλαν, εὖρος δὲ ἀπὸ
13 Φιλαδελφείας μέχρις Ἰορδάνου. Καὶ Πέλλῃ μέν, ᾗ προειρήκαμεν, τὰ πρὸς ἄρκτον ὁρίζεται, τὰ πρὸς ἑσπέραν δὲ Ἰορδάνῃ· μεσημβρινὸν δὲ αὐτῆς πέρας ἡ Μωαβῖτις, καὶ πρὸς ἀνατολὴν Ἀραβίᾳ τε καὶ Σιλβωνίτιδι πρὸς δὲ Φιλαδελφηνῇ καὶ Γεράσοις ἀποτέμνεται.

7 Γαλιλαῖοι πάντοτε tr. P. δείλία τοὺς L. λειψανδρία L. λειπανδρία ex cor. N. λιπανδρία P. τὴν πόλιν κατέσ. sed in marg. man. rec. χώραν L. 8 ἐπειδὴ ἀμείνων τε N. et T. sed in huj. marg. πίων. ὑπὸ τῆς εὐπετείας P. προσκαλέσασθαι L.M.R.E. 9 Προσωκίσθη γοῦν P. ἀργὸν οὐδὲν tr. L.P. 10 πολὺ μείζων L. 11 μαλθακὸν ταύτης M. N.R. καὶ τὸ πάμφορον M.N. ποικίλοις κατάφυτα tr. L.P. τὸ πλεῖστόν τε ἐλαίαν P. τὸ πλ. εἰς ἐλαίαν L. χειμάροις M. ἀεννάοις L.M.P. T.E. σιρίῳ ex ras. L. ἐκείνοις ἰρίῳ P. 12 μὲν αὐτῆς L. Φιλαδελφίας N. 13 Καὶ Πέλλα P. ἣν προειρήκαμεν L.M.P.E. ὁρίζεται, πρὸς L.P. Ἰορδάνης L. Ἰορδάνην P. Μωαβίτης P. Σιλωνίτιδι P. et ex ras. L. Σιβωνίδι N.R. Σιλβωνίδι T. Φιλαδελφίνῃ M.P. et ex ras. L. Γεράροις L.M.P.

4. Ἡ δὲ Σαμαρεῖτις χώρα μέση μὲν τῆς Ἰουδαίας ἐστὶ καὶ τῆς Γαλιλαίας· ἀρχομένη γὰρ ἀπὸ τῆς ἐν τῷ Μεγάλῳ πεδίῳ κειμένης Γιναίας ὄνομα κώμης, ἐπιλήγει τῆς Ἀκραβατηνῶν τοπαρχίας. Φύσιν δὲ τῆς Ἰουδαίας κατ' οὐδὲν διάφορος· ἀμφότεραι γὰρ ὀρειναὶ καὶ πεδιάδες, εἴς τε γεωργίαν μαλθακαὶ, καὶ πολύφοροι, κατάδενδροί τε, καὶ ὀπώρας ὀρεινῆς καὶ ἠμέρου μεσταί. Προσάρδεσθαι δὲ οὐδαμοῦ μὲν φύσει δαψιλὲς, ὕονται δὲ τὸ πλέον· γλυκὺ δὲ νᾶμα πᾶν διαφόρως ἐν αὐταῖς, καὶ διὰ πλῆθος πόας ἀγαθῆς τὰ κτήνη πλέον, ἢ παρ' ἄλλοις, γαλακτοφόρα· μέγιστόν γε μὴν τεκμήριον ἀρετῆς καὶ εὐθηνίας τὸ πληθύειν ἀνδρῶν ἑκατέραν. 14 15 16

5. Μεθόριος δὲ αὐτῶν ἡ Ἀνουὰθ Βορκέως προσαγορευομένη κώμη, πέρας αὖτη τῆς Ἰουδαίας τὸ πρὸς βορέαν· τὰ νότια δὲ αὐτῆς ἐπὶ μῆκος μετρουμένης ὁρίζει, προσκυροῦσα τοῖς Ἀράβων ὅροις κώμη, καλοῦσι δὲ αὐτὴν Ἰαρδὰν οἱ τῇδε Ἰουδαῖοι. Εὖρός γε μὴν ἀπὸ Ἰορδάνου ποταμοῦ μέχρις Ἰόππης ἀναπέπταται. Μεσαιτάτη δὲ αὐτῆς πόλις τὰ Ἱεροσόλυμα κεῖται, παρ' ὃ καί τινες οὐκ ἀσκόπως ὀμφαλὸν τὸ ἄστυ τῆς χώρας ἐκάλεσαν. Ἀφῄρηται δὲ οὐδὲ τῶν ἐκ θαλάσσης τερπνῶν ἡ Ἰουδαία, τοῖς παραλίοις κατατείνουσα μέχρι Πτολεμαΐδος. Μερίζεται δὲ εἰς ἕνδεκα κληρουχίας, ὧν ἄρχει μὲν ὡς βασίλειον τὰ Ἱεροσόλυμα, προανίσχουσα τῆς περιοίκου πάσης, ὥσπερ ἡ κεφαλὴ σώματος· αἱ λοιπαὶ δὲ μετ' αὐτὴν διῄρηνται τὰς τοπαρχίας. Γόφνα δευτέρα, 17 18 19 20

14 τῆς Γαλιλαίας ἐτὶ καὶ τῆς Ἰουδαίας P. ἐν τῷ πεδίῳ L. κειμένης Γηνέας L.N.T. κειμ. Γηνεὼς P. Ἀκραβετηνῶν L.P. Ἀκραβατινῶν M. 15 οὐδὲν διαφόροις N. ἄμφω τε γὰρ M.N.R.T.E. μαλθακαὶ πολύφοροι M. μεσταί· παρ' ὅσον οὐδαμοῦ φύσει διψάδες L. μεσταὶ π. ὁ οὐδ. φύσιν δ. P. 16 προσάρδεσθαι γοῦν N.R.T. et ex cor. M. ναῦμα πᾶν R. 17 Μεθορίοις N. Ἀνουὰθ Βορκαῖος L. et ex cor. T. Ἀνουάθου Βορκαῖος P. πέρας αὐτῆς P. Ἰουδαίας τὰ πρὸς L. ὅροις κώμην P. καλοῦσιν αὐτὴν M.N.R. αὐτὴν Ἰορδὰν οἱ L.P. αὐτὴν Ἰορδάνου ποταμοῦ desunt quæ interjacent omnia M. τῇδε Ἰουδαία T. 18 Μεσετάτη δὲ N. Ἱεροσόλ. καλεῖται, N.T. 19 τερπνῶν Ἰουδαία N.T. ὧν ἀρχὴ μὲν βασίλειον P. et ex cor. L. προσανίσχουσα P. μετὰ ταύτην L. 20 Γνόφα T.

καὶ μετ' αὐτὴν Ἀκραβαττά· Θαμνὰ πρὸς ταύταις, καὶ Λύδδα καὶ Ἀμμαοῦς καὶ Πέλλη καὶ Ἰδουμαία καὶ Ἐγγαδδὶ καὶ 21 Ἡρώδειον καὶ Ἱεριχοῦς, μεθ' ἃς Ἰάμνεια καὶ Ἰόππη τῶν περιοίκων ἀφηγοῦνται, καὶ ἐπὶ ταύταις ἥ τε Γαμαλιτικὴ καὶ Γαυλανῖτις, Βαταναία τε καὶ Τραχωνῖτις, αἳ καὶ τῆς Ἀγρίππα 22 βασιλείας εἰσὶ μοῖραι. Ἀρχομένη δὲ ἀπὸ Λιβάνου ὄρους καὶ τῶν Ἰορδάνου πηγῶν ἡ χώρα μέχρι τῆς Τιβεριάδος λίμνης εὑρύνεται. Ἀπὸ δὲ κώμης καλουμένης Ἀρφᾶς μέχρις 23 Ἰουλιάδος ἐκτείνεται τὸ μῆκος. Οἰκοῦσι δὲ αὐτὴν μιγάδες Ἰουδαῖοί τε καὶ Σύροι. Τὰ μὲν δὴ περὶ τῆς Ἰουδαίων τε καὶ τῶν πέριξ χώρας ὡς ἐνῆν μάλιστα συντόμως ἀπηγγέλκαμεν.

CAP. IV.

1 1. Ἡ δὲ ὑπὸ Οὐεσπασιανοῦ πεμφθεῖσα Σεπφωρίταις βοήθεια χίλιοι μὲν ἱππεῖς, ἑξακισχίλιοι δὲ πεζοί, Πλακίδου χιλιαρχοῦντος αὐτῶν, ἐν τῷ Μεγάλῳ πεδίῳ στρατοπεδευσά- 2 μενοι διαιροῦνται. Καὶ τὸ μὲν πεζὸν ἐν τῇ πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δὲ ἱππικὸν ἐπὶ τῆς παρεμβολῆς αὐλίζεται. 3 Προϊόντες δὲ ἑκατέρωθεν συνεχῶς, καὶ τὰ πέριξ τῆς χώρας κατατρέχοντες, μεγάλα τοὺς περὶ τὸν Ἰώσηπον ἐκάκουν ἀτρεμοῦντας, τά τε κατὰ πόλιν ἔξωθεν λῃζόμενοι, καὶ προ- 4 θέοντας, ὁπότε θαρρήσειαν, ἀνακόπτοντες. Ὥρμησέ γε μὴν ὁ Ἰώσηπος ἐπὶ τὴν πόλιν, αἱρήσειν ἐλπίσας ἣν αὐτὸς πρὶν ἀποστῆναι Γαλιλαίων ἐτείχισεν, ὡς καὶ Ῥωμαίοις δυσάλωτον 5 εἶναι. Διὸ καὶ τῆς ἐλπίδος ἀφήμαρτε, τοῦ τε βιάζεσθαι καὶ τοῦ μεταπείθειν Σεπφωρίτας ἀσθενέστερος εὑρεθείς. Παρώ- 6 ξυνε δὲ μᾶλλον τὸν πόλεμον ἐπὶ τὴν χώραν· καὶ οὔτε νύκτωρ,

Ἀκραβεττὰ L. Ἀκραβατταὶ M. Ἀκραβεττᾶι N.T. Ἀκραβετὰ P. Λύδδα Ἀμμαοῦς L.P. Ἡρώδιον N. μεθ' ἃς Ἰάμνια L. μεθ' ἃ Ἰάμνια M.P. μεθ' ἃ Ἰάμνειω N.R.T. 21 Γαμαλατικὴ T. εἰσὶ μοῖρα L.M.N. 22 τῆς πρὸς Τιβεριάδα L.P. ἐκτείνει M.N.R.T. 23 καὶ πέριξ L.P. 1 ἱππεῖς, ἑξακόσιοι δὲ L. 3 ἑκατέροθεν N. ἀτρεμοῦντα τάς τε L.M. ἀτρεμοῦντα τά τε N.R. τάς τε πόλεις ἔξωθεν P. καὶ προσθέοντες P. 4 Ὥρμησέ γε μὴν Ἰώση. L. ὥρμησεν μὲν Ἰώση. P. 5 παρώξυνέ τε μ. L. παρώξυνε μ. N. et pri. ma. T. παρόξυνεν δὲ μ. P. 6 οὔτε νύκτα L.

οὔτε μεθ' ἡμέραν, ὀργῇ τῆς ἐπιβουλῆς οἱ Ῥωμαῖοι διέλιπον δηοῦντες αὐτῶν τὰ πεδία, καὶ διαρπάζοντες τὰ ἐπὶ τῆς χώρας κτήματα, καὶ κτείνοντες μὲν ἀεὶ τὸ μάχιμον, ἀνδραποδιζόμενοι δὲ τοὺς ἀσθενεστέρους. Πυρὶ δὲ ἡ Γαλιλαία καὶ 7
αἵματι πεπλήρωτο πᾶσα, πάθους τε οὐδενὸς ἡ συμφορᾶς
ἀπείρατος ἦν· μία γὰρ καταφυγὴ διωκομένοις αἱ ὑπὸ τοῦ
Ἰωσήπου τειχισθεῖσαι πόλεις ἦσαν.

2. Ὁ δὲ Τίτος περαιωθεὶς ἀπὸ τῆς Ἀχαΐας εἰς τὴν Ἀλεξ- 8
άνδρειαν, ὠκύτερον ἢ κατὰ χειμῶνος ὥραν παραλαμβάνει μὲν
ἐφ' ἣν ἔσταλτο δύναμιν. Συντόνῳ δὲ χρώμενος πορείᾳ, διὰ
τάχους εἰς Πτολεμαΐδα ἀφικνεῖται. Καὶ ἐκεῖ καταλαβὼν 9
τὸν πάτερα, δυσὶ τοῖς ἅμα αὐτῷ τάγμασιν, ἦν δὲ τὰ ἐπισημότατα τὸ πέμπτον καὶ τὸ δέκατον, ζεύγνυσι καὶ τὸ ἀχθὲν
ὑπ' αὐτοῦ πεντεκαιδέκατον. Τούτοις εἵποντο ὀκτωκαίδεκα 10
σπεῖραι· προσεγένοντο δὲ καὶ ἀπὸ Καισαρείας πέντε, καὶ
ἱππέων ἴλη μία, πέντε δὲ ἕτεραι τῶν ἀπὸ Συρίας ἱππέων.
Τῶν δὲ σπειρῶν αἱ δέκα μὲν εἶχον ἀνὰ χιλίους πεζοὺς, αἱ δὲ 11
λοιπαὶ τρισκαίδεκα ἀνὰ ἑξακοσίους μὲν πεζοὺς, ἱππεῖς δὲ ἑκατὸν εἴκοσι. Συχνὸν δὲ καὶ παρὰ τῶν βασιλέων συνήχθη 12
συμμαχικὸν, Ἀντιόχου μὲν καὶ Ἀγρίππα καὶ Σοέμου παρασχομένων ἀνὰ δισχιλίους πεζοὺς τοξότας καὶ χιλίους ἱππεῖς,
τοῦ δὲ Ἄραβος Μάλχου χιλίους πέμψαντος ἱππεῖς ἐπὶ πεζοῖς πεντακισχιλίοις, ὧν τὸ πλέον ἦσαν τοξόται· ὡς τὴν 13
πᾶσαν δύναμιν, συνεξαριθμουμένων τῶν βασιλικῶν, ἱππέας τε
καὶ πεζοὺς, εἰς ἓξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων, οἳ
παμπληθεῖς μὲν εἵποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν οὐκ 14
ἂν ἀποτάσσοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς με-

διελειπον N. τοὺς ἀσθενεῖς. L.P. 7 πάθους οὐδενός τε ἡ συμ. ἀπεί. L.P. πάθους τε ἡ. σ. οὐδενὸς ἀπ. M.N.T. 8 ἐπὶ Ἀλεξάνδρειαν L.P. χρώμενος προθυμίᾳ M.N. et T. sed in huj. marg. πορείᾳ. 9 ἐπισημότατα P. ζεύγνυσι τὸ M.N.P. ζεύγνυσι καὶ τ. ἀ. ὑ. αὐ. πεντεκαιδέκατον desunt R. 10 Σὺν αὐτοῖς εἵποντο L. εἴλη μία N. 11 χιλίους μὲν πεζοὺς L.E. αἱ λοιπαὶ δὲ M.N.R.T. δεκατρεῖς ἀνὰ L.P.E. ἑξακοσίους πεζοὺς P. 12 Σοαίμου L.P. πεζοῖς πεντακοσίοις sed in marg. πεντακισχιλίοις R. 13 ἐξαριθμουμένων P. et pri. man. T.

λέταις τῶν δεσποτῶν αἰεὶ στρεφόμενοι, συγκινδυνεύοντες δ' ἐν πολέμοις, ὡς μήτε ἐμπειρίᾳ μήτ' ἀλκῇ τινος πλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

CAP. V.

1 1. Καὶ ἐν τούτῳ μὲν οὖν θαυμάσαιτό τις ἂν Ῥωμαίων τὸ προμηθὲς, κατασκευαζομένων ἑαυτοῖς τὸ οἰκετικὸν οὐ μόνον εἰς τὰς τοῦ βίου διακονίας, ἀλλὰ καὶ πρὸς τοὺς πολέμους 2 χρήσιμον. Εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην τῆς στρατιᾶς σύνταξιν ἀπίδοι, γνώσεται τὴν τοσήνδε ἡγεμονίαν αὐτοὺς 3 ἀρετῆς κτῆμα ἔχοντας, οὐ δῶρον τύχης. Οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων ὁ πόλεμος, οὐδὲ ἐπὶ μόνας τὰς χρείας τῶ 4 χεῖρε κινοῦσιν, ἐν εἰρήνῃ ἀπειρηκότες· ἀλλ' ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις, οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν 5 ἐκεχειρίαν, οὐδὲ ἀναμένουσι τοὺς καιρούς. Αἱ μελέται δὲ αὐτοῖς οὐδὲν τῆς κατὰ ἀλήθειαν εὐτονίας ἀποδέουσιν, ἀλλ' ἕκαστος ὁσημέραι στρατιώτης πάσῃ προθυμίᾳ καθάπερ ἐν πο- 6 λέμῳ γυμνάζεται. Διὸ κουφότατα τὰς μάχας διαφέρουσιν· οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἕθει συντά- 7 ξεως, οὔτε δέος ἐξίστησιν, οὔτε δαπανᾷ πόνος. Ἕπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ ὁμοίων βέβαιον· καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας αὐτῶν χωρὶς αἵματος 8 παρατάξεις, τὰς παρατάξεις δὲ μεθ' αἵματος μελέτας. Οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις· ὅπη δ' ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης ἢ τειχίσαι στρατό- πεδον. Τὸ δ' οὐκ εἰκαῖον οὐδὲ ἀνώμαλον ἐγείρουσιν, οὐδὲ πάντες ἢ ἀτάκτως διαλαβόντες, ἀλλ' εἰ μὲν ἀνώμαλος ὢν 9 τύχοι χῶρος, ἐξομαλίζεται· διαμετρεῖται δὲ παρεμβολὴ τε-

14 δεσποτῶν ἀεὶ P.T.E. ἐμπειρίας μητ' ἀλκῆς M.P.R. 1 Κἂν τῷδε μὲν N. θαυμάσοιτο T. θαυμάσ. τις Ῥωμαίων P. 2 σύνταξιν τῆς στρατιᾶς tr. L.P. γνώσεται καὶ τὴν R. ἀρετῆς καύχημα ἐχ. P. 3 εἰρήνῃ προηργηκότες L.M.P. et in marg. R. 5 ἀλήθειαν εὐτολμίας M. N.T. ὡσημέραι P. 6 μάχας φέρουσιν L.P. οὔτε ἀταξία R. οὔτε δαπάναι οὔτε πόνος L.P. 7 αἵματος· παρατάξεις δὲ μεθ' M. 8 Οὐ γὰρ ἐξ L.M. ὅποι δ' ἂν M. ἀνώμαλος τύχοι P. 9 καὶ διαμετρ. δὲ T.

τράγωνος αὐτοῖς. Καὶ τεκτόνων πλῆθος ἕπεται, τά τε πρὸς δόμησιν ἐργαλεῖα.

2. Καὶ τὸ μὲν ἔνδον εἰς σκηνὰς διαλαμβάνουσιν· ἔξωθεν δὲ ὁ κύκλος τείχους ὄψιν ἐπέχει, πύργοις ἐξ ἴσου διαστήματος κεκοσμημένος. Ἐπὶ δὲ τῶν μεταπυργίων τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλα καὶ πᾶν ἀφετήριον ὄργανον τιθέασιν, ἅπαντα πρὸς τὰς βολὰς ἕτοιμα. Πύλαι δὲ ἐνοικοδομοῦνται τέσσαρες, καθ' ἕκαστον τοῦ περιβόλου κλίμα, πρός τε εἰσόδους τῶν ὑποζυγίων εὐμαρεῖς, καὶ πρὸς ἐκδρομὰς αὐτῶν, εἰ κατεπείγοι, πλατεῖαι. Ῥυμοτομοῦσι δὲ εὐδιαθέτως εἴσω τὸ στρατόπεδον· καὶ μέσας μὲν τὰς τῶν ἡγεμόνων σκηνὰς τίθενται, μεσαίτατον δὲ τούτων τὸ στρατήγιον, ναῷ παραπλήσιον· ὥσπερ δὲ ἐν σχεδίῳ πόλις καὶ ἀγορά τις ἀποδείκνυται, καὶ χειροτέχναις χωρίον, θῶκοί τε λοχαγοῖς καὶ ταξιάρχοις, ὅπη δικάζοιεν, εἴ τινες διαφέροιντο. Τειχίζεται δὲ ὁ περίβολος, καὶ τὰ ἐν αὐτῷ πάντα θᾶσσον ἐπινοίας πλήθει καὶ ἐπιστήμῃ τῶν πονούντων. Εἰ δὲ ἐπείγοι, καὶ τάφρος ἔξωθεν περιβάλλεται, βάθος τετράπηχυς, καὶ εὖρος ἴσον.

3. Φραξάμενοι δὲ αὐλίζονται κατὰ συντάξεις ἕκαστοι μεθ' ἡσυχίας τε καὶ κόσμου. Πάντα δὲ αὐτοῖς καὶ τὰ ἄλλα μετ' εὐταξίας ἀνύεται καὶ ἀσφαλείας· ξυλεία καὶ ἐπισιτισμὸς, εἰ δέοιντο, καὶ ὑδρεία κατὰ συντάξεις ἑκάστοις· οὐδὲ γὰρ δεῖπνον ἢ ἄριστον, ὁπότε θελήσειαν, αὐτεξούσιον ἑκάστῳ, πᾶσι δὲ ὁμοῦ. Τούς τε ὕπνους αὐτοῖς, καὶ τὰς φυλακὰς, καὶ τὰς ἐξεγέρσεις σάλπιγγες προσημαίνουσιν· οὐδ' ἐστὶν ὅ τι γίνεται δίχα παραγγέλματος. Ὑπὸ δὲ τὴν ἕω τὸ στρατιωτι-

ἕπεται πρὸς δόμησιν L. ἕπετ. τῶν τε πρὸς τὴν δόμ. P. ἕπετ. τά τε πρὸς τὴν δόμ. M.T. ἐργαλία N. ἐργαλίων P. 11 πάντα πρὸς L.P. 12 οἰκοδομοῦνται P. καθ' ἑκάτερον τοῦ L. πρὸς τάς τε εἰσόδ. L. ὑποζ. εὐρεῖς, καὶ πρὸς P. πρὸς τὰς ἐκδρομὰς L.P. εἰ καὶ κατεπείγοι πλατείας P. 13 στρατηγεῖον L.P. 14 θῶκαί τε P. 15 δὲ περίβολος M.N.R.T. τετραπήχης L.N. et pri. man. M. εὖρος ἴση L.P. et ex cor. T. 16 ξυλία τε καὶ P. 17 οὔτε γὰρ δεῖπ. N.R.T.E. ὁπόταν θελήσ. M. ἐξεργασίας sed in marg. ἐξεγέρσεις T. ὅ γίνεται T. 18 στρατιωτικὸν ἐπὶ P.

κὸν μὲν ἐπὶ τοὺς ἑκατοντάρχας ἕκαστοι, πρὸς δὲ τοὺς χιλιάρχους οὗτοι συνίασιν ἀσπασόμενοι, μεθ' ὧν πρὸς τὸν ἡγεμόνα
19 τῶν ὅλων οἱ ταξιάρχαι πάντες. Ὁ δὲ αὐτοῖς τότε ἐξ ἔθους σημεῖον καὶ τὰ ἄλλα παραγγέλματα δίδωσι διαφέρειν εἰς τοὺς ὑποτεταγμένους· ὃ δὴ καὶ ἐπὶ παρατάξεως πράττοντες, ἐπιστρέφονται ταχέως, ἵνα δέοι, καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς, καὶ πρὸς τὰς ἀνακλήσεις ὑποχωροῦσιν ἀθρόοι.

20 4. Ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον, ὑποσημαίνει μὲν ἡ σάλπιγξ· ἠρεμεῖ δὲ οὐδείς, ἀλλὰ ἅμα νεύματι τὰς μὲν σκηνὰς ἀναιροῦσιν, πάντα δὲ ἐξαρτύονται πρὸς τὴν ἔξοδον· Καὶ
21 πάλιν αἱ σάλπιγγες ὑποσημαίνουσι παρεσκευάσθαι· οἱ δὲ ἐν τάχει τοῖς τε ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἐπιτιθέντες τὴν ἀποσκευὴν, ἑστᾶσιν ὥσπερ ἐφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι,
22 ὑποπιμπρᾶσι τε ἤδη τὴν παρεμβολὴν, ὡς αὐτοῖς μὲν ὂν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δὲ ἐκεῖνό ποτε τοῖς πολεμίοις χρήσιμον. Καὶ τρίτον δὲ ὅμως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον, ἐπισπέρχουσαι τοὺς δι' αἰτίαν
23 τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθείη τάξεως. Ὁ τε κήρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστὰς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ τρὶς ἀναπυνθάνεται. Καὶ ἐκεῖνοι τοσαυτάκις ἀντιβοῶσι μέγα τι καὶ πρόθυμον, ἕτοιμοι
24 λέγοντες· φθάνουσί τε τὸν ἐπερωτῶντα, καί τινος ἀρηίου πνεύματος ὑποπιμπλάμενοι τῇ βοῇ συνεξαίρουσι τὰς δεξιάς.

25 5. Ἔπειτα προϊόντες ὁδεύουσιν ἡσυχῇ καὶ μετὰ κόσμου πάντες, ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάσσων, οἱ μὲν πεζοὶ θώραξί τε πεφραγμένοι καὶ κράνεσι, καὶ μα-

χιλιάρχους αὐτοὶ P. ταξιάρχοι N.T. 19 διαδίδωσι διαφ. P. ἐπιστρέφονταί τε ταχ. L. ἵνα εἰ δέοι P.T. ἐφόδους αὐτοὺς P. 20 Ἐξεῖναι δὲ N. στρατοπ. εἰ δέον L. ὑποσημαίνει ἡ σάλ. L. τὰς σκηνὰς L. 21 παρασκευάσθαι R. ἐπιτιθέντες ἑστᾶσιν N. et T. sed hic in marg. τὴν ἀποσκευὴν adscrip. habet. ὑφ' ὕσπληγγος P. ἐφ' ὕσπλιγγος M. ἐφ' ὕσπληγγος L.N. 22 αὐτοῖς μὲν ῥᾴδιον M.N.R.T.E. τρίτον δὲ ὁμοίως E. ἵφ 23 δεξιὸς τῷ P. παραστάσει πρὸς N. πατρώῳ γλώσσῃ τρεὶς P. πατρῷᾳ sic T. ἀναβοῶσι μέγα L.P. λέγοντες εἶναι· φθ. P. 24 φθάνουσι δὲ L.P. ὑποπιπλάμενοι R. βοῇ συνεξάγουσι τὰς L.P. 25 κόσμου πάντος L.

χαιροφοροῦντες ἀμφοτέρωθεν. Μακρότερον δὲ αὐτῶν τὸ 26
λαιὸν ξίφος πολλῷ, τὸ γὰρ κατὰ δεξιὸν σπιθαμῆς οὐ πλέον
ἔχει μῆκος. Φέρουσι δὲ οἱ μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι
πεζοὶ λόγχην καὶ ἀσπίδα· ἡ δὲ λοιπὴ φάλαγξ ξυστόν τε 27
καὶ θυρεὸν ἐπιμήκη, πρὸς οἷς πρίονα καὶ κόφινον, ἄμην τε
καὶ πέλεκυν, πρὸς δὲ ἱμάντα καὶ δρέπανον καὶ ἄλυσιν, ἡμερῶν
τε τριῶν ἐφόδιον· ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων
ὀρέων τὸν πεζόν. Τοῖς δὲ ἱππεῦσι μάχαιρα μὲν ἐκ δεξιοῦ 28
μακρὰ, καὶ κοντὸς ἐπιμήκης ἐν χειρὶ, θυρεὸς δὲ παρὰ πλευρὸν
ἵππου πλάγιος, καὶ κατὰ γωρυτοῦ παρήρτηνται τρεῖς ἢ
πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμὰς, οὐκ ἀποδέοντες δὲ δο-
ράτων μέγεθος. Κράνη δὲ καὶ θώρακες ὁμοίως τοῖς πεζοῖς 29
ἅπασιν. Οὐδενὶ δὲ ὅπλῳ διαλλάττουσιν οἱ περὶ τὸν στρα-
τηγὸν ἐπίκριτοι τῶν ἐν ταῖς ἴλαις ἱππέων· κλήρῳ δὲ τῶν
ταγμάτων ἀεὶ τὸ λαχὸν ἡγεῖται.

6. Τοιαῦται μὲν οὖν αἱ Ῥωμαίων πορεῖαί τε καὶ καταλύ- 30
σεις, πρὸς δὲ ὅπλων διαφοραί· οὐδὲν δὲ ἀπροβούλευτον ἐν
ταῖς μάχαις, οὐδὲ αὐτοσχέδιον, ἀλλὰ γνώμη μὲν ἀεὶ παντὸς
ἔργου προάγει, τοῖς δοχθεῖσι δὲ ἕπεται τὰ ἔργα. Παρ' ὃ 31
καὶ σφάλλονται μὲν ἥκιστα, καὶ ἂν πταίσωσι δὲ, ῥᾳδίως ἀνα-
λαμβάνουσι τὰ σφάλματα. Ἡγοῦνταί τε τῶν ἀπὸ τύχης 32
ἐπιτευγμάτων ἀμείνους τὰς ἐπὶ τοῖς προβουλευθεῖσι διαμαρ-
τίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δελεάζοντος εἰς ἀπρομή-
θειαν, τῆς σκέψεως δὲ, καὶ ἂν ἀτυχήσῃ ποτὲ, πρὸς τὸ μὴ
αὖθις καλὴν ἐχούσης μελέτην· καὶ τῶν μὲν αὐτομάτων ἀγα- 33
θῶν οὐ τὸν λαβόντα αἴτιον εἶναι, τῶν δὲ παρὰ γνώμην προσ-
πεσόντων σκυθρωπῶν παραμυθίαν τό γε προσηκόντως βεβου-
λεῦσθαι.

7. Παρασκευάζουσι μὲν οὖν ἐν ταῖς μελέταις τῶν ὅπλων 34

26 κατὰ τὸ δεξιὸν P. ἔχει τὸ μῆκος L.P. 27 τὸ πεζόν pri. man. T. 28 ἐκ δεξιῶν L.P. καὶ καταγορύτου P. 29 ὅπλων διαλάττουσιν P. ὅπλων διαλλ. L. στρατηγὸν ἔκκριτοι L. ταῖς εἴλαις N. 30 Τοιαῦται μὲν Ῥωμ. M.N.R.T. οὐδέν τε ἀπρ. P. 32 Ἡγοῦνται δὲ T. τύχης ἐπιταγμάτων M. δέλεαρ ὄντος P. τῆς ἐκσκέψεως in marg. T. 33 ἀγαθῶν ὡς μὴ λαβόντα M. γνώμην συμπεσόντων T.

οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους. Προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. Οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λειποταξίου μόνον, ἀλλὰ καὶ ῥαστώνης ὀλίγης θανατικοί· 35 οἵ τε στρατηγοὶ τῶν νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς ῥύονται τοῦ δοκεῖν ὠμοὶ πρὸς τοὺς κο- 36 λαζομένους. Τοσοῦτον δὲ αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον, ὡς ἕν τε εἰρήνῃ κόσμον εἶναι, καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν· οὕτως αὐτῶν ἀφελεῖς μὲν αἱ τάξεις, εὔστροφαι δέ εἰσιν αἱ περιαγωγαί, ὀξεῖαι δὲ ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. 37 Ὅθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ παθεῖν εἰσιν. Οὐδέ ἐστιν ὅπου συστάντες ἢ πλήθους ἡττήθησαν ἢ στρατηγημάτων ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης· καὶ γὰρ ταύτης αὐ- 38 τοῖς τὸ κρατεῖν βεβαιότερον. Οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δρασ- 39 τήριος, τί θαυμαστὸν, εἰ πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; Δεόντως γὰρ ἄν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλασσον.

40 8. Ταῦτα μὲν οὖν διεξῆλθον, οὐ Ῥωμαίους ἐπαινέσαι προαιρούμενος τοσοῦτον, ὅσον εἴς τε παραμυθίαν τῶν κεχειρωμένων, καὶ εἰς ἀποτροπὴν τῶν νεωτεριζόντων. Εἴη δ' ἂν τοῖς ἀγνοοῦσι τῶν φιλοκαλούντων καὶ πρὸς ἐμπειρίαν ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. Ἐπάνειμι δὲ, ὅθεν ἐπὶ ταῦτα ἐξέβην.

34 λιποταξίου L.P. 35 τὸ δοκεῖν L.N.P.R.T.E. 36 αὐτῶν συναφεῖς μὲν αἱ L.M.E. αὐτῶν ἀσφαλεῖς μὲν αἱ P.T. αὐ. ἀφ̃ελεῖς μ. αἱ sic. sed in marg. συναφεῖς R. ἀκοαὶ παραγγελ. L. ὄψις δὲ P. 37 ὅπου σταθέντες ἢ πλ. L.P. ἡσσήθησαν L.M.N.T. ἥσθησαν P. βεβαιότερον τὸ κρατεῖν tr. L. ἄρχη παρατάξεως, ἕπεται P. et pri. ma. L. 39 τὸ πιώτατον P. κτησαμένων ἐλάσσω. N. et R. sed in hoc sup. lin. ἔλασσον. ἔλασσον· ἕως ὧδε τῶν Ῥωμαϊκῶν ἐκστρατευμάτων καὶ τῶν πολεμικῶν ὀργάνων ὁ ἔπαινος. Ταῦτα μὲν οὖν L. 40 εἴς παραμυθίαν T. πρὸς ἐμπειρίας M.N.

CAP. VI.

1. Οὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως 1
ἐν Πτολεμαΐδι, συνέτασσε τὰς δυνάμεις. Ὁ δὲ τὴν Γαλι-
λαίαν κατατρέχων Πλάκιδος ἐπεὶ πολὺ μὲν πλῆθος ἀνῃρήκει
τῶν καταλαμβανομένων, — τοῦτο δὲ ἦν τὸ ἀσθενέστερον Γα- 2
λιλαίων καὶ ταῖς ψυχαῖς ἐναποκάμνον, — ὁρῶν δὲ τὸ μάχιμον
ἀεὶ συμφεῦγον εἰς τὰς ὑπὸ τοῦ Ἰωσήπου τειχισθείσας πόλεις,
ὥρμησεν ἐπὶ τὴν ὀχυρωτάτην αὐτῶν Ἰωτάπατα, οἰόμενος ἐξ 3
ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος ἑαυτῷ παρὰ τοῖς
ἡγεμόσι, καὶ ἐκείνοις ὄφελος εἰς τὰ λοιπὰ παρέξειν· προσ-
χωρήσειν γὰρ δέει τὰς ἄλλας πόλεις, τῆς καρτερωτάτης ἐχο-
μένης. Πολύ γε μὴν διήμαρτε τῆς ἐλπίδος. Ἐπιόντα γὰρ 4
αὐτὸν οἱ Ἰωταπατηνοὶ προαισθόμενοι, πρὸ τῆς πόλεως ἐκδέ-
χονται· καὶ τοῖς Ῥωμαίοις συρραγέντες ἀδοκήτως πολλοὶ
καὶ πρὸς μάχην ἕτοιμοι πρόθυμοί τε, ὡς ἂν ὑπὲρ κινδυνευού- 5
σης πατρίδος καὶ γυναικῶν καὶ τέκνων, τρέπονται ταχέως,
καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν Ῥωμαίων, ἑπτὰ δὲ ἀναι-
ροῦσι, διὰ τὸ μήτε ἄτακτον αὐτῶν τὴν ὑποχώρησιν γενέσθαι, 6
καὶ τὰς πληγὰς ἐπιπολαίους, πεφραγμένων πάντοθεν τῶν
σωμάτων, τούς τε Ἰουδαίους πόρρωθεν βάλλειν πλέον ἢ συμ-
πλέκεσθαι θαρρεῖν, γυμνήτας ὁπλίταις. Ἔπεσον δὲ καὶ τῶν 7
Ἰουδαίων τρεῖς ἄνδρες, καὶ ἐτρώθησαν ὀλίγοι. Ὁ Πλάκιδος
μὲν οὖν, τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀτονώτερος εὑρεθεὶς, φεύ-
γει.

2. Οὐεσπασιανὸς δὲ ὡρμημένος αὐτὸς ἐμβάλλειν εἰς τὴν 8

1 Οὐεσπασιανὸς δὲ M.N.T. ἅμα τῷ πεδὶ Τί. P. ἐν τῇ Πτολ. L.N.T.
2 ταῖς φυγαῖς ἐναποκάμνον L. ταῖς φυλακαῖς ἐναποκάμνων P. συμφεῦγον
ἀεὶ τὸ μάχιμον L. συμφεύγων ἀεὶ τὸ μάχ. P. ὑπὸ Ἰωσήπου R.T.E.
3 Ἰωταπάταν P. et sec. man. L. κλέος αὐτῷ L.M.R.T. λοιπὰ ὑπάρξειν
pri. man. sed correc. recentissima παρέξειν N. γὰρ μηκέτι εἰς τὰς
ἄλλας M.N. et pri. man. L. et T. sed in huj. marg. δέει. γὰρ οὐκέτι
εἰς τ. ἀ. R. καρτερ. οἰχομένης M.N.R.T. 4 ἀδοκήτοις M.N.P.
5 γυναικῶν τε καὶ L. 6 ἐπιπολέους N.P. ἢ ἐμπλέκεσθαι M.N.R.T.
γυμνίτας N. 7 Πλάκιδος sine ὁ P. et ex ras. T. 8 ἐμβαλεῖν εἰς
L.P. et ex ras. T.

Γαλιλαίαν, ἐξελαύνει τῆς Πτολεμαΐδος, διατάξας τὴν στρα-
9 τιὰν ὁδεύειν, καθὰ Ῥωμαίοις ἔθος. Τοὺς μέν γε ψιλοὺς τῶν
ἐπικούρων καὶ τοξότας προάγειν ἐκέλευσεν, ὡς ἀνακόπτοιεν
τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομὰς, καὶ διερευνῷεν τὰς
ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας ὕλας· οἷς εἵπετο καὶ Ῥω-
10 μαίων ὁπλιτικὴ μοῖρα, πεζοί τε καὶ ἱππεῖς. Τούτοις ἀφ'
ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα, τήν τε αὐτῶν σκευὴν
11 καὶ τὰ μέτρα τῆς παρεμβολῆς φέροντες. Καὶ μετ' αὐτοὺς
ὁδοποιοὶ, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμα-
λοῦν τὰ δύσβατα, καὶ τὰς ἐμποδίους ὕλας προανακόπτειν, ὡς
12 μὴ ταλαιπωροῖτο δυσποροῦν τὸ στράτευμα. Κατόπιν δὲ
τούτων τάς τε ἰδίας, καὶ τὰς τῶν ὑπ' αὐτὸν ἡγεμόνων ἔταξεν
ἀποσκευὰς, καὶ συχνοὺς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν
ἱππέων. Μεθ' οὓς αὐτὸς ἐξήλαυνε, τούς τε ἐπιλέκτους τῶν
13 πεζῶν καὶ ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων. Εἵπετο δὲ
αὐτῷ τὸ ἴδιον τοῦ τάγματος ἱππικόν· ἴδιοι γὰρ ἑκάστου τάγ-
ματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. Τούτοις δὲ ἠκολούθουν οἱ
τὰς ἐλεπόλεις φέροντες ὀρεῖς, καὶ τὰ λοιπὰ μηχανήματα.
14 Μετὰ τούτους ἡγεμόνες τε καὶ σπειρῶν ἔπαρχοι σὺν χιλιάρ-
15 χοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες· ἔπειτα αἱ
σημαίαι περιΐσχουσαι τὸν ἀετὸν, ὃς παντὸς ἄρχει Ῥωμαίοις
τάγματος, βασιλεύς τε οἰωνῶν ἁπάντων, καὶ ἀλκιμώτατος
ὤν· ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς, καὶ κληδὼν, ἐφ'
16 οὓς ἂν ἴωσι, τοῦ κρατήσειν δοκεῖ. Τοῖς ἱεροῖς δὲ ἠκολούθουν
οἱ σαλπιγκταὶ, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στίφος εἰς
ἓξ πλατύνασα. Τούτοις παρείπετό τις ἑκατοντάρχης ἐξ
17 ἔθους τὴν τάξιν ἐπισκοπούμενος. Τὸ δὲ οἰκετικὸν ἑκάστου
τάγματος ἅπαν τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρα-

πόλεως
τῆς πτολεμαΐδος sic P. 9 ὡς προσκόπτοιεν N. ὡς προσκόποιεν M.R. et T. sed in huj. marg. ἀνακόπτοιεν. διερευνοῖεν P. 10 Τούτοις δ' ἀφ' sed ma. rec. T. δέκα deest P. τήν τε ἑαυτῶν L.P. 12 ὑπ' αὐτῶν ἡγ. N. et pri. ma. T. αὐτῷ E. 13 Τούτοις δὴ ἠκ. R. 14 αἱ περιΐσχουσαι P. τὸν ἀετὸν L. 15 ἐφ' οὓς ἀνιᾶσι P. 16 Τοῖς δ' ἱεροῖς L.P. πλατύνουσα L. ἑκατόνταρχος L.P.

τιωτῶν ἐπὶ τοῖς ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἄγοντες· κατόπιν 18
δὲ πάντων τῶν ταγμάτων ὁ μίσθιος ὄχλος, οἷς οὐραγοὶ πρὸς
ἀσφάλειαν ἠκολούθουν, πεζοί τε καὶ ὁπλῖται καὶ τῶν ἱππέων
πολλοί.

3. Οὕτως ὁδεύσας Οὐεσπασιανὸς μετὰ τῆς δυνάμεως πρὸς 19
τοὺς ὅρους ἀφικνεῖται τῆς Γαλιλαίας, ἔνθα καταστρατοπε-
δευσάμενος ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖ-
χεν, ἐπιδεικνύμενός τε τὴν στρατιὰν εἰς κατάπληξιν τοῖς
πολεμίοις, καὶ μετανοίας διδοὺς καιρὸν, εἰ πρὸ μάχης μετα-
βάλλοιντο. Ἅμα δὲ καὶ πρὸς πολιορκίαν τῶν ἐρυμάτων 20
ἐξηρτύετο. Μετάνοιαν μὲν οὖν τῆς ἀποστάσεως ὀφθεὶς ὁ
στρατηγὸς πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ πᾶσιν· οἱ 21
γὰρ περὶ τὸν Ἰώσηπον ἐστρατοπεδευκότες, οὐκ ἄποθεν τῆς
Σεπφώρεως παρὰ πόλιν Γαρὶν καλουμένην, ἐπεὶ πλησιάζοντα
τὸν πόλεμον ἤκουσαν, ὅσον τε οὔπω τοὺς Ῥωμαίους συμμί-
ξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης, ἀλλὰ καὶ πρὶν ἰδεῖν
τοὺς ἐχθροὺς, διασκίδνανται φυγῇ. Καταλείπεται δὲ ὁ Ἰω- 22
σηπος μετ' ὀλίγων· καὶ κατιδὼν, ὡς οὔτε δέχεσθαι τοὺς πολε-
μίους ἀρκετὴν ἔχει δύναμιν, καὶ πεπτωκότα τὰ φρονήματα
τῶν Ἰουδαίων, ἄσμενοί τε ἂν, εἰ πιστεύοιντο, χωροῖεν οἱ 23
πλείους ἐπὶ σπονδὰς, ἐδεδίει μὲν ἤδη περὶ παντὸς τοῦ πολέ-
μου, τότε δὲ ὡς πορρωτάτω χωρίζεσθαι τῶν κινδύνων ἔκρι-
νεν. Ἀναλαβὼν δὲ τοὺς συμμείναντας εἰς Τιβεριάδα κατα-
φεύγει.

CAP. VII.

1. Οὐεσπασιανὸς δὲ τῇ πόλει τῶν Γαδαρέων ἐπελθὼν, 1
αἱρεῖ τε κατὰ πρώτην ἔφοδον αὐτὴν, μαχίμου πλήθους ἔρη-

ταγμάτων

18 πάντων ὁ μίσθιος sic P. ἱππέων συχνοί. P. 19 δυνάμεως εἰς τοὺς L.P. ἐπιδεικνύμενος τὴν L.P. καιρὸν διδοὺς tr. P. μεταβάλοιντο L.M.N.P.R. 21 οἱ μὲν γὰρ περὶ L.P. Σεπφώρεως, ἐπεὶ πλησ. L. Σεπφώρης ἐν ᾗ πλησ. P. reliquis omissis. συμμίξοντες P. πρὸς μάχην P. ἀλλὰ πρὶν M. διασκίδναται N. 22 Καταλίπεται P. ἀρκετὴν ἔχοι L.M.R.T. πεπτώκοι τὰ φρον. L.P. et ex cor. T. 23 εἰ πιστεύοιεν L. 1 Γαδαραίων L. Γαδάρων P.

μον καταλαβὼν, καὶ παρελθὼν εἴσω, πάντας ἠβηδὸν ἀναιρεῖ, μηδεμιᾶς τῶν Ῥωμαίων ἡλικίας ἔλεον ποιουμένων, μίσει τῷ πρὸς τὸ ἔθνος, καὶ μνήμῃ τῆς κατὰ τὸν Κέστιον αὐτῶν παρα-
3 νομίας. Ἐμπίπρησι δὲ οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς πέριξ κώμας πάσας τε καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελειμμένας, ἔστι δὲ ἃς αὐτὸς ἐξανδραποδιζόμενος.
4 2. Ὁ δὲ Ἰώσηπος ἦν πρὸς ἀσφάλειαν εἵλετο πόλιν, αὐτὸς ἐνέπλησε δέους καταφυγών. Οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος οὐκ ἂν, εἰ μὴ πρὸς ἅπαν ἀπεγνώκει τὸν πόλεμον, τραπῆναί ποτε
5 αὐτὸν ᾤοντο· καὶ κατὰ τοῦτό γε οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης. Ἑώρα μὲν γὰρ, οἳ ῥέψει τὰ Ἰουδαίων τέλους, καὶ
6 μίαν αὐτῶν ἤδει σωτηρίαν, εἰ μεταβάλοιντο. Αὐτὸς δὲ, καίπερ συγγνωσθήσεσθαι παρὰ Ῥωμαίοις προσδοκῶν, ὅμως τεθνάναι μᾶλλον εἵλετο πολλάκις, ἢ καταπροδοὺς τὴν πατρίδα, καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ στρατηγίαν ὑβρίσας,
7 εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. Γράφειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετὰ ἀκριβείας τὰ πραγματα, ὡς μήτε ἐπὶ τὸ μεῖζον ἐξάρας τὴν τῶν πολεμίων ἰσχὺν αὖθις εἰς δειλίαν κακίζοιτο, μήτε ἐνδεέστερον ἀπαγγείλας,
8 καὶ ἂν μετανοήσαντας ἴσως θρασύνειεν, ἵνα τε ἢ σπονδὰς αἱρούμενοι ταχέως ἀντιγράψωσιν, ἢ πολεμεῖν ἐγνωκότες, ἀξιόμαχον πρὸς Ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν. Ὁ μὲν οὖν ταῦτα ἐπιστείλας, πέμπει διὰ τάχους ἐπὶ Ἱεροσολύμων τοὺς τὰ γράμματα κομίζοντας.
9 3. Οὐεσπασιανὸς δὲ ὁρμώμενος ἐξαιρεῖν τὴν Ἰωτάπατα, — πέπυστο γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευ-

2 μίσει πρὸς τὸ N.P. μίσει τε πρὸς τὸ E. μνήμης N.P. 3 Ἐμπιμπράσι M.N.R.T. μόνον αὐτῶν τὴν M. πάσας πόλεις τε καὶ L. πέριξ πάσας πόλεις τε καὶ P. ἐκλελιμμένας P. αὐτοὶ ἐξανδραποδιζόμενοι M. N.R.T. 4 εἵλατο πόλιν N. πρὸς τὸ πᾶν L.P. 5 ποῖ ῥέψει L.P. οἳ ῥέψειε E. μεταβάλλοιντο E. et pri. ma. T. 6 εἵλατο πολλάκις N. εὐτυχεῖν καὶ παρ' οἷς P. 7 ἐπὶ μεῖζον P.E. τὴν πολεμίων R.E. εἰς δειλίαν αὖθις tr. P. θρασύνοιεν N.T. 8 ἵνα σπονδὰς N. πρὸς Ῥωμαίους ἀξιόμαχον αὐτῷ πέμψωσι L.P. 9 ὡρμημένος L.M.P. et ex cor. T. ὡρμένος R. et pri. man. T. τὴν Ἰωταπάταν L.P. et sic infra. τὰ Ἰωτάπατα M.N.R.T. πέπειστο γὰρ N.T.

γέναι, καὶ ἄλλως ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν, — πέμπει πεζούς τε καὶ ἱππεῖς προεξομαλιοῦντας τὴν ὁδὸν, ὀρεινὴν ὑπάρχουσαν, καὶ πετρώδη, δύσβατόν τε καὶ πεζοῖς, ἱππεῦσι δὲ ἀμήχανον. Οἱ μὲν οὖν τέσσαρσιν ἡμέραις ἐξειργάσαντο, καὶ πλατεῖαν ἤνοιξαν τῇ στρατιᾷ λεωφόρον. Τῇ πέμπτῃ δὲ ὁ Ἰώσηπος, αὕτη δὲ ἦν Ἀρτεμισίου μηνὸς εἰκοστὴ πρώτη, φθάνει παρελθὼν εἰς τὴν Ἰωτάπατα ἐκ τῆς Τιβεριάδος, καὶ πεπτωκότα τοῖς Ἰουδαίοις ἀνίστησι τὰ φρονήματα. Οὐεσπασιανῷ δέ τις εὐαγγελίζεται τὴν μετάβασιν τοῦ ἀνδρὸς αὐτόμολος, καὶ κατήπειγεν ἐπὶ τὴν πόλιν, ὡς μετ' ἐκείνης αἱρήσοντα πᾶσαν Ἰουδαίαν, εἰ λάβοι τὸν Ἰώσηπον ὑποχείριον. Ὁ δὲ ἁρπάσας ὥσπερ μέγιστον εὐτύχημα τὴν ἀγγελίαν, καὶ προνοίᾳ θεοῦ τὸν συνετώτατον εἶναι δοκοῦντα τῶν πολεμίων οἰόμενος εἰς αὐθαίρετον εἱρκτὴν παρελθεῖν, εὐθέως μὲν σὺν χιλίοις ἱππεῦσι πέμπει Πλάκιδον, καὶ δεκαδάρχην Ἐβούτιον, ἄνδρα τῶν ἐπισήμων κατὰ χεῖρα καὶ σύνεσιν, περικατασχεῖν κελεύσας τὴν πόλιν, ὡς μὴ λάθοι διαδρὰς ὁ Ἰώσηπος.

4. Αὐτὸς δὲ μετὰ μίαν ἡμέραν ἀναλαβὼν πᾶσαν τὴν δύναμιν εἵπετο, καὶ μέχρι δείλης ὁδεύσας πρὸς τὴν Ἰωτάπατα ἀφικνεῖται. Ἀναλαβὼν δὲ τὴν στρατιὰν τὸ προσάρκτιον αὐτῆς μέρος πρός τινι λόφῳ στρατοπεδεύεται, διέχοντι σταδίους ἑπτὰ τῆς πόλεως, πειρώμενος ὡς μάλιστα τοῖς πολεμίοις εὐσύνοπτος εἶναι πρὸς ἔκπληξιν· ἣ καὶ παραχρῆμα τοσαύτη τοὺς Ἰουδαίους κατέσχεν, ὡς μηδένα τοῦ τείχους τολμῆσαι προελθεῖν. Ῥωμαῖοι δὲ εὐθὺς μὲν ἀπώκνησαν προσβαλεῖν δι' ὅλης ὠδευκότες ἡμέρας· διπλῇ δὲ τῇ φάλαγγι κυκλοῦνται τὴν πόλιν, καὶ τρίτην ἔξωθεν περιϊστᾶσι τὴν

10 τοὺς προεξομαλ. L.M.P.R. δύσβατον δὲ καὶ P. 11 Ἀρτεμησίου P. μηνὸς μία καὶ εἰκὰς φθάνει L.P. Ἰουδαίοις ἐγείρει τὰ φρον. L.P. 12 αἱρήσων πᾶσαν N.T. 13 εἱρκτὴν αὐθαίρετον tr. L.P. 14 εὐθέως σὺν M.N.R.T. εὐθέως μὲν οὖν σὺν P. καὶ δεκάρχην L.M. Εὐβουτίον L. ἐβουτίον R. ὡς μὴ λάθῃ M. 16 στρατιὰν εἰς τὸ L.T. μέρος ἓν τινι L.P. 17 προσελθεῖν M. 18 ὠδευκότες P.

19 ἵππον, πάσας ἀποφράσσοντες αὐτοῖς τὰς ἐξόδους. Τοῦτό γε ἐν ἀπογνώσει σωτηρίας παρώξυνε τοὺς Ἰουδαίους πρὸς τόλμαν· οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ μαχιμώτερον.

20 5. Γενομένης δὲ μεθ' ἡμέραν προσβολῆς, τὸ μὲν πρῶτον Ἰουδαῖοι κατὰ χώραν μένοντες ἀντεῖχον ἀντικρὺ τῶν Ῥω-
21 μαίων, ἐξεστρατοπεδευκότες πρὸ τοῦ τείχους. Ὡς δὲ Οὐεσπασιανὸς τούτοις μὲν τοὺς τοξότας καὶ σφενδονήτας καὶ πᾶν τὸ τῶν ἐκηβόλων πλῆθος ἐπιστήσας ἐκέλευσε βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν εἰς τὸ πρόσαντες ἀνώθει, καθ' ὃ τὸ
22 τεῖχος ἦν εὐάλωτον, δείσας ὁ Ἰώσηπος περὶ τῇ πόλει προπηδᾷ, καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν Ἰουδαίων πλῆθος. Συμπεσόντες δὲ τοῖς Ῥωμαίοις ἀθρόοι, τοῦ μὲν τείχους ἀνέστειλαν αὐτούς, πολλὰ δὲ ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης.
23 Οὐκ ἐλάσσω γε μὴν ὧν ἔδρων ἀντέπασχον· ὅσον γὰρ αὐτοὺς ἡ τῆς σωτηρίας ἀπόγνωσις, τοσοῦτον τοὺς Ῥωμαίους αἰδὼς
24 παρεκρότει· καὶ τοὺς μὲν ἐμπειρία μετ' ἀλκῆς, τοὺς δὲ θράσος ὥπλιζε τῷ θυμῷ στρατηγουμένους. Παραταξάμενοι δὲ δι' ὅλης ἡμέρας νυκτὶ διαλύονται, τρώσαντες μὲν πλείστους Ῥωμαίων, τρισκαίδεκα δὲ ἀνελόντες ἄνδρας· αὐτῶν δὲ ἔπεσον μὲν δέκα καὶ ἑπτά, τραυματίαι δὲ ἐγένοντο ἑξακόσιοι.

25 6. Τῇ δὲ ὑστεραίᾳ πάλιν προσβαλλοῦσι τοῖς Ῥωμαίοις ἐπεξελθόντες, πολὺ καρτερώτερον ἀντιπαρετάξαντο, θαρραλεώτεροι μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγε-
26 νημένοι, χρώμενοι δὲ καὶ τοῖς Ῥωμαίοις μαχιμωτέροις· ὑπὸ γὰρ αἰδοῦς εἰς ὀργὴν ἐξεκαίοντο, τὸ μὴ ταχέως νικᾶν ἥττων ἡγούμενοι. Καὶ μέχρι πέμπτης ἡμέρας προσβολαὶ μὲν

ἵππον πᾶσαν, ἀποφ. N.R.T. 19 Τοῦτ' ἐν ἀπογ. L.P.T. Τοῦ γε ἐν ἀπ. N. παρωξύναι N. 20 ἐστρατοπεδευκότες L.M.P. et ex ras. T. 21 ἐπιστήσας ἐπέτρεψε βάλλειν L.P.R.E. ἐπι. ἐκέλευε βάλ. N. τοῦ τείχους M.N.R. 22 δείσας Ἰώσηπος L.M.N.R.E. 23 ἔλασσόν γε L.P. τοσούτῳ τοὺς L.P. 24 δεκατρεῖς δ' ἄνδρας ἀνελόντες L. δεκατρεῖς δ' ἀνελόντες sine ἄνδρας P. δεκαεπτὰ L.P. 25 ὑστεραίᾳ ἡμέρᾳ πάλ. L.P. ἐπεξελθόντες καὶ πολὺ L.P.T.E. ἀντεπαρατάξαντο L.N.T. θαρραλ. ἐκ τοῦ N.

ἐγίνοντο τῶν Ῥωμαίων ἀδιάλειπτοι, ἐκδρομαὶ δὲ τῶν Ἰωτα- 27
πατηνῶν καὶ τειχομαχίαι καρτεραί· καὶ οὔτε Ἰουδαῖοι τὴν
τῶν πολεμίων ἰσχὺν κατωρρώδουν, οὔτε Ῥωμαῖοι πρὸς τὸ
τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

7. Ἔστι δὲ Ἰωτάπατα πλὴν ὀλίγου πᾶσα κρημνὸς, ἐκ 28
μὲν τῶν ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπείροις ἀπότο-
μος, ὡς τῶν κατιδεῖν πειρωμένων τὰς ὄψεις προεξασθενεῖν
τοῦ βάθους· ἀπὸ βορέου δὲ προσιτὴ μόνον, καθ' ὃ λήγοντι 29
τῷ ὄρει πλαγίῳ προσέκτισται. Καὶ τοῦτο δὲ ὁ Ἰώσηπος
ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς ἀκατάληπτον εἶναι
πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν. Κύκλοθεν δὲ ἄλλοις 30
ὄρεσι καλυπτομένη, πρὶν εἰσαφίκοιτό τις αὐτὴν, παντελῶς
ἀόρατος ἦν. Εἶχε μὲν οὕτως ὀχυρότητος Ἰωτάπατα.

8. Οὐεσπασιανὸς δὲ τῇ τε φύσει τοῦ χωρίου καὶ ταῖς τόλ- 31
μαις τῶν Ἰουδαίων ἀντιφιλονεικῶν, ἔγνω καρτερῶς ἅπτεσθαι
τῆς πολιορκίας· καὶ προσκαλεσάμενος τοὺς ὑπ' αὐτὸν ἡγεμό-
νας, ἐβουλεύετο περὶ τῆς προσβολῆς. Δόξαν δὲ χῶσαι τὸ 32
προσιτὸν τοῦ τείχους, ἐπὶ συγκομιδὴν ὕλης ἐκπέμπει πᾶν τὸ
στράτευμα, καὶ κοπέντων τῶν περὶ τὴν πόλιν ὀρῶν, συνα-
λισθείσης τε ἅμα τοῖς ξύλοις ἀπείρου χερμάδος, οἱ μὲν πρὸς 33
ἀλεώραν τῶν ὕπερθεν ἀφιεμένων βελῶν γέρρα διατείναν-
τες ὑπὲρ χαρακωμάτων ἔχουν ὑπ' αὐτοῖς, οὐδὲν ἢ μικρὰ
βλαπτόμενοι ταῖς ἀπὸ τοῦ τείχους βολαῖς· οἱ δὲ τοὺς πλη- 34
σίον ὄχθους ἀνασπῶντες, γῆν αὐτοῖς ἀδιαλείπτως προσέφε-
ρον. Καὶ τριχῇ διηρημένων, ἀργὸς ἦν οὐδείς. Οἱ δὲ Ἰου- 35

26 ἀδιάληπτοι P. 27 Ἰωταπηνῶν R. καρτερώτεραι· καὶ οὔτε L.E. καρτερότεραι· καὶ οὔτε P. κατορρώδουν P. 28 πᾶσα ἡ κρημνὸς N. 29 κατ (sed pri. ma. καθ) ὀλίγον τι τῷ ὄρει P. πλαγίως L.P. et ex cor. T. προσεκτείνεται. Καὶ L. προσεκτείνεται sic P. ἐκπεριειλήφει T. 30 Κύκλωθεν N.P.E. εἰσαφίκοιτό τις εἰς L.P. ἀφίκοιτό τις εἰς man. rec. transpos. εἰς T. εἶχεν μὲν οὖν οὕτως P. 31 ἔγνω καρτερώτερον L.P. 32 τὸ ἀπροσιτὸν τοῦ M.N.T. συναλισθείσης δὲ ἅμα E. 33 διατείνοντες L.M. ὑπὲρ τῶν χαρακ. L. ἐχώρουν sed in marg. ἔχουν T. ἐχώννυον E. 34 ἀδιαλ. ἔφερον L.P.

δαῖοι πέτρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς σκεπάσμασιν αὐτῶν ἐπηφίεσαν, καὶ πᾶν εἶδος βελῶν· ἦν δὲ καὶ μὴ διϊκνουμένων πολὺς ὢν ὁ ψόφος καὶ φοβερὸς ἐμπόδιον τοῖς ἐργαζομένοις.

36 9. Οὐεσπασιανὸς δὲ ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπιστήσας, τὰ πάντα δὲ ἦν ἑκατὸν ἑξήκοντα ὄργανα, βάλλειν ἐκέλευσε τοὺς ἐπὶ τοῦ τείχους. Ὁμοῦ δὲ οἵ τε καταπέλται τὰς λόγχας ἀνερροίζουν, καὶ ταλαντιαῖοι λίθοι μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλλοντο, πῦρ τε καὶ πλῆθος

37 ἀθρόων ὀϊστῶν· ἅπερ οὐ μόνον τὸ τεῖχος ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ τῆς ἐντὸς ὅσης ἐφικνεῖτο χώ-

38 ρας. Καὶ γὰρ τὸ τῶν Ἀράβων τοξοτῶν πλῆθος, ἀκοντισταί τε, καὶ σφενδονῆται πάντες, ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. Οὐ μὴν εἰργόμενοι τῆς καθύπερθεν ἀμύνης ἠρέ-

39 μουν· ἐκτρέχοντες γὰρ λῃστρικώτερον κατὰ λόχους, περιέσπων τε τῶν ἐργαζομένων τὰς σκέπας, καὶ τοὺς γυμνουμέ-

40 νους ἔπαιον, καὶ καθ' ὃ παρείκοιεν ἐκεῖνοι διερρίπτουν τὸ χῶμα, καὶ τὰ χαρακώματα σὺν τοῖς γέρροις ἐνεπίμπρασαν· μέχρι συνεὶς Οὐεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων

41 αἰτίαν εἶναι τῆς βλάβης, τὰ γὰρ διαστήματα τοῖς Ἰουδαίοις προσβολῆς παρεῖχε τόπον, ἐνοὶ τὰς σκέπας· καὶ συναφθείσης ἅμα αὐταῖς τῆς δυνάμεως, ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων παραδύσεις.

42 10. Ἐγειρομένου δὲ τοῦ χώματος ἤδη, καὶ ταῖς ἐπάλξεσιν ὅσον οὔπω πλησιάζοντος, δεινὸν ὁ Ἰώσηπος νομίσας, εἰ μηδὲν ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας,

43 καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦν. Τῶν δὲ ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐ-

σμα

35 τοῖς σκέπασιν αὐτῶν N. τοῖς σκέπασιν αὐ. sic T. τοῖς σκιάσμασιν αὐ. L. πολὺς ὁ ψόφος P. 36 ἐκέλευσε τοῖς ἀπὸ τοῦ N. οἱ καταπέλται N.T. ταλαντιαῖοι E. ὀΐστων ἀπαιωρούμενον τὸ τεῖχος N. et R. sed in hoc sup. lin. ἅπερ οὐ μόνον. 37 καὶ τὴν ἐντὸς L.M.P.R.E. ἀφικνεῖτο N.R.T.E. et pri. ma. L. 38 Καὶ γὰρ καὶ τὸ L.P. εἰργόμενοι τοῖς καθύπ. L.N. 39 περιέπων τε τῶν M. 40 διερριπτοῦντο τὸ L.P. ἐνεπίπρασαν N. 41 ἐνοὶ τὰ σκεπάσματα καὶ L.P. ἅμα αὐτοῖς L.N.P.E. 42 ὅσον οὕτω πλη. L. δεινὸν Ἰώσηπος M.N.R.T.E. ἐκέλευεν ὑψοῦν N.

τοῖς ἐπινοεῖ τοιάνδε. Δρυφάκτους πήξασθαι κελεύσας, ἐμ- 44
πετάσαι τε βύρσας νεοδόρους βοῶν, ὡς ἀναδέχοιντο μὲν τοὺς
ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι, περιολισθαίνοι δὲ
ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη, καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴρ- 45
γοιτο, προανίστησι τῶν τεκτόνων· ἐφ' οἷς ἀσφαλῶς ἐργαζό-
μενοι, δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν εἰς εἴκοσι
πήχεις τὸ ὕψος· καὶ συχνοὺς μὲν πύργους ἐνῳκοδόμησαν
αὐτῷ, καρτεράν τε ἔπαλξιν ἐφηρμόσαντο. Τοῦτο τοῖς Ῥω- 46
μαίοις, ἤδη τῆς πόλεως ἐντὸς οἰομένοις εἶναι, πολλὴν ἐποί-
ησεν ἀθυμίαν, καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσήπου, καὶ τὸ
παράστημα τῶν ἐπὶ τῆς πόλεως κατεπλάγησαν.

11. Οὐεσπασιανὸς δὲ καὶ πρὸς τὸ πανοῦργον τοῦ στρα- 47
τηγήματος, καὶ πρὸς τὰς τόλμας παρωξύνετο τῶν Ἰωταπα-
τηνῶν· πάλιν γὰρ ἀναθαρσήσαντες ἐπὶ τῷ τειχισμῷ τοῖς
Ῥωμαίοις ἐπεξέθεον, καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ 48
κατὰ λόχους, ἐπίνοιά τε λῃστρικὴ πᾶσα, καὶ τῶν προστυ-
χόντων ἁρπαγαί, καὶ τῶν ἄλλων ἔργων πυρπολήσεις· ἕως
Οὐεσπασιανὸς, ἀναπαύσας τὴν στρατιὰν μάχης, διέγνω προσ-
καθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν πόλιν. Ἡ 49
γὰρ ἀναγκαζομένους ἀπορίᾳ τῶν ἀναγκαίων ἱκετεύσειν αὐτὸν,
ἢ μέχρι παντὸς ἀπαυθαδισαμένους διαφθαρήσεσθαι λιμῷ.
Πολύ τε ῥᾴοσιν αὐτοῖς ἠξίου χρήσεσθαι κατὰ τὴν μάχην, εἰ
διαλιπὼν αὖθις ἐκτετρυχωμένοις ἐπιπέσοι. Φρουρεῖν δὴ πά-
σας αὐτῶν ἐκέλευσε τὰς ἐξόδους.

12. Τοῖς δὲ σίτου μὲν ἦν πλῆθος ἔνδον, καὶ τῶν ἄλλων 50

44 βύρσαις νεοδόροις M.N. βύρσας νεοδόρας sed -οδέρας ex cor. rec. man. L. ὡς ἂν δέχοιντο M.N.P.R.T.E. περιολισθάνοι N.R. καὶ τὰ λοιπὰ P. 45 ὑφ' ἧς ἀσφαλῶς P. ἀνήγειραν T. ἀνωκοδόμησαν L. ἐνοικοδόμησαν N. ἀνοκοδ. P. 46 ἐντὸς ἤδη τῆς πόλεως tr. E. 47 πάλαι γὰρ M.N.R. 48 συμπολαὶ καὶ κατὰ N.R. ἀναπαύσασθαι τὴν στρατιὰν L. αἴρειν τὴν π. N. ἀναιρεῖν τὴν π. P. 49 ἀναγκαζομ. ταῖς ἀπορίαις ἱκετ. L. ἀναγ. ταῖς ἀπορ. τῶν ἀναγκαίων ἱκετ. P. ἀναγ. τῶν ἀναγκαίων ἀπορίᾳ ἱκετ. T. ἱκετεύειν R.T. ἐπαυθαδισαμένους N.R.E. ἀπαυθαδιασαμένους T. ῥᾴοσιν αὐτὸς N. χρήσεσθαι ἠξίου tr. P.R.E. διαλείπων P. φρουρεῖν δὲ δεῖ πάσας L. φρουρεῖν δὲ ἦσαν N. φρουρεῖν δὲ πάσας M.E. 50 πλῆθος ἦν tr. L.P. ἔνδοθεν καὶ τῶν M.

πλὴν ἁλὸς ἁπάντων· ἔνδεια δὲ ὕδατος, ὡς ἂν πηγῆς μὲν οὐκ
οὔσης κατὰ τὴν πόλιν, τῷ δὲ ὀμβρίῳ διαρκουμένων τῶν ἐν
51 αὐτῇ· σπάνιον δέ, εἴ ποτε τὸ κλίμα θέρους ὕεται. Καὶ κατὰ
ταύτην τὴν ὥραν πολιορκουμένων, ἀθυμία δεινὴ πρὸς τὴν τοῦ
δίψους ἐπίνοιαν ἦν· ἠσχαλλόν τε, ὡς ἤδη ἐπιλελοιπότος κα-
52 θάπαν ὕδατος· ὁ γὰρ Ἰώσηπος τήν τε πόλιν ὁρῶν τῶν ἄλλων
ἐπιτηδείων εὔπορον, καὶ τὰ φρονήματα γενναῖα τῶν ἀνδρῶν,
βουλόμενός τε Ῥωμαίοις παρ' ἐλπίδα ἐκτεῖναι τὴν πολιορ-
53 κίαν, μέτρῳ τὸ ποτὸν αὐτοῖς διένεμεν. Οἱ δὲ τὸ ταμιεύεσθαι
χαλεπώτερον ἐνδείας ὑπελάμβανον, καὶ τὸ μὴ αὐτεξούσιον
αὐτῶν πλέον ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ εἰς ἔσχατον ἤδη
54 δίψους προήκοντες ἀπέκαμνον. Διακείμενοι δὲ οὕτως οὐκ
ἐλάνθανον τοὺς Ῥωμαίους· ἀπὸ γὰρ τοῦ κατάντους ἑώρων
αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ' ἕνα συρρέοντας τόπον, καὶ με-
τρουμένους τὸ ὕδωρ, ἐφ' ὃν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι
πολλοὺς ἀνῄρουν.

55 13. Καὶ Οὐεσπασιανὸς μὲν, οὐκ εἰς μακρὰν τῶν ἐκδοχείων
κενωθέντων, ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐτῷ παραδοθήσεσθαι
τὴν πόλιν. Ὁ δὲ Ἰώσηπος κλάσαι τὴν ἐλπίδα ταύτην αὐτῷ
56 προαιρούμενος, ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια, καὶ
κατακρεμάσαι περὶ τὰς ἐπάλξεις, ὥστε περιρρεῖσθαι πᾶν
ἐξαπίνης τὸ τεῖχος. Πρὸς τοῦτο ἀθυμία τῶν Ῥωμαίων καὶ
κατάπληξις ἦν, θεασαμένων εἰς χλεύην τοσοῦτον παραναλί-
57 σκοντας ὕδατος, οὗς οὐδὲ ποτὸν ἔχειν ὑπελάμβανον· ὥστε
καὶ τὸν στρατηγὸν, ἀπογνόντα τὴν δι' ἐνδείας ἅλωσιν, τρέ-
58 πεσθαι πάλιν πρὸς ὅπλα καὶ βίαν· ὃ δὴ τοῖς Ἰουδαίοις δι'
ἐπιθυμίας ἦν· ἀπεγνωκότες γὰρ ἑαυτοὺς καὶ τὴν πόλιν, πρὸ
λιμοῦ καὶ δίψης τὸν ἐν πολέμῳ θάνατον ᾑροῦντο.

τῷ ὀμβρίῳ T.E. τῶν δ' ὀμβρίων P. τῷ ἐν αὐτῇ L. εἴποτε τι κλίμα L. κλίμα τοῦτο θέρους E. 51 ἀσχαλλόντων ἤδη ὡς P. ἠσχαλόν τε ὡς ἤδη sic T. καθάπαν ἐπιλελοιπότος tr. L.P. 52 παρ' ἐλπίδα τοῖς Ῥωμαίοις tr. L.P. διένεμεν εὐθέως. Οἱ δὲ L. διένειμεν εὐθέως. Οἱ δὲ P. 54 αὐτοὺς ἐπὶ τὸ τεῖχος L.P. 55 Οὐεσπασιανὸς δὲ οὐκ L. ἐκδοχίων N. κλάσαι μὲν τὴν N.P.R.E. et pri. ma. T. 56 πλείστους ἱμάτια T. καὶ κατακρημνίσαι περὶ L. περιρεῖσθαι P.

14. Ὁ μέντοι γε Ἰώσηπος πρὸς τῷδε τῷ στρατηγήματι 59
καὶ ἕτερον ἐπενόησεν εἰς περιουσίαν αὐτῷ. Διά τινος χαράδρας δυσβάτου, καὶ διὰ τοῦτο ὑπὸ τῶν φυλάκων ἀμελουμένης, κατὰ τὰ πρὸς δύσιν μέρη τῆς φάραγγος ἐκπέμπων τινὰς, 60
γράμματά τε πρὸς οὓς ἐβούλετο τῶν ἔξω Ἰουδαίων διεπέμπετο καὶ παρ' αὐτῶν ἐλάμβανε, παντός τε ἐπιτηδείου τῶν ἐπιλελοιπότων ἀνὰ τὴν πόλιν εὐπόρησεν, ἕρπειν τὰ πολλὰ 61
παρὰ τὰς φυλακὰς κελεύσας τοῖς εἰσιοῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς, εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν· μέχρι συναισθόμενοι τὴν ἐπίνοιαν οἱ φρουροὶ, περιΐσχουσι τὴν χαράδραν.

15. Καὶ τότε Ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ἀν- 62
θέξειν ὁρῶν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν, εἰ μένοι, δρασμὸν ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. Συναισθόμενον δὲ 63
τὸ πλῆθος καὶ περιχυθὲν αὐτῷ κατηντιβόλουν, 'μὴ σφᾶς περιϊδεῖν ἐπ' αὐτῷ μόνῳ κειμένους· εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας μὲν ἐλπὶς, ὡς παραμένοντος αὐτοῦ, παντὸς ἀγωνισομένου δι' αὐτὸν προθύμως· καὶ ἐὰν ἁλῶσι δὲ, παραμυθία· πρέπειν δὲ αὐτῷ μήτε φεύγειν τοὺς ἐχθροὺς, μήτε ἐγκατα- 64
λείπειν τοὺς φίλους, μητὲ ἀποπηδᾶν ὥσπερ χειμαζομένης νεὼς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν· ἐπιβαπτίσειν γὰρ αὐτὸν τὴν πόλιν, μηδενὸς ἔτι τολμῶντος τοῖς πολεμίοις ἀνθίστασθαι, δι' ὃν ἀναθαρροῖεν οἰχομένου.'

16. Ὁ δὲ Ἰώσηπος τὸ καθ' αὐτὸν ἀσφαλὲς ὑποστελλό- 65

59 ἐνενόησεν N.P.R. 60 γράμματα πρὸς E. πρὸς οἷς ἠβούλετο P. διεπέμψατο καὶ L.N.P.T.E. αὐτῶν ἔλαβε N.T. τῶν ἀνὰ τὴν πόλιν ἐπίλελ. tr. L.P. 61 τοῖς ἰοῦσι L. τοῖς ἐξιοῦσιν P. καλύπτειν ῥάκεσιν R. μέχρι ποτὲ T. 62 Καὶ τόθ' ὁ Ἰωσ. P. ὁρῶν ἀνθέξειν tr. L.P. ἐν ἀπορίᾳ T. τὴν ἑαυτῶν P. σωτηρίαν αἰσθόμενος, δρ. M.N. et T. sed huj. in marg. εἰ μένοι. Συναισθόμενοι δὲ τὸ N.P. 63 πόλει σωτηρίας περι deest καὶ ex ras. T. σωτηρίας μένων ἐλπὶς N.R. σωτ. μένων ἑλ. sic T. ἐλπὶς καὶ παραμ. αὐτοῦ παντὸς M.N.T. ἐλπὶς παραμένων παντὸς L.P. προθύμως δι' αὐτὸν tr. T. παραμυθίαν L.P. 64 πρέπει δὲ L.P. μήτε φυγεῖν L.P. ἐγκαταλιπεῖν L.P. ἐγκαταλείψειν M.N.R.T.E. μήδ' ἀποπηδᾶν M.N.R.T.E. γὰρ αὐτοῖς τὴν L.P. τοῖς πολεμίοις τολμῶντος tr. L.P. ὃν ἂν θαρσοῖεν ex cor. ma. rec. L. ὃν θαρσοῖεν P.

μενος, 'ὑπὲρ αὐτῶν, ἔφασκε, ποιεῖσθαι τὴν ἔξοδον· μένων μὲν γὰρ οὔτ' ἂν ὠφελῆσαί τι μέγα σωζομένους, καὶ ἐὰν ἁλίσκωνται, συναπολέσθαι περιττός· ἐκδὺς δὲ τῆς πολιορκίας, ἔξωθεν
66 ὠφελήσειν αὐτοὺς μέγιστα. Τούς τε γὰρ ἐκ τῆς χώρας Γαλιλαίους συναθροίσειν ᾗ τάχος, καὶ Ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. Οὐχ ὁρᾶν δὲ, τί πα-
67 ρακαθεζόμενος αὐτοῖς χρήσιμος εἴη νῦν, πλὴν ἢ Ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, ὡς περὶ πλείστου ποιεῖσθαι λαβεῖν αὐτόν. Εἰ δὲ ἐκδράντα πύθοιντο, πολὺ τῆς
68 ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνήσειν.' Οὐκ ἔπειθε δὲ αὐτοὺς, ἀλλὰ μᾶλλον ἐξέκαυσε τὸ πλῆθος αὐτοῦ περιέχεσθαι. Παῖδες γοῦν καὶ γέροντες καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα προσέπιπτον αὐτῷ, καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάντες εἶχοντο,
69 καὶ μετὰ κωκυτῶν κοινωνὸν σφίσι τῆς τύχης μένειν ἱκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σωτηρίας, ἔμοιγε δοκεῖν, ἀλλ' ἐλπίδι τῆς αὐτῶν· οὐδὲν γὰρ ἠξίουν πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος.

70 17. Ὁ δὲ πειθομένῳ μὲν ἱκετηρίαν ταῦτα νομίσας, βιαζομένῳ δὲ φρουρὰν, πολὺ δὲ αὐτοῦ τὴν εἰς τὴν ἀπόλειψιν ὁρμὴν καὶ ὁ τῶν ὀδυρομένων ἔκλασεν οἶκτος, μένειν τε ἔγνω,
71 καὶ τὴν κοινὴν τῆς πόλεως ἀπόγνωσιν ὁπλισάμενος, 'νῦν καιρὸς, εἰπὼν, ἄρχεσθαι μάχης, ὅτε ἐλπὶς οὐκ ἔστι σωτηρίας, καλόν τε εὔκλειαν ἀντικαταλλαξάμενον τοῦ βίου, καὶ δράσαντά τι γενναῖον εἰς μνήμην ὀψιγόνων παίδων,' ἐπ' ἔργα
72 τρέπεται. Καὶ προελθὼν μετὰ τῶν μαχιμωτάτων, διεσκίδνα

65 μὲν γὰρ ἔσω οὔτ' ἂν L. μὲν γὰρ εἴσω οὔτ' ἂν P. et in marg. T. συναπολεῖσθαι L.P. περισσός M.N.R.T.E. περιττῶς P. αὐτοὺς ὠφελήσειν tr. L.P. 66 εἴην νῦν N. 67 πλὴν εἰ μὴ Ῥωμ. L.P. πολιορκίαν ὡσπερεὶ M. ἐκδράντα πείθοιντο P. ὁρμῆς ἀνείσειν P. 68 ἔπειθέν τε αὐτοὺς M.N.R.E. ἔπειθε δὲ τούτοις L. ἔπειθε δὲ τούτους P. αὐτῷ περιέχ. N.E. αὐτῶν περιέχ. sed ω prius erat o. L. παιδία γοῦν L. παιδία οὖν P. 69 ἔμοιγε δοκεῖ L. et ex ras. T. ἐμοί τε δοκεῖν N. τῆς ἑαυτῶν L.P. πήσεσθαι δεινὸν N. 70 αὐτὸν τῆς εἰς L. αὐτοῦ τῆς εἰς M.P.R. et ex cor. T. ὁρμῆς L.M.P.R. et ex cor. T. 71 ὁπλισάμενος γοῦν καιρὸς L.P. οὐκ ἔσται P. καλὴν εὔκλειαν ex cor. T. ἀνταλλαξάμενον N.R. ἀνταλλαξάμενος M. ὀψιγόνων παισὶν L.P. 72 Καὶ προσελθὼν P.

τε τοὺς φρουροὺς, καὶ μέχρι τοῦ στρατοπέδου τῶν Ῥωμαίων κατέτρεχε, καὶ τὰς μὲν ἐπὶ τῶν χωμάτων δέρρεις, αἷς ὑπεσκήνουν, διέσπα, τοῖς δὲ ἔργοις ἐνέβαλλε πῦρ, τῇ τε ἐξῆς ὁμοίως, καὶ τῇ τρίτῃ, καὶ ἐπὶ συχνὰς ἡμέρας καὶ νύκτας πολεμῶν οὐκ ἔκαμνεν.

18. Οὐεσπασιανὸς δὲ, τῶν Ῥωμαίων κακουμένων ταῖς ἐκ- 73
δρομαῖς, — τρέπεσθαί τε γὰρ ὑπὸ Ἰουδαίων ἠδοῦντο, καὶ τραπέντων ἐπιδιώκειν βάρει τῶν ὅπλων ἦσαν βραδεῖς, οἵ τε Ἰουδαῖοι πρίν τι παθεῖν ἀεὶ δρῶντες ἀνέφευγον εἰς τὴν πόλιν, — τοῖς μὲν ὁπλίταις τὰς ὁρμὰς αὐτῶν ἐκκλίνειν ἐκέλευσε, καὶ 74
' μὴ συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις· οὐδὲν γὰρ ἀλκιμώτερον εἶναι τῆς ἀπογνώσεως, περισβέννυσθαι δὲ αὐτοῖς τὰς ὁρμὰς, σκοπῶν ἀπορουμένας, ὥσπερ ὕλης τὸ πῦρ· προσήκειν 75
γε μὴν καὶ Ῥωμαίοις μετὰ ἀσφαλείας καὶ τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλὰ προσκτωμένοις.' Τοῖς δὲ τῶν Ἀράβων τοξόταις, καὶ τοῖς ἀπὸ τῆς Συρίας σφενδονήταις, καὶ λιθοβόλοις, τὰ πολλὰ τοὺς Ἰουδαίους ἀνέστελλεν· ἠρέμει δὲ οὐδὲ τῶν ἀφετηρίων ὀργάνων τὸ πλῆθος. Οἱ δὲ 76
τούτοις μὲν εἶκον κακούμενοι· τῶν δὲ πόρρω βαλλομένων ἐνδοτέρω γενόμενοι, προσέκειντο τοῖς Ῥωμαίοις χαλεποὶ, καὶ ψυχῆς καὶ σώματος ἀφειδοῦντες ἐμάχοντο, ἐκ διαδοχῆς ἑκάτεροι τὸ κεκμηκὸς ἑαυτῶν ἀναλαμβάνοντες.

19. Οὐεσπασιανὸς δὲ ἡγούμενος τῷ μήκει τοῦ χρόνου καὶ 77
ταῖς ἐκδρομαῖς ἀντιπολιορκεῖσθαι, τῶν χωμάτων ἤδη τοῖς τείχεσι πελαζόντων, προσάγειν ἔγνω τὸν κριόν. Ὃ δέ ἐστιν 78
ὑπερμεγέθης δοκὸς, ἰστῷ νηὸς παραπλήσιος· ἐστόμωται δὲ παχεῖ σιδήρῳ κατ' ἄκρον εἰς κριοῦ προτομὴν, ἀφ' οὗ καὶ κα-

δέρεις N. ἐνέβαλε πῦρ T. 73 τῶν τε Ῥωμαίων L.M.N.R.T. τρέπεσθαι μὲν γὰρ L.P. 74 οὐδὲν μὲν ἀλκιμ. P.E. περισβέννυσθαι δὲ αὐτῶν sed addito recenter ν L. περισβέν. αὐτοῖς M. περισβέν. δ' ἑαυτοῖς R. 75 ὡς ἂν ἐξ ἀνάγκης N. et pri. ma. T. ἀλλὰ προσχρωμένοις M.R.E. τοξόταις καὶ λιθοβόλοις cætera desunt M. ἀπὸ Συρίας P.R.E. 76 μὲν ἦκον M. μὲν ἀεὶ εἶκον P. ἐνδότεροι P. γενόμενοι L.M.N.T. τὸ κεκμηκὸς ἑαυτῶν ἀναλαμβάνοντες defuerunt omnia, sed in marg. man. rec. adscripta sunt L. 78 ὑπερμεγέθης κριὸς, P. ἐστόμωτο L. οὗ καλεῖται L.P.

79 λεῖται, τετυπωμένῳ. Καταιωρεῖται δὲ κάλοις μέσος, ὥσπερ ἀπὸ πλάστιγγος, ἑτέρας δοκοῦ σταυροῖς ἑκατέρωθεν ἐδραίοις ὑπεστηριγμένης. Ἀνωθούμενος δὲ ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, τῶν αὐτῶν ἀθρόως πάλιν εἰς τὸ ἔμπροσθεν ἐπι-
80 βρισάντων, τύπτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ. Καὶ οὐδεὶς οὕτω καρτερὸς πύργος, ἢ περίβολος πλατὺς, ὃς, καὶ ἂν τὰς πρώτας πληγὰς ἐνέγκῃ, κατίσχυσε τῆς ἐπιμονῆς. Ἐπὶ ταύτην τὴν πεῖραν ὁ στρατηγὸς τῶν Ῥωμαίων μετέ-
βαινε, βίᾳ τὴν πόλιν ἐλεῖν σπεύδων, ὡς τὸ προσκαθέζεσθαι
81 βλαβερὸν ἦν, Ἰουδαίων οὐκ ἠρεμούντων. Οἱ μὲν οὖν τούς τε καταπέλτας, καὶ τὰ λοιπὰ τῶν ἀφετηρίων, ὡς ἐξικνοῖτο τῶν ἐπὶ τοῦ τείχους κωλύειν πειρωμένων, ἔγγιον προσαγαγόντες ἔβαλλον· ὁμοίως δὲ συνήγγιζον οἱ τοξόται καὶ σφενδονῆται.
82 Διὰ δὲ ταῦτα μηδενὸς τῶν περιβόλων ἐπιβῆναι τολμῶντος, προσῆγον ἕτεροι τὸν κριὸν, γέρροις τε διηνεκέσι καὶ καθύπερθε πεφραγμένον δέρρει, πρός τε αὐτῶν καὶ τοῦ μηχανή-
83 ματος ἀσφάλειαν. Καὶ κατὰ τὴν πρώτην πληγὴν διεσείσθη μὲν τὸ τεῖχος, κραυγὴ δὲ μεγίστη παρὰ τῶν ἔνδοθεν ἤρθη, καθάπερ ἑαλωκότων ἤδη.

84 **20.** Πολλάκις δὲ εἰς τὸν αὐτὸν παίοντας τόπον ὁ Ἰώσηπος ὁρῶν, καὶ ὅσον οὔπω καταρριφθησόμενον τὸ τεῖχος,
85 σοφίζεται πρὸς ὀλίγον τὴν βίαν τοῦ μηχανήματος. Σάκκους ἀχύρων πληρώσαντας ἐκέλευσε καθιμᾶν, καθ' ὃ φερόμενον ἀεὶ τὸν κριὸν ὁρῷεν, ὡς πλάζοιτό τε ἡ ἐμβολὴ, καὶ δεχό-
86 μενοι τὰς πληγὰς ἐκκενοῖεν τῇ χαυνότητι. Τοῦτο πλείστην διατριβὴν παρέσχε τοῖς Ῥωμαίοις, καθὸ μὲν τρέποιεν τὴν μηχανὴν, ἀντιπαραγόντων τοὺς σάκκους τῶν ὑπερθεν, ὑπο-

τετυπωμένος P. 79 Καταιωρῖται L. καταιώρηται M.N. κάλλοις μέσος L. κάλοις μέσοις M. ὑπεστηριγμένος L. ἐστηριγμένος M.R. ἐστηριγμένης N.T. 80 ὃς καὶ τὰς M.N.R.T. ἐνέγκειν L.P. ἐνέγκαι M. N.R.T.E. κατισχύει E. κατισχύσει M.N.R.T. 80 τῆς ἐπιβολῆς T. 81 ἐξικνοῦντο pri. ma. T. προσαγαγόντας M. 82 δέρρεις L.P. 83 τῶν ἔνδον L.P. 84 παίοντα τόπον R. ὁρῶν ὅσον L.M.N.P.T. καταρριφησόμενον M. σοφ. κατὰ μικρὸν L. σοφ. κατ' ὀλίγον P. 85 φερόμενον τὸν M. δεχομένη τὰς M.N.R. 86 τοὺς σάκους P.

βαλλόντων δὲ ταῖς ἐμβολαῖς, ὡς μηδὲν κατ' ἀντιτυπίαν βλάπτεσθαι τὸ τεῖχος· ἕως ἀντεπινοήσαντες κοντοὺς οἱ Ῥω- 87
μαῖοι μακροὺς, καὶ δρέπανα δήσαντες ἐπ' ἄκρων τοὺς σάκκους ἀπέτεμνον. Ἐνεργοῦ δὲ οὕτω τῆς ἐλεπόλεως γενομένης, καὶ 88
τοῦ τείχους, νεοπαγὲς γὰρ ἦν, ἐνδιδόντος ἤδη, τὸ λοιπὸν ἐπὶ τὴν ἐκ πυρὸς ἄμυναν οἱ περὶ τὸν Ἰώσηπον ὥρμησαν· ἀψάμενοι δὲ ὅσον αὔης εἶχον ὕλης, τριχόθεν ἐπεκθέουσι, καὶ τά τε μηχανήματα, καὶ τὰ γέρρα, καὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπεπίμπρασαν. Οἱ δὲ κακῶς ἐπεβοήθουν, πρός τε τὴν τόλ- 89
μαν αὐτῶν καταπεπληγότες, καὶ ὑπὸ τῆς φλογὸς τὰς ἀμύνας φθανόμενοι· ξηρᾶς γὰρ ὕλης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔτι δὲ θείου, διΐπτατο τὸ πῦρ ἐπινοίας τάχιον, καὶ τὰ πολλῷ καμάτῳ πεπονημένα Ῥωμαίοις ἐπὶ μιᾶς ὥρας ἐνέμετο.

21. Ἔνθα καὶ ἀνήρ τις ἐξεφάνη Ἰουδαῖος, λόγου καὶ μνή- 90
μης ἄξιος. Σαμαίου μὲν παῖς ἦν, Ἐλεάζαρος δ' ἐκαλεῖτο, Σαὰβ δὲ πατρὶς αὐτῷ τῆς Γαλιλαίας. Ὑπερμεγέθη πέτραν 91
ἀράμενος, ἀφίησιν ἀπὸ τοῦ τείχους ἐπὶ τὴν ἐλέπολιν μετὰ τοσαύτης βίας, ὥστε ἀπορράξαι τὴν κεφαλὴν τοῦ μηχανήματος, ἣν καὶ καταπηδήσας ἐκ μέσων αἴρεται τῶν πολεμίων, καὶ μετὰ πολλῆς ἀδείας ἐπὶ τὸ τεῖχος ἔφερε. Σκοπὸς δὲ πᾶσι 92
τοῖς ἐχθροῖς γενόμενος, καὶ γυμνῷ τῷ σώματι τὰς πληγὰς δεξάμενος, πέντε μὲν διαπείρεται βέλεσι. Πρὸς οὐδὲν δὲ τούτων ἐπιστραφεὶς, ὅτε τὸ τεῖχος ἀνέβη, καὶ περίοπτος πᾶσι τῆς εὐτολμίας ἔστη, τότε ἰλυσπώμενος ὑπὸ τῶν τραυμάτων μετὰ τοῦ κριοῦ κατέπεσεν. Ἄριστοι μετὰ τοῦτον 93
ἐφάνησαν ἀδελφοὶ δύο Νετίρας καὶ Φίλιππος, ἀπὸ Ῥουμᾶς

87 ἀπέτεμον N.T. 88 Ἐνεργοῦς P.T. καὶ τοῦ τε τείχους M.R. ὅσον αὐτῆς εἶχον P. ὑπεκθέουσι L. τὰ γέρα R. ὑπεμπίπρασαν M.R.E. 89 ἀσφάλτου καὶ P. ἔτι δὲ καὶ θείου R.E. πεποιημένα L. τοῖς Ῥωμαίοις L.P. 90 Ἰουδαίων L.P. Σαμίου L.P. Σαμέου M.R. παῖς, Ἐλεάζαρος T. Σαβαὰ δὲ L. Σαβὰ δὲ P. 91 Ὑπερμεγέθη δὲ L.P. πέτραν sic R. ἣν δὴ καὶ R.E. ἐκ μέσου P. 92 γινόμενος P. δεχόμενος sed in marg. δεξάμενος L. διαπήρεται N. τότε deest M. εἱλυσπώμενος N. 93 Ἄριστοι μετ' αὐτὸν L.P. Νετήρας L. Νετείρας P. ἀπὸ Ῥύμας L. ἀπὸ Ῥωμᾶς M.

κώμης, Γαλιλαῖοι καὶ αὐτοί. Προπηδῶσι μὲν εἰς τοὺς ἀπὸ τοῦ δεκάτου τάγματος, οὕτω δὲ ῥοίζῳ καὶ βίᾳ τοῖς Ῥωμαίοις συνέπεσον, ὡς διαρρῆξαί τε τὰς τάξεις, καὶ τρέψασθαι καθ' οὓς ἂν ἐφορμήσειαν ἅπαντας.

94 22. Μετὰ τούτους ὅ τε Ἰώσηπος καὶ τὸ λοιπὸν πλῆθος ἀράμενοι πολὺ πῦρ, τὰ μηχανήματα καὶ τὰς ὑποδύσεις ἅμα τοῖς ἔργοις ὑφῆψαν τοῦ τε πέμπτου καὶ τοῦ δεκάτου τραπέντος τάγματος. Οἱ λοιποὶ δὲ φθάσαντες καὶ τὰ ὄργανα
95 καὶ πᾶσαν ὕλην κατέχωσαν· περὶ δὲ δείλην ἀναστήσαντες, προσῆγον τὸν κριὸν πάλιν, ᾗ προπεπονήκει τυπτόμενον τὸ τεῖχος. Ἔνθα τις τῶν ἀμυνομένων ἀπ' αὐτοῦ βάλλει τὸν Οὐεσπασιανὸν βέλει κατὰ τὸν ταρσὸν τοῦ ποδὸς, καὶ τιτρώσκει μὲν ἐπιπολαίως, προεκλύσαντος τὸ βληθὲν τοῦ διαστή-
96 ματος. Μέγιστον δὲ θόρυβον ἐνεποίησε τοῖς Ῥωμαίοις· πρὸς γὰρ τὸ αἷμα ταραχθέντων τῶν πλησίον, φήμη διὰ παντὸς ἐμπίπτει ἐπὶ τῇ πληγῇ τοῦ στρατηγοῦ, καὶ τῆς πολιορκίας οἱ πλείους ἀφέμενοι μετ' ἐκπλήξεως καὶ δέους ἐπὶ τὸν
97 στρατηγὸν συνέθεον. Πρὸ δὲ πάντων Τίτος, δείσας περὶ τῷ πατρὶ, παρῆν· ὡς τὸ πλῆθος καὶ τῇ περὶ τὸν ἡγούμενον
98 εὐνοίᾳ, καὶ τῇ τοῦ παιδὸς ἀγωνίᾳ συγχυθῆναι. Ῥᾷστα μέντοι τόν τε υἱὸν ὁ πατὴρ δεδιότα, καὶ τὴν στρατιὰν ἔπαυσε τοῦ θορύβου· τῶν γὰρ ἀλγηδόνων ἐπάνω γενόμενος, καὶ πᾶσι τοῖς ἐπτοημένοις δ' αὐτὸν ὀφθῆναι σπουδάσας, χαλεπώτερον
99 Ἰουδαίοις ἐπήγειρε τὸν πόλεμον. Ἕκαστος γὰρ, ὡς τιμωρὸς τοῦ στρατηγοῦ, προκινδυνεύειν ἤθελε, καὶ βοῇ παρακροτοῦντες ἀλλήλους ἐπὶ τὸ τεῖχος ὥρμων.

οἱ ante προπηδῶσι ma. rec. additum L. δω τοῦ δεκάτου sic P. τοσούτῳ δὲ ῥοίζῳ P. et L.T. sed in his duobus ma. rec. adj. τοσ. Ῥωμ. προσέπεσον M. διαρρῆξαι τὰς P. οὓς ἐφορμήσειαν L.P. 94 πλῆθος deest L. ἀράμ. πάλιν πῦρ L.M.R. ἀράμ. πῦρ πάλιν P. ἅμα τοῖς πύργοις T. et R. sed in huj. marg. ἔργοις. λοιποὶ φθάσαντες M.N.R. T.E. 95 δείλην πάλιν ἀναστή. L.P. πάλιν τὸν κριὸν tr. L.P. ᾗ πρότερον προπ. P. ἐπιπολέως N. 96 διὰ παντὸς ἐπήει τοῦ στρατοῦ, καὶ τῆς L.P. μετ' ἐμπλήξεως M. 97 τῇ πρὸς τὸν L. 98 Ῥᾷστα μὲν τὸν P. Ἰουδαίοις ἐπῆρεν P. 99 προκινδυνεύσειν L. τεῖχος ὥρμουν N. ἀλλὰ καὶ πυρὶ T. πέτραις P.E.

23. Οἱ δὲ περὶ τὸν Ἰώσηπον, καίπερ ἐπ' ἀλλήλοις πίπ- 100
τοντες ὑπὸ τῶν καταπελτικῶν καὶ τῶν πετροβόλων, ὅμως
οὐκ ἀπετρέποντο τοῦ τείχους, ἀλλὰ πυρὶ καὶ σιδήρῳ καὶ
πέτροις τοὺς ἐπὶ τὰ γέρρα τὸν κριὸν ἐπιβρίθοντας ἔβαλλον.
Καὶ ἦνυον μὲν οὐδὲν ἢ μικρὸν, αὐτοὶ δ' ἀδιαλείπτως ἔπιπτον, 101
ὑπὸ μὴ βλεπομένων καθορώμενοι· αὐτοί τε γὰρ ὑπὸ τῆς
σφετέρας περιλαμπόμενοι φλογὸς, σκοποὶ ἦσαν τοῖς πολε-
μίοις εὐσύνοπτος, ὥσπερ ἐν ἡμέρᾳ, καὶ τῶν ὀργάνων πόρρω- 102
θεν μὴ βλεπομένων, δυσφύλακτον ἦν τὸ βαλλόμενον. Ἥ τε
οὖν τῶν ὀξυβελῶν καὶ καταπελτῶν βία πολλοὺς ἅμα διή-
λαυνε· καὶ τῶν ὑπὸ τῆς μηχανῆς ἀφιεμένων πετρῶν ὁ ῥοῖζος
ἐπάλξεις τε ἀπέσυρε, καὶ γωνίας ἀπέθρυπτε πύργων. Ἀν- 103
δρῶν μὲν γὰρ οὐκ ἦν οὕτως ἰσχυρὸν στίφος, ὃ μὴ μέχρις
ἐσχάτης στρώννυται φάλαγγος, βίᾳ τε καὶ μεγέθει τοῦ
λίθου. Μάθοι δ' ἄν τις τὴν τοῦ μηχανήματος ἀλκὴν ἐκ τῶν
ἐπὶ τῆσδε τῆς νυκτὸς γενομένων. Πληγεὶς γάρ τις ἀπ' αὐ- 104
τοῦ τῶν περὶ τὸν Ἰώσηπον ἑστώτων ἀνὰ τὸ τεῖχος ἀπαράσ-
σεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας, καὶ τὸ κρανίον ἀπὸ τριῶν
ἐσφενδονήθη σταδίων· γυναικός τε μεθ' ἡμέραν ἐγκύμονος
πληγείσης τὴν γαστέρα, προῆει δὲ νέον ἐξ οἰκίας, ἐξέσεισεν
ἐφ' ἡμιστάδιον τὸ βρέφος· τοσαύτη ἦν ἡ τοῦ λιθοβόλου
βία. Τῶν μὲν ὀργάνων φοβερώτερος ὁ ῥοῖζος, τῶν δὲ βαλ- 105
λομένων ἦν ὁ ψόφος. Ἐπάλληλοι δ' ἐκτύπουν οἱ νεκροὶ
κατὰ τοῦ τείχους ῥιπτόμενοι, καὶ δεινὴ μὲν ἔνδοθεν κραυγὴ
γυναικῶν ἠγείρετο, συνήχουν δὲ ἔξωθεν οἰμωγαὶ φονευομένων.
Αἵματι δ' ἐρρεῖτο πᾶς ὁ πρὸ τῆς μάχης περίβολος, καὶ 106
προσβατὸν ὑπὸ πτωμάτων τὸ τεῖχος ἐγίνετο. Φοβερωτέ-
ραν δὲ ἐποίουν τὴν βοὴν περιηχοῦντα τὰ ὄρη· καὶ οὐδὲν ἐπ'

101 περιλαμβανόμενοι φλογὸς N.P. 102 ἦν τὸ βλεπόμενον. Ἥ τε M.N.R.T. Ἥ τε γὰρ τῶν E. 103 οὐκ ἦν desunt L.P. ὃ μὴ desunt L. τῶν λίθων sic R. μάθῃ δ' ἂν R. 104 ἀπ' αὐτῶν τῶν L. ἐσφενδονήσθη P. προϊούσης νέον sed in marg. προῆει δὲ νέον P. τοσαύτη ἦν τοῦ L.M.N.P.R.E. et pri. ma. T. 105 Τῶν οὖν ὀργάνων L.M.N.P.R.T. φοβερότερος P. ἦν ψόφος P. ἐπαλλήλοις δὲ ἐκτυπούμενοι νεκροὶ N. τείχους ἐρειπόμενοι N.T. 106 καὶ ἀπρόσβατον L. περιηχοῦντα τὰ ὄργανα· L.

ἐκείνης τῆς νυκτὸς, οὔτε εἰς ἀκοῆς οὔτε εἰς ὄψεως κατάπληξιν
107 ἀπελείφθη. Πλεῖστοι μέν γε τῶν ἐπὶ τῆς Ἰωταπάτης ἀγωνιζόμενοι γενναίως ἔπεσον, πλεῖστοι δ' ἐγένοντο τραυματίαι· καὶ μόλις περὶ τὴν ἑωθινὴν φυλακὴν ἐνδίδωσι τοῖς μηχανή-
108 μασι τὸ τεῖχος, ἀδιαλείπτως τυπτόμενον· οἱ δὲ φραξάμενοι τὰ σώματα τοῖς ὅπλοις, τὸ καταρριφθὲν ἀντωχύρωσαν, πρὶν βληθῆναι τὰς ἐπιβατηρίους ὑπὸ τῶν Ῥωμαίων μηχανάς.

109 24. Ὑπὸ δὲ τὴν ἕω Οὐεσπασιανὸς ἐπὶ τὴν κατάληψιν τῆς πόλεως συνῆγε τὴν στρατιὰν, ὀλίγον ἀπὸ τοῦ νυκτερινοῦ πόνου διαναπαύσας. Βουλόμενος δὲ ἀπὸ τῶν καταρριφθέντων περισπᾶσαι τοὺς εἴργοντας, τοὺς μὲν γενναιοτάτους τῶν
110 ἱππέων ἀποβήσας τῶν ἵππων, τριχῇ διέταξε κατὰ τὰ πεπτωκότα τοῦ τείχους, πάντοθεν πεφραγμένους τοῖς ὅπλοις, καὶ τοὺς κοντοὺς προΐσχοντας, ὡς, ὁπότε τὰς ἐπιβατηρίους βάλ-
111 λοιεν μηχανὰς, κατάρχοιντο τῆς εἰσόδου. Κατόπιν δὲ αὐτῶν ἔταξε τοῦ πεζοῦ τὸ ἀκμαιότατον, τὸ δὲ λοιπὸν ἱππικὸν ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ πᾶσαν τὴν ὀρεινὴν, πρὸς τὸ μηδένα τῶν ἀναφευγόντων ἐκ τῆς ἁλώσεως διαλαθεῖν· κατόπιν δὲ τούτων περιέστησε τοὺς τοξότας, ἔχειν κελεύσας ἕτοιμα
112 τὰ βέλη πρὸς ἄφεσιν, ὁμοίως δὲ καὶ σφενδονήτας, καὶ τοὺς ἐπὶ τῶν μηχανημάτων, ἑτέρους δὲ κλίμακας ἀραμένους προσφέρειν ἐπάνω τοῖς ἀκεραίοις τείχεσιν, ἵνα οἱ μὲν τούτους κωλύειν πειρώμενοι καταλίποιεν τὴν ἐπὶ τοῖς καταρριφθεῖσι φυλακὴν, οἱ λοιποὶ δὲ ὑπ' ἀθρόων βιαζόμενοι τῶν βελῶν εἴξωσι τῆς εἰσόδου.

113 25. Ἰώσηπος δὲ συνεὶς τὴν ἐπίνοιαν, ἐπὶ μὲν τοῦ μένοντος τείχους σὺν τοῖς κεκμηκόσιν ἵστησι τοὺς γηραιοὺς, ὡς μηδὲν ταύτῃ βλαβησομένους· κατὰ δὲ τὰ παρερρωγότα τοῦ τεί-

ἀπελείπετο. L.P. 108 τοῖς σώμασι καὶ τοῖς ὅπλοις L.M.P.R. τοῖς σώμασι καὶ τοῖς ὁπλίταις N.T. 109 τῶν ἵππων ἀποβήσας τριχῇ P. ἀποβιβάσας τῶν ἵππων R. 110 ἐπιβατ. βάλοιεν T. 111 ἀντεπαρεξέτεινεν P. ἁλώσεως διαφυγεῖν· κατόπιν M.E. τούτων παρέστησε τοὺς T. 112 ὁμοίως δὲ σφεν. L.M.E. οἱ μὲν τούτοις κωλ. M. et pri. ma. L. καταλείποιεν N. 113 συνιεὶς τὴν L.P. εἰς δὲ τὰ κατερρωγότα τοῦ L. εἴς τε τὰ κατερρω. τοῦ P.

χους τοὺς δυνατωτάτους, καὶ πρὸ πάντων ἀνὰ ἓξ ἄνδρας, μεθ' ὧν καὶ αὐτὸς, εἰς τὸ προκινδυνεύειν ἐκληρώσατο. Ἐκέ- 114
λευσέ τε πρὸς μὲν τὸν ἀλαλαγμὸν τῶν ταγμάτων ἐπιφράξαι τὰς ἀκοὰς, ὡς μὴ καταπλαγεῖεν, πρὸς δὲ τὸ πλῆθος τῶν βελῶν συνοκλάσαντας καλύπτεσθαι καθύπερθε τοῖς θυρεοῖς, ὑποχωρῆσαί τε πρὸς ὀλίγον, ἕως τὰς φαρέτρας κενώσωσιν οἱ τοξόται· βαλλόντων δὲ τὰς ἐπιβατηρίους μηχανὰς αὐτοὺς 115
προπηδᾶν, καὶ διὰ τῶν ἰδίων ὀργάνων ἀπαντᾶν τοῖς πολεμίοις· ἀγωνίζεσθαί τε ἕκαστον, ὡς οὐχ ὑπὲρ σωθησομένης, ἀλλ' ὥσπερ ἀπολωλυίας ἤδη τῆς πατρίδος ἀμυνόμενον· λαμ- 116
βάνειν τε πρὸ ὀφθαλμῶν σφαγησομένους γέροντας καὶ τέκνα, καὶ γυναῖκας ἀναιρεθησομένας ὑπὸ τῶν ἐχθρῶν ὅσον οὐδέπω, καὶ τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας, ἐναφεῖναι τοῖς δράσουσιν αὐτάς.'

26. Ἔταξε μὲν οὖν οὕτως ἑκάτερον· τὸ δὲ ἀργὸν ἀπὸ τῆς 117
πόλεως πλῆθος, γύναια καὶ παῖδες, ὡς ἐθεάσαντο τριπλῇ μὲν φάλαγγι τὴν πόλιν ἐζωσμένην, οὐδὲν γὰρ εἰς τὴν μάχην μετακεκίνητο τῶν πάλαι φυλάκων, πρὸς δὲ τοῖς βεβλημένοις 118
τείχεσι τοὺς πολεμίους ξιφήρεις, καὶ τὴν καθύπερθεν ὀρεινὴν λαμπομένην ὅπλοις, τά τε βέλη τοῖς τοξόταις ἐπανέχοντα τῶν Ἀράβων, ὕστατον τινὰ κωκυτὸν ἀλώσεως συνήχησαν, ὡς οὐκ ἀπειλουμένων ἔτι τῶν κακῶν, ἀλλ' ἤδη παρόντων. Ὁ δὲ Ἰώσηπος τὰ μὲν γύναια, ὡς μὴ θηλύνοιεν οἴκτῳ 119
τὰς ὁρμὰς τῶν σφετέρων, κατακλείει ταῖς οἰκίαις, μετ' ἀπειλῆς ἡσυχάζειν κελεύσας· αὐτὸς δὲ πρὸ τῶν ἐρριφθέντων, ἣ 120
ἔλαχε, παρῆει. Τοῖς μὲν οὖν καθ' ἕτερα προσφέρουσι τὰς

114 τὸν ἀλλαπλαγμὸν R. ἀποφράξαι T. καταφράξαι L.P. ὡς ἂν μὴ καταπ. L.P.E. καταπληγεῖεν M. καταπλαγοῖεν P. καλύψασθαι P. κατ' ὀλίγον L. κενώσουσιν M.R. ὑποκενώσωσιν L.P. 115 τὰς ἀποβατηρίους L. ἕκαστον ὡς ὑπὲρ L. ἕκαστον οὐχ ὑπὲρ M.N. ἕκαστον οὐχ ὥσπερ P. ὥσπερ ὑπὲρ ἀπολωλυίας L.N.E. 116 λαμβάνειν δὲ πρὸ L. καὶ τὰ τέκνα M.N.R.T. γυναῖκας εὑρεθησομένας L.P. προαλίσαντες N. 117 τριπλῇ φάλαγγι P. εἰς μάχην P. 118 βέλη τοὺς τοξότας M.N.R. 119 τὰς μὲν γυναίκας ὡς L.P. 120 τῶν ἐρρειφθέντων ex cor. T.

κλίμακας οὐ προσεῖχεν, ἀπεκαραδόκει δὲ τὴν ὁρμὴν τῶν βελῶν.

121 27. Ὁμοῦ δὲ οἵ τε σαλπιγκταὶ τῶν ταγμάτων ἁπάντων συνήχησαν, καὶ δεινὸν ἐπηλάλαξεν ἡ στρατιά· καὶ πάντοθεν ἀφιεμένων ἀπὸ συνθήματος τῶν βελῶν, τὸ φῶς ὑπετέμνετο.
122 Μεμνημένοι γε μὴν τῶν τοῦ Ἰωσήπου προσταγμάτων οἱ σὺν αὐτῷ, τάς τε ἀκοὰς πρὸς τὴν βοὴν καὶ τὰ σώματα πρὸς τὰς ἀφέσεις ἐφράξαντο· καὶ βαλλόντων τὰς μηχανὰς, ἐπεξέδρα-
123 μον δι' αὐτῶν, πρὶν ἐπιβῆναι τοὺς διαβαλόντας. Συμπλεκόμενοί γε μὴν τοῖς ἀνιοῦσι παντοῖα καὶ χειρῶν ἔργα καὶ ψυχῆς ἐναπεδείκνυντο, πειρώμενοι παρὰ τὰς ἐσχάτας συμφορὰς, μὴ χείρους φαίνεσθαι τῶν ἐν ἀκινδύνῳ τῶν κατὰ σφᾶς ἀνδριζομένων· ὥστε οὐ πρότερον ἀπερρήγνυντο τῶν Ῥωμαίων,
124 πρὶν ἢ πεσεῖν ἢ διαφθεῖραι. Ὡς δὲ οἱ μὲν ἔκαμνον διηνεκῶς ἀμυνόμενοι, καὶ τοὺς ἑαυτῶν ἀμείβειν οὐκ ἔχοντες, τὸ κεκμηκὸς δὲ τῶν Ῥωμαίων ἀκραιφνεῖς διεδέχοντο, καὶ ταχέως ἀντὶ τῶν ὑποβιασθέντων ἐπέβαινον ἕτεροι, παρακελευσάμενοι ἀλ-
125 λήλοις, καὶ πλευρὰν μὲν ἑνώσαντες, τοῖς δὲ θυρεοῖς καθύπερθε φραξάμενοι, στίφος ἄρρηκτον ἐγένοντο, καὶ καθάπερ ἑνὶ σώματι πάσῃ τῇ φάλαγγι τοὺς Ἰουδαίους ἀνωθοῦντες, ἤδη τοῦ τείχους ἐπεβαίνον.

126 28. Ὁ δὲ Ἰώσηπος ἐν ταῖς ἀμηχανίαις σύμβουλον λαβὼν τὴν ἀνάγκην, —ἡ δέ ἐστι δεινὴ πρὸς ἐπίνοιαν, ὅταν αὐτὴν ἀπόγνωσις ἐρεθίζῃ, —ζέον ἔλαιον ἐκέλευσε καταχεῖν τῶν συνησπικότων. Οἱ δὲ ὡς παρεσκευασμένον ἔχοντες μετὰ τάχους πολλοὶ καὶ πολὺ, πάντοθεν τῶν Ῥωμαίων κατέχεον, συνεπ-

122 οἵ τε σὺν αὐτῷ M.N.R. καὶ βαλόντων E. ἐξέδραμον L. πρὶν διαβῆναι M.N.T. διαλαβόντας R. βάλλοντας L.P. βαλόντας ex ras. T. 123 Συμπλεκ. τε τοῖς P. · τῷ ἐν ἀκινδύνῳ pri. ma. L. τῶν ἐν κινδύνῳ M. διαφθαρῆναι M. et T. sed in huj. marg. διαφθεῖραι. 124 καὶ τοὺς προμάχους ἀμείβειν L.P. et ex cor. T. καὶ τοὺς ἐχθροὺς ἀμεί. N. ἀποβιασθέντων L. ἐνέβαινον M. παρακελευόμενοι L. τε ἀλλήλοις P. πλευρὰν ἑνώσαντες P. 125 τείχος ἄρρηκτον M.N.R.T. 126 ἐρεθίζει M. καταχέειν τῶν συνισπικότων P τάχους πολλοῦ καὶ πολὺ M.

αφιέντες καὶ τὰ ἀγγεῖα βρασσόμενα τῇ θέρμῃ. Τοῦτο, 127
καιομένων τῶν Ῥωμαίων, διεσκέδασε τὴν τάξιν, καὶ μετὰ δει-
νῶν ἀλγηδόνων ἀπεκυλινδοῦντο τοῦ τείχους· ῥᾷστα μὲν γὰρ 128
τὸ ἔλαιον ἀπὸ κόρσης μέχρι ποδῶν ὑπὸ τὰς πανοπλίας
διέρρει τοῦ σώματος ὅλου, καὶ τὴν σάρκα φλογὸς οὐδὲν
ἔλασσον ἐπεβόσκετο, θερμαινόμενόν τε φύσει ταχέως, καὶ
ψυχόμενον βραδέως διὰ τὴν πιότητα. Τοῖς δὲ θώραξι καὶ 129
τοῖς κράνεσιν ἐνδεδεμένων ἀπαλλαγὴ τῆς καύσεως οὐκ ἦν·
πηδῶντες δὲ καὶ συνειλούμενοι ταῖς ἀλγηδόσιν, ἀπὸ τῶν γεφυ-
ρωμάτων ἔπιπτον· οἱ δὲ τραπέντες εἰς τοὺς σφετέρους
πρόσω βιαζομένους, εὐχείρωτοι τοῖς κατόπιν τιτρώσκουσιν
ἦσαν.

29. Ἐπέλιπε δὲ οὔτε Ῥωμαίους ἐν ταῖς κακοπραγίαις 130
ἰσχὺς, οὔτε τοὺς Ἰουδαίους σύνεσις· ἀλλ' οἱ μὲν καίπερ οἰκ-
τρὰ πάσχοντας ὁρῶντες τοὺς καταχυθέντας, ὅμως εἰς τοὺς
καταχέοντας ἐφέροντο, τὸν πρὸ αὐτοῦ κακίζων ἕκαστος ὡς
ἐμπόδιον ὄντα τῆς ῥώμης. Οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ 131
τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον, τῆλιν ἐφθὴν ἐπιχέοντες
ταῖς σανίσιν, αἷς ἐπολισθαίνοντες ὑπεσύροντο· καὶ οὔτε τῶν
τρεπομένων, οὔτε τῶν προσβαινόντων τις ὀρθὸς ἔμενεν, ἀλλ' 132
οἱ μὲν ὑπ' αὐτῶν ὑπτιαζόμενοι τῶν ἐπιβατηρίων μηχανῶν
συνεπατοῦντο, πολλοὶ δὲ ἐπὶ τὸ χῶμα κατέπιπτον· ἐπαίοντο
δ' ὑπὸ τῶν Ἰουδαίων οἱ πεσόντες. Σφαλλομένων γὰρ τῶν
Ῥωμαίων, οὗτοι, τῆς κατὰ χεῖρα συμπλοκῆς ἐλευθερωθέντες,
πρὸς τὰς βολὰς ἠσχόλουν. Πολλὰ δὲ κακουμένους ἐν τῇ 133
προσβολῇ τοὺς στρατιώτας ὁ στρατηγὸς περὶ δείλην ἀνεκά-

127 Τούτων καιομένων P. ἀπὸ κορυφῆς μέχρι L.P. et ex cor. T. ποδῶν ἐπὶ τὰς L.P. 129 θώραξι τοῖς κρ. N.T. 130 Ἐπέλειπε L.N.E. et pri. ma. T. Ῥωμαίοις L.M.N.R. τοῖς Ἰουδαίοις M.R. οἰκτρὰ πάσχοντες M. ὅμως deest P. 131 τὰς προβάσεις L.P. ἐφθὴν ὑποχέοντες L.M.N.P.T. ἧς ἐπολισθάνοντες L.P. αἷς ἐπολισθάνοντες M.N.R. αἷς ὑπολισθαίνοντες sed ὑ ex cor. T. προβαινόντων L. οἱ μὲν ὑπτιαζόμενοι M.N.R. et T. sed in huj. marg. adj. ὑπ' αὐτῶν. Ἐσφαλμένων γὰρ P. ἐφαλλομένων γὰρ N.E. εἰς τὰς βολὰς L.P. βολὰς εὐστόχους P. 133 ἀνεκαλεῖτο T.

λει. Ἔπεσον δὲ τούτων μὲν οὐκ ὀλίγοι, καὶ πλείους ἐτρώθησαν· τῶν δὲ ἀπὸ τῆς Ἰωταπάτης ἀπέθανον μὲν ἓξ ἄνδρες, τραυματίαι δὲ ὑπὲρ τριακοσίους ἀνεκομίσθησαν. Εἰκάδι μὲν οὖν Δαισίου μηνὸς ἡ παράταξις ἦν.

134 30. Οὐεσπασιανὸς δὲ ἐπὶ τοῖς συμβεβηκόσι τὴν στρατιὰν παραμυθούμενος, ὡς θυμουμένους ἑώρα, καὶ οὐ προτροπῆς, ἀλλ' ἔργων δεομένους, προσυψῶσαι μὲν τὰ χώματα, πύργους δὲ τρεῖς, πεντήκοντα ποδῶν ἕκαστον τὸ ὕψος, κατασκευάσαι
135 κελεύσας, πάντοθεν σιδήρῳ κεκαλυμμένους, ὡς ἑδραῖοί τε εἶεν ὑπὸ βρίθους, καὶ δυσάλωτοι πυρὶ, τῶν χωμάτων ἐπέστησεν, ἐπιβήσας αὐτοῖς ἀκοντιστάς τε καὶ τοξότας, καὶ τῶν ἀφετη-
136 ρίων ὀργάνων τὰ κουφότερα· πρὸς δὲ τοὺς ῥωμαλεωτάτους σφενδονήτας, οἳ μὴ καθορώμενοι διὰ τὸ ὕψος καὶ τὰ θωράκια τῶν πύργων, εἰς καθορωμένους τοὺς ἐπὶ τοῦ τείχους ἔβαλλον.
137 Οἱ δὲ μήτε κατὰ κόρσης φερομένων τῶν βελῶν ἐκκλίνειν ῥᾳδίως δυνάμενοι, μήτε τοὺς ἀφανεῖς ἀμύνεσθαι, καὶ τὸ μὲν ὕψος τῶν πύργων δυσέφικτον ὁρῶντες ἐκ χειρὸς βέλει, πυρὶ δὲ τὸν περὶ αὐτοὺς σίδηρον ἀνάλωτον, ἔφευγον ἀπὸ τοῦ τείχους, καὶ
138 προσβάλλειν πειρωμένοις ἐπεξέθεον. Καὶ οἱ μὲν ἐπὶ τῆς Ἰωταπάτης ἀντεῖχον οὕτως, ἀναιρούμενοί τε καθ' ἡμέραν πολλοὶ, καὶ μηδὲν ἀντικακοῦν τοὺς πολεμίους, ὅτι μὴ μετὰ κινδύνων ἀνείργειν, ἔχοντες.

139 31. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας Οὐεσπασιανὸς ἐπί τινα τῶν τῆς Ἰωταπάτης ἀστυγειτόνων πόλιν, — Ἰαφὰ καλεῖται — νεωτερίζουσαν, καὶ τῶν Ἰωταπατηνῶν παρὰ δόξαν ἀντεχόντων ἐπαιρομένην, Τραϊανὸν, ὄντα τοῦ δεκάτου τάγματος ἡγεμόνα, ἐκπέμπει, παραδοὺς αὐτῷ χιλίους μὲν ἱππεῖς, πεζοὺς δὲ

[a] Δασίου μηνὸς M. Δεσίου N.P. et R. sed in huj. marg. Ἰουνίου. Δεσίου sic T. 134 πύργους δὲ τρεῖς P. τὸ ὕψος ἕκαστον tr. L.P. 135 ἑδραῖοι μὲν εἶεν M. συνεπιβήσας P. 136 ῥωμαλεωτέρους L.M. ῥωμαλαιστάτους N. ῥωμαλαιωτάτους P. 137 τὸν περὶ αὐτοῖς M.N.R.T. δυσαπάλωτον N.R.T.E. δυσάλωτον sed additum est να rec. man. M. ὑπεξέθεον L. 138 ἀντικακοῦντες τοὺς M.P. 139 Ἰακαφὰ P. τῶν Ἰωταπάτης τυγχάνειν, καὶ προσαπηντηκότας εἰδίωκε desunt quæ intersunt omnia M.

δισχιλίους. Ὁ δὲ τὴν μὲν πόλιν δυσάλωτον καταλαβών, — 140
πρὸς γὰρ τῷ φύσει καρτερὰ τυγχάνειν οὖσα καὶ διπλῷ περι-
βόλῳ τετείχιστο, — προαπηντηκότας δὲ τοὺς ἐξ αὐτῆς ἑτοί-
μους εἰς μάχην ἰδὼν, συμβάλλει, καὶ πρὸς ὀλίγον ἀντισχόν-
τας ἐδίωκε. Συμφυγόντων δὲ εἰς τὸ πρῶτον τεῖχος, οἱ Ῥω- 141
μαῖοι κατὰ πόδας προσκείμενοι συνεισέπεσον· ὁρμήσαντας δὲ
πάλιν εἰς τὸ δεύτερον τεῖχος ἀποκλείουσι τῆς πόλεως οἱ σφέ-
τεροι, δείσαντες μὴ συνεισβάλωσιν οἱ πολέμιοι. Θεὸς δ' ἦν 142
ἄρα ὁ Ῥωμαίοις τὰ Γαλιλαίων πάθη χαριζόμενος, ὃς καὶ τότε
τὸν τῆς πόλεως λαὸν αὐτανδρον, χερσὶν οἰκείαις ἐκκλεισθέντα,
πρὸς ἀπώλειαν ἔκδοτον φονῶσιν ἐχθροῖς παρέστησεν. Ἐμ- 143
πίπτοντες γὰρ ἀθρόοι ταῖς πύλαις, καὶ πολλὰ τοὺς ἐπ' αὐ-
τῶν ὀνομαστὶ καλοῦντες, ἐν μέσαις ἀπεσφάττοντο ταῖς ἱκε-
τείαις. Καὶ τὸ μὲν πρῶτον αὐτοῖς τεῖχος οἱ πολέμιοι, τὸ
δεύτερον δ' ἔκλεισαν οἱ σφέτεροι· μέσοι δὲ τῶν δυεῖν κατει- 144
λούμενοι περιβόλων βύζην, πολλοὶ μὲν τοῖς ἀλλήλων, πολλοὶ
δὲ τοῖς ἰδίοις περιεπείροντο ξίφεσιν, ἄπειροι δὲ ὑπὸ Ῥωμαίων
ἔπιπτον, οὐδὲ ὅσον εἰς ἄμυναν ἀναθαρροῦντες· πρὸς γὰρ τῷ 145
καταπεπλῆχθαι τοὺς πολεμίους, τὰς ψυχὰς αὐτῶν ἔκλασεν ἡ
τῶν οἰκείων προδοσία. Πέρας ἔθνησκον οὐ Ῥωμαίοις, ἀλλὰ
τοῖς ἰδίοις καταρώμενοι, μέχρι πάντες ἀπώλοντο μύριοι καὶ
δισχίλιοι τὸν ἀριθμὸν ὄντες. Κενὴν δὲ μαχίμων λογιζόμε- 146
νος εἶναι τὴν πόλιν ὁ Τραϊανὸς, εἰ δὲ καί τινες ἔνδον εἶεν,
οἰόμενος μηδὲν αὐτοὺς τολμήσειν ὑπὸ δέους, ἀνετίθει τῷ
στρατηγῷ τὴν ἅλωσιν. Καὶ στείλας ἀγγέλους πρὸς Οὐε-
σπασιανὸν, ᾐτεῖτο πέμψαι τὸν υἱὸν αὐτοῦ Τίτον ἐπιθήσοντα
τῇ νίκῃ τέλος. Ὁ δὲ συμβαλὼν ὑπολείπεσθαί τινα πόνον, 147

δισχιλίους δὲ πεζούς. tr. R. 140 τυγχάνουσα καὶ διπλῷ N. τυγχάνειν καὶ διπλῷ T. προσαπηντηκότας P. προαπαντηκότας T. ἰδὼν sup. lin. adjec. T. deest N. 141 τὸ πρότερον τεῖχος sed in marg. πρῶτον T. συνέπεσον L. συνεσέπεσον P. Ὁρμήσαντες L.P. οἱ σφέτεροι τῆς πόλεως tr. T. 142 Θεὸς ἦν N. ἄρα Ῥωμαίοις L.P. ἐγκλεισθέντα P. ἐκκριθέντα M.N.R.T. 143 τοὺς ἑαυτῶν ὀνομ. P. ὀνομαστὶ βοῶντες ἐν L. ἱκεσίαις L.M.P.T. 144 τοῖν δυοῖν P. τοῖς ἀλλήλων πολλοὶ δὲ desunt M.N.R. περιεπ. βέλεσιν ἄπειροι T. 145 πρὸς γὰρ τὸ L.M. N.P.T.E. Ῥωμαίων ἀλλὰ τῶν ἰδίων M.N. 146 υἱὸν αὐτῷ L.

μετὰ στρατιᾶς τὸν υἱὸν ἐπιπέμπει, πεντακοσίων μὲν ἱππέων, χιλίων δὲ πεζῶν. Ὁ δὲ πρὸς τὴν πόλιν ἐλθὼν διὰ τάχους, καὶ διατάξας τὴν στρατιὰν, ἐπὶ μὲν τοῦ λαιοῦ κέρως τὸν Τραϊανὸν ἵστησιν, αὐτὸς δὲ τὸ δεξιὸν ἔχων ἐξηγεῖτο πρὸς
148 τὴν πολιορκίαν. Τῶν δὲ στρατιωτῶν κλίμακας πάντοθεν τῷ τείχει προσφερόντων, πρὸς ὀλίγον οἱ Γαλιλαῖοι καθύπερθεν ἀμυνόμενοι, λείπουσι τὸν περίβολον. Ἐπιπηδήσαντες δὲ οἱ περὶ τὸν Τίτον, τῆς μὲν πολέως ἐκράτησαν ταχέως, πρὸς δὲ τοὺς ἔνδον αὐτοῖς συστραφέντας καρτερὰ μάχη συρρήγνυ-
149 ται· καὶ γὰρ ἐν τοῖς στενωποῖς οἱ δυνατοὶ προσέπιπτον, καὶ ἀπὸ τῶν οἰκιῶν αἱ γυναῖκες ἔβαλλον πᾶν τὸ προστυχὸν αὐ-
150 ταῖς· καὶ μέχρι μὲν ἓξ ὡρῶν ἀντεῖχον μαχόμενοι. Δαπανηθέντων δὲ τῶν μαχίμων, τὸ λοιπὸν πλῆθος ἔν τε τοῖς ὑπαίθροις, καὶ κατὰ τὰς οἰκίας ἀπεσφάττοντο, νέοι τε ὁμοῦ καὶ γέροντες· οὐδὲν γοῦν ἄρρεν ἀπελείφθη δίχα νηπίων, ἃ μετὰ
151 γυναικῶν ἐξηνδραποδίσαντο. Τῶν μὲν οὖν ἀναιρεθέντων ἀνά τε τὴν πόλιν, καὶ ἐπὶ τῆς προτέρας παρατάξεως ἀριθμὸς μύριοι πρὸς τοῖς πεντακισχιλίοις ἦν, τὰ δὲ αἰχμάλωτα δισχίλια καὶ ἑκατὸν καὶ τριάκοντα. Τοῦτο συνέβη τὸ πάθος Γαλιλαίοις πέμπτῃ καὶ εἰκάδι Δαισίου μηνός.

152 32. Ἔμειναν δὲ οὐδὲ Σαμαρεῖς ἀπείρατοι συμφορῶν. Ἀθροισθέντες γὰρ ἐπὶ τὸ Γαριζὶν καλούμενον ὄρος, ὅπερ αὐτοῖς ἐστιν ἅγιον, κατὰ χώραν μὲν ἔμενον, πολέμου δὲ εἶχεν
153 ἀπειλὴν ἥ τε σύνοδος αὐτῶν καὶ τὰ φρονήματα. Καὶ οὐδὲ τοῖς γειτνιῶσι κακοῖς ἐσωφρονίζοντο· πρὸς δὲ τὰς Ῥωμαίων εὐπραγίας ἐν ἀλογίστῳ τῇ κατὰ σφᾶς ἀσθενείᾳ ὠρρωδοῦν,
154 καὶ μετέωροι πρὸς ταραχὴν ὑπῆρχον. Ἐδόκει δὲ Οὐεσπασιανῷ φθάσαι τὸ κίνημα, καὶ τὰς ὁρμὰς αὐτῶν ὑποτέμνεσθαι.

148 τῷ τείχει πάντοθεν tr. R. ἔνδον αὐτῆς M. ἔνδον αὐτοὶ P. et pri. ma. L. sed in hoc ex adj. rec. αὐτοῖς. καρτερᾷ μάχῃ L.M.N.P.T.E. συρρήγνυνται L.T. 149 μέχρι ἓξ R. 150 τοῖς ὑπαιθρίοις N.R.T.E. ταῖς ὑπαιθρίοις M. νέοι ὁμοῦ P. ὑπελείφθη L. 151 δισχίλια ἑκατὸν L.P. Γαλι. εἰκοστῇ Δαισίου M. Γαλι. εἰκοστῇ Δεσίου N.T. Γαλι. πάθος εἰκοστῇ Δεσίου μηνός R. 152 δὲ οὔτε L.P. 153 ἐν ἀλογίστῳ desunt P. τὴν κατὰ σφᾶς ἀσθένειαν P. ἀσθέν. διώδευον καὶ L.E. ἀσθέν. ᾤδουν καὶ P. πρὸς ταραχὰς T. 154 Οὐεσπασιανὸς φθάσαι P.

Καὶ γὰρ ἀεὶ φρουραῖς ἡ Σαμαρεῖτις ὅλη διείληπτο, τό τε πλῆθος τῶν ἐληλυθότων καὶ ἡ σύνταξις ἦν φοβερά. Κερεά- 155
λιον οὖν, ἔπαρχον ὄντα τοῦ πέμπτου τάγματος, μεθ' ἑξακοσίων ἱππέων καὶ πεζῶν τρισχιλίων πέμπει. Τούτῳ προσβαίνειν μὲν τὸ ὄρος, καὶ συνάπτειν μάχην οὐκ ἀσφαλὲς ἔδοξε, τῶν πολεμίων πολλῶν καθύπερθεν ὄντων. Κυκλωσάμενος δὲ 156
τῇ δυνάμει πᾶσαν τὴν ὑπώρειαν δι' ὅλης αὐτοὺς ἐφρούρει τῆς ἡμέρας· συνέβη δὲ, ὕδατος ἀπορουμένων τῶν Σαμαρέων, ἐκφλεγῆναι τότε καὶ καῦμα δεινόν· ὥρα δὲ ἦν θέρους, καὶ τῶν 157
ἐπιτηδείων τὸ πλῆθος ἀπαράσκευον, ὡς τινὰς μὲν αὐθημερὸν ἀπὸ τοῦ δίψους ἀποθανεῖν, πολλοὺς δὲ, τῆς τοιαύτης ἀπωλείας τὸ δουλεύειν προελομένους, Ῥωμαίοις προσφυγεῖν. Ἐξ ὧν συνεὶς ὁ Κερεάλιος καὶ τοὺς ἔτι συμμένοντας ὑπὸ τῶν 158
δεινῶν κατεαγότας, ἐπαναβαίνει τῷ ὄρει, καὶ τὴν δύναμιν ἐν κύκλῳ περιστήσας τοῖς πολεμίοις, τὸ μὲν πρῶτον ἐπὶ δεξιὰς προεκαλεῖτο καὶ σώζεσθαι παρεκάλει, διαβεβαιούμενος ἀσφάλειαν τὰ ὅπλα ῥίψασιν. Ὡς δ' οὐκ ἔπειθε, προσπεσὼν 159
ἀπέκτεινε πάντας, χιλίους ἑξακοσίους ἐπὶ μυρίοις ὄντας. Δαισίου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι ἐπράχθη. Καὶ τοιαύταις μὲν συμφοραῖς Σαμαρεῖται ἐχρήσαντο.

33. Τῶν δὲ ἀνὰ τὰ Ἰωτάπατα διακαρτερούντων, καὶ παρ' 160
ἐλπίδα τοῖς δεινοῖς ἀντεχόντων, τεσσαρακοστῇ μὲν ἡμέρᾳ καὶ ἑβδόμῃ τὰ χώματα τῶν Ῥωμαίων ὑπερῄρθη τὸ τεῖχος. Αὐ- 161
τομολεῖ δέ τις πρὸς τὸν Οὐεσπασιανὸν τῆς αὐτῆς ἡμέρας, τήν τε ὀλιγότητα τῶν ἐπὶ τῆς πόλεως ἐξαγγέλλων καὶ τὴν ἀσθένειαν, καὶ ὡς ἀγρυπνίᾳ διηνεκεῖ καὶ μάχαις ἐπαλλήλοις δεδαπανημένοι, δυνατοὶ μὲν εἶεν οὐδὲ βιαζομένους ἔτι φέρειν, καὶ δόλῳ δ' ἂν ἁλῷεν, εἴ τις ἐπιθοῖτο. Περὶ γὰρ τὴν ἑσχά- 162

ἀεὶ deest P. εἰ ex ras. T. ἡ Σαμαρείτης M. 155 Κερέλλιον οὖν L. P. atque ita semper. ἐκπέμπει M. πολλῶν καθύπερθεν τῶν πολεμίων tr. L.P. τὴν ὑπόρειον P. 157 ὡς τοὺς μὲν P. προαιρουμένους L. et T. sed in huj. marg. προελομένους 158 συμμένοντας ἐπὶ τῶν N.T. 159 ἔπεισεν P. Δεσίου N.R.T. et sec. ma. P. εἰκάδι καὶ ἑβδόμῃ E. 160 καὶ ἑβδόμῃ desunt L. χώματα Ῥωμαίων L.P. 161 ὀλιγότητα τὴν ἐπὶ L. ἁλῶσιν sed in marg. ἁλῶεν T. 162 Περὶ τὴν ἐσχ. φυλακὴν N.R. Περὶ τὴν φυλακὴν M.

την φυλακὴν, καθ' ἣν ἄνεσίν τε τῶν δεινῶν ἐδόκουν ἔχειν, καὶ καθάπτεται μάλιστα κεκοπωμένων ἐωθινὸς ὕπνος, καταδαρθάνειν ἔφασκε τοὺς φύλακας, συνεβούλευε τε κατὰ ταύτην τὴν
163 ὥραν ἐπελθεῖν.' Τῷ δὲ ἦν μὲν δι' ὑπονοίας ὁ αὐτόμολος, τό τε πρὸς ἀλλήλους πιστὸν εἰδότι τῶν Ἰουδαίων, καὶ τὴν πρὸς
164 τὰς κολάσεις ὑπεροψίαν· ἐπειδὴ καὶ πρότερον ληφθείς τις τῶν ἀπὸ τῆς Ἰωταπάτης πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχε, καὶ μηδὲν διὰ πυρὸς ἐξερευνῶσι τοῖς πολεμίοις περὶ
165 τῶν ἔνδον εἶπὼν, ἀνεσταυρώθη τοῦ θανάτου καταμειδιῶν. Τά γε μὴν εἰκότα πιστὸν ἐποίει τὸν προδότην· καὶ τάχα μὲν ἀληθεύειν ἐκεῖνον, μηδὲν δὲ αὐτὸς ἐξ ἐνέδρας πείσεσθαι μέγα προσδοκῶν, τὸν μὲν φυλάσσειν ἐκέλευσεν, ἐπὶ δὲ τὴν κατάληψιν τῆς πόλεως παρεσκεύαζε τὴν στρατιάν.
166 34. Κατὰ δὲ τὴν μηνυθεῖσαν ὥραν ἦσαν ἡσυχῇ πρὸς τὸ τεῖχος. Καὶ πρῶτος ἐπιβαίνει Τίτος σὺν ἑνὶ τῶν χιλιάρχων Δομιτίῳ Σαβίνῳ, τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγμα-
167 τος τινὰς ὀλίγους ἄγων. Ἀποσφάξαντες δὲ τοὺς φύλακας, εἰσίασιν εἰς τὴν πόλιν ἡσυχῇ, μεθ' οὓς Σέξτος τις Κερεάλιος χιλίαρχος καὶ Πλάκιδος τοὺς ὑπό σφισι τεταγμένους εἰσῆγον. Κατειλημμένης δὲ τῆς ἄκρας, καὶ τῶν πολεμίων ἐν
168 μέσῃ τῇ πόλει στρεφομένων, ἤδη δὲ καὶ ἡμέρας οὔσης, ὅμως οὔπω τῆς ἁλώσεως τοῖς κρατουμένοις αἴσθησις ἦν· καμάτῳ τε γὰρ οἱ πολλοὶ καὶ ὕπνῳ διελέλυντο, καὶ τῶν διανισταμένων ὁμίχλη τὰς ὄψεις ἀπήμβλυνε πολλὴ, κατὰ τύχην τότε τῇ
169 πόλει περιχυθεῖσα· μέχρι, πάσης τῆς στρατιᾶς εἰσπεσούσης, πρὸς μόνην τὴν τῶν κακῶν αἴσθησιν ἐξανέστησαν, καὶ τὴν
170 ἅλωσιν ἐπίστευον ἀναιρούμενοι. Ῥωμαίους δὲ, κατὰ μνήμην

ὕπνος καὶ καταδαρθάνειν M.R. κατ' αὖτην τὴν M.N.R.T.E. 163 ἦν δι' ὑπον. L 165 ἐνέδρας πήσεσθαι N. πόλεως εὐτρέπιζε τὴν L. 166 Δομετίῳ L.M. τάγματος ὀλίγους L.P.E. 167 Σέκστος L.M.R. Σέκτος P. Κερέλλιος N. Καλουάριος L.P. χιλιάρχης L.P. ἄκρας, τῶν πολ. N. ἐν μέσῳ στρεφομένων P. οὔσης, ὅπως οὔπω N. 168 τῆς οὔπω ἁλώσεως R. καμάτῳ γὰρ P. ἐλέλυντο M. λέλυντο N.R. et pri. ms. T. διαλέλυντο P. 170 κατά τε μνήμην N.R.

ὧν περὶ τὴν πολιορκίαν ἔπαθον, οὔτε φειδὼ εἰσήει τινὸς, οὔτε ἔλεος, ἀλλ' εἰς τὸ κάταντες ἀπὸ τῆς ἄκρας τὸν λεὼν συνωθοῦντες ἐφόνευον. Ἔνθα καὶ τοὺς ἔτι μάχεσθαι δυναμένους 171
ἡ δυσχωρία τὴν ἄμυναν ἀφεῖλετο· θλιβόμενοι γὰρ ἐν τοῖς στενωποῖς, καὶ κατὰ τοῦ πρανοῦς ὑπολισθαίνοντες, ῥέοντι κατ' ἄκρας ἐκαλύπτοντο τῷ πολέμῳ. Τοῦτο πολλοὺς, καὶ 172
τῶν περὶ τὸν Ἰώσηπον ἐπιλέκτων, ἐπ' αὐτοχειρίαν παρώξυνε· κατιδόντες γὰρ, ὡς οὐδένα τῶν Ῥωμαίων ἀνελεῖν δύνανται, τό γε πεσεῖν αὐτοὶ ὑπὸ Ῥωμαίων προέλαβον, καὶ συναθροισθέντες ἐπὶ τὰ καταλήγοντα τῆς πόλεως σφᾶς αὐτοὺς ἀνειλον.

35. Ὅσοι γε μὴν ὑπὸ πρώτην τῆς καταλήψεως αἴσθησιν 173
τῶν φυλάκων διαφυγεῖν ἔφθασαν, ἀναβάντες εἴς τινα τῶν προσαρκτίων πύργων μέχρι μέν τινος ἀπημύναντο· περισχεθέντες δὲ τῷ πλήθει τῶν πολεμίων ὀψὲ παρῆκαν τὰς δεξιὰς, καὶ τοῖς ἐφεστῶσι τὴν σφαγὴν εὔθυμοι παρέσχον. Ἀναί- 174
μακτον δ' ἂν ἦν αὐχῆσαι Ῥωμαίοις τὸ τέλος τῆς πολιορκίας, εἰ μὴ κατὰ τὴν ἅλωσιν εἷς ἔπεσεν ἑκατοντάρχης, ὃς ἦν Ἀντώνιος· θνήσκει δὲ ἐξ ἐνέδρας. Τῶν γὰρ εἰς τὰ σπήλαιά τις 175
συμπεφευγότων, — πολὺ δὲ οὗτοι πλῆθος ἦσαν, — ἱκέτευε τὸν Ἀντώνιον ὀρέξαι δεξιὰν αὐτῷ, πίστιν τε σωτηρίας καὶ βοήθειαν πρὸς ἄνοδον. Ὁ δὲ ἀφυλάκτως ὤρεγε τὴν χεῖρα· καὶ 176
φθάσας αὐτὸν ἐκεῖνος, νύττει κάτωθεν ὑπὸ τὸν βουβῶνα δόρατι, καὶ παραχρῆμα διεργάζεται.

36. Κατ' ἐκείνην μὲν οὖν τὴν ἡμέραν, τὸ φανερὸν πλῆθος 177

ὧν ἐκ τῆς πολιορκίας L.P. οὔτε φειδὼς M.N. κάταντες ἅπαντες ἀπὸ L.P. τὸν λεὼ L. 171 ἀφείλατο N.P. ὑπολισθ. ῥᾴδόν τι κατ' N. 172 τῶν Ῥωμαίων προέλαβον desunt quæ intersunt omnia M. τὸ πεσεῖν L. τό τε πεσεῖν P. τό γε μὴ πεσεῖν E. αὐτοὺς ὑπὸ P. ἐπικαταλήγοντα τῆς N. 173 ὑπὸ πρώτης τῆς κατ. P. ὑπὸ πρώτης κατ. L. δὲ πλήθει L.P. ὀψὲ παρῆσαν L.E. ὀψὲ παρεῖσαν N.P.T. σφαγὴν ἑτοιμοὶ παρ. N.T. σφα. ἕτοιμον παρ. R. καὶ ἀναίμακτον R. 174 ἀναίμ. ἐν ᾗ ἦν αὐχ. N.R. ἀναίμ. ἐνῆν αὐχ. P. Ῥωμαίους N.T. εἰ μὴ καὶ κατὰ L. ἔπεσέν τις· ἑκατοντ. ἦν L.P. 175 ἱκετεύει L.P. 176 ὄρεγε P. ἐπὶ τὸν βουβῶνα L.P.

ἀνεῖλον Ῥωμαῖοι· ταῖς δὲ ἐπιούσαις ἀνερευνώμενοι τὰς καταδύσεις, τοὺς ἐν τοῖς ὑπονόμοις καὶ τοῖς σπηλαίοις ἐπεξῆσαν, καὶ διὰ πάσης ἐχώρουν ἡλικίας, πλὴν νηπίων καὶ γυναικῶν.
178 Καὶ τὰ μὲν αἰχμάλωτα χίλια πρὸς τοῖς διακοσίοις συνήχθη· νεκροὶ δὲ κατά τε τὴν ἅλωσιν, καὶ κατὰ τὰς πρότερον μάχας,
179 συνηριθμήθησαν τετρακισμύριοι. Οὐεσπασιανὸς δὲ τήν τε πόλιν κατασκάψαι κελεύει, καὶ τὰ φρούρια πάντα προσεμπίπρησιν αὐτῆς. Ἰωτάπατα μὲν οὖν οὕτως ἑάλω, τρισκαιδεκάτῳ τῆς Νέρωνος ἡγεμονίας ἔτει, Πανέμου νουμηνίᾳ.

CAP. VIII.

1 1. Ῥωμαῖοι δὲ τὸν Ἰώσηπον ἀναζητοῦντες κατά τε ὀργὴν σφετέραν, καὶ σφόδρα τοῦ στρατηγοῦ φιλοτιμουμένου, — μεγίστη γὰρ ἦν μοῖρα τοῦ πολέμου ληφθείς, — τούς τε νε-
2 κροὺς διηρεύνων, καὶ τοὺς ἀποκρύφους τῆς πόλεως μυχούς. Ὁ δὲ, ἅρτι τῆς πόλεως ἁλισκομένης, δαιμονίῳ τινὶ συνεργίᾳ χρησάμενος, μέσον μὲν ἑαυτὸν ἐκκλέπτει τῶν πολεμίων, καθάλλεται δὲ εἴς τινα βαθὺν λάκκον, ᾧ πλατὺ σπήλαιον διέ-
3 ζευκτο κατὰ πλευρὰν, τοῖς ἄνωθεν ἀόρατον· ἔνθα τεσσαράκοντα μὲν τῶν ἐπισήμων ἄνδρας καταλαμβάνει λανθάνοντας, παρασκευὴν δ' ἐπιτηδείων οὐκ ὀλίγαις ἡμέραις διαρκεῖν δυνα-
4 μένην. Μεθ' ἡμέραν μὲν οὖν ὑπεστέλλετο τῶν πολεμίων πάντα διειληφότων, νυκτὸς δ' ἀνιὼν ἐξήτει δρασμοῦ διάδυσιν,
5 καὶ τὰς φυλακὰς κατεσκέπτετο. Φρουρουμένων δὲ παντα-
6 χόθεν πάντων δι' αὐτὸν, ὡς λαθεῖν οὐκ ἦν, αὖθις εἰς τὸ σπήλαιον κατῄει. Δύο μὲν οὖν ἡμέρας διαλανθάνει, τῇ δὲ τρίτῃ γυναικὸς ἁλούσης τῶν ἅμα αὐτοῖς μηνύεται. Καὶ Οὐε-

177 οἱ Ῥωμαῖοι L.P. καὶ τοὺς ἐν τοῖς σπηλαίοις L. ἐπεξίεσαν P. διεπεξίεσαν L. 178 κατὰ τὴν ἅλωσιν καὶ τὰς L.P. τετρακισμ. συνηριθμήθησαν tr. T. 179 μὲν οὕτως M. τρεισκαιδεκάτῳ P. 1 ἦν πολέμου μοῖρα R. διηρεύνουν P. τῆς πόλεως μυχούς desunt P. 2 ἄρτι deest P. συνεργείᾳ L.N. et pri. ma. M. μέσον αὐτὸν N. μέσον μὲν αὐτῶν M. ἔκλεπτεν L. ἔκλεψεν P. 3 παρασκευήν τε T. ἡμέραις ἀρκεῖν T. 4 ὑπέστελλεν ἑαυτὸν τῶν L. πανταχόθεν τῶν πύργων δι' αὐτὸν M.N.T. πάντοθεν πάντων δι' αὐ. L. 5 Δύο μὲν οὖν ἡμέραις L. ἁλούσης ἅμα M.N. et pri. ma. T. ἁλώσης ἅμα R.

σπασιανὸς αὐτίκα μετὰ σπουδῆς πέμπει δύο χιλιάρχους Παυλῖνον καὶ Γαλλικανὸν, δεξιὰς τῷ Ἰωσήπῳ δοῦναι κελεύσας, καὶ προτρεψομένους ἀνελθεῖν.

2. Ἀφικόμενοι δὲ παρεκάλουν οὗτοι τὸν ἄνδρα, καὶ πίστεις περὶ σωτηρίας ἐδίδοσαν. Οὐ μὴν ἔπειθον· ἐκ γὰρ ὧν εἰκὸς ἦν τὸν τοσαῦτα δράσαντα παθεῖν, οὐκ ἐκ τοῦ φύσει· τῶν παρακαλούντων ἡμέρου, τὰς ὑποψίας συνέλεγεν. Ἐδεδίει τε ὡς ἐπὶ τιμωρίαν προκαλουμένους· ἕως Οὐεσπασιανὸς τρίτον ἔτι πέμπει χιλίαρχον Νικάνορα, γνώριμον τῷ Ἰωσήπῳ καὶ συνήθη πάλαι. Παρελθὼν δὲ οὗτος τό τε φύσει Ῥωμαίων χρηστὸν, πρὸς οὓς ἂν ἅπαξ ἕλωσι, διεξήει, καὶ ὡς δι' ἀρετὴν αὐτὸς θαυμάζοιτο μᾶλλον ἢ μισοῖτο πρὸς τῶν ἡγεμόνων, σπουδάζειν τε τὸν στρατηγὸν οὐκ ἐπὶ τιμωρίᾳ ἀγαγεῖν αὐτὸν, ἐνεῖναι γὰρ ταύτην καὶ παρὰ μὴ προϊόντος λαβεῖν, ἀλλὰ σῶσαι προαιρούμενον ἄνδρα γενναῖον. Προσετίθει δὲ, ὡς οὔτ' ἂν Οὐεσπασιανὸς ἐνεδρεύων φίλον ἔπεμπεν, ἵνα τοῦ κακίστου πράγματος προστήσηται τὸ κάλλιστον, ἀπιστίας φιλίαν, οὔτ' ἂν αὐτὸς ἀπατήσων ἄνδρα φίλον ὑπήκουσεν ἐλθεῖν.

3. Ἐνδοιάζοντος δὲ τοῦ Ἰωσήπου καὶ πρὸς τὸν Νικάνορα, τὸ μὲν στρατιωτικὸν ὑπ' ὀργῆς ἐκκαίειν τὸ σπήλαιον ὥρμητο· κατεῖχε δὲ αὐτοὺς ὁ πολέμαρχος, ζωγρῆσαι τὸν ἄνδρα φιλοτιμούμενος. Ὡς δὲ ὅ τε Νικάνωρ προσέκειτο λιπαρῶς, καὶ τὰς ἀπειλὰς τοῦ πολεμίου πλήθους ὁ Ἰώσηπος ἔμαθεν, ἀνάμνησις αὐτῷ τῶν διὰ νυκτὸς ὀνείρων εἰσέρχεται, δι' ὧν ὁ θεὸς

6 Γαλλικιανὸν L.P. δεξιάς τε τῷ L.P. προτρεψαμένους ex cor. L. 7 Ἀφικόμενοι οὖν L.P. ἦν τοσαῦτα L. 8 Ἐδεδίει δὲ P. προκαλουμένος ex cor. L. καὶ συνήθει P. 9 ἕλωσιν ἅπαξ tr. R. ἐπὶ τιμωρίαν M. ἀναγαγεῖν P.T. αὐτὸν, εἶναι γὰρ L. μὴ παρὰ προϊόντος N.R.T.E. μὴ παραπροσιόντος L. μὴ προϊόντος M. παρὰ μὴ προσιόντος P. 10 προστήσαιτο τὸ N. ἀπιστίαν φιλίας M.N. ἀπατήσων ἂν ἰδία φίλον N. ἐποίησεν sed in marg. ὑπήκουσεν T. 11 Ἐνδοιάζοντος τοῦ L. ἐνδυάζοντος δὲ τοῦ P. 12 Ὡς δὲ ὅτε ὁ R. Νικ. ἐπέκειτο T. Νικ. προσεκαλεῖτο P. λιπαρῶν M.P.T. et ex cor. rec. L. ἀπειλὰς τοῦ πολέμου πληθούσας ὁ M.N. αὐτὸν τῶν διὰ L.P. et ex cor. T.

τὰς μελλούσας συμφορὰς αὐτῷ προεσήμαινεν Ἰουδαίων, καὶ
14 τὰ περὶ τοὺς Ῥωμαίων βασιλεῖς ἐσόμενα. Ἦν δὲ καὶ περὶ
κρίσεις ὀνείρων ἱκανὸς συμβάλλειν τὰ ἀμφιβόλως ὑπὸ τοῦ
θείου λεγόμενα· τῶν γε μὴν ἱερῶν βίβλων οὐκ ἠγνόει τὰς
15 προφητείας, ὡς ἂν αὐτός τε ὢν ἱερεὺς καὶ ἱερέων ἔκγονος· ὅς,
ἐπὶ τῆς τότε ὥρας ἔνθους γενόμενος, καὶ τὰ φρικώδη τῶν
προσφάτων ὀνείρων σπάσας φαντάσματα, προσφέρει τῷ
16 θεῷ λεληθυῖαν εὐχήν, καὶ, "Ἐπειδὴ τὸ Ἰουδαῖον," ἔφη, "φῦ-
λον ὄκλασαι δοκεῖ σοι τῷ κτίσαντι, μετέβη δὲ πρὸς Ῥωμαί-
ους ἡ τύχη πᾶσα, καὶ τὴν ἐμὴν ψυχὴν ἐπελέξω τὰ μέλλοντα
εἰπεῖν, δίδωμι μὲν Ῥωμαίοις τὰς χεῖρας ἑκὼν καὶ ζῶ· μαρτύ-
ρομαι δὲ ὡς οὐ προδότης, ἀλλὰ σὸς ἄπειμι διάκονος."
17 4. Ταῦτα εἰπὼν ἐνεδίδου τῷ Νικάνορι· καὶ τῶν Ἰουδαίων
οἱ συγκαταφυγόντες, ὡς τὸν Ἰώσηπον συνίεσαν εἴκοντα τοῖς
παρακαλοῦσιν, ἀθρόοι περιστάντες, "Ἦ μεγάλα γε ἂν στε-
νάξειαν," ἐβόων, "οἱ πάτριοι νόμοι, καὶ κατηφήσαι θεὸς, ὁ
18 Ἰουδαίοις κτίσας ψυχὰς θανάτου καταφρονούσας. Φιλο-
ζωεῖς, Ἰώσηπε, καὶ φῶς ὑπομένεις ὁρᾶν δοῦλον; Ὡς ταχέως
ἐπελάθου σαυτοῦ; Πόσους ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν
19 ἔπεισας; Ψευδῆ μὲν ἄρα δόξαν ἀνδρείας, ψευδῆ δὲ καὶ συνέ-
σεως εἶχες, εἴ γε σωτηρίαν μὲν ἔχειν ἐλπίζεις παρ' οἷς οὕτως
ἐπολέμησας, σώζεσθαι δὲ ὑπ' ἐκείνων, καὶ ἂν ᾖ βέβαιον, θέ-
20 λεις. Ἀλλ' εἰ καὶ σοὶ λήθην τινὰ σαυτοῦ κατέχεεν ἡ Ῥω-
μαίων τύχη, προνοητέον ἡμῖν τοῦ πατρῴου κλέους. Χρήσο-

13 τάς τε μελλούσας L.P.E. αὐτῷ συμφορὰς tr. L. προεσήμανεν P.T. et ex cor. L. καὶ τὰς περὶ τοὺς P. 14 συμβαλεῖν L.P. et ex ras. T. βιβλίων M. ἔγγονος L. ἔκγ. ὢν ἐπὶ τῆς L.P. ἔκγ. ἐπὶ τῆς N. 15 τὸ Ἰουδαίων P.T. φῦλον κόλασαι L.P. et ex cor. T. 16 καὶ ζῶν L.P. σός εἰμι L. et P. sed in huj. marg. ἄπειμι. 17 ἐνεδίδει τῷ N. καὶ ἀθρόοι P. μεγάλα ἄγαν στεν. L.P. μεγάλα ἂν στεν. M. νόμοι οὓς κατεψήφισε θεὸς L.E. νο. οὓς κατεψ. ὁ θεὸς P. Ἰουδαίοις ὁ κτίσας L.P. καταφρονοῦντας R. 18 ὦ Ἰώσηπε P. ὁρᾶν δοῦλος; L.R.E. 19 δόξαν ἀνδρεῖος P. δόξαν ἀνδρίας R.T. καὶ συνέσεις ἃς εἶχες P. σωτη. μὲν ἐλπίζεις M.N.R.T.E. θέλῃς P. 20 εἰ καὶ σὺ λήθ. P. λήθην σεαυτοῦ L.P. πατρῴου νόμου M.N.R.T. πατρίου κλέους P.

μέν σοι δεξιὰν καὶ ξίφος· σὺ δὲ ἂν μὲν ἑκὼν θνήσκῃς, Ἰουδαίων στρατηγὸς, εἰὰν δὲ ἄκων, προδότης τεθνήξῃ." Ταῦθ' 21
ἅμα λέγοντες ἐπανετείναντο τὰ ξίφη, καὶ διηπείλουν ἀναιρήσειν αὐτὸν, εἰ τοῖς Ῥωμαίοις ἐνδιδῷη.

5. Δείσας δὲ τὴν ἔφοδον ὁ Ἰώσηπος, καὶ προδοσίαν εἶναι 22
ἡγούμενος τῶν τοῦ θεοῦ προσταγμάτων εἰ προαποθάνοι τῆς διαγγελίας, ἤρχετο πρὸς αὐτοὺς φιλοσοφεῖν ἐπὶ τῆς ἀνάγκης· "Τί γὰρ τοσοῦτον," ἔφη, "σφῶν αὐτῶν, ἑταῖροι, φονῶμεν; Ἢ τί τὰ φίλτατα διαστασιάζομεν, σῶμα καὶ 23
ψυχήν; Ἠλλάχθαι τις ἐμὲ φησίν; Ἀλλ' οἴδασι Ῥωμαῖοι τοῦτό γε. Καλὸν ἐν πολέμῳ θνήσκειν, ἀλλὰ πολέμου νόμῳ, τουτέστιν ὑπὸ τῶν κρατούντων· εἰ μὲν οὖν τὸν Ῥωμαίων 24
ἀποστρέφομαι σίδηρον, ἄξιός εἰμι ἀληθῶς τοῦ ἐμοῦ ξίφους καὶ χειρὸς τῆς ἐμῆς. Εἰ δὲ ἐκείνους εἰσέρχεται φειδὼ πολεμίου, πόσῳ δικαιότερον ἂν ἡμᾶς ἡμῶν αὐτῶν εἰσέλθοι; Καὶ 25
γὰρ ἠλίθιον ταῦτα δρᾶν σφᾶς αὐτοὺς, περὶ ὧν πρὸς ἐκείνους διϊστάμεθα. Καλὸν ὑπὲρ τῆς ἐλευθερίας ἀποθνήσκειν· φημὶ καὶ ἐγὼ, μαχομένους μέντοι, καὶ ὑπὸ τῶν ἀφαιρουμένων αὐτήν. Νῦν δὲ οὔτε εἰς μάχην ἀντιάζουσιν ἡμῖν, οὔτε ἀναι- 26
ροῦσιν ἡμᾶς. Δειλὸς δὲ ὁμοίως ὅ τε μὴ βουλόμενος θνήσκειν, ὅταν δέῃ, καὶ ὁ βουλόμενος, ὅταν μὴ δέῃ. Τί δὲ καὶ δεδοι- 27
κότες πρὸς Ῥωμαίους οὐκ ἄνιμεν; Ἆρα οὐχὶ θάνατον; Εἶτα ὃν δεδοίκαμεν ἐκ τῶν ἐχθρῶν ὑποπτευόμενον, ἑαυτοῖς βέβαιον ἐπιτιμήσομεν; Ἀλλὰ δουλείαν ἐρεῖ τις. Πάνυ γοῦν νῦν 28

ἑκὼν θνήσκεις M.E. et pri. ma. R. et T. ἂν δ' ἄκων P. τεθνήξει M. τεθνήκει N. 21 ἐπανετείνοντο T. ἐπέτεινον καὶ ξι. L.P. 23 Διηλλάχθαι L.P. ἐμὲ φήσει; R.E. καὶ καλὸν ἐν L.P. 24 οὖν τῶν Ῥωμαίων N.P. ἀληθῶς εἰμὶ tr. L.P. φειδὼς πολεμίου P. et L. sed in hoc s rec. add. φειδὼς πολέμου M.R. φειδὼ πολέμου N. πολὺ δικαιότερον L. et P. sed huj. in marg. πόσῳ δικαιότερον. 25 περὶ ὧν καὶ πρὸς L.P. καλὸν γὰρ ὑπὲρ L.P. μαχομένοις P. 26 μὴ βουλόμενος, ὅτ' ἂν μὴ δέῃ. Τί. δὲ καὶ desunt quæ intersunt omnia M. 27 οὐκ ἄνειμεν P. οὐκ ἄνημεν L. εἶτα οἷον δεδ. M.N.R. ἑαυτοῖς βίαιον R. ἑαυτοῖς βιβλίον N. ἐπιτιμήσωμεν sed in marg. rec. add. ἐπιστήσομεν L. ἐπιστήσομεν sed in marg. ἐπιτιμήσομεν P. ὑποτιμήσομεν N. 28 νῦν deest P.

ἐσμὲν ἐλεύθεροι. Γενναῖον γὰρ ἀνελεῖν ἑαυτὸν, φήσει τις. Οὐ μὲν οὖν, ἀλλὰ ἀγεννέστατον, ὡς ἔγωγε καὶ κυβερνήτην ἡγοῦμαι δειλότατον, ὅς τις χειμῶνα δεδοικὼς πρὸ τῆς θυέλλης
29 ἐβάπτισεν ἑκὼν τὸ σκάφος. Ἀλλὰ μὴν ἡ αὐτοχειρία καὶ τῆς κοινῆς ἁπάντων ζώων φύσεως ἀλλότριον, καὶ πρὸς τὸν
30 κτίσαντα θεὸν ἡμᾶς ἐστιν ἀσέβεια. Τῶν μέν γε ζώων οὐδέν ἐστιν, ὃ θνήσκει μετὰ προνοίας ἢ δι' αὐτοῦ· φύσεως γὰρ νόμος ἰσχυρὸς ἐν ἅπασι, τὸ ζῆν ἐθέλειν· διὰ τοῦτο καὶ τοὺς φανερῶς ἀφαιρουμένους ἡμᾶς τούτου πολεμίους ἡγούμεθα,
31 καὶ τοὺς ἐξ ἐνέδρας τιμωρούμεθα. Τὸν δὲ θεὸν οὐκ οἴεσθε ἀγανακτεῖν, ὅταν ἄνθρωπος αὐτοῦ τὸ δῶρον ὑβρίζῃ; Καὶ γὰρ εἰλήφαμεν παρ' ἐκείνου τὸ εἶναι, καὶ τὸ μηκέτι εἶναι
32 πάλιν ἐκείνῳ δίδομεν· τὰ μέν γε σώματα θνητὰ πᾶσι, καὶ ἐκ φθαρτῆς ὕλης δημιουργεῖται, ψυχὴ δὲ ἀθάνατος ἀεὶ, καὶ θεοῦ μοῖρα τοῖς σώμασιν ἐνοικίζεται. Εἶτα ἂν μὲν ἀφανίσῃ τις ἀνθρώπου παρακαταθήκην, ἢ διάθηται κακῶς, πονηρὸς εἶναι
33 δοκεῖ καὶ ἄπιστος· εἰ δέ τις τοῦ σφετέρου σώματος ἐκβάλλει τὴν παρακαταθήκην τοῦ θεοῦ, λεληθέναι δοκεῖ τὸν ἀδικούμενον; Καὶ κολάζειν μὲν τοὺς ἀποδράντας οἰκέτας δίκαιον νενό-
34 μισται, καὶ ἐὰν πονηροὺς καταλίπωσι δεσπότας· αὐτοὶ δὲ κάλλιστον δεσπότην ἀποδιδράσκοντες τὸν θεὸν, οὐ δοκοῦμεν ἀσεβεῖν; Ἆρα οὐκ ἴστε, ὅτι τῶν μὲν ἐξιόντων τοῦ βίου κατὰ τὸν τῆς φύσεως νόμον, καὶ τὸ ληφθὲν παρὰ τοῦ θεοῦ χρέος ἐκτινόντων, ὅταν ὁ δοὺς κομίσασθαι θέλῃ, κλέος μὲν αἰώνιον,
35 οἶκοι δὲ καὶ γενεαὶ βέβαιοι, καθαραὶ δὲ καὶ ἐπήκοοι μένουσιν αἱ ψυχαὶ, χῶρον οὐρανοῦ λαχοῦσαι τὸν ἁγιώτατον, ἔνθεν ἐκ περιτροπῆς αἰώνων ἁγνοῖς πάλιν ἀντενοικίζονται σώμασιν;

γενναῖον δὲ E. φησί τις P. ἀγενέστατον M.P.T. ἐβάπτισεν ἑκὼν πρὸ τῆς θυ. tr. L. 30 Τῶν μέντοι ζ. R. μετὰ προθυμίας ἢ L. τιμωροῦμεν M. 31 αὐτοῦ ἄνθρωπος tr. P. ὑβρίζῃ man. ead. L. διδόαμεν L.P. 32 δεδημιουργεῖται L. δεδημιούργηται P. δημιουργούμενα sed in marg. -γεῖται T. εἴτ' ἐὰν μὲν P. 33 σώματος ἐκβάλλῃ R. σώ. ἐκβάλῃ P.E. τοὺς ἀποδράσαντας R. καταλείπωσι N.P. 34 παρ' αὐτοῖς χρέος L. ἐκτεινόντων N. ἐκτιννύντων P. et ex cor. rec. T. 35 χῶρον οὐράνιον M.P. ἀντοικίζονται P.

"Οσοις δὲ καθ' ἑαυτῶν ἐμάνησαν αἱ χεῖρες, τούτων μὲν ᾅδης 36
δέχεται τὰς ψυχὰς σκοτιώτερος, ὁ δὲ τούτων πατὴρ θεὸς εἰς
ἐκγόνους τιμωρεῖται τοὺς τῶν πατέρων ὑβριστάς. Διὰ τοῦτο 37
μεμίσηται παρὰ τῷ θεῷ τοῦτο, καὶ παρὰ τῷ σοφωτάτῳ
κολάζεται νομοθέτῃ· τοὺς γοῦν ἀνελόντας ἑαυτοὺς παρὰ μὲν
ἡμῖν μέχρις ἡλίου δύσεως ἀτάφους ἐκρίπτειν ἔκριναν, καίτοι
καὶ πολεμίους θάπτειν θεμιτὸν ἡγούμενοι· παρ' ἑτέροις δὲ 38
καὶ τὰς δεξιὰς τῶν τοιούτων νεκρῶν ἀποκόπτειν ἐκέλευσαν,
αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα
τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος.
Καλὸν οὖν, ἑταῖροι, δίκαια φρονεῖν, καὶ μὴ ταῖς ἀνθρωπίναις 39
συμφοραῖς προσθεῖναι τὴν εἰς τὸν κτίσαντα ἡμᾶς δυσσέβειαν.
Εἰ σώζεσθαι δοκεῖ, σωζώμεθα· καὶ γὰρ οὐκ ἄδοξος ἡ σωτη- 40
ρία, παρ' οἷς διὰ τοσούτων ἔργων ἐπεδειξάμεθα τὰς ἀρετάς·
εἰ τεθνάναι, καλὸν ὑπὸ τῶν ἑλόντων. Οὐ μεταβήσομαι δ' 41
ἐγὼ εἰς τὴν τῶν πολεμίων τάξιν, ἵνα ἐμαυτοῦ προδότης γένω-
μαι· καὶ γὰρ ἂν εἴην πολὺ τῶν αὐτομολούντων πρὸς τοὺς
πολεμίους ἠλιθιώτερος· εἴ γε ἐκεῖνοι μὲν ἐπὶ σωτηρίᾳ τοῦτο
πράττουσιν, ἐγὼ δ' ἐπ' ἀπωλείᾳ, καί γε τῇ ἐμαυτοῦ. Τὴν 42
μέντοι Ῥωμαίων ἐνέδραν ἐπεύχομαι· μετὰ γὰρ δεξιὰν ἀναι-
ρούμενος ὑπ' αὐτῶν εὐθύμως τεθνήξομαι, τὴν τῶν ψευσαμένων
ἀπιστίαν νίκης μεῖζον ἀποφέρων παραμύθιον."

6. Ὁ μὲν Ἰώσηπος πολλὰ τοιαῦτα πρὸς ἀποτροπὴν τῆς 43
αὐτοχειρίας ἔλεγεν. Οἱ δὲ πεφραγμένας ἀπογνώσει τὰς
ἀκοὰς ἔχοντες, ὡς ἂν πάλαι καθοσιώσαντες ἑαυτοὺς τῷ θανά-
τῳ, παροξύνονται πρὸς αὐτόν· καὶ προστρέχων ἄλλος ἄλλο- 44

36 ᾅδης μὲν tr. L.P. σκοτεινότερος ex cor. T. ἐγγόνους L. τοὺς θάτερον ὑβριστάς M.N.R. et pri. ma. T. 37 Καὶ διὰ τοῦτο L. παρὰ θεῷ L. ἀναιροῦνταις ἑαυτοὺς P. μέχρι τῆς ἡλίου M. κρύπτειν M.N. et κρύ T. sed in huj. marg. ἐκρίπτειν. ριπτειν sic. R. 38 τοιούτων τῶν tr. E. τούτων τῶν M.N.R.T. ἐκέλευσαν. Τὸ καθ' ἑαυτῶν ἡγούμ. N. τῆς ψυχῆς τὸ σῶμα tr. M. 40 σωζόμεθα L. 41 ἵν' ἐμαυτῷ P. ἠληθιώτερος P. ἐγὼ δέ γε ἐπὶ L. 42 ἀπεύχομαι N. εὔχομαι L.P. et ex ras. T. εὔθυμος P. μείζονα P. παραμυθίαν L. 43 Ὁ μὲν οὖν Ἰώσ. P. ἐν ἀπογνώσει P. παρωξύνοντο L.T. sed in utr. ex cor.

θεν ξιφήρης, ἐκάκιζόν τε εἰς ἀνανδρίαν, καὶ ὡς ἕκαστος αὐτίκα
45 καταπλήξων δῆλος ἦν. Ὁ δὲ τὸν μὲν ὀνομαστὶ καλῶν, τῷ δὲ στρατηγικώτερον ἐμβλέπων, τοῦ δὲ δρασσόμενος τὴν δεξιὰν, ὃν δὲ δήσει δυσωπῶν, καὶ ποικίλοις διαιρούμενος πάθεσιν, ἐπὶ τῆς ἀνάγκης εἶργεν ἀπὸ τῆς σφαγῆς πάντων τὸν σίδηρον, ὥσπερ τὰ κατακυκλωθέντα τῶν θηρίων, ἀεὶ πρὸς τὸν
46 καθαπτόμενον ἀντιστρεφόμενος. Τῶν δὲ καὶ παρὰ τὰς ἐσχάτας συμφορὰς ἔτι τὸν στρατηγὸν αἰδουμένων παρελύοντο μὲν αἱ δεξιαὶ, περιωλίσθανε δὲ τὰ ξίφη, καὶ πολλοὶ τὰς ῥομφαίας ἐπιφέροντες αὐτομάτως παρείθησαν.

47 7. Ὁ δὲ ἐν ταῖς ἀμηχανίαις οὐκ ἠπόρησεν ἐπινοίας, ἀλλὰ πιστεύων τῷ κηδεμόνι θεῷ τὴν σωτηρίαν παραβάλλεται, καὶ, "Ἐπειδὴ δέδοκται τὸ θνήσκειν," ἔφη, "φέρε κλήρῳ τὰς
48 ἀλλήλων σφαγὰς ἐπιτρέψωμεν· ὁ λαχὼν δὲ ὑπὸ τοῦ μετ' αὐτὸν πιπτέτω, καὶ διοδεύσει πάντων οὕτως ἡ τύχη, μηδὲ ἐπὶ τῆς ἰδίας κείσθω δεξιᾶς ἕκαστος· ἄδικον γὰρ οἰχομένων τῶν
49 ἄλλων τινὰ μετανοήσαντα σωθῆναι." Πιστὸς ἔδοξε ταῦτα εἰπὼν, καὶ συνεκληροῦτο πείσας· ἑτοίμην δὲ ὁ λαχὼν τῷ μετ' αὐτὸν παρεῖχε τὴν σφαγὴν, ὡς αὐτίκα τεθνηξομένου καὶ τοῦ στρατηγοῦ· ζωῆς γὰρ ἡδίω τὸν μετὰ τοῦ Ἰωσήπου θάνατον
50 ἡγοῦντο. Καταλείπεται δὲ οὗτος, εἴτε ὑπὸ τύχης χρὴ λέγειν, εἴτε ὑπὸ θεοῦ προνοίας, σὺν ἑτέρῳ· καὶ σπουδάζων μήτε ὑπὸ τοῦ κλήρου καταδικασθῆναι, μήτε, εἰ τελευταῖος λίποιτο, μιᾶναι τὴν δεξιὰν ὁμοφύλῳ φόνῳ, πείθει καὶ ἐκεῖνον ἐπὶ πίστει ζῆν.

51 8. Ὁ μὲν οὖν οὕτω τόν τε Ῥωμαίων καὶ τὸν οἰκείων διαφυγὼν πόλεμον, ἐπὶ Οὐεσπασιανὸν ἤγετο διὰ τοῦ Νικάνο-

45 προτρέχων L. ξιφήρεις P. ἀνανδρείαν N. αὐτίκα πλήξων L.P. et ex ras. T. 45 ὀνόματι P. δρασόμενος M. τῆς δεξιᾶς L. sed ex cor. τὰ κυκλωθέντα L.P. ἐπιστρεφόμενος sed in marg. ἀντι. T. 46 περιωλίσθαινε E. περιολίσθανεν P. αὐτομ. παρῆσαν L.P. 47 ἐπεὶ δέδοκται L.N.P.T. 48 λαχὼν δ' ἀπὸ τοῦ P. τινὰ τῶν ἄλλων tr. P. 49 Πιστὸς δ' ἔδοξε L.P. τὸ μεθ' αὑτὸν P. τῷ μετ' ἑαυτὸν L. θνηξομένου L.M. μετὰ Ἰωσήπου P. 50 οὗτος ὑπὸ θεοῦ desunt quæ intersunt omnia L.P. σὺν ἑταίρῳ ex cor. L. λείποιτο L.P. 51 οὕτως τῶν τε P. καὶ τῶν οἰκ. P.T. ἤγετο ὑπὸ τοῦ Νικ. L. ἤγ. ὑπὸ Νικ. P.

ρος. Οἱ δὲ Ῥωμαῖοι πάντες ἐπὶ θέαν αὐτοῦ συνέτρεχον, καὶ 52
τοῦ πλήθους συνθλιβομένου περὶ τῷ στρατηγῷ θόρυβος ἦν
ποικίλος, τῶν μὲν γεγηθότων ἐπὶ τῷ ληφθέντι, τῶν δὲ ἀπει-
λούντων, τῶν δὲ ἐγγύθεν ἰδεῖν βιαζομένων. Καὶ οἱ μὲν πορ- 53
ρωθεν κολάζειν ἐβόων τὸν πολέμιον, τῶν δὲ πλησίον ἀνάμνη-
σις αὐτοῦ τῶν ἔργων εἰσήει, καὶ πρός τὴν μεταβολὴν θάμβος,
Τῶν τε ἡγεμόνων οὐδεὶς ἦν, ὃς, εἰ καὶ πρότερον ὠργίζετο, 54
τότε πρὸς τὴν ὄψιν οὐκ ἐνέδωκεν αὐτοῦ. Μάλιστα δὲ τὸν
Τίτον ἐξ ἀρετῆς τό τε καρτερικὸν ἐν ταῖς συμφοραῖς ἦρει
τοῦ Ἰωσήπου, καὶ πρὸς τὴν ἡλικίαν ἔλεος. Ἀναμιμνησκο- 55
μένῳ τε τὸν οὐ πάλαι μαχόμενον, καὶ τὸν ἐν χερσὶν ἐχθρῶν
ἄρτι κείμενον ὁρῶντι παρῆν τε νοεῖν, ὅσον δύναται τύχη, καὶ
ὡς ὀξεῖα μὲν πολέμου ῥοπὴ, τῶν δὲ ἀνθρωπίνων οὐδὲν βέβαιον·
παρὸ καὶ τότε συνδιέθηκε μὲν πλείστους ἑαυτῷ, καὶ πρὸς 56
οἶκτον τοῦ Ἰωσήπου, πλείστη δὲ αὐτῷ καὶ παρὰ τῷ πατρὶ
μοῖρα σωτηρίας ἐγένετο. Ὁ μέντοι Οὐεσπασιανὸς φρουρεῖν
αὐτὸν μετὰ πολλῆς ἀσφαλείας προσέτασσεν, ὡς ἀνατέμψων
αὐτίκα Νέρωνι.

9. Τοῦτο ἀκούσας ὁ Ἰώσηπος, μόνῳ τι διαλεχθῆναι θέλειν 57
ἔλεγεν αὐτῷ. Μεταστησαμένου δὲ ἐκείνου πλὴν τοῦ παιδὸς
Τίτου καὶ δυεῖν φίλων τοὺς ἄλλους ἅπαντας, "Σὺ μὲν," εἶ-
πεν, "Οὐεσπασιανὲ, νομίζεις αἰχμάλωτον αὐτὸν μόνον εἰλη-
φέναι τὸν Ἰώσηπον· ἐγὼ δὲ ἄγγελος ἥκω σοι μειζόνων. Μὴ 58
γὰρ ὑπὸ θεοῦ προπεμπόμενος ἤδειν τὸν Ἰουδαίων νόμον, καὶ

52 θέαν συνέτρεχον N.T. τοῦ στρατηγοῦ L.P.E. θόρυβος ληφθέντι, τῶν δὲ desunt reliqua M. 53 τὸν δὲ πλησίον ex cor. T. 54 ἐξαιρέτως P. et ex cor. T. sed in marg. P. habet ἐξ ἀρετῆς. 55 ἀναμιμνησκόμενον P. et ex cor. L. τε τὸν πάλαι L.P. et ex cor. T. δὲ τὸν οὐ π. M. ἐχθρὸν ἀρτικείμενον sed ῥ ex cor. L. ἐχθρὸν ἀντικείμ. M. ἐχθρῶν ἀντικ. N. ὁρῶντα. παρῆν δὲ P. et ex cor. L. ὁρῶντι. παρῆν δὲ T. 56 συνδιέθηκε πλείσ. L. συνδιέθεικε μὲν πλ. M. πλείστους ἑαυτῷ, καὶ παρὰ τῷ desunt reliqua M. μετὰ πάσης ἀσφ. L.P. προσέταττεν L. 57 Ταῦτα ἀκούσας M.N.R. διαλεχθῆναι ἔλεγεν M. Τίτου deest M. σὺ μὲν, ἔφη, L.P. αἰχμάλ. αὐτόμολον L.M.P. et in marg. R. αἰχμ. αὐτὸ μόνον R. et in marg. L. εἰληφέναι Ἰώσηπον L. 58 Εἰμὶ γὰρ ὑπὸ ex cor. rec. L. θεοῦ πεμπόμενος M.N.R. οὐκ ἤδειν M.T. et in marg. L. ἤδειν τῶν Ἰουδ. P.

πῶς στρατηγοῖς ἀποθνήσκειν πρέπει. Νέρωνί με πέμπεις;
59 Τί γάρ; Οἱ μετὰ Νέρωνα μέχρι σοῦ διάδοχοι μένουσι; Σὺ
Καῖσαρ, Οὐεσπασιανὲ, καὶ αὐτοκράτωρ σὺ καὶ παῖς ὁ σὸς
οὗτος. Δέσμει δέ με νῦν ἀσφαλέστερον, καὶ τήρει σαυτῷ.
Δεσπότης μὲν γὰρ οὐ μόνον ἐμοῦ σὺ Καῖσαρ, ἀλλὰ καὶ γῆς
60 καὶ θαλάσσης καὶ παντὸς ἀνθρώπων γένους. Ἐγὼ δὲ ἐπὶ
τιμωρίαν δέομαι φρουρᾶς μείζονος, εἰ κατασχεδιάζω καὶ
θεοῦ." Ταῦτα εἰπόντος, παραχρῆμα μὲν Οὐεσπασιανὸς ἀπι-
στεῖν ἐδόκει, καὶ τὸν Ἰώσηπον ὑπελάμβανε ταῦτα περὶ σω-
61 τηρίας πανουργεῖν. Κατὰ μικρὸν δὲ εἰς πίστιν ὑπήγετο,
τοῦ θεοῦ διεγείραντος αὐτὸν εἰς τὴν ἡγεμονίαν ἤδη, καὶ τὰ
σκῆπτρα δι' ἑτέρων σημείων προδεικνύντος. Ἀτρεκῆ δὲ καὶ
62 τὸν Ἰώσηπον ἐν ἄλλοις κατελάμβανε. Τῶν γὰρ τοῖς ἀπορ-
ρήτοις παρατυχόντων φίλων ὁ ἕτερος, 'θαυμάζειν, ἔφη, πῶς
οὔτε τοῖς ἐπὶ τῶν Ἰωταπάτων περὶ ἁλώσεως, οὔτε αὐτῷ
προεμαντεύσατο περὶ αἰχμαλωσίας, εἰ μὴ ταῦτα λῆρος εἴη
63 διακρουσομένου τὰς ἐπ' αὐτὸν ὀργάς.' Ὁ δὲ Ἰώσηπος, 'καὶ
τοῖς Ἰωταπατηνοῖς, ὅτι μετὰ τεσσαρακοστὴν ἑβδόμην ἡμέραν
ἁλώσονται, προειπεῖν ἔφη, καὶ ὅτι πρὸς Ῥωμαίων αὐτὸς
ζωγρηθήσεται.' Ταῦτα παρὰ τῶν αἰχμαλώτων κατ' ἰδίαν
ὁ Οὐεσπασιανὸς ἐκπυθόμενος, εὗρισκεν ἀληθῆ, καὶ πιστεύειν
64 περὶ τῶν κατ' αὐτὸν ἤρκτο. Φρουρᾶς μὲν οὖν καὶ δεσμῶν
οὐκ ἀνίει τὸν Ἰώσηπον, ἐδωρεῖτο δὲ ἐσθῆτι καὶ τοῖς ἄλλοις
κειμηλίοις, φιλοφρονούμενός τε καὶ περιέπων διετέλει, τὰ
πολλὰ Τίτου τῇ τιμῇ συνεργοῦντος.

59 τήρει σεαυτῷ L.P. δεσπότης γὰρ M.N. θαλάττης P. 60 κατα-
σχεδιάσω L.P. περὶ τῆς σωτηρ. R. 61 πίστιν ἠπείγετο P. διεγεί-
ροντος E. ἐγείραντος P. προδεικνύοντος L. 62 φίλων ἕτερος L.P.
οὐδὲ αὐτῷ L.P. οὔθ' ἑαυτῷ M. προμαντεύσαιτο L.P. προυμαντεύσαιτο
N. αἰχμαλωσίαν omisso περὶ P. λῆρος ᾖει ex cor. L. διακρουόμενος
P. et L. sed in hoc s finale ex cor. ὀργὰς ὁ Ἰώσηπος. καὶ L. ὀργάς.
Ἰώσ. δὲ, καὶ M.N.R.T.E. 63 Ιωταπηνοῖς R. ἰδίαν Οὐεσ. T. ὡς
εὕρισκεν ἀλ. οὕτω πιστεύειν P. 64 οὐκ ἀνείη P. οὐκ ἀνήει L. ἐδορεῖτο
ἐσθῆτα N.P.

CAP. IX.

1. Τετάρτῃ δὲ Πανέμου μηνὸς, ἀναζεύξας εἰς τὴν Πτολε- 1
μαΐδα, καὶ ἐκεῖθεν εἰς τὴν παράλιον ἀφικνεῖται Καισάρειαν, μεγίστην τῆς τε Ἰουδαίας πόλιν, καὶ τὸ πλέον ὑφ' Ἑλλήνων ἐποικουμένην. Ἐδέχοντο δὲ καὶ τὴν στρατιὰν καὶ τὸν στρα- 2
τηγὸν μετὰ πάσης εὐφημίας καὶ φιλοφροσύνης οἱ ἐπιχώριοι, καὶ κατ' εὔνοιαν μὲν τὴν πρὸς τοὺς Ῥωμαίους, τὸ δὲ πλέον ἔχθει τῶν κατεστραμμένων. Διὸ καὶ τὸν Ἰώσηπον ἀθρόοι 3
καταβοῶντες ἠξίουν κολάζειν. Οὐεσπασιανὸς δὲ τὴν μὲν περὶ τούτου δέησιν, ὡς ὑπ' ἀκρίτου γενομένην πλήθους, ἐξέλυσεν ἡσυχίᾳ. Τῶν δὲ ταγμάτων τὰ μὲν δύο χειμερίσοντα 4
ἐκάθισεν ἐπὶ τῆς Καισαρείας, ἐπιτήδειον ὁρῶν τὴν πόλιν· τὸ δέκατον δὲ καὶ πέμπτον εἰς Σκυθόπολιν, ὡς μὴ θλίβοι παντὶ τῷ στρατῷ τὴν Καισάρειαν. Ἀλεεινὴ δὲ ἦν καὶ ἐκείνη χει- 5
μῶνος ὥρᾳ, καθόσον ἦν πνιγώδης θέρους ὑπὸ καύματος, πεδιὰς οὖσα καὶ παράλιος.

2. Ἐν δὲ τούτῳ συναθροισθέντες οἵ τε κατὰ στάσιν ἐκ- 6
πίπτοντες τῶν πολεμίων, καὶ οἱ διαφυγόντες ἐκ τῶν κατεστραμμένων, πλῆθος οὐκ ὀλίγον, ἀνακτίζουσιν Ἰόππην ὁρμητήριον σφίσιν, ἐρημωθεῖσαν ὑπὸ Κεστίου πρότερον· καὶ τῆς 7
χώρας ἐκπεπολεμωμένης ἀνειργόμενοι, μεταβαίνειν ἔγνωσαν εἰς τὴν θάλασσαν. Πηξάμενοί τε πειρατικὰ σκάφη πλεῖστα, τόν τε Συρίας καὶ Φοινίκης καὶ τὸν ἐπ' Αἰγύπτῳ πόρον ἐλῃστευον, ἄπλωτά τε πᾶσιν ἐποίουν τὰ τῇδε πελάγη. Οὐε- 8
σπασιανὸς δὲ ὡς ἔγνω τὴν σύνταξιν αὐτῶν, πέμπει πεζούς τε

1 Πανέμου in marg. Ἰουλίου R. εἰς Πτολεμ. L.P. Πτυλεμαΐδα ἐκεῖθεν M. καὶ τὸ πλεῖστον ὑφ' L.P. οἰκουμένην L.P. 2 δὲ τήν τε στρατιὰν T. πάσης φιλοτιμίας καὶ φιλοφ. M.N.T. πρὸς Ῥωμαίους L.R. πλέον ἔθει τῶν L. 3 δέησιν, ὑπ' ἀκρίτου M. γινομένην M.N.P.R.E. ἐξέλυεν R. 5 Ἐλεεινὴ δὲ ἦν N. καθόσον πνιγώδης L. ὑπὸ καυμάτων L. 6 κατὰ τὴν στάσιν P. τῶν πόλεων sed in marg. πολεμίων T. Ἰόπην et sic infra R. 7 Φοινίκης καὶ Συρίας tr. M.N.R.T. Αἰγύπτου πόντον N. Αἰγύπτου πόρον P. Αἰγύπτῳ πόντον T. ἅπλωτα δὲ M.

καὶ ἱππεῖς ἐπὶ τὴν Ἰόππην, οἳ νύκτωρ ὡς ἀφύλακτον εἰσέρ-
9 χονται τὴν πόλιν. Οἱ δὲ ἐν αὐτῇ προῃσθοντο μὲν τὴν εἰσ-
βολήν, καὶ καταδείσαντες, τοῦ μὲν εἴργειν τοὺς Ῥωμαίους
ἀπετρέποντο, συμφυγόντες δὲ εἰς τὰς ναῦς, ἐξωτέρω βέλους
διενυκτέρευσαν.

10 3. Ἀλιμένου δὲ οὔσης φύσει τῆς Ἰόππης, — αἰγιαλῷ γὰρ
ἐπιλήγει τραχεῖ, καὶ τὸ μὲν ἄλλο πᾶν ὀρθίῳ, βραχὺ δὲ συν-
νεύοντι κατὰ τὰς κεραίας ἑκατέρωθεν, αἱ δὲ εἰσὶ κρημνοὶ βα-
11 θεῖς καὶ προέχουσαι σπιλάδες εἰς τὸ πέλαγος, ἔνθα καὶ τῶν
Ἀνδρομέδας δεσμῶν ἔτι δεικνύμενοι τύποι πιστοῦνται τὴν
ἀρχαιότητα τοῦ μύθου, τύπτων δὲ τὸν αἰγιαλὸν ἀντίος βο-
ρέας, καὶ πρὸς ταῖς δεχομέναις πέτραις ὑψηλὸν ἀνακόπτων
τὸ κῦμα, σφαλερώτερον ἐρημίας τὸν ὅρμον ἀπεργάζεται, —
12 κατὰ τοῦτον σαλεύουσι τοῖς ἀπὸ τῆς Ἰόππης ὑπὸ τὴν ἕω
πνεῦμα βίαιον ἐπιπίπτει· μελαμβόρειον ὑπὸ τῶν ταύτῃ
13 πλωϊζομένων καλεῖται. Καὶ τὰς μὲν πρὸς ἀλλήλαις τῶν
νεῶν αὐτόθι συνήραξε, τὰς δὲ πρὸς ταῖς πέτραις, πολλὰς δὲ
14 πρὸς ἀντίον κῦμα βιαζομένας εἰς τὸ πέλαγος — τόν τε γὰρ
αἰγιαλὸν ὄντα πετρώδη, καὶ τοὺς ἐπ' αὐτοῦ πολεμίους ἐδε-
δοίκεσαν — μετέωρος ὑπεραρθεὶς ὁ κλύδων ἐβάπτισεν. Ἦν
δὲ οὔτε φυγῆς που τόπος, οὔτε μένουσι σωτηρία, βίᾳ μὲν
ἀνέμου τῆς θαλάσσης ἐξωθουμένοις, Ῥωμαίων δὲ τῆς πόλεως.
15 Καὶ πολλὴ μὲν οἰμωγὴ συρρηγνυμένων ἐγίνετο τῶν σκαφῶν,
πολὺς δὲ ἀγνυμένων ὁ ψόφος. Καὶ τοῦ πλήθους οἱ μὲν ὑπὸ
τῶν κυμάτων καλυπτόμενοι διεφθείροντο, πολλοὶ δὲ τοῖς

8 *νύκτωρ ἀφύλακτον* L.P. 9 *ἀπετράποντο* L. 10 *πᾶν ῥοθίῳ* P. *ἑκάτερθεν* M.N.R.T.E. 11 *δεσμῶν ἐπιδεικνύμενοι* L.M.P. *αἰγιαλὸν ἐναντίος* L.P. *ἀναπέμπων* sed in marg. *ἀνακόπτων* P. 12 *κατὰ τοῦτο*᾽ sic T. *ἐμπίπτει* L.M. *μελαμβόριον* L.P. *πλοϊζομένων* P. 13 *τὰς μὲν ἀλλήλαις* P. et sec. ma. L. *τὰς μὲν πρὸς ἀλλήλας* M. *συνέρραξε* L.M. *συνετάραξεν* P. *συνήρραξε* R. *κῦμα βριζομένας* N. 14 *ἐδεδοί-κεισαν* L. *πολέμους* sic T. *μετέωρος δ' ὑπεραρ.* L.M.N.P.R.T. *ἐβάπτιζεν* L.P. *φυγῆς τόπος* L. *βίας μὲν* L. *ὑπὸ βίας μὲν* P. *ἀνέμων* P. *ἐξωθουμένης* L. et P. sed in huj. marg. *ἐξωθουμένων*. *τῆς πόλεως* deinde habet *φερομένων τῶν βελῶν* R. *φερο. τῶν βελ. ἐκκλίνειν* T. 15 *πολ. δὲ ἀνοιγνυμένων* N.

ναναγίοις ἐμπλεκόμενοι· τινὲς δὲ ὡς κουφοτέρῳ τὴν θάλασ- 16
σαν ἔφθανον τῷ σιδήρῳ σφᾶς αὐτοὺς ἀναιροῦντες. Τό γε
μὴν πλεῖστον ὑπὸ τῶν κυμάτων ἐκφερόμενον περιεξαίνετο
ταῖς ἀπορρῶξιν, ὡς αἱμαχθῆναι μὲν ἐπὶ πλεῖστον τὸ πέλα-
γος, πληρωθῆναι δὲ νεκρῶν τὴν παραλίαν· καὶ γὰρ τοὺς ἐπὶ 17
τὸν αἰγιαλὸν ἐκφερομένους ἐφεστῶτες οἱ Ῥωμαῖοι διέφθει-
ρον. Ἦν δὲ ἀριθμὸς τῶν ἐκβρασθέντων σωμάτων τετρα-
κισχίλιοι πρὸς τοῖς διακοσίοις. Ῥωμαῖοι δὲ λαβόντες ἀμα-
χητὶ τὴν πόλιν κατασκάπτουσιν.

4. Ἰόππη μὲν οὕτως ἐν ὀλίγῳ χρόνῳ δεύτερον ὑπὸ Ῥω- 18
μαίοις ἑάλω. Οὐεσπασιανὸς δὲ, ὡς μὴ πάλιν οἱ πειραταὶ
συναλισθεῖεν εἰς αὐτὴν, στρατόπεδόν τε ἐπὶ τῆς ἀκροπόλεως
ἐγείρει, καὶ τὸ ἱππικὸν ἐν αὐτῷ καταλείπει μετὰ πεζῶν ὀλί-
γων, ἵνα οὗτοι μὲν κατὰ χώραν μένοντες φρουρῶσι τὸ στρα- 19
τόπεδον, οἱ δὲ ἱππεῖς προνομεύωσι τὴν πέριξ, καὶ τὰς περιοί-
κους κώμας τε καὶ πολίχνας ἐξαίρωσι τῆς Ἰόππης. Οἱ μὲν
οὖν κατὰ τὰ προσταχθέντα τὴν χώραν κατατρέχοντες, καθ'
ἡμέραν ἔτεμνόν τε καὶ ἠρήμουν ἅπασαν.

5. Ὡς δὲ εἰς τὰ Ἱεροσόλυμα τὸ κατὰ τὴν Ἰωταπάτην 20
πάθος ἠγγέλη, τὸ μὲν πρῶτον ἠπίστουν οἱ πολλοὶ, καὶ διὰ
τὸ μέγεθος τῆς συμφορᾶς καὶ διὰ τὸ μηδένα τῶν λεγομένων
αὐτόπτην παρεῖναι· διεσώθη γὰρ οὐδὲ ἄγγελος, ἀλλὰ αὐτο- 21
μάτη διεκήρυσσε φήμη τὴν ἅλωσιν, οἰκεία φύσει τῶν σκυ-
θρωποτέρων. Κατ' ὀλίγον δὲ διὰ τῶν προσχώρων ὧδευε τὸ
ἀληθὲς, καὶ παρὰ πᾶσιν ἀμφιβολίας ἦν ἤδη βεβαιότερον,
προσεσχεδιάζετό γε μὴν τοῖς πεπραγμένοις καὶ τὰ μὴ γενό-
μενα· τεθνεὼς γὰρ ἐπὶ τῆς ἁλώσεως καὶ ὁ Ἰώσηπος ἠγγέλ- 22
λετο. Τοῦτο μεγίστου τὰ Ἱεροσόλυμα πένθους ἐπλήρωσε.

16 θάλατταν L.P. θάλασ. ἔφθασαν T. τοῖς ἀπορρῶξιν L. παράλιον L.P. 17 διέφθ. Ἀριθμὸς δὲ L.N.P.T. τετρακισχίλια N. ῆ διακοσίοις ἦν. L.N.P.T. 18 μὲν ἐν ὀλίγῳ L. μὲν οὖν ἐν ὀλ. P. ἐν αὐτῷ sic ead. ma. T. 20 γενομένων sed in marg. λεγομένων T. λεγομ. sed in marg. γενομ. R. 21 ἅλωσιν, ὠκεῖα N.T. et R. sed in huj. marg. οἰκεία. ὧδευε· τὸ δ' ἀληθὲς L. 22 καὶ Ἰώσηπος ἐπὶ τῆς ἁλώσεως tr. R. καὶ Ἰώσηπος M.N.R.T.E. πένθους ἐνέπλησε· R.

Κατὰ μέν γε οἴκους, καὶ κατὰ συγγενείας οἷς προσήκων ἦν
23 ἕκαστος τῶν ἀπολωλότων ἐθρηνεῖτο, τὸ δὲ ἐπὶ τῷ στρατηγῷ
πένθος ἐδημοσιεύθη· καὶ οἱ μὲν ξένους, οἱ δὲ συγγενεῖς, οἱ δὲ
24 φίλους, οἱ δὲ ἀδελφοὺς ἐθρήνουν, τὸν Ἰώσηπον δὲ πάντες· ὡς
ἐπὶ τριακοστὴν μὲν ἡμέραν μὴ διαλιπεῖν τὰς ὀλοφύρσεις ἐν
τῇ πόλει, πλείστους δὲ μισθοῦσθαι τοὺς αὐλητάς, οἳ θρήνων
ἐξῆρχον αὐτοῖς.

25 6. Ὡς δὲ τὸ ἀληθὲς διεκαλύπτετο τῷ χρόνῳ, καὶ τὰ μὲν
κατὰ τὴν Ἰωταπάτην ὥσπερ εἶχεν, ἐσχεδιασμένον δὲ τὸ κατὰ
τὸν Ἰώσηπον πάθος εὑρίσκετο, ζῆν δὲ αὐτὸν ἔγνωσαν, καὶ
26 παρὰ Ῥωμαίοις ὄντα πρὸς τῶν ἡγεμόνων πλέον ἢ κατ' αἰχ-
μαλώτου τύχην περιέπεσθαι, τοσοῦτον ὀργῆς ἐπὶ ζῶντος,
ὅσον εὐνοίας ἐπὶ τεθνάναι δοκοῦντος πρότερον ἀνελάμβανον.
27 Καὶ παρ' οἷς μὲν εἰς ἀνανδρίαν, παρ' οἷς δὲ εἰς προδοσίαν
ἐκακίζετο· πλήρης δὲ ἀγανακτήσεως ἦν καὶ τῶν κατ' αὐτοῦ
βλασφημιῶν ἡ πόλις. Παρωξύνοντο δὲ ταῖς πληγαῖς, καὶ
28 προσεξεκαίοντο ταῖς κακοπραγίαις· τό γε μὴν πταίειν, ὃ
γίνεται τοῖς εὖ φρονοῦσιν ἀσφαλείας καὶ τῶν ὁμοίων φυλακῆς
αἴτιον, ἐκείνοις κέντρον ἑτέρων ἐγίνετο συμφορῶν· καὶ τὸ
29 τέλος ἀεὶ τῶν κακῶν αὖθις ἀρχή. Μᾶλλον γοῦν ὥρμων ἐπὶ
τοὺς Ῥωμαίους, ὡς καὶ τὸν Ἰώσηπον ἐν αὐτοῖς ἀμυνούμε-
νοι. Τοὺς μὲν οὖν ἐπὶ τῶν Ἱεροσολύμων τοιοῦτοι θόρυβοι
κατεῖχον.

30 7. Οὐεσπασιανὸς δὲ καθ' ἱστορίαν τῆς Ἀγρίππα βασι-
λείας — ἐνῆγε γὰρ ὁ βασιλεὺς αὐτὸς, ἅμα καὶ δεξιώσασθαι

κατά γε μὴν οἴκους L.P. προσῆκον P. et pri. ma. T. ἕκαστος ἦν tr. L.P. 23 τῷ δ' ἐπὶ τῷ P. πένθος ἐδημεύθη L.P. οἱ δὲ ἀδελφοὺς desunt P. τὸν δὲ Ἰώσηπον tr. T. 24 διαλείπειν P. αὐτοῖς ἐξῆρχον tr. L.P. 25 τἀληθῆ ἀπεκαλύπτετο L. πάθος ἐγνωρίζετο, ζῆν M. ὄντα, καὶ πρὸς L.P.E. et sec. ma. T. 26 πρὸς τὸν ἡγεμ. pri. ma. L. πλέον ἂν deest M.N.R.T.E. 27 εἰς ἀνδρείαν L. εἰς ἀνδρίαν sic M. εἰς ἀνανδρείαν N.P. πλήρης τε ἀγανακ. P. παροξύνοντο P. 28 ἑτέρων deest L.P. ἐγίνετο συμφορῶν ἑτέρων tr. R. 29 ὥρμουν N P.R.T.E. καὶ Ἰώσηπον L.M.N.P.R.E. ἐπὶ τοῖς Ἱεροσολύμοις L. 30 γὰρ βασιλεὺς M.N.P.R. γὰρ καὶ βασιλεὺς L.E. βασ. αὐτὸν P. ἅμα δὲ καὶ L.P.

τὸν ἡγεμόνα σὺν τῇ στρατιᾷ τῷ κατὰ τὸν οἶκον ὅλβῳ προ-
αιρούμενος, καὶ καταστεῖλαι δι' αὐτῶν τὰ νοσοῦντα τῆς ἀρχῆς
—ἄρας ἀπὸ τῆς παράλου Καισαρείας, εἰς τὴν Φιλίππου 31
καλουμένην μεταβαίνει Καισάρειαν. Ἔνθα μέχρι μὲν ἡμε-
ρῶν εἴκοσι τὴν στρατιὰν διαναπαύων καὶ αὐτὸς ἐν εὐωχίαις
ἦν, ἀποδιδοὺς τῷ θεῷ χαριστήρια τῶν κατωρθωμένων. Ὡς 32
δὲ αὐτῷ Τιβεριὰς μὲν νεωτερίζειν, ἀφεστάναι δὲ ἠγγέλλοντο
Ταριχαῖαι, —μοῖρα δὲ τῆς Ἀγρίππα βασιλείας ἦσαν ἀμφό-
τεραι, —πανταχόθεν τοὺς Ἰουδαίους καταστρέφεσθαι διε-
γνωκὼς, τὴν ἐπὶ τούτοις στρατείαν εὔκαιρον ἡγεῖτο, καὶ δι' 33
Ἀγρίππαν, ὡς εἰς ξενίας ἀμοιβὴν σωφρονίσων αὐτῷ τὰς
πόλεις. Πέμπει δὴ τὸν υἱὸν Τίτον εἰς Καισάρειαν, μετά-
ξοντα τὴν ἐκεῖθεν στρατιὰν εἰς Σκυθόπολιν· ἡ δέ ἐστι με-
γίστη τῆς Δεκαπόλεως, καὶ γείτων τῆς Τιβεριάδος. Ἔνθα 34
καὶ αὐτὸς παραγενόμενος ἐκδέχεται τὸν υἱόν· καὶ μετὰ τριῶν
ταγμάτων προελθὼν, στρατοπεδεύεται μὲν ἀπὸ τριάκοντα
τῆς Τιβεριάδος σταδίων, κατά τινα σταθμὸν εὐσύνοπτον τοῖς
νεωτερίζουσι, Σενναβρὶς ὀνομάζεται. Πέμπει δὲ δεκαδάρ- 35
χην Οὐαλεριανὸν σὺν ἱππεῦσι πεντήκοντα, διαλεχθησόμενον
εἰρηνικὰ τοῖς κατὰ τὴν πόλιν, καὶ προτρεψόμενον ἐπὶ πί-
στεις· ἠκηκόει γὰρ, ὡς ἐπιθυμοίη μὲν εἰρήνης ὁ δῆμος, κατα-
στασιάζοιτο δὲ ὑπό τινων πολεμεῖν βιαζομένων. Προσελά- 36
σας δὲ ὁ Οὐαλεριανὸς, ἐπεὶ πλησίον ἦν τοῦ τείχους, αὐτός τε
καταβαίνει, καὶ τοὺς σὺν αὐτῷ τῶν ἱππέων ἀπέβησεν, ὡς μὴ
δοκοῖεν ἀκροβολιζόμενοι παρεῖναι. Καὶ πρὶν εἰς λόγους ἐλ- 37
θεῖν, ἐπεκθέουσιν αὐτῷ τῶν στασιαστῶν οἱ δυνατώτεροι μεθ'
ὅπλων. Ἐξηγεῖτο δὲ αὐτῶν Ἰησοῦς τις ὀνόματι, παῖς Σα-
φάτου, τοῦ λῃστρικοῦ στίφους ὁ κορυφαιότατος. Οὐαλε- 38

δι' αὐτοῦ τὰ M. δι' αὐτὸν τὰ T. 31 ἐπὶ τὴν Φιλ. T. εὐωχίᾳ P. κατορθωμένων P. 32 μὲν ἐνεωτέριζεν L.P. ἠγγέλλετο L. ἐπὶ τούτου P. στρατίαν L.M.N.P.R.T. 33 σωφρονήσων N. πέμπει δὲ τὸν P.E. μετατάξοντα τὴν T. 34 προσελθὼν N.T. Σεναβρὶς M. Ἐνναβρὶς L.P. 35 πέμπει δὴ δεκ. L.P. δεκάρχην Οὐαλλεριανὸν et sic inf. M.R. κατὰ πόλιν P. ἀκηκόει M.N.P.R.T. ἐπιθυμῴη N.T.E. ἐπιθυμοῦσιν P. et ex cor. L. 36 ἀκροβολισόμενοι E. 37 δυνατώτατοι L. τις ὄνομα L. παῖς Τοφάτου· λῃστρικοῦ L. π. Τωφαῖς τοῦ λ. N.

ριανὸς δὲ, οὔτε παρὰ τὰς ἐντολὰς τοῦ στρατηγοῦ συμβαλεῖν ἀσφαλὲς ἡγούμενος, εἰ καὶ τὸ νικᾶν εἴη βέβαιον, καὶ σφαλερὸν τὸ μάχεσθαι πολλοῖς μετ' ὀλίγων, ἀπαρασκεύων τε πρὸς
39 ἑτοίμους, καὶ ἄλλως ἐκπλαγεὶς πρὸς τὴν ἀδόκητον τῶν Ἰουδαίων τόλμαν, φεύγει πεζὸς, ἕτεροί τε ὁμοίως πέντε τοὺς ἵππους ἀπέλιπον· οὓς οἱ περὶ τὸν Ἰησοῦν ἀπήγαγον εἰς τὴν πόλιν γεγηθότες ὥσπερ μάχῃ ληφθέντας, οὐκ ἐνέδρᾳ.
40 8. Τοῦτο καταδείσαντες οἱ γηραιοὶ τοῦ δήμου καὶ προέχειν δοκοῦντες φεύγουσι μὲν εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον· ἐπαγόμενοι δὲ τὸν βασιλέα προσπίπτουσιν ἱκέται Οὐεσπασιανῷ, ‘μὴ σφᾶς περιϊδεῖν δεόμενοι, μηδὲ τὴν ὀλίγων
41 ἀπόνοιαν ἡγήσασθαι τῆς πόλεως ὅλης· φείσασθαι δὲ τοῦ δήμου Ῥωμαίοις φιλοφρονοῦντος ἀεὶ, καὶ τοὺς αἰτίους τιμωρήσασθαι τῆς ἀποστάσεως, ὑφ' ὧν αὐτοὶ φρουρηθῆναι μέχρι
42 νῦν ἐπὶ δεξιὰς ἐπειγόμενοι πάλαι.’ Ταύταις ἐνεδίδου ταῖς ἱκεσίαις ὁ στρατηγὸς, καίτοι διὰ τὴν ἁρπαγὴν τῶν ἵππων ἐφ' ὅλην ὠργισμένος τὴν πόλιν· καὶ γὰρ ἀγωνιῶντα περὶ
43 αὐτῆς τὸν Ἀγρίππαν ἑώρα. Λαβόντων δὲ τούτων τοῦ δήμου δεξιὰς, οἱ περὶ τὸν Ἰησοῦν, οὐκ ἔτι ἀσφαλὲς ἡγούμενοι μένειν ἐπὶ τῆς Τιβεριάδος, εἰς Ταριχαίας ἀποδιδράσκουσι.
44 Καὶ μεθ' ἡμέραν Οὐεσπασιανὸς σὺν ἱππεῦσι προπέμπει πρὸς τὴν ἀκρώρειαν Τραϊανὸν, ἀποπειραθῆναι τοῦ πλήθους, εἰ
45 πάντες εἰρηνικὰ φρονοῖεν. Ὡς δὲ ἔγνω τὸν δῆμον ὁμονοοῦντα τοῖς ἱκέταις, ἀναλαβὼν τὴν δύναμιν ἦει πρὸς τὴν πόλιν. Οἱ δὲ τάς τε πύλας ἀνοίγουσιν αὐτῷ, καὶ μετ' εὐφη-
46 μιῶν ὑπήντων, σωτῆρα καὶ εὐεργέτην ἀνακαλοῦντες. Τῆς δὲ στρατιὰς τριβομένης περὶ τὴν τῶν εἰσόδων στενότητα, παραρρῆξαι τοῦ κατὰ τὴν μεσημβρίαν τείχους Οὐεσπασιανὸς

38 νικᾶν ἢ L. ἀπαρασκευάστοις τε πρὸς L.P. ἀπαρασκεύοις τε πρὸς ex cor. T. 39 ἐκπλαγεὶς τὴν L.P. ἀπέλειπον N. ὡς μάχῃ L. 40 Οὐεσπασιανοῦ P. μήτε τὴν L.P. τῆς πόλεως ὅλης. φείσασθαι desunt P. 41 φιλαφρονοῦντος N. φιλὰ φρονοῦντος P.R. ὑφ' ὧν αὐτῶν φρ. L.P. 42 ἐνεδίδει N. τῶν ἱππέων ἐφ' T. 43 Λαμβανόντων δὲ M.R. τούτων τῷ δήμῳ N. 45 δῆμον ὁμοφρονοῦντα L.P. τὰς πύλας L.P. 46 κατὰ μεσημβρίαν L.P.

κελεύσας, πλατύνει τὴν εἰσβολὴν αὐτοῖς. Ἀρπαγῆς μέντοι 47
καὶ ὕβρεως ἀπέχεσθαι παρήγγελλε, τῷ βασιλεῖ χαριζόμενος,
τῶν τε τειχῶν διὰ τοῦτον ἐφείσατο, συμμένειν πρὸς τὸ λοι-
πὸν ἐγγυωμένου τοὺς ἐν αὐτοῖς, καὶ τὰ ἄλλα κεκακωμένην τὴν
πόλιν ἐκ τῆς στάσεως ἀνελάμβανεν.

CAP. X.

1. Ἔπειτα προελθὼν αὐτῆς τε μεταξὺ καὶ Ταριχαιῶν 1
στρατοπεδεύεται, τειχίζει δὲ τὴν παρεμβολὴν ὀχυρωτέραν,
ὑφορώμενος ἐκεῖ πολέμου τριβὴν αὐτῷ γενησομένην· συνέρρει 2
γὰρ εἰς τὰς Ταριχαίας πᾶν τὸ νεωτερίζον, τῇ τε τῆς πόλεως
ὀχυρότητι καὶ τῇ λίμνῃ πεποιθότες, ἣ καλεῖται Γεννησὰρ
πρὸς τῶν ἐπιχωρίων. Ἡ μὲν γὰρ πόλις, ὥσπερ ἡ Τιβε- 3
ριὰς ὑπώρειος οὖσα, καθὰ μὴ τῇ λίμνῃ προσεκλύζετο, πάντο-
θεν ὑπὸ τοῦ Ἰωσήπου τετείχιστο καρτερῶς, ἐλάσσω μέντοι
τῆς Τιβεριάδος. Τὸν μὲν γὰρ ἐκεῖ περίβολον ἐν ἀρχῇ τῆς 4
ἀποστάσεως δαψιλείᾳ χρημάτων καὶ δυνάμεως ἐκρατύνατο·
Ταριχαῖαι δὲ αὐτοῦ τὰ λείψανα τῆς φιλοτιμίας μετέλαβον.
Σκάφη δὲ ἦν αὐτοῖς ἐπὶ τῆς λίμνης παρεσκευασμένα πολλά, 5
πρός τε τὸ συμφυγεῖν ἐπὶ γῆς ἡττωμένους, καὶ ἂν εἰ δέοι
διαναυμαχεῖν, ἐξηρτυμένα. Περιβαλλομένων δὲ τῶν Ῥω- 6
μαίων τὸ στρατόπεδον, οἱ περὶ τὸν Ἰησοῦν, οὔτε πρὸς τὸ
πλῆθος, οὔτε πρὸς τὴν εὐταξίαν τῶν πολεμίων ὑποδείσαντες,
προθέουσι, καὶ πρὸς τὴν πρώτην ἔφοδον τῶν τειχοποιῶν 7
σκεδασθέντων, ὀλίγα τῆς δομήσεως σπαράξαντες, ὡς ἑώρων
τοὺς ὁπλίτας ἀθροιζομένους, πρίν τι παθεῖν, εἰς τοὺς σφετέ-
ρους ἀνέφευγον· ἐπιδιώξαντες δὲ Ῥωμαῖοι συνελαύνουσιν αὐ- 8
τοὺς εἰς τὰ σκάφη. Καὶ οἱ μὲν ἀναχθέντες εἰς ὅσον ἐξικνεῖ-

πλατύνει E. 47 παρήγγειλεν P. διὰ τούτων ἐφ. P. ἐγγυομένου P. καὶ πολλὰ κεκ. L.P. στάσεως ἀναλαμβάνειν N. 1 μεταξὺ αὐτῆς καὶ P. τειχίζει τε P. ὀχυροτέραν P. 2 πεποιθότες· καλεῖται L. 3 ὑπόρειος οὖσα N. ὑπὸ τῶν Ἰωσήπου N. ἔλασσον P. et ex cor. T. 4 δαψιλίᾳ N. ἐκρατύνετο L.P. Ταριχαῖα L. μετέλαβεν L. 5 πρός γε τὸ L. πρός τε τοὺς N. συμφεύγειν P. ἐπὶ τῆς γῆς R.E. διαναυμαχίαν P. ἐξηρτισμένα L.P. 6 προσθέουσιν P. 7 σφετέρους ἀνέτρεχον. ἐπιδ. M. 8 οἱ Ῥωμαῖοι E.

σθαι τῶν Ῥωμαίων βάλλοντες δύναιντο, τάς τε ἀγκύρας ἔβαλλον, καὶ πυκνώσαντες ὥσπερ φάλαγγας τὰς ναῦς ἐπαλ-
9 λήλους, τοῖς ἐπὶ γῆς διεναυμάχουν πολεμίοις. Οὐεσπασιανὸς δὲ τὸ πολὺ πλῆθος αὐτῶν ἠθροισμένον ἀκούων ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, πέμπει τὸν υἱὸν σὺν ἱππεῦσιν ἐξακοσίοις ἐπιλέκτοις.

10 2. Ὁ δὲ ὑπέρογκον εὑρὼν τὴν τῶν πολεμίων πληθὺν, πρὸς μὲν τὸν πατέρα πέμπει, πλείονος δυνάμεως αὐτῷ δεῖν λέγων.
11 Αὐτὸς δὲ τοὺς μὲν πλείους τῶν ἱππέων ὡρμημένους ὁρῶν, καὶ πρὶν ἀφικέσθαι βοήθειαν, ἔστι δὲ οὓς ἡσυχῇ πρὸς τὸ πλῆθος
12 τῶν Ἰουδαίων καταπεπληγότας, ἐν ἐπηκόῳ στὰς, "Ἄνδρες," ἔφη, "Ῥωμαῖοι, καλὸν γὰρ ἐν ἀρχῇ τῶν λόγων ὑπομνῆσαι τοῦ γένους ὑμᾶς, ἵνα εἰδῆτε, τίνες ὄντες, καὶ πρὸς τίνας μά-
13 χεσθαι μέλλομεν. Τὰς μὲν γὰρ ἡμετέρας χεῖρας οὐδὲν εἰς τοῦτο τῶν ἐπὶ τῆς οἰκουμένης διαπέφευγεν, Ἰουδαῖοι δὲ, ἵνα εἴπω καὶ ὑπὲρ αὐτῶν, μέχρι νῦν οὐ κοπιῶσιν ἡττώμενοι. Καὶ δεινὸν, ἑστώτων ἐκείνων ἐν ταῖς κακοπραγίαις, ἡμᾶς τοῖς εὐ-
14 τυχήμασιν ἐγκάμνειν. Προθυμίας μὲν εἰς τὸ φανερὸν ὑμᾶς εὖ ἔχοντας χαίρω καὶ βλέπων, δέδοικα δὲ μή τινι τὸ πλῆθος
15 τῶν πολεμίων κατάπληξιν λεληθυῖαν ἐνεργάσηται. Λογισάσθω δὴ πάλιν, οἷος πρὸς οἵους παρατάξεται· καὶ διότι Ἰουδαῖοι μὲν, εἰ καὶ σφόδρα τολμηταὶ καὶ θανάτου καταφρονοῦντες, ἀλλὰ ἀσύντακτοί τε καὶ πολέμων ἄπειροι, καὶ ὄχλος
16 ἂν ἄλλως, οὐ στρατιὰ, λέγοιντο. Τὰ δὲ τῆς ἡμετέρας ἐμπειρίας καὶ τάξεως τί καὶ λέγειν δεῖ; Ἐπὶ τούτῳ μέντοι γε μόνοι καὶ κατ' εἰρήνην ἀσκούμεθα τοῖς ὅπλοις, ἵν' ἐν πολέμῳ
17 μὴ πρὸς τὸ ἀντίπαλον ἀριθμῶμεν ἑαυτούς. Ἐπεὶ καὶ τίς

φάλαγγα M. ἐπὶ τῆς γῆς M.N.E. πολεμίοις διεναυμάχουν tr. L.P. 10 αὐτῷ δυνάμεως tr. L. 11 βοήθειαν ἰδὼν ἡσυχῇ πρὸς L. στὰς ἔλεξεν ὧδε Ἄνδρες, ἔφη, P. 13 Τὰς μέν γε ἡμ. L.N. χεῖρας deest N. et T. sed in huj. marg. adscrip. est. ἵν' εἴπωμεν καὶ L. ἐκείνων ἑστώτων tr. L.P. 14 ὑμᾶς εἰς τὸ φανερὸν tr. E. χαίρω βλέπων P. τῶν πολεμίων τὸ πλῆθος tr. L.P. 15 καὶ ὅτι Ἰου. T. ἄλλως, καὶ οὐ L. ἄλλως μὲν, οὐ E. οὐ στρατεία P. 16 Τὰς δὲ τῆς N. δεῖ καὶ λέγειν; tr. L. M.P.T. Ἐπὶ τοῦτο P.T. ἀριθμ. αὐτούς. L. 17 Ἐπεὶ τίς P.

ὄνησις τῆς διηνεκοῦς στρατίας, ἐὰν ἴσοι πρὸς ἀστρατεύτους ἀντιτασσώμεθα; Λογίζεσθε δὲ, ὅτι καὶ πρὸς γυμνήτας ὁπλῖται, καὶ ἱππεῖς πρὸς πεζοὺς, καὶ στρατηγούμενοι πρὸς ἀστρατηγήτους διαγωνίζεσθε· καὶ ὡς ὑμᾶς μὲν ταῦτα πολλαπλα- 18
σίους ποιεῖ τὰ πλεονεκτήματα, πολὺ δὲ τὸν τῶν πολεμίων ἀριθμὸν παραιρεῖται τὰ ἐλαττώματα. Κατορθοῖ δὲ τοὺς πολέμους οὐ πλῆθος ἀνθρώπων, καὶ ἂν ᾖ μάχιμον, ἀνδρεία δὲ, καὶ ἂν ἐν ὀλίγοις ᾖ· οἱ μέν γε καὶ παρατάξασθαι ῥᾴδιοι, καὶ 19
προσαμύνειν ἑαυτοῖς· αἱ δὲ ὑπέρογκοι δυνάμεις ὑφ' ἑαυτῶν βλάπτονται πλέον, ἢ τῶν πολεμίων. Ἰουδαίων μὲν οὖν τόλμα καὶ θράσος ἡγεῖται, ἀπονοίας πάθη, κατὰ μὲν τὰς εὐπραγίας εὔτονα, σβεννύμενα δὲ ἐν ἐλαχίστοις σφάλμασιν· ἡμῶν δὲ ἀρετὴ, καὶ εὐπείθεια, καὶ τὸ γενναῖον, ὃ καὶ ἐν τοῖς 20
εὐτυχήμασιν ἀκμάζει, καὶ τοῖς παίσμασιν οὐ μέχρι τέλους σφάλλεται. Καὶ ὑπὲρ μειζόνων δὲ, ἢ Ἰουδαῖοι, διαγωνιεῖσθε. Καὶ γὰρ εἰ περὶ ἐλευθερίας καὶ πατρίδος ἐκείνοις ὁ 21
πόλεμος κινδυνεύεται, τί μεῖζον ἡμῖν εὐδοξίας, καὶ τοῦ μὴ δοκεῖν μετὰ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἐν ἀντιπάλῳ τὰ Ἰουδαίων προτίθεσθαι; Σκεπτέον δὲ, ὅτι καὶ παθεῖν μὲν οὐδὲν 22
ἀνήκεστον ἡμῖν φόβος· πολλοὶ γὰρ οἱ βοηθήσοντες, καὶ πλησίον. Ἁρπάσαι δὲ τὴν νίκην δυνάμεθα, καὶ χρὴ τοὺς ὑπὸ τοῦ πατρὸς ἡμῖν πεμπομένους συμμάχους φθάνειν, ἵν' ἀκοινώνητόν τε ᾖ τὸ κατόρθωμα καὶ μεῖζον. Νομίζω δὲ ἐγὼ 23
ἐπὶ τῆσδε τῆς ὥρας καὶ τὸν πατέρα τὸν ἐμὸν κρίνεσθαι καὶ ἐμὲ καὶ ὑμᾶς, εἰ τῶν μὲν προκατορθωμένων ἄξιος ἐκεῖνος,

στρατείας L.E. ἂν ἴσοι πρὸς L.P. ἀντιτασσόμεθα P. 18 πολλαπλασίοις sed ι ex cor. M. τοῦ τῶν πολ. ἀριθμοῦ L.P. τῶν πολ. ἀριθμὸν E. παραιρεῖται τὰ ἐλαττώματα desunt P. ἐλασσώματα L. ἀνδρία δὲ M.R. ὀλίγοις. Οἱ μέν L.P. 19 Οἱ μὲν γὰρ καὶ L. καὶ τάξασθαι ῥᾴδιον L.P. καὶ ἀπόνοια καὶ πάθη P. καὶ ἀπόνοια πάθη L. καὶ τὰ μὲν τῆς εὐπραγίας P. 20 ἀρετὴ καὶ εὐθυμία καὶ τὸ M.N. et pri. ma. T. τοῖς ἄλλοις εὐτ. L.R. κἂν τοῖς παίσ. L.P. οὐ deest P. μέχρι τέλους οὐ tr. L. 21 εἴπερ ἐλευθερίας N. καὶ πατρίδων L.M.N.T. ἐκείνων ὁ πόλ. P. καὶ τὸ μὴ δοκεῖν L.N.P.T.E. Ἰουδ. τίθεσθαι L.P. 22 ἡμῖν οὐδὲν ἀνήκεστον tr. E. τοὺς ἀπὸ τοῦ sic T. πεμπομένους ἡμῖν tr. L.P. ἀκοινώνητον ᾖ P. 23 ἔγωγε ἐπὶ L.P.T. προκατορθωμένων P.

ἐγὼ δ' ἐκείνου παῖς, στρατιῶται δὲ ὑμεῖς ἐμοῦ· καὶ γὰρ ἐκείνῳ τὸ νικᾶν ἔθος, καὶ ἐγὼ πρὸς αὐτὸν ὑποστρέφειν οὐκ ἂν ὑπο-
24 μείναιμι λειφθείς. Ὑμεῖς δὲ πῶς οὐκ ἂν αἰσχύνεσθε προκιν-
δυνεύοντος ἡγεμόνος ἡττώμενοι; Προκινδυνεύσω γὰρ, εὖ ἴστε,
25 καὶ πρῶτος εἰς τοὺς πολεμίους ἐμβαλῶ. Μὴ λείπεσθε δὲ ὑμεῖς ἐμοῦ, πεπεισμένοι τὴν ὁρμὴν ἐμὴν παρακροτεῖσθαι θεῷ συμμάχῳ· καὶ προγινώσκετε σαφῶς, ὅτι τῆς ἔξω μάχης πλέον τι κατορθώσομεν."

26 3. Ταῦτα τοῦ Τίτου διεξιόντος, προθυμία δαιμόνιος ἐμπίπτει τοῖς ἀνδράσι, καὶ προσγενομένου πρὶν συμβαλεῖν Τραϊανοῦ μετὰ τετρακοσίων ἱππέων, ἧσχαλλον ὡς μειουμένης
27 τῆς νίκης αὐτοῖς διὰ τὴν κοινωνίαν. Ἔπεμψε δὲ Οὐεσπασιανὸς καὶ Ἀντώνιον Σίλωνα σὺν δισχιλίοις τοξόταις, κελεύσας καταλαβόντας τὸ ἀντικρὺ τῆς πόλεως ὄρος, τοὺς ἐπὶ τοῦ
28 τείχους ἀνείργειν. Καὶ οἱ μὲν, ὡς προσετέτακτο, τοὺς ταύτῃ πειρωμένους ἐκβοηθεῖν περιέσχον· ὁ δὲ Τίτος πρῶτος τὸν ἵππον ἤλαυνεν εἰς τοὺς πολεμίους, καὶ σὺν κραυγῇ μετ' αὐτὸν οἱ λοιποὶ, παρατείναντες ἑαυτοὺς εἰς ὅσον ἐπείχον οἱ πολέ-
29 μιοι τὸ πεδίον· παρὸ καὶ πολὺ πλείους ἔδοξαν. Οἱ δὲ Ἰουδαῖοι, καίτοι τήν τε ὁρμὴν καὶ τὴν εὐταξίαν αὐτῶν καταπλαγέντες, πρὸς ὀλίγον μὲν ἀντέσχον ταῖς ἐμβολαῖς· νυσσόμενοι δὲ τοῖς κοντοῖς, καὶ τῷ ῥοίζῳ τῶν ἱππέων ἀνατρεπόμενοι συνε-
30 πατοῦντο. Πολλῶν δὲ πανταχοῦ φονευομένων, διασκίδνανται, καὶ πρὸς τὴν πόλιν, ὡς ἕκαστος εἶχε τάχους, ἔφευγον. Τίτος δὲ τοὺς μὲν κατόπιν προσκείμενος ἀνῄρει, τοὺς δὲ διεκπαίων ἀθρόους, οὓς δὲ φθάνων κατὰ στόμα διήλαυνε, πολλοὺς δὲ

ὑμεῖς ἐμοί T. ὑπομείναιμι ληφθεὶς L.M.N.T.E. 24 Ὑμεῖς πῶς M. οὐκ αἰσχύνεσθε L.T. γὰρ εὖτε καὶ πρῶ. M.R. πρώτους pri. ma. L. ἐμβαλῶν N.R. et pri. ma. L.T. ἐμβαλλῶν M. 25 ὁρμὴν τὴν ἐμὴν tr. M. 26 τετρακ. ἀνδρῶν ἱππέων M.N.R.T. μειουμένοις αὐτοῖς τῆς νίκης T. 27 δὲ καὶ Οὐεσπ. R. Ἀντώνιον καὶ Σίλωνα P. 28 πρῶτος τὴν ἵπ. M. παρεκτείναντες L.N.P.R. 29 καίτοι deest R. 30 εἶχον L.P. εἶχον sic T. προσκειμένους L.N.P. τὸν δὲ διεκπαίων L. τῶν δὲ διεκ. P. ἀθρόων, οὓς P. ἀθρόους τοὺς T.E.

συνηλόα περὶ ἀλλήλοις πεσόντας ἐμπηδῶν· πᾶσι δὲ τὰς πρὸς 31
τὸ τεῖχος φυγὰς ὑπετέμνετο, καὶ πρὸς τὸ πεδίον ἀπέστρε-
φεν, ἕως τῷ πλήθει βιασάμενοι καὶ συνεκπεσόντες εἰς τὴν
πόλιν διέφυγον.

4. Ἐκδέχεται δὲ αὐτοὺς στάσις εἴσω χαλεπή· τοῖς μὲν 32
γὰρ ἐπιχωρίοις διά τε τὰς κτήσεις καὶ τὴν πόλιν οὐκ ἐδόκει
πολεμεῖν ἀπ' ἀρχῆς, καὶ τότε διὰ τὴν ἧτταν πλέον. Ὁ δ' 33
ἔπηλυς πολὺς ὢν πλέον ἐβιάζετο, καὶ διωργισμένων ἐπ' ἀλ-
λήλοις κραυγή τε ἦν καὶ θόρυβος, ὡς ὅσον οὔπω φερομένων
εἰς ὅπλα. Κατακούσας δὲ τῆς ταραχῆς Τίτος, οὐ γὰρ ἦν 34
ἄποθεν τοῦ τείχους, "Οὗτος ἦν ὁ καιρὸς," ἐκβοᾷ, "καὶ τί,
συστρατιῶται, μέλλομεν, ἐκδιδόντος ἡμῖν Ἰουδαίους θεοῦ;
Δέξασθε τὴν νίκην· οὐκ ἀκούετε βοῆς; Στασιάζουσιν οἱ τὰς
χεῖρας ἡμῶν διαφυγόντες. Ἔχομεν τὴν πόλιν, ἐὰν ταχύνω- 35
μεν. Δεῖ δὲ πόνου πρὸς τῷ τάχει καὶ λήματος· οὐδὲν γὰρ
τῶν μεγάλων φιλεῖ δίχα κινδύνου κατορθοῦσθαι. Φθάνειν δὲ 36
οὐ μόνον χρὴ τὴν τῶν πολεμίων ὁμόνοιαν, οὓς ἀνάγκη διαλ-
λάσσει ταχέως, ἀλλὰ καὶ τὴν τῶν ἡμετέρων βοήθειαν· ἵνα
πρὸς τῷ νικῆσαι τοσοῦτο πλῆθος ὀλίγοι καὶ τὴν πόλιν
ἕλωμεν μόνοι."

5. Ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀναπηδᾷ, καὶ καθη- 37
γεῖται πρὸς τὴν λίμνην, δι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν
εἰσέρχεται, καὶ μετ' αὐτὸν οἱ λοιποί. Δέος δὲ πρὸς τὴν
τόλμαν αὐτοῦ τοῖς ἐπὶ τῶν τειχῶν ἐνέπεσε, καὶ μάχεσθαι
μὲν ἢ διακωλύειν οὐδεὶς ὑπέμεινε. Λιπόντες δὲ τὴν φρουρὰν, 38

συνείλου περὶ L. συνηλοία π. N.P. συνηλλοίου π. T. ἀλλήλους T. ἐμπεδῶν· πάλιν δὲ τὰς M. ἐμπηδῶν· πάλιν δὲ τὰς N.R.T. πάλιν δ' ἐμπηδῶν τὰς tr. P. 31 τὰς πρὸς ἀλλήλους φυγὰς M.N. συνεισπεσόντες M. διεκπεσόντες L.P.E. συνέφευγον L.P.E. δι συνέφευγον sic T. 32 αὐτοὺς πάλιν στάσις L.P.T. εἴσω στάσις tr. M. στάσις ἔσω P. 33 πλεῖον ἐβιάζετο L.P. 34 ἄπωθεν T. ἐβόα L. θεοῦ δέξασθαι τὴν R. et ex cor. T. 35 διεκφυγόντες P. καὶ λήμματος N.P. 36 διαλάσσει P. ἵνα πρὸς τὸ L.M.N.E. ἵνα τὸ πρὸς τὸ P. τοσοῦτον M.P. et ex adj. L. 37 ἀνεπήδα P. καὶ κατέθει πρὸς τὴν L.E. et T. sed in huj. marg. καθηγεῖται. αὐτὸν οἱ πολλοὶ P. ὑπέμενε L.T.E.

οἱ μὲν περὶ τὸν Ἰησοῦν διὰ τῆς χώρας ἔφυγον, οἱ δὲ ἐπὶ τὴν λίμνην καταθέοντες ὑπαντιάζουσι τοῖς πολεμίοις περιέπι-
39 πτον. Ἐκτείνοντο δὲ οἱ μὲν ἐπιβαίνοντες τῶν σκαφῶν, οἱ δὲ τοῖς ἀναχθεῖσι προσπίπτειν πειρώμενοι· πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπηλύδων, ὅσοι μὴ διαφεύγειν ἔφθασαν, ἀντιτασσομένων, ἀμαχητὶ δὲ τῶν ἐπιχω-
40 ρίων· κατὰ γὰρ ἐλπίδα δεξιᾶς, καὶ τὸ συνειδὸς τοῦ μὴ βεβουλεῦσθαι πολεμεῖν, μάχης ἀπετρέποντο· μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελὼν, οἰκτείρας δὲ τοὺς ἐπιχωρίους, ἀνεπαύσατο
41 φόνου. Καὶ οἱ μὲν εἰς τὴν λίμνην καταφυγόντες, ἐπεὶ τὴν πόλιν ἐαλωκυῖαν εἶδον, ὡς πορρωτάτω τῶν πολεμίων ἀνήχθησαν.

42 6. Τίτος δὲ ἐκπέμψας τινὰ τῶν ἱππέων εὐαγγελίζεται τῷ πατρὶ τὸ ἔργον. Ὁ δὲ, ὡς εἰκὸς, ὑπερησθεὶς τῇ τε τοῦ παιδὸς ἀρετῇ καὶ τῷ κατορθώματι, — μεγίστη γὰρ ἐδόκει
43 καθῃρῆσθαι μοῖρα τοῦ πολέμου, — τότε μὲν ἐλθὼν περισχόντας τὴν πόλιν φρουρεῖν ἐκέλευσεν, ὡς μὴ διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν ἐκέλευσεν. Τῇ δὲ ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς, σχεδίας ἐκέλευσε πήσσειν ἐπὶ τοὺς καταπεφευγότας· αἱ δ' ἐγίνοντο ταχέως ἀφθονίᾳ τε ὕλης καὶ πλήθει τεχνιτῶν.

44 7. Ἡ δὲ λίμνη Γεννησὰρ μὲν ἀπὸ τῆς προσεχοῦς χώρας καλεῖται, σταδίων δὲ εὖρος οὖσα τεσσαράκοντα, καὶ πρὸς τούτοις ἑτέρων ἑκατὸν τὸ μῆκος, γλυκεῖά τε ὅμως ἐστὶ καὶ
45 ποτιμωτάτη· καὶ γὰρ τῆς ἐλώδους παχύτητος ἔχει τὸ νᾶμα λεπτότερον, καθαρά τε ἐστὶ πάντοθεν αἰγιαλοῖς ἐπιλήγουσα

38 ἔφευγον L.T. καταθ. ὑπτιάζουσι τοῖς N. et in marg. T. 39 ἀναχ. προσμένειν πειρ. L. ἐπιλύδων N.P. διαφυγεῖν P. 40 ἐλπίδα δεξιὰν T. βεβουλῆσθαι N. ἀνεπαύσ. πόνου. L.M.N.P.T. 41 εἶδον ἐαλωκυῖαν tr. L.N.P.T. 42 ὑπερησθὴς P. τῇ τοῦ παιδὸς L.P. καθηρεῖσθαι M.N.P. 43 περισχόντα L. διαλάθῃ M. κτείνειν προσέταξεν. τῇ δ' ὑσ. P. πήσσειν ὡς ἐπὶ P. τοὺς πεφευγότας N. 44 σταδίων εὖρος M.N.R. εὖρος ἔχουσα L.T. ἑκατὸν ἑτέρων tr. M. γλυκεῖά τε ὁμοίως L.T. γλυκ. δὲ ὅμως N. 45 λεπτότατον P. καθαρὰ δ' ἐστὶ L.P.T.

καὶ ψάμμῳ, πρὸς δὲ εὔκρατος ἀρύσασθαι· ποταμοῦ μὲν ἧ 46
κρήνης προσηνεστέρα, ψυχροτέρα δὲ, ἢ κατὰ λίμνης διάχυσιν,
ἀεὶ μένουσα. Καὶ τὸ μὲν ὕδωρ οὐκ ἀποδεῖ χιόνος ἐξαιθρια-
σθὲν, ὅπερ θέρους νυκτὸς ποιεῖν ἔθος τοῖς ἐπιχωρίοις· γένη δὲ 47
ἰχθύων ἐν αὐτῇ διάφορα πρὸς τοὺς ἀλλαχοῦ γεῦσίν τε καὶ
ἰδέαν· μέση τε ὑπὸ τοῦ Ἰορδάνου τέμνεται. Καὶ δοκεῖ μὲν
Ἰορδάνου πηγὴ τὸ Πάνιον· φέρεται δὲ ὑπὸ γῆν εἰς τοῦτο
κρυπτῶς ἐκ τῆς καλουμένης Φιάλης. Ἡ δέ ἐστιν ἀνιόντων 48
εἰς τὴν Τραχωνῖτιν ἀπὸ σταδίων ἑκατὸν εἴκοσι Καισαρείας,
τῆς ὁδοῦ κατὰ δεξιὸν μέρος οὐκ ἄποθεν· ἐκ μὲν οὖν τῆς περι-
φερείας ἐτύμως Φιάλη κέκληται, τροχοειδὴς οὖσα λίμνη· μέ-
νειν δὲ ἐπὶ χείλους αὐτῇ ἀεὶ τὸ ὕδωρ, μήτε ὑπονοστοῦν, μήτε
ὑπερχεόμενον. Ἀγνοούμενος δὲ τέως ὁ Ἰορδάνης ἐντεῦθεν 49
ἄρχεσθαι διὰ τοῦ τετραρχήσαντος Τραχωνιτῶν ἠλέγχθη
Φιλίππου· βαλὼν γὰρ οὗτος εἰς τὴν Φιάλην ἄχυρα, κατὰ
τὸ Πάνιον, ἔνθεν ἐδόκουν οἱ πάλαι γεννᾶσθαι τὸν ποταμὸν,
εὗρεν ἀνενεχθέντα. Τοῦ γε μὴν Πανίου τὸ φυσικὸν κάλλος 50
ὑπὸ τῆς βασιλικῆς προσεξήσκηται πολυτελείας, τὸν Ἀγρίππα
πλοῦτον κεκοσμημένον. Ἀρχόμενος δὲ φανεροῦ ῥεύματος ὁ
Ἰορδάνης ἀπὸ τοῦδε τοῦ ἄντρου, κόπτει μὲν τὰ τῆς Σεμε- 51
χωνίτιδος λίμνης ἕλη τε καὶ τέλματα, διαμείψας δὲ ἑτέρους
ἑκατὸν εἴκοσι σταδίους μετὰ πόλιν Ἰουλιάδα διεκτέμνει τὴν
Γεννησὰρ μέσην, ἔπειτα πολλὴν ἀναμετρούμενος ἐρημίαν εἰς
τὴν Ἀσφαλτῖτιν ἔξεισι λίμνην.

8. Παρατείνει δὲ τὴν Γεννησὰρ ὁμώνυμος χώρα, θαυμαστὴ 52
φύσιν τε καὶ κάλλος· οὔτε γὰρ αὐτή τι φυτὸν ἀρνεῖται διὰ

46 μένουσα. Τό γε μὴν L.T. οὐκ ὀπάδει χιόνος P. ἐξεθριασθὲν P. ἐξαιθ. ὑπὲρ τῆς νυκτὸς ὃ ποιεῖν T. θέρους τῆς νυκτὸς T. 47 μέση δ' ὑπὸ M.N. P. Ἰορδάνου πηγὴ τέμνεται· καὶ δοκεῖ L. τέμνεται· καὶ δοκεῖ μὲν Ἰορδάνου desunt omnia P. πηγὴ deest L. Πάνειον M.N.R.E. et sic infra. T pri. ma. sed ex ras. πάνιον. κρυπτὸς R. 48 Τραχωνίτην P. κατὰ τὸ δεξιὸν P. ἄποθεν ex cor. T. ἑτοίμως Φιάλη L.M.N. et in marg. R. καλεῖται L.P. μένειν δὲ ἐπὶ E. αὐτῆς αἰεὶ L.P. 49 οἱ παλαιοὶ P. 50 Τοῦ μὲν οὖν Παν. P. προεξήσκηται L. Ἀγρ. πλούτων R. πλουτ. κεκομισμένον ex cor. T. 51 Ἀμαχωνίτιδος L. Σεμεμεχωνίτιδος P. ἕλη καὶ L.P. 52 Γεννησὰν L. γὰρ αὐτήν τι M.N.R.

τὴν πιότητα, καὶ πᾶν πεφυτεύκασιν οἱ νεμόμενοι· τοῦ δὲ
53 ἀέρος τὸ εὔκρατον ἁρμόζει καὶ τοῖς διαφόροις. Καρύαι μέν
γε, φυτῶν τὸ χειμεριώτατον, ἄπειροι τεθήλασιν, ἔνθα φοί-
νικες, οἳ καύματι τρέφονται, συκαῖ τε καὶ ἐλαῖαι πλησίον
54 τούτων, αἷς μαλθακώτερος ἀὴρ ἀποδέδεικται. Φιλοτιμίαν ἄν
τις εἴποι τῆς φύσεως, βιασαμένης εἰς ἓν συναγαγεῖν τὰ
μάχιμα, καὶ τῶν ὡρῶν ἀγαθὴν ἔριν, ἑκάστης ὥσπερ ἀντιποι-
ουμένης τοῦ χωρίου· καὶ γὰρ οὐ μόνον τρέφει παρὰ δόξαν
55 τὰς διαφόρους ὀπώρας, ἀλλὰ καὶ διαφυλάσσει. Τὰ μέν γε
βασιλικώτατα, σταφυλήν τε καὶ σῦκον, δέκα μησὶν ἀδιαλεί-
πτως χορηγεῖ, τοὺς δὲ λοιποὺς καρποὺς δι' ἔτους ὅλου περι-
56 γηράσκοντας αὐτοῖς· πρὸς γὰρ τῇ τῶν ἀέρων εὐκρασίᾳ καὶ
πηγῇ διάρδεται γονιμωτάτῃ, Καφαρναοὺμ αὐτὴν οἱ ἐπιχώ-
57 ριοι καλοῦσι. Ταύτην φλέβα τοῦ Νείλου τινὲς ἔδοξαν, ἐπεὶ
γεννᾷ τῷ κατὰ τὴν Ἀλεξανδρέων λίμνην κορακίνῳ παραπλή-
σιον. Μῆκος δὲ τοῦ χωρίου παρατείνει κατὰ τὸν αἰγιαλὸν
τῆς ὁμωνύμου λίμνης ἐπὶ σταδίους τριάκοντα, καὶ εὖρος εἴκοσι.
Καὶ ταῦτα μὲν οὕτω φύσεως ἔχει.

58 9. Οὐεσπασιανὸς δέ, ἐπεὶ παρεσκευάσθησαν αἱ σχεδίαι, τῆς
δυνάμεως ἐπιβήσας, ἐπιβήσας, ὅσον ᾤετο τοῖς κατὰ τὴν λίμ-
νην ἀνταρκέσειν, ἐπανήγετο. Τοῖς δὲ συνελαυνομένοις οὔτε
ἐπὶ γῆν διαφεύγειν ἐνῆν, ἐκπεπολεμωμένων πάντων, οὔτε ἐξ
59 ἴσου διαναυμαχεῖν. Τά τε γὰρ σκάφη, μικρὰ ὄντα καὶ
λῃστρικά, πρὸς τὰς σχεδίας ἦν ἀσθενῆ· καὶ καθ' ἕκαστον
ἐμπλέοντες ὀλίγοι, πρὸς ἀθρόους ἐφεστῶτας τοὺς Ῥωμαίους

τὴν ποιότητα M.P. καὶ πᾶσαν πεφυτευ. M.N.R.T. οἱ νεμώμενοι P. διαφόροις. καὶ ῥοιαὶ μέν L. et in marg. T. 53 συκαὶ δὲ L.P. συκαίαι τε M. συκέαι τε R.T.E. μαλθακότερος P. 55 καρποὺς δὶς τοῦ θέρους περιγηρ. ἑαυτοῖς L. 56 τὴν τῶν ἀ. εὐκρασίαν M.P. διάρδεται ποτιμωτάτῃ M.N.T. 57 ταύτην φλέβες τινὲς τοῦ Νείλου ἔδοξαν ἐπιγεννᾶν L. ταύ. φλέβαι τινὲς τοῦ Νεί. ἔδ. ἐπ. P. Καὶ ταῦτα μὲν οὖν οὕτω R.E. Ταῦτα μὲν οὕτω M.N.T. Ταῦτα μὲν οὖν οὖτ. P. 58 λίμνην αὔταρκες εἶναι L. λίμ. αὐταρκέσειν M.P.R.T.E. διαφεύγειν ἦν M.P. 59 λῃστρικὰ καὶ πρὸς L. ἐφεστῶ. τοὺς Ῥωμαίους ἔβαλλον desunt quæ interveniunt omnia M.

ἐγγίζειν ἐδεδοίκεσαν. Ὅμως δὲ οὖν ἐμπεριπλέοντες τὰς 60
σχεδίας, ἔστι δὲ ὅπου καὶ πλησιάζοντες πόρρωθεν τοὺς Ῥω-
μαίους ἔβαλλον λίθοις, καὶ παροξύνοντες ἐγγύθεν ἔπαιον.
Ἐκακοῦντο δὲ αὐτοὶ πλέον κατ' ἀμφότερα· ταῖς γὰρ χερ- 61
μάσιν οὐδὲν δρῶντες ὅτι μὴ κτύπον ἐπάλληλον, εἰς γὰρ πε-
φραγμένους ἔβαλλον, καὶ ἐφικτοὶ τοῖς Ῥωμαίων ἐγίνοντο
βέλεσι, καὶ πλησιάζειν τολμῶντες, πρὶν δρᾶσαί τι, παθεῖν
ἔφθανον, καὶ σὺν αὐτοῖς ἐβαπτίζοντο τοῖς σκάφεσι. Τῶν δὲ 62
διεκπαίειν πειρωμένων, πολλοὺς μὲν ἐφικνούμενοι κοντοῖς
διέπειρον, οὓς δὲ ξιφήρεις ἐπικαταπηδῶντες εἰς τὰ σκάφη,
τινὰς δὲ συντρεχούσαις ταῖς σχεδίαις ἐναποληφθέντας μέσους
εἷλον ἅμα ταῖς ἁλιάσι. Τῶν δὲ βαπτισθέντων τοὺς ἀνανεύ- 63
οντας ἢ βέλος ἔφθανεν, ἢ σχεδία κατελάμβανε, καὶ προσβαί-
νειν ὑπ' ἀμηχανίας εἰς τοὺς ἐχθροὺς πειρωμένων, ἢ κεφαλὰς ἢ
χεῖρας ἀπέκοπτον οἱ Ῥωμαῖοι. Πολλή τε ἦν αὐτῶν καὶ 64
ποικίλη φθορὰ πανταχοῦ, μέχρι τραπέντες ἐπὶ τὴν γῆν
ἐξώθησαν οἱ λοιποὶ, κεκυκλωμένων αὐτοῖς τῶν ἁλιάδων. Ἐκ-
κλειόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τῇ λίμνῃ,
πολλοὺς δὲ ἐκπηδήσαντας οἱ Ῥωμαῖοι διέφθειραν ἐπὶ γῆς.
Ἦν δὲ ἰδεῖν κεκραμένην μὲν αἵματι, πεπληρωμένην δὲ νεκρῶν 65
τὴν λίμνην ἅπασαν· διεσώθη γὰρ οὐδείς. Δεινὴ δὲ ταῖς ἑξῆς
ἡμέραις περιέσχε τὴν χώραν ὀδμή τε καὶ ὄψις· οἱ μὲν
γὰρ αἰγιαλοὶ ναναγίων ἅμα καὶ διοιδούντων ἔγεμον σω-
μάτων. Ἐγκαιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ τὸν ἀέρα 66
διέφθειρον, ὡς μὴ μόνον οἰκτρὸν Ἰουδαίοις γενέσθαι τὸ πάθος,

ἐδεδοίκεισαν L.P. 60 Ὅμως δ' ἐμπεριπ. L. Ὅμως δ' οὖν ἐκπεριπ. P.T. πλησιάζοντες τοὺς Ῥωμαίους N.T. καὶ παραξύοντες M.N.R.T. 61 πλέον ἀμφότερα L. ταῖς τε γὰρ L.M.N.P.R.T. Pro χερμάσιν habet χερσὶν in marg. T. ἔβαλλον, ἐφικτοὶ M.N.R.T. πλησιάζειν δοκοῦντες, πρὶν L. et P. sed in huj. marg. τολμῶντες. ἐβαπτίζ. σκάφεσι N.E. 62 ἐφικνουμένους P. ἐπιπηδῶντες L.P. ἐναπολειφθέντας P. μέσους ἦλθον P. μέσ. ἐβύθιζον L. μέσ. ἑάλων T. in marg. τοῖς ἁλιᾶσι P. 63 ἀνανεύοντας βελος M.N.P.R.T. 64 τραπέντας M. εἰς γῆν ἐξεώσθησαν L.P. Ἐκχεόμενοι δὲ πολλοὶ L.P. ἐκκλει. Πολλοὶ μὲν N. ἐκπηδήσαντες M. et ex cor. L. 65 οὐδὲ εἷς T. περιεῖχεν P. 66 Ἐκκαιόμενοι P.

ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν ἐλθεῖν. Τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος. Ἀπέθανον δὲ σὺν τοῖς ἐπὶ τῆς πόλεως πρότερον πεσοῦσιν ἑξακισχίλιοι πεντακόσιοι.

68 10. Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην καθίζει μὲν ἐπὶ βήματος ἐν Ταριχαίαις, διακρίνων δὲ ἀπὸ τῶν ἐπιχωρίων τὸν ἔπηλυν λεών — κατάρξαι γὰρ οὗτος ἐδόκει πολέμου — μετὰ 69 τῶν ἡγεμόνων εἰ χρὴ καὶ τούτους σώζειν ἐσκέπτετο. Φαμένων δὲ πάντων, ‘βλαβερὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν· οὐ γὰρ ἠρεμήσειν ἀπολυθέντας, ἀνθρώπους ἐστερημένους μὲν πατρίδων, βιάζεσθαι δὲ καὶ πρὸς οὓς ἂν καταφύγωσι πολε- 70 μεῖν δυναμένους,’ Οὐεσπασιανὸς, ὡς μὲν οὔτε ἄξιοι σωτηρίας εἶεν, καὶ διαφεύξονται κατὰ τῶν ἀφέντων ἐγίνωσκε, τὸν δὲ 71 τρόπον τῆς ἀναιρέσεως αὐτῶν διενοεῖτο. Καὶ γὰρ αὐτόθι κτείνων, ἐκπολεμώσειν ὑφωρᾶτο τοὺς ἐπιχωρίους, οὐ γὰρ ἀνέξεσθαι φονευομένων ἱκετῶν τοσούτων παρ’ αὐτοῖς· καὶ 72 μετὰ πίστεις ἐπιθέσθαι προελθοῦσιν οὐχ ὑπέμενεν. Ἐξενίκων δὲ οἱ φίλοι, ‘μηδὲν κατὰ Ἰουδαίων ἀσεβὲς εἶναι λέγοντες, καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι πρὸ τοῦ πρέποντος, ὅταν ᾖ μὴ δυνατὸν ἄμφω.’ Κατανεύσας οὖν αὐτοῖς ἄδειαν ἀμφίβολον, ἐπέτρεψεν ἐξιέναι διὰ μόνης τῆς ἐπὶ Τιβεριάδα 73 φερούσης ὁδοῦ. Τῶν δὲ ταχέως πιστευσάντων οἷς ἤθελον, καὶ μετὰ φανερῶν ἐν ἀσφαλεῖ τῶν χρημάτων, ἧπερ ἐπετράπη, χωρούντων, διαλαμβάνουσι μὲν οἱ Ῥωμαῖοι τὴν μέχρι Τιβεριάδος πᾶσαν ὡς μή τις ἀποκλίνειεν, συγκλείουσι δὲ αὐτοὺς 74 εἰς τὴν πόλιν. Καὶ Οὐεσπασιανὸς ἐπελθὼν ἵστησι πάντας ἐν τῷ σταδίῳ, καὶ γηραιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις, διακοσίους ἐπὶ χιλίοις ὄντας, ἀνελεῖν ἐκέλευσεν· τῶν δὲ νέων ἐπι-

67 ναυμαχίας τέλος N.T. τοῖς ἐπὶ πόλεως R.E. τοῖς ἐπισήμοις τῆς πολ. P. ἑπτακόσιοι P. 68 ἐπὶ τοῦ βήματος R.E. λεὼ L.P. 69 Φαμένων δὲ τούτων β. L.P.E. μὲν τῶν πατρίδων L.P. 70 Ὁ δ’ Οὐεσπασιανὸς P. Οὐεσπ. δὲ N. κἂν διαφεύξωνται P.R. καὶ διαφύξονται sic T. ἀφιέντων P. τὸν τρόπον P.E. et ex ras. L. et pri. ma. T. αὐτῶν τῆς ἀναιρέσεως tr. L.P. ὑφορᾶτο P. παρ’ αὐτοῦ P. ἐπ’ αὐτοῖς M. προσελθοῦσιν L.P. ὑπέμεινεν L.M.P. 72 ἐπέτρ. ἐξεῖναι L.M.N.R.T. ἐπέτρ. καὶ ἐξιέναι P. 74 εἰσελθὼν ἵστησι L. γηρεοὺς μὲν P.

λέξας τοὺς ἰσχυροτάτους ἑξακισχιλίους ἔπεμπεν εἰς τὸν ἰσθμὸν Νέρωνι, καὶ τὸ λοιπὸν πλῆθος εἰς τρισμυρίους καὶ τετρακοσίους ὄντας πιπράσκει, χωρὶς τῶν Ἀγρίππα χαρισθέντων. Τοὺς γὰρ ἐκ τῆς τούτου βασιλείας ἐπέτρεπεν αὐτῷ ποιεῖν, ὅ τι βούλοιτο· πιπράσκει δὲ καὶ τούτους ὁ βασιλεύς. Ὁ μέν γε ἄλλος ὄχλος, Τραχωνῖται, καὶ Γαυλανῖται, καὶ Ἱππηνοί, καὶ οἱ ἐκ τῆς Γαδαρίτιδος, τὸ πλέον ἦσαν στασιασταὶ καὶ φυγάδες, καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον προεξένει. Ἑάλωσαν δὲ Γορπιαίου μηνὸς ὀγδόῃ.

ἰσχυροτέρους M.N.R.T. *ἰσχυρωτάτους* P. *ἔπεμψεν* M.T. Τῆς *γὰρ ἐκ τῆς* P. *ἐπέτρεψεν* L.P. *Ὁ μέν τοί γε* L.N.P.T. *ὄχλος ἄλλος* tr. T. *πλέον ὡς στασιασταὶ* L.M.N.P.R.T. *τὰ ἐν εἰρήνῃ* L.P. *ἑάλωσαν Γορπιαίου* L.M.N.T.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Δ'.

ARGUMENTUM LIB. IV.

1. Τῆς Γαμάλας πολιορκία καὶ ἅλωσις. 2. Ἡ τῶν Γισχάλων ἔκδοσις. 3. Περὶ Ἰωάννου τοῦ Γισχαληνοῦ, καὶ περὶ τῶν ζηλωτῶν. 4. Ἰδουμαῖοι ὑπὸ τῶν ζηλωτῶν κληθέντες ἔρχονται εἰς Ἱεροσόλυμα. 5. Ἰδουμαίων καὶ ζηλωτῶν ὠμότης, καὶ ὡς ἐκεῖνοι ἀνεχώρησαν ἐπ' οἶκου. 6. Ὡς ζηλωταὶ πλείονας κατὰ τὴν πόλιν ἀπέκτεινον. 7. Ὅπως Ἰωάννης ἐτυραννίωσεν, καὶ ὡς Οὐεσπασιανὸς τὴν Γάδαραν εἶλεν. 8. Ὅπως Οὐεσπασιανὸς ὥρμησε καταλύειν τὸν πόλεμον Ἰουδαϊκόν. Ἔκφρασις Ἱεριχοῦντος καὶ τοῦ Μεγάλου πεδίου καὶ τῆς Ἀσφαλτίτιδος λίμνης. 9. Οὐεσπασιανοῦ παρασκευαζομένου πολιορκεῖν Ἱεροσόλυμα τελευτᾷ Νέρων. 10. Ὡς οἱ στρατιῶται ἐν Ἰουδαίᾳ καὶ Αἰγύπτῳ Οὐεσπασιανὸν ἀνηγόρευσαν αὐτοκράτορα. 11. Ὅτι, Οὐιτελλίου ἡττηθέντος καὶ ἀναιρεθέντος, Οὐεσπασιανὸς εἰς Ῥώμην ὥρμησεν.

CAP. I.

1 1. Ὅσοι δὲ μετὰ τὴν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχαίαις ἡττηθέντων προσεχώρουν· καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια, καὶ τὰς πόλεις, πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος
2 κατειληφότων. Συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταριχαιῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. Τῆς δὲ Ἀγρίππα λήξεως αὕτη τε ἦν, καὶ Σωγάνη καὶ Σελεύκεια· καὶ αἱ μὲν ἐκ
3 τῆς Γαυλανίτιδος ἀμφότεραι· τοῦ γὰρ ἄνω καλουμένου Γαυ-

1 ἀφεστήκασιν M. ὄρος κατοικούντων. Συνέστη L. 2 Pro Σαγάνη habent Σώτανις L.P. et sup. lin. R. et sic infra.

λανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δὲ ἡ Γάμαλα· Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. Ταύτῃ τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδιοι· διατείνει δὲ αὐτῆς τὰ ἕλη 4 μέχρι Δάφνης χωρίου, τά τε ἄλλα τρυφεροῦ, καὶ πηγὰς ἔχοντος, αἳ, τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεών, προσπέμπουσι τῷ μεγάλῳ. Τοὺς 5 μὲν οὖν ἐπὶ Σωγάνην καὶ Σελεύκειαν παρὰ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξιαῖς Ἀγρίππας προσηγάγετο· Γάμαλα δὲ οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων· τραχὺς γὰρ αὐχὴν, ἀφ' ὑψηλοῦ κατατείνων ὄρους, μέσον ἐπαίρει τένοντα. Μηκύνεται δὲ ἐκ τῆς ὑπεροχῆς εἰς τὸ 6 ἔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τρανὸν τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων· κατὰ πλευρὰν μὲν δὴ καὶ πρόσ- 7 ωπον εἰς φάραγγας ἀβάτους περισχίζεται, τὸ κατ' οὐρὰν δὲ ὀλίγον ἀναφεύγει τῆς δυσχωρίας, ὅθεν ἀπήρτηται τοῦ ὄρους, καὶ τοῦτο ἐπικαρσίᾳ παρακόψαντες τάφρῳ δύσβατον οἱ ἐπιχώριοι κατεσκεύασαν. Πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι δεδομημέναι 8 πεπύκνωνται δεινῶς ἐπ' ἀλλήλαις αἱ οἰκίαι, κρημνιζομένη τε ἡ πόλις εὐοικυῖα κατέτρεχεν εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος· καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν. Ὁ νότιος δὲ αὐτῆς ὄχθος, εἰς 9 ἄπειρον ὕψος ἀνατείνων, ἄκρα τῆς πόλεως ἦν· ἀτείχιστος δὲ ὑπὲρ αὐτὴν κρημνὸς, εἰς τὴν βαθυτάτην κατατείνων φάραγγα· πηγὴ δὲ ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ κατέληγεν.

2. Οὕτως οὖσαν φύσει δύσμαχον τὴν πόλις τειχίζων ὁ 10 Ἰώσηπος ἐποίησεν ὀχυρωτέραν ὑπονόμοις τε καὶ διώρυξιν.

3 μέρους ἦν L. κάτω δ' ὑπῆρχεν ἡ Γάμ. L. Σαμεχωνιτῶν L. στάδια. R.E. 4 Ἰόρδανον P. βοὸς νεὼ L.P. προπέμπουσι L.M.P. 5 μὲν οὖν ὑπὸ Σω. L. Σελεύ. ὑπὸ τὴν L. αὐχὴν, ἐφ' ὑψ. R.E. μέσον ἐπέχει τένοντα L. 7 δυσχωρ. ὅσον ἀπήρτηται ex cor. T. καὶ τοῦτο δὲ T. τοῦτο δὲ N. ἐπικαρσίαν ex cor. T. τάφρον ex cor. T. 8 λαγόνι δεδωμημέναι P. κατατρέχει M.N.R.T. ἔκλινεν. Ὁ νότος P. 9 ἀτείχιστος· ὁ δ' ὑπὲρ L.P. ἀτείχιστος δὲ εἰς M. ἑαυτὴν M. αὐτῆς N.P.R.T. κρημνὸς ἦν, εἰς P.E. 10 φύσει δυσμήχανον τὴν P.

Οἱ δὲ ἐν αὐτῇ φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ
τὴν Ἰωταπάτην ἦσαν, πολὺ δὲ ἐλάττους μάχιμοι, καὶ τῷ
11 τόπῳ πεποιθότες οὐδὲ πλείονας ὑπελάμβανον· πεπλήρωτο
γὰρ ἡ πόλις διὰ τὴν ὀχυρότητα συμφυγόντων, παρὸ καὶ τοῖς
ὑπ' Ἀγρίππα προπεμφθεῖσιν ἐπὶ τὴν πολιορκίαν ἀντεῖχεν
ἐπὶ μῆνας ἑπτά.

12 3. Οὐεσπασιανὸς δὲ ἄρας ἀπὸ τῆς Ἀμμαοῦς, ἔνθα πρὸ
τῆς Τιβεριάδος ἐστρατοπεδεύκει, — μεθερμηνευομένη δὲ Ἀμ-
μαοῦς θερμὰ λέγοιτ' ἄν, ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν
ὑδάτων πρὸς ἄκεσιν ἐπιτήδειος, — ἀφικνεῖται πρὸς τὴν Γάμα-
13 λαν. Καὶ πᾶσαν μὲν κυκλώσασθαι φυλακῇ τὴν πόλιν οὐχ
οἷός τε ἦν οὕτω διακειμένην· πρὸς δὲ τοῖς δυνατοῖς φρουροὺς
14 καθίστησι, καὶ τὸ ὑπερκείμενον ὄρος καταλαμβάνεται. Τει-
χισαμένων δὲ, ὥσπερ ἔθος, τῶν ταγμάτων ὑπὲρ αὐτοῦ στρα-
τόπεδον, χωμάτων ἤρχετο κατ' οὐρὰν, καὶ τὸ μὲν κατ' ἀνα-
τολὰς αὐτοῦ μέρος, ἦπερ ὁ ἀνωνάτω τῆς πόλεως πύργος ἦν·
15 ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον ἐστρατοπεδεύκει τάγμα· καὶ
τὸ πέμπτον μὲν κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς
διώρυγας δὲ ἀνεπλήρου καὶ τὰς φάραγγας τὸ δέκατον. Καὶ
ἐν τούτῳ προσελθόντα τοῖς τείχεσιν Ἀγρίππαν τὸν βασι-
λέα, καὶ περὶ παραδόσεως τοῖς ἐφεστῶσι πειρώμενον διαλέ-
γεσθαι, βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα
16 λίθῳ. Καὶ ὁ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη. Ῥω-
μαίους δὲ ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ
17 βασιλέως, καὶ περὶ σφῶν αὐτῶν δέος· οὐ γὰρ ἀπολείψειν

Ἰωταπάτων P. 11 συμφευγόντων M.N.T. 12 Ἀμμαθοῦς et sic infra L. Ἐμμαοῦς P. ἔνθα πρὸ τῆς Τιβ. ἐστρ. μεθερ. δὲ Ἀμμαοῦς omissa e cod. man. rec. ad marg. adjecit R. ἐν αὐτῇ τῇ γῇ θερ. P. ἐπιτήδειον L. ἐπιτηδείων ex cor. T. ἐπιτήδ. ἥτις ἀφικ. M.N.R. πρὸς Γάμαλα M.N.R. πρὸς Γάμαλαν T. Γάμαλα. πᾶσαν R. 13 οὐχ οἷόν τε N. φρουροὺς καθίστη L.T. et ex ras. P. φρουροὺς καθίστει N. φρουρὰς καθίστη M. καὶ τὸ μὲν ὑπερκ. P. 14 ὑπὲρ αὐτοὺς N.T. στρατόπεδα L.P. ἀνατολὰς αὐτῷ L.N.E. ἀνατ. αὐτὸ P. μέρος ὅπερ ὁ L.N. μέρος ὁ M. μέρος ὅπερ T. καὶ τὸ δέκατον τάγμα· καὶ τὸ L. στρατοπεδεύκει N. 15 τὰς δὲ διώρυγας L. τὰς δὲ διόρυγας P. καὶ τὰς φάραγγας ἀνεπλήρου tr. M. 16 ὀργή τε τοῦ βασ. καὶ σφῶν T.

ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων τοὺς πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

4. Συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον, πλήθει χει- 18
ρῶν καὶ τῶν πραττομένων ἔθει, προσῆγον τὰς μηχανάς. Οἱ 19
δὲ περὶ τὸν Χάρητα καὶ Ἰώσηπον, οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνατώτατοι, καίπερ καταπεπληγότας τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι. Παρακροτήσαντες δὲ ὅμως ἐξήγαγον ἐπὶ 20
τὸ τεῖχος· καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο τοὺς προσάγοντας τὰς μηχανὰς, βαλλόμενοι δὲ τοῖς καταπελτικοῖς, καὶ τοῖς πετροβόλοις, ἀνεχώρουν εἰς τὴν πόλιν. Καὶ προσάγον- 21
τες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς, διασείουσι μὲν τὸ τεῖχος. Ὑπὲρ δὲ τῶν ῥιφθέντων εἰσχεόμενοι, μετὰ πολλοῦ σαλπίγγων ἤχου, καὶ κτύπου τῶν ὅπλων, αὐτοί τε ἐπαλαλάζοντες συνερρήγνυντο τοῖς κατὰ τὴν πόλιν. Οἱ δὲ τέως μὲν 22
κατὰ τὰς πρώτας εἰσόδους ἐνιστάμενοι, προσωτέρω χωρεῖν ἐκώλυον, καὶ καρτερῶς τοὺς Ῥωμαίους ἀνεῖργον· βιαζόμενοί 23
τε ὑπὸ πολλῶν, καὶ πάντοθεν τρεπόντων, καὶ πρὸς τὰ ὑψηλὰ τῆς πόλεως, προσκειμένοις τοῖς πολεμίοις ἐξ ὑποστροφῆς ἐπιπεσόντες, συνώθουν εἰς τὸ κάταντες, καὶ τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβομένους ἀνήρουν. Οἱ δὲ μήτε τοὺς κατὰ 24
κορυφὴν ἀμύνασθαι δυνάμενοι, μήτε διεκπαίειν τῶν σφετέρων πρόσω βιαζομένων, ἐπὶ τὰς οἰκίας τῶν πολεμίων, πρόσγειοι γὰρ ἦσαν, ἀνέφευγον. Αἱ δὲ ταχέως κατηρείπτοντο πληρού- 25
μεναι, καὶ τὸ βάρος μὴ στέγουσαι· κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτὴν πεσοῦσα, καὶ πάλιν ἐκεῖναι τὰς ὑπ' αὐτάς.

18 Συντελεσ. δὲ τῶν L. συντελεσ. γοῦν τῶν M. 19 τὸν Χάριτα P. ἐπεὶ δὲ μέχρι L.P. et ex cor. T. μὴ ἀρκούμενοι L. 20 παρακροτήσαντες ὅμως L. et ex ras. T. 21 προσαγάγοντες M. τῶν ῥιφέντων M.R. τῶν ἐρριφθέντων P. ἐπαλάζοντες P. 22 μὲν παρὰ τὰς πρώτας L. 23 Βιαζόμενοι δὲ in marg. P. τρέπονται ὡς τὰ ὑψηλὰ in marg. P. πόλεως προσκειμένης τοῖς M. πόλ. καὶ προσκειμένοις τοῖς in marg. P. 25 κατηρίπωντο R. βάρος μὴ φέρουσαι· L.R.E. ὑπ' αὐτῆς πεσ. N.P.

26 Τοῦτο πλείστους διέφθειρε τῶν Ῥωμαίων· ὑπὸ γὰρ ἀμηχανίας, καίτοι συνιζούσας ὁρῶντες, ἐπεπήδων ταῖς στέγαις. Καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς ἐρειπίοις, πολλοὶ δὲ ὑποφεύγοντες μέρη τοῦ σώματος κατελαμβάνοντο, πλείστους δὲ ὁ
27 κονιορτὸς ἄγχων ἀνῄρει. Συνεργείαν θεοῦ τοῦτο Γαμαλεῖς ὑπελάμβανον· καὶ τῆς κατὰ σφᾶς ἀμελοῦντες βλάβης ἐπέκειντο, πρός τε τὰ τέγη τοὺς πολεμίους ἀνωθοῦντες, καὶ τοὺς κατολισθαίνοντας ἐν ὀξέσι τοῖς στενωποῖς, καὶ ἀεὶ τοὺς
28 πίπτοντας ὕπερθεν βάλλοντες ἔκτεινον. Καὶ τὰ μὲν ἐρείπια χερμάδων πλέα ἦν αὐτοῖς, σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί· παρασπῶντες γὰρ τὰ τῶν πεσόντων ξίφη, κατὰ
29 τῶν δυσθανατούντων ἐχρῶντο. Πολλοὶ δέ, ἀποπίπτοντες ἤδη τῶν δωμάτων, σφᾶς αὐτοὺς βάλλοντες ἔθνησκον. Ἦν δὲ οὐδὲ τραπέντων ἡ φυγὴ ῥᾴδιος· κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ παχύτητα τοῦ κονιορτοῦ, μηδὲ ἀλλήλους ἐπιγινώσκοντες ἀνειλοῦντο, καὶ περὶ σφᾶς ἔπιπτον.

30 5. Οἱ μὲν οὖν μόλις εὑρίσκοντες τὰς ἐξόδους, ἀνεχώρησαν ἐκ τῆς πόλεως. Οὐεσπασιανὸς δὲ ἀεὶ προσμένων τοῖς πονουμένοις, δεινὸν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην
31 ὁρῶντα περὶ τῷ στρατῷ τὴν πόλιν, ἐν λήθῃ τοῦ κατ' αὐτὸν ἀσφαλοῦς γενόμενος, λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς, — οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν, τηνικαῦτα πρὸς Μουκιανὸν εἰς Συρίαν ἀπεσταλ-
32 μένος, — τραπῆναι μὲν οὖν οὔτε ἀσφαλὲς, οὔτε πρέπον ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων, καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν

26 Τούτων πλείστους T. διέφθειραν N.T. ἐριπίοις N. 27 Συνεργίαν L.M. τῆς κατ' αὐτοὺς ἀμελ. M. ἀνώθουν καὶ τοὺς L.E. ἀνωθοῦντες, καί τοι M.N.P. et in marg. T. κατολισθάνοντας M.N. ὀξέσι δὲ τοῖς στεν. L. 28 πλέον ἦν αὐτοῖς R. πλῆθος αὐτοῖς L.E. δυσθανατούντων P. et ex cor. L. δυσθανάτων N.T. 29 ἀποπιπτόντων L. Ἦν δ' οὔτε L. 30 κατηριπωμένην L. κατειριπομένην M. καταριπτομένην P. κατειριπωμένην R. ὁρῶντι περὶ L.P. 31 τοῦ καθ' ἑαυτὸν L. προσελθὼν P. παῖς αὐτοῦ Τί. P. 32 οὖν οὐκέτ' ἀσφαλὲς L.P. μὲν τοῖς ἅμα ex cor. T.

τοὺς ἅμα αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας. Ἐνυφί- 33
σταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον, καὶ οὔτε
ἀνδρῶν πλῆθος οὔτε βελῶν ὑποπτήξας ἐπέμενε, μέχρι δαιμό-
νιον τὸ παράστημα τῆς ψυχῆς συννοήσαντες οἱ πολέμιοι,
ταῖς ὁρμαῖς ἐνέδοσαν. Ἀτονώτερον δὲ προσκειμένων, αὐτὸς 34
ὑπὸ πόδα ἀνεχώρει, νῶτα μὴ δεικνὺς ἕως ἔξω τοῦ τείχους
ἐγένετο. Πλεῖστοι μὲν οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον
τὴν μάχην, ἐν οἷς καὶ ὁ δεκαδάρχης Ἐβούτιος, ἀνὴρ οὐ μό-
νον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ πανταχοῦ καὶ πρότερον
γενναιότατος φανεὶς, καὶ πλεῖστα κακὰ Ἰουδαίοις ἐργασάμε-
νος. Ἑκατοντάρχης δέ τις, Γάλλος ὀνόματι, μετὰ στρα- 35
τιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ, κατέδυ μὲν εἴς τινος
οἰκίαν. Τῶν δὲ ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπνον, ὅσα 36
κατὰ τῶν Ῥωμαίων ἢ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο, κατα-
κροασάμενος, — ἦν δὲ αὐτός τε καὶ οἱ σὺν αὐτῷ Σύροι, —
νύκτωρ ἐπανίσταται, καὶ πάντας ἀποσφάξας μετὰ τῶν στρα-
τιωτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

6. Οὐεσπασιανὸς δὲ ἀθυμοῦσαν τὴν στρατιὰν ἐννοίᾳ πται- 37
σμάτων, καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ συμφορᾷ ἐκέ-
χρηντο, τό γε μὴν πλέον αἰδουμένους ἐπὶ τῷ τὸν στρατηγὸν
μόνον τοῖς κινδύνοις ἐγκαταλιπεῖν, παρεμυθεῖτο, περὶ μὲν τοῦ 38
καθ' αὐτὸν ὑποστελλόμενος, ὡς μηδὲ τὴν ἀρχὴν μέμφεσθαι
δοκοίη, " Δεῖν δὲ τὰ κοινὰ" λέγων " ἀνδρείως φέρειν, τὴν τοῦ
πολέμου φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ περι-
γίνεται· ἡ γὰρ παλίμπους τύχη περιΐσταται. Τοσαύτας 39
μέντοι μυριάδας Ἰουδαίων ἀνελόντας, αὐτοὺς ὀλίγην τῷ δαί-

σώματα ταῖς πανοπλίαις. M.N.R. et pri. ma. L.T. 33 Ὑφίσταται δὲ P. ἔμενεν, μέχρι L. νοήσαντες οἱ πολ. T. συννοήσαντες πολ. R. τὰς ὁρμὰς L.M.N. et pri. ma. T. 34 αὐτὸς ἐπὶ πόδα E. μὲν οὖν Ῥωμαῖοι L. μὲν οὖν Ῥωμαίων M. ἐν οἷς ὁ δεκ. L.N.P.T. ὁ δεκάρχης M. 36 ὅσα παρὰ τῶν Ῥω. M. ὅσα κακὰ τῶν Ῥω. N. ὅσα κακὰ εἰργάσαντο τῶν Ῥω. R. εἰ περὶ σφῶν ὁ δ. ἐβούλετο R. αὐτὸς καὶ οἱ I. 37 ἀθυμοῦσάν τε τὴν M.N.P. στρατιὰν ἀνοίᾳ π. N.P.T. κέχρηντο M. N.R.T.E. τῷ τὸν ἡγεμόνα μόνον L. 38 περὶ μὲν οὖν τοῦ L. ἀναιμοτὶ P. περιγίνεται· δαπανᾷ δ' ἡ τύχη τι καὶ παρίσταται. Τοσαύτας P. et ex cor. L.

μονι δεδωκέναι συμβολήν· εἶναι δὲ, ὥσπερ ἀπειροκάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως ἀνάνδρων τὸ κατα-
40 πτήσσειν ἐν τοῖς πταίσμασιν. Ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολὴ, καὶ ἐκεῖνος ἄριστος, ὁ καὶ ἐν τοῖς ἀτυχήμασι νήφων, ἵνα μένῃ καὶ δι' εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα.
41 Τὰ μέντοι συμβεβηκότα νῦν οὔτε μαλακισθέντων ἡμῶν, οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν, ἀλλὰ καὶ ἐκείνοις τοῦ πλεονεκτῆσαι, καὶ τοῦ διαμαρτεῖν ἡμῖν αἴτιον ἡ δυσχω-
42 ρία. Καθ' ἣν ἄν τις ὑμῶν μέμψαιτο τῆς ὁρμῆς τὸ ἀταμίευτον· ἀναφυγόντων γὰρ ἐπὶ τὰ ὑψηλὰ τῶν πολεμίων, ἑαυτοὺς ὑποστέλλειν ἐχρῆν, καὶ μὴ κατὰ κορυφὴν ἱσταμένοις τοῖς
43 κινδύνοις ἔπεσθαι· κρατοῦντας δὲ τῆς κάτω πόλεως, κατ' ὀλίγον προκαλεῖσθαι τοὺς ἀναφύγοντας εἰς ἀσφαλῆ καὶ ἑδραίαν μάχην. Νυνὶ δὲ ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι, τῆς
44 ἀσφαλείας ἠμελήσατε. Τὸ δὲ ἀπερίσκεπτον ἐν πολέμῳ, καὶ τῆς ὁρμῆς μανιῶδες, οὐ πρὸς Ῥωμαίων, οἳ πάντα ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ βαρβαρικὸν, καὶ ᾧ μάλιστα
45 Ἰουδαῖοι κρατοῦνται. Χρὴ τοίνυν ἐπὶ τὴν ἑαυτῶν ἀρετὴν ἀναδραμεῖν, καὶ θυμοῦσθαι μᾶλλον, ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν πταίσματι. Τὴν δὲ ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν· οὕτω γὰρ τοῖς ἀπολωλόσι τι-
46 μωρήσεσθε, καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. Πειράσομαι δὲ ἐγὼ, καθάπερ νῦν, ἐπὶ πάσης μάχης προάγειν τε ὑμῶν εἰς τοὺς πολεμίους, καὶ τελευταῖος ἀποχωρεῖν."
47 7. Ὁ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανε. Τοῖς δὲ Γαμαλεῦσι πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη, παραλόγως τε συμβάντι καὶ μεγάλως· λογι-
ζόμενοι δὲ ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἑλ-
48 πίδα, τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες, — ἤδη γὰρ

40 τοῖς εὐτυχήμασι L.M. 41 μαλακισ. ὑμῶν N. καὶ διαμαρτεῖν M. 42 ἦν ἄγαν τίς M.N.P.R.T. μέμψοιτο L. αὐτοὺς ὑποστέλλειν P. 43 τοὺς ἀναφεύγοντας L.M.N.P.R.T.E. 45 τὴν αὐτῶν P. τιμωρήσασθε M.T. τιμωρήσασθαι P.E. ἀμύνεσθαι P. ἀμυνεῖσθαι E. 46 ἐπὶ τῆς πάσης R.E. 47 παραλόγως συμβάντι R. διαφυγεῖν P. φεύγειν M.

ἐπέλιπε τὰ ἐπιτήδεια, — δεινῶς ἠθύμουν, καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. Οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ περιρρηχθέντα τοῦ τείχους οἱ γενναιότατοι, καὶ τὰ μένοντα περισχόντες ἐφύλασσον οἱ λοιποί. Τῶν δὲ Ῥω- 49
μαίων ἐπιχωννύντων τὰ χώματα, καὶ πάλιν πειρωμένων εἰσβολῆς, οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως κατά τε δυσβάτων φαράγγων, ἧπερ οὐκ ἔκειντο φυλακαὶ, καὶ διὰ τῶν ὑπονόμων. Ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐν ἐνδείᾳ 50
διεφθείροντο· πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

8. Καὶ οἱ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν. Οὐε- 51
σπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας, τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα στα- 52
δίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλίμα, πεδίον δέ ἐστιν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι, πᾶν τετειχισμένον. Ἤγειρε δὲ τοσοῦτον ὄντα τὸν περίβολον ὁ Ἰώ- 53
σηπος ἐν τεσσαράκοντα ἡμέραις, τῇ τε ἄλλῃ χορηγούμενος ὕλῃ κάτωθεν καὶ ὕδατι· καὶ γὰρ τοῖς ἐποίκοις μόνον ἦν ὄμβριον. Πολλοῦ οὖν πλήθους ἐπὶ τούτου συνειλεγμένου, Οὐε-
σπασιανὸς Πλάκιδον σὺν ἱππεῦσιν ἑξακοσίοις πέμπει. Τούτῳ 54
τὸ μὲν προσβαίνειν ἀμήχανον ἦν, ἐλπίδι δὲ δεξιῶν καὶ παρακλήσεως πρὸς εἰρήνην τοὺς πολλοὺς προσεκαλεῖτο. Κατῆ- 55
σαν δὲ ἀντεπιβουλεύοντες· ὅ τε γὰρ Πλάκιδος ὠμίλει πρᾳότερον, σπουδάζων αὐτοὺς ἐν τῷ πεδίῳ λαβεῖν· καὶ ἐκεῖνοι κατῆσαν ὡς πειθόμενοι δῆθεν, ἵνα ἀφυλάκτῳ προσπέσωσιν. Ἐνίκα μέντοι τὸ Πλακίδου πανοῦργον· ἀρξαμένων γὰρ τῶν 56
Ἰουδαίων μάχης, φυγὴν ὑποκρίνεται, καὶ διώκοντας ἑλκύσας

48 ἐπέλειπε L.N. et pri. ma. T. περιρρηχθέντα τείχη οἱ M. ἐφύλαττον L. 49 Ῥωμ. ἐπιρρωννύντων L.P. πειρ. προσβολῆς P. ἔκειντο φύλακες P. 50 τοῦ λειφθῆναι P. ἐνδείᾳ ἐφθείροντο M.N.R.T. 51 ὄρος κατειληφότας tr. L. 53 ἐπὶ τούτῳ N.R.E. et ex cor. L. ἐπὶ τοῦτον M. ἐπὶ τοῦτο P. Πλακίδιον et sic infra P. 54 Τούτῳ μὲν P. παρακλήσει ex cor. T. πολλοὺς συνεκαλεῖτο L. 35 Κατίεσαν δὲ M.P. ἐκεῖνοι κατίεσαν M.P. ἀφυλάκτως T. 56 τὸ τοῦ Πλακίδου M. μάχην, ἐς φυγὴν ὑπεκρίνετο P.

57 ἐπὶ πολὺ τοῦ πεδίου, τοὺς ἱππεῖς ἐπιστρέφει. Τρεψάμενος δὲ πλείστους μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμόμενος, εἴργει τῆς ἀνόδου. Καὶ οἱ μὲν τὸ Ἰταβύριον καταλιπόντες ἐπὶ Ἱεροσολύμων ἔφευγον· οἱ δὲ ἐπιχώριοι πίστεις λαβόντες, ἐπιλελοίπει δὲ αὐτοὺς τὸ ὕδωρ, τό τε ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέδοσαν.

58 9. Τῶν δὲ ἐπὶ τῆς Γαμάλας οἱ παραβολώτεροι μὲν φεύγοντες διελάνθανον, οἱ δὲ ἀσθενεῖς διεφθείροντο λιμῷ· τὸ μάχιμον δὲ ἀντεῖχε τῇ πολιορκίᾳ, μέχρι δευτέρᾳ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου τρεῖς τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑπο-
59 δύντες, τὸν προέχοντα κατὰ τούτους πύργον ὑπορύσσουσιν ἡσυχῇ· τοῖς δὲ ὑπὲρ αὐτοῦ φύλαξιν οὔτε προσιόντων αἴσθη-
60 σις, νὺξ γὰρ ἦν, οὔτε προσελθόντων ἐγένετο. Ἐλθόντες δὲ οἱ στρατιῶται, φειδόμενοι τοῦ ψόφου, καὶ πέντε τοὺς κραταιοτάτους ἐκκυλίσαντες τῶν λίθων, ὑποπηδῶσι· καταρρίπτε-
61 ται δὲ ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. Καὶ συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ· θορυβηθέντες δὲ οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον, καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν
62 ἀναιρεῖ. Τῶν δ' ἀνὰ τὴν πόλιν, διασεισθέντων ὑπὸ τοῦ ψόφου, διαδρομή τε ἦν, καὶ πτοία πολλή, καθάπερ εἰσπεπτω-
63 κότων πάντων τῶν πολεμίων. Ἔνθα καὶ Χάρης κατακείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολὺ τοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. Ῥωμαῖοί γε μὴν, μεμνημένοι τοῦ προτέρου πταίσματος, οὐκ εἰσέβαλλον ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός.

57 ὑποτεμνόμενος P. αὐτοῖς ὕδωρ L.T. αὐτοὺς ὕδωρ N.P. Πλακίδῳ παρέδοσαν. In his verbis finem Cod. R. imposuit scriba. 58 τῆς Γαμάλης L.T. διεφθ. τῷ λιμῷ M. Ὑπερβερ. ad marg. Ὀκτωβρίου P. πεντεκαιδεκάτου L. 60 Οἱ δὲ στρατιῶται omisso ἐλθόντες P. ἐκκοιλίσαντες λίθους P. κατηρείπετο δ' ὁ πύργος L.P. διέφθειρον L. 62 καὶ πτόα L.N.P.T. 63 ἐκλείπει πόλλου δέους L.M.P.T. ἐκλ. πόλλου τοῦ δέους N. εἰσέβαλον L. τρίτῃ καὶ εἰκάδι L.N.P.T.

10. Τίτος δὲ, ἤδη γὰρ παρῆν, ὀργῇ τῆς πληγῆς, ἣν παρ' 64
αὐτὸν ἐπλήγησαν ἀπόντα Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας
διακοσίους, πρὸς οἷς πεζοὺς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ.
Καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι, μετὰ βοῆς ἐχώ- 65
ρουν ἐπὶ τὰ ὅπλα. Δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς
εἴσω γενομένης, οἱ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ τὰς γυναῖκας
ἐπισυρόμενοι, πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ
βοῆς, οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον.
Ὅσοι δὲ ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' 66
ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. Ἄπει-
ρος δὲ ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶ-
σαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. Πρὸς δὲ 67
τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Οὐεσπασιανὸς,
πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. Ἦν δὲ ἥ τε κορυφὴ πάντο-
θεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ
πανταχόθεν τοῦ πλήθους κατέγεμε, περιειλημμένη κρημνοῖς.
Κατέτεμνόν τε ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τοῖς 68
τε ἄλλοις βέλεσι καὶ πέτραις κατακυλινδοῦντες ἐκάκουν· αὐτοὶ
δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλεσι. Γίνεται δὲ πρὸς ἀπώ- 69
λειαν αὐτῶν ἀντικρὺ θύελλα δαιμόνιος, ἣ τὰ μὲν Ῥωμαίων
ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δὲ αὐτῶν ἀνέστρεφε, καὶ πλάγια
παρέσυρεν. Οὔτε δὲ τοῖς ἀποκρήμνοις ἐφίστασθαι διὰ τὴν 70
βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἑδραῖον ἔχοντες, οὔτε
τοὺς προσβαίνοντας καθορᾶν. Ἐπαναβαίνουσι δὲ Ῥωμαῖοι, 71
καὶ περισχόντες, οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς δὲ χεῖρας
προΐσχοντας· ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη
τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. Ἀπογινώ- 72

64 παρ' αὐτῶν L.M.P. παρ' αὐτοῦ in marg. T. ἀπόντος M. et in marg. T. ἐπιλεξάμενος L. πρὸς οἷς πεζοὺς L.N.T. πρὸς οἷς καὶ πε-
ζοὺς E. ἡσυχῇ deest L.M. 65 παρελθόντες L. καὶ γυναῖκας N.T.
ἄκραν ἔφευγον M. 66 ὑπέκλυζε L. 67 τοῦ βάθους κατέγεμεν M.N.
et T. sed in huj. marg. ὑπὸ πλήθους. In marg. P. hæc habet καὶ
πάντοθεν ὑπὸ πλήθους περιειλ. κρημνοῖς. 68 τούς τε ἄλλους βέλεσι E.
καὶ πέτρας M. αὐτοί τε δι' M. δι' ὕψους E. δυσέφικτοι βέλει L.P.
69 ἀντέστρεφε L. 70 ὑποκρήμνοις M.N.P. 71 ἔφθανον, τοὺς δὲ E.

σκοντες δὲ τὴν σωτηρίαν πανταχόθεν οἱ πολλοὶ περισχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα· 73 βαθυτάτη δὲ αὕτη κατὰ τὴν ἄκραν ὑπώρυκτο. Συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὐτοὺς ἀπονοίας τῶν ἀλόντων πρωτέραν φανῆναι· τετρακισχίλιοι μέν γε ὑπὸ τούτων ἐσφάγησαν, οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους εὑρέθη- 74 σαν. Διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς· τῆς Φιλίππου δὲ ἦσαν ἀδελφῆς θυγατέρες αὗται, αὐτὸς δὲ ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου στραταρχήσαντος Ἀγρίππᾳ 75 τῷ βασιλεῖ. Διεσώθησαν δὲ τὰς παρὰ τὴν ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι· οὐδὲ γὰρ νηπίων ἐφείδοντο, πολλὰ δὲ 76 ἕκαστος τότε ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς ἄκρας. Γάμαλα μὲν οὖν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορπιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι.

CAP. II.

1 1. Μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος, — καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοί, καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλ- 2 πίσιν ἀεὶ προσανέχοντες, — παρεισεφθαρμένου δὲ αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινες καὶ τοῦ πολιτικοῦ συνενόσουν. Ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπόστασιν καὶ συνεκρότει Λευΐου τινος υἱὸς Ἰωάννης, γόης ἀνὴρ, καὶ ποικιλώτατος 3 τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγενέσθαι, παντί τε ὢν δῆλος ἀγαπᾶν τὸν πόλεμον εἰς δυναστείας ἐπίθεσιν. Ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον

72 ἑαυτούς τε κατεκρήμ. L.E. 73 τῶν ἄλλων πρωτέραν L. 74 Φίλιππος Ἰωακείμου T. Φιλ. Ἰωκείμου N. ἐπισήμου τετραρχήσαντος L. et ex cor. T. 75 ταῖς παρὰ τ. ἅ. ὀργαῖς M.N.P. οὔτε γὰρ νη. L. τότε γὰρ οὐδὲ νη. M.N.T. τότε γὰρ οὔτε νη. P. ἕκαστός τε ἁρπάζ. P. ἐσφενδόνουν N. 76 μὲν οὕτως M.P. ἀπαρξαμένης L. 1 ἡ Γίσχαλα T. προσανίσχοντες, εἰσεφθαρμένου L. 2 λῃστρικοῦ συντάγματος L. εἰς τὴν ἀποστασίαν L.M.P.E. Ληουΐ τινος N.T. Ληΐου τινος P. 3 δυναστείας ὑπόθεσιν M.N.P.T. ἐν Γισχάλοις L. δι' οὓς τάχα ἂν καὶ L.

περὶ παραδόσεως τὸ δημοτικὸν, ἐν πολέμου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τούτους 4
Τίτον ἐκπέμπει σὺν χιλίοις ἱππεῦσι, τὸ δέκατον δὲ τάγμα
ἀπαίρει εἰς Σκυθόπολιν. Αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς 5
ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς
ἀνάπαυσιν αὐτοῖς, καὶ δι' εὐθηνίαν τῶν πόλεων τά τε σώματα
καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας
ἀγῶνας· οὐ γὰρ ὀλίγον ἑαυτῷ πόνον ἑώρα περὶ τοῖς Ἱερο- 6
σολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πό-
λεως, καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δὲ εἰς
αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων. Τό γε μὴν 7
φύσει ὀχυρὸν αὐτῆς, καὶ διὰ κατασκευὴν τειχῶν, ἀγωνίαν οὐ
τὴν τυχοῦσαν ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν, καὶ
τὰς τόλμας, δυσμεταχειρίστους καὶ δίχα τειχῶν ὑπελάμβανε·
διὸ δὴ τοὺς στρατιώτας καθάπερ ἀθλητὰς προήσκει τῶν
ἀγώνων.

2. Τίτῳ δὲ προσιππασαμένῳ τοῖς Γισχάλοις, εὐπετὲς μὲν 8
ἦν ἐξ ἐφόδου τὴν πόλιν ἑλεῖν· εἰδὼς δὲ, εἰ βίᾳ ληφθείη, δια-
φθαρησόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος, — ἦν 9
δὲ αὐτῷ κόρος ἤδη φόνων, καὶ δι' οἴκτου τὸ πλέον ἀκρίτως
συναπολούμενον τοῖς αἰτίοις, — ἐβούλετο μᾶλλον ὁμολογίαις
παραστήσασθαι τὴν πόλιν. Καὶ δὴ τοῦ τείχους ἀνδρῶν 10
καταγέμοντος, οἳ τὸ πλέον ἦσαν ἐκ τοῦ διεφθαρμένου τάγ-
ματος, ‘ θαυμάζειν, ἔφη πρὸς αὐτοὺς, τίνι πεποιθότες, πάσης
ἐαλωκυίας πόλεως, μόνοι τὰ Ῥωμαίων ὅπλα μένουσιν, ἑωρα- 11
κότες μὲν ὀχυρωτέρας πολλῷ πόλεις ὑπὸ μίαν προσβολὴν
κατεστραμμένας, ἐν ἀσφαλείᾳ δὲ τῶν ἰδίων κτημάτων ἀπο-
λαύοντας, ὅσοι ταῖς Ῥωμαίων δεξιαῖς ἐπίστευσαν· ἃς καὶ νῦν
προτείνειν αὐτοῖς, μηδὲν μνησικακῶν τῆς αὐθαδείας. Εἶναι 12

Ῥωμαίων δύναμιν L. ἐξεδέχοντο M. 4 ἐπὶ μὲν τούτοις M.N. τὸ δὲ δέκ. τάγμα M. 5 τῶν πολεμίων τά τε L. ὑποθρύψειν P. 6 ὀλίγον αὐτῷ M.N.P.T. 7 κατασκευὴν, ἀγωνίαν N. καθάπερ ἀσκητὰς προήσκει L. 8 προϊππασαμένῳ M. εἰδὼς δ' ὡς εἰ M.N.T.E. ἀναίδην τὸ π. N. et pri. ma. L. 9 ἤδη φόνου L. συναπολλούμενον N. συναπολλύμενον P.T. παραστήσεσθαι P.E. 11 μηδὲ μνησικακεῖν M. 12 Εἶναι συγγνωστὸν P.

γὰρ συγγνωστὸν ἐλευθερίας ἐλπίδα, μηκέτι μέντοι τὴν ἐν τοῖς ἀδυνάτοις ἐπιμονήν· εἰ γὰρ οὐ πεισθήσονται λόγοις
13 φιλανθρώποις καὶ δεξιαῖς πίστεως, πειράσειν αὐτοὺς ἀφειδῆ τὰ ὅπλα, καὶ ὅσον οὐδέπω γνωσθήσεσθαι παιζόμενον τοῖς Ῥωμαίων μηχανήμασι τὸ τεῖχος, ᾧ πεποιθότες ἐπιδείκνυνται μόνοι Γαλιλαίων, ὅτι εἰσὶν αὐθάδεις αἰχμάλωτοι.'

14 3. Πρὸς ταῦτα τῶν μὲν δημοτικῶν οὐ μόνον οὐκ ἀποκρίνεσθαί τινι μετῆν, ἀλλ' οὐδὲ ἐπὶ τὸ τεῖχος ἀναβῆναι· προδιείληπτο γὰρ ἅπαν τοῖς λῃστρικοῖς, καὶ φύλακες τῶν πυλῶν ἦσαν, ὡς μή τινες ἢ προέλθοιεν ἐπὶ τὰς σπονδάς, ἢ
15 δέξαιντό τινας τῶν ἱππέων εἰς τὴν πόλιν. Ὁ δὲ Ἰωάννης 'αὐτός τε ἀγαπᾶν, ἔφη, τὰς προκλήσεις, καὶ τοὺς ἀπειθοῦν-
16 τας ἢ πείσειν ἢ συναναγκάσειν· δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην — ἑβδομὰς γὰρ ἦν, — χαρίζεσθαι τῷ Ἰουδαίων νόμῳ, καθ' ἣν, ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι
17 περὶ εἰρήνης ἀθέμιτον. Οὐκ ἀγνοεῖν δὲ οὐδὲ Ῥωμαίους, ὡς ἀργὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος· ἐν δὲ τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον· φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ
18 τῆς ὑπερθέσεως. Τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι; Μέγα δὲ κέρδος αὐτοῖς, τὸ μηδὲν παραβῆναι τῶν πατρίων
19 ἐθῶν. Πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ, τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους.' Τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζό-
20 μενος, ὅσον τῆς ἑαυτοῦ σωτηρίας· ἐδεδοίκει δὲ ἐγκαταλειφθῆ-

ἐλευθ. ἐλπίδι N. τὴν ἐπὶ τοῖς T. 13 γνωσθ. παιζόμενον τοῖς M. N.P.R. et L. sed in hoc ιε ex cor. γνωσθ. παιδιὰν ἐσόμενον τοῖς E. 14 προείληπτο L. γὰρ ἅπαντα τοῖς N. ἢ προσέλθοιεν M.N.T. 1 τοὺς ἀπιστοῦντας ἢ L.M.N.T. συναναγκάζειν L. 16 χαρίσασθαι L.M. P.T. τῷ τῶν Ἰουδαίων L. οὕτω τὸ M. 17 ἀγνοεῖν τε οὔτε L.E. ἀργὴ πάντως L. ἔν τε τῷ M.N.T. τὸν βιαζόμενον· φέρειν L. 18 παραφυλάττειν sic ead. ma. L. παραφυλάττειν M. τῶν πατρίων νόμων E. 19 Πρέπει δὲ L.N.P.T.E. τῆς αὐτοῦ σωτ. N.P.T. 20 ἐγκαταληφθῆναι M.N. et ex cor. T.

ναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου. Θεοῦ δὲ ἦν ἔργον ἄρα τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τὸν τῶν Ἱεροσολύμων ὄλεθρον, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ 21
τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδοισσοῖς· μεσόγειος δέ ἐστι Τυρίων κώμη καρτερὰ, διὰ μίσους ἀεὶ καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθός τε οἰκητόρων, καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδια.

4. Νυκτὸς δὲ ὁ Ἰωάννης, ὡς οὐδεμίαν περὶ τῇ πόλει Ῥω- 22
μαίων ἑώρα φυλακὴν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον τοὺς περὶ αὐτὸν ὁπλίτας, ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβὼν, ἐπὶ Ἱεροσολύμων ἔφευγε. Μέχρι 23
μὲν οὖν εἴκοσι σταδίων οἷόν τε ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις· περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἐωμένων ἦσαν αἱ ὀλοφύρσεις. Ὅσον 24
γὰρ ἕκαστος τῶν οἰκείων ἐγίνετο πορρωτέρω, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων· παρεῖναί τε ἤδη τοὺς αἰχμαλωτισομένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν ἀλλή- 25
λων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον· ἀνοδίαις τε ἐνέπιπτον οἱ πολλοὶ, καὶ περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. Οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί 26
τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρσησαν, μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν. Ἀλλ' ἐνίκα τὸ Ἰωάν- 27

ἦν τὸ ἔργον E. τοῦ σώσαντος τὸν M.N.T. ἐπὶ τὸν Ἱεροσ. L.T. ἐπὶ τῶν Ἱεροσ. N. τῆς ὑποθέσεως ἀλλὰ L. 21 πόλεως ἀποστέρω στρα. L. πρὸς Κυδακοῖς P. et ex ras. L. καρτερὰ καὶ διὰ L. Γαλιλαίοις καὶ πολέμου tr. M. τὴν ὀχυρωτάτην τῆς M. τὴν ὀχυροτάτην τῆς N. ἐφόδιον E. ἐφοδείαν M.N. 22 ὡς οὔτε μίαν περὶ P. 23 σταδίων ὡς οἷόν τε M.N. ἦν deest M. φόβοις, οἱ συνεξελθόντες εἶπωντο· περαιτέρω M. ἐπελείποντο M.N. ἀπελίποντο P. ἦσαν ὀλοφύρσεις M.N.P.T.E. 24 οἰκείων ἐγένετο L.P.E. παρῆναί τε P. 25 λεωφόρον P. 26 οἶκτος δὲ M.N.P.T. et L. sed in hoc ex cor. γυναικῶν τε καὶ νηπίων ὅλ. L. τε καὶ γυναικῶν ἐθάρρησαν L. ἱκετεῦσαι περιμ. M.N.

νου παρακέλευσμα, 'σώζειν ἑαυτοὺς ἐμβοῶντος, καὶ καταφεύγειν, ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίους, ἂν ἁρπαγῶσι.' Τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος, ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους, ἐσκέδαστο.

28 5. Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος παρῆν. Ἀνοίγει δὲ αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν προσελθόντες ἀνευφήμουν ὡς εὐεργέτην, καὶ φρουρᾶς
29 ἐλευθερώσαντα τὴν πόλιν. Ἐδήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγήν, καὶ παρεκάλουν φείσασθαί τε αὐτῶν, καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολά-
30 σαι. Ὁ δὲ τὰς δεήσεις τοῦ δήμου ἐν δευτέρῳ θέμενος, μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰωάννην διώξουσαν. Οἱ τὸν μὲν οὐ καταλαμβάνουσιν, —ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών, —
31 τῶν δὲ συναπαράντων ἀποκτείνουσι μὲν εἰς ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα περιελάσαντες ἀνήγαγον. Ὁ δὲ Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παρα-
32 χρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης· ἱκανὸν δὲ ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἰχμαλώτων καὶ τοὺς διεφθαρμένους, εἰσήει τε ἀνευφημού-
33 μενος εἰς τὴν πόλιν, καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους παρασπᾶσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μαλλον ἢ κολάσει τοὺς ταράσσοντας τὴν πόλιν ἀνέστελλε, 'πολλοὺς γὰρ ἂν διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξα-
34 σθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους· ἄμεινον δὲ εἶναι, μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλιπεῖν, ἤ τινα τῶν οὐκ ἀξίων αὐτῷ συναπολεῖν· τὸν μὲν γὰρ ἴσως καὶ

27 παρακέλευμα P. προκέλευσμα L. ἐκβοῶντος P. ἀναρπαγῶσι N° τῶν διαδράντων πλῆθος L.E. 28 τῶν τέκνων καὶ γυναικῶν προσελθόντες L.E. τῶν γυναικῶν προσελ. P. ἀνεφήμουν M. ἀνευφήμουν τε ὡς L. M.N.T.E. 29 φείσασθαι αὐτῶν P. τοὺς ἐπιλειπομένους L.N.T. et pri. ma. M. sed in hoc ex cor. τοὺς ἔτι λειπομ. 30 τὰς τοῦ δήμου δεήσεις tr. L. δευτέρῳ τιθέμενος L. ἐπέπεμπε L. ἀνέπεμπε M. Οἱ δὲ τὸν μὲν L. 31 ἀποκτένουσι T. περιελ. ἐπανῆγον E. ἐπὶ τὸ μὴ P. 32 αἰχμαλώτων τοὺς M. εἰσίει τε ἐνεφημούμενος M. 33 κατασπᾶσαι L. ἢ κολάσεσι E. ποὶ. γὰρ ἂν καὶ διὰ L.P. ποὶ. γὰρ καὶ διὰ T. ποὶ. δ' ἂν καὶ διὰ M.N. ποὶ. γὰρ διὰ E. καταλείπειν P. 34 ἤ τινα οὐκ ἄξιον N.T. αὐτῷ συναπελθεῖν M.N.

σωφρονίσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρῳχηκόσι συγγνώμην αἰδούμενον· ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι.' Φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφέξειν, καὶ τοὺς εἰρηνικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλε. Γαλιλαία μὲν οὖν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνάσασα Ῥωμαίους.

CAP. III.

1. Ἐπὶ δὲ τὰ Ἱεροσόλυμα πρὸς τὴν εἴσοδον τοῦ Ἰωάννου ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος ὅμιλος συνηθροισμένος τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνετο. Τῶν δὲ τὸ μὲν ἄσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν ἀνάγκην· ἠλαζονεύοντο δὲ καὶ ἐν κακοῖς, 'οὐ πεφευγέναι τοὺς Ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς· ἀλογίστων γὰρ εἶναι καὶ ἀχρήστων, παραβόλως προκινδυνεύειν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον τὰ ὅπλα καὶ τὰς ἀκμὰς ταμιεύεσθαι τῇ μητροπόλει καὶ συμφυλάσσειν.' Ἔνθα δὴ παρεδήλουν τὴν ἅλωσιν τῶν Γισχάλων, καὶ τὴν λεγομένην εὐσχημόνως ὑποχώρησιν αὐτῶν οἱ πολλοὶ δρασμὸν ἐνενόουν. Ὡς μέντοι τὰ περὶ τοὺς αἰχμαλωτισθέντας ἠκούσθη, σύγχυσις οὐ μετρία κατέσχε τὸν δῆμον, καὶ μεγάλα τῆς ἑαυτῶν ἁλώσεως συνελογίζοντο τὰ τεκμήρια. Ἰωάννης δὲ ἐπὶ μὲν τοῖς καταλειφθεῖσιν ἧττον ἠρυθρία, περιϊὼν δὲ ἑκάστους ἐπὶ τὸν πόλεμον ἐνῆγε ταῖς ἐλπίσι, τὰ μὲν Ῥωμαίων ἀσθενῆ κατασκευάζων, τὴν δὲ οἰκείαν δύναμιν ἐξαίρων, καὶ κατειρωνευόμενος τῆς τῶν ἀπείρων ἀγνοίας, ὡς οὐδ' ἂν πτερὰ λαβόντες ὑπερβαίεν ποτε Ῥωμαῖοι τὸ Ἱεροσολύμων τεῖχος, οἱ περὶ ταῖς Γαλιλαίων

σωφρονίσαι φόβῳ δέει L. σωφρονῆσαι δέει M.N.P.T. δὲ ἐπὶ τοῖς M. νεωτερίσαντας L. μὲν οὕτως L.M.N.T. Ῥωμαίους ἐπὶ τὰ Ἱεροσόλυμα. P. et ex ras. T. 1 Πρὸς δὲ τὴν εἴσοδον P. εἴσοδον Ἰωάννου E. συνηθροισμένοι L, ἀνεπυνθάνοντο L. 2 πεφευγέναι Ῥωμαίους M.N. P.T. πολεμήσοντες αὐτοῖς ex cor. T. 3 καὶ τὰς αἰχμὰς M.N.T. 4 τῆς αὐτῶν ἁλώ. N.T. ἐλογίζοντο L. τὰ deest L.E. 5 τοῖς καταληφθεῖσιν L.M.N.P. παριὼν δ' ἑκάστους P. ἐξαίρων, κατειρωνευ. M. ὑπερβαίεν Ῥωμαῖοι M. ταῖς τῶν Γαλιλαίων P.E.

κώμαις κακοπαθοῦντες, καὶ πρὸς τοῖς ἐκεῖ τείχεσι κατατρίψαντες τὰς μηχανάς.

7 2. Τούτοις τὸ πολὺ τῶν νέων προσδιεφθείρετο, καὶ πρὸς μὲν τὸν πόλεμον ἦρτο. Τῶν δὲ σωφρονούντων καὶ γηραιῶν, οὐκ ἦν ὅστις οὐ τὰ μέλλοντα προορώμενος, ὡς ἤδη τῆς πό-
8 λεως οἰχομένης, ἐπένθει. Ὁ μὲν οὖν δῆμος ἦν ἐν τοιαύτῃ συγχύσει· προδιέστη δὲ τὸ κατὰ τὴν χώραν πλῆθος τῆς ἐν Ἱεροσολύμοις στάσεως. Ὁ μὲν γὰρ Τίτος ἀπὸ Γισχάλων
9 εἰς Καισάρειαν, Οὐεσπασιανὸς δὲ ἀπὸ Καισαρείας εἰς Ἰάμνιαν καὶ Ἄζωτον ἀφικόμενος παρίσταταί τε αὐτὰς, καὶ φρουροὺς ἐγκαταστήσας ὑπέστρεψε, πολὺ πλῆθος ἐπαγόμενος τῶν ἐπὶ δεξιᾷ προσκεχωρηκότων. Ἐκινεῖτο δὲ ἐν ἑκάστῃ πόλει ταραχὴ καὶ πόλεμος ἐμφύλιος, ὅσοι τε ἀπὸ Ῥωμαίων ἀνέπνεον εἰς ἀλλήλους τὰς χεῖρας ἐπέστρεφον. Ἦν δὲ τῶν
ἐρώντων τοῦ πολέμου πρὸς τοὺς ἐπιθυμοῦντας εἰρήνης ἔρις
11 χαλεπή· καὶ πρῶτον μὲν ἐν οἰκίαις ἥπτετο τῶν μὴ ὁμονοούντων πάλαι τὸ φιλόνεικον, ἔπειτα ἀφηνιάζοντες ἀλλήλων οἱ φίλτατοι λαοὶ, καὶ συνιὼν ἕκαστος πρὸς τοὺς τὰ αὐτὰ προαι-
12 ρουμένους, ἤδη κατὰ πλῆθος ἀντετάσσοντο. Καὶ στάσις μὲν ἦν πανταχοῦ· τὸ νεωτερίζον δὲ καὶ τῶν ὅπλων ἐπιθυμοῦν ἐπεκράτει νεότητι καὶ τόλμῃ γηραιῶν καὶ σωφρόνων.
13 Ἐτράποντο δὲ πρῶτον μὲν εἰς ἁρπαγὰς ἕκαστοι τῶν ἐπιχωρίων, ἔπειτα συντασσόμενοι κατὰ λόχους, ἐπὶ λῃστείαν
14 τῶν κατὰ τὴν χώραν· ὡς ὠμότητος καὶ παρανομίας ἕνεκεν μηδὲν αὐτοῖς Ῥωμαίων τοὺς ὁμοφύλους διαφέρειν, καὶ πολὺ τοῖς πορθουμένοις κουφοτέραν δοκεῖν τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν.

τείχεσι καταστρέψαντες M. 7 νέων διεφθείρετο L. σωφρόνων καὶ L. 8 ἦν ἐν τούτοις καὶ ἐν τοιαύτῃ συγχύσει M. 9 Ἰάμνειαν N.P. καὶ Ἄζωτον desunt M. τε αὐταῖς καὶ L.N.P.T. ἐγκαταστησάμεν. ς M. προκεχωρηκότων M. τῶν ἐν δεξιᾷ P. 10 ἐκινείτω P. ὅσον τε ἀπὸ L.P. ἐνέπνεον M. τῶν ἐπιθυμούντων πολέμου L. 11 ἐν μὲν οἰκιαις L. τῶν ὁμονοούντων L.M.N.P. τοὺς τὰ αὐτοῦ M. 12 ἐπεθύμουν ἐπεκράτει τε νεότ. N. νεώτητι P. 13 ἕκαστος τῶν E. ἐπὶ ληστείας L. 14 αὐτοῖς μηδὲν tr. P. πολὺ τῆς πορθουμένης M. ὑπὸ Ῥωμαίων L.

3. Οἱ φρουροὶ δὲ τῶν πόλεων, τὰ μὲν ὄκνῳ τοῦ κακοπα- 15
θεῖν, τὰ δὲ μίσει τοῦ ἔθνους, οὐδὲν ἢ μικρὰ προσήμυνον τοῖς
κακουμένοις, μέχρι κόρῳ τῶν κατὰ τὴν χώραν ἁρπαγῶν ἀθροι-
σθέντες οἱ τῶν πανταχοῦ συνταγμάτων ἀρχιλῃσταὶ, καὶ 16
γενόμενοι πονηρίας στίφος, εἰς τὰ Ἱεροσόλυμα παρεισφθεί-
ρονται, πόλιν ἀστρατήγητον, καὶ πατρίῳ μὲν ἔθει πᾶν ἀπα-
ρατηρήτως δεχομένην τὸ ὁμόφυλον, τότε δὲ οἰομένων ἁπάν-
των τοὺς ἐπεισχεομένους πάντας ἀπ' εὐνοίας ἥκειν συμμάχους.
Οἱ δὴ καὶ δίχα τῆς στάσεως ὕστερον ἐβάπτισαν τὴν πόλιν· 17
πλήθει γὰρ ἀχρήστῳ καὶ ἀργῷ προεξανηλώθη τὰ τοῖς μα-
χίμοις διαρκεῖν δυνάμενα, καὶ πρὸς τῷ πολέμῳ στάσιν τε αὐ-
τοῖς καὶ λιμὸν ἐπικατεσκεύασαν.

4. Ἄλλοι τε ἀπὸ τῆς χώρας λῃσταὶ παρελθόντες εἰς τὴν 18
πόλιν, καὶ τοὺς ἔνδον προσλαβόντες χαλεπωτέρους οὐδέν τι
τῶν δεινῶν παρίεσαν. Οἵ γε οὐ μόνον ἁρπαγαῖς καὶ λωπο- 19
δυσίαις τὴν τόλμαν ἐμέτρουν, ἀλλὰ καὶ μέχρι φόνων ἐχώ-
ρουν, οὐ νυκτὸς, ἢ λαθραίως οὐδ' ἐπὶ τοὺς τυχόντας, ἀλλὰ
φανερῶς καὶ μεθ' ἡμέραν, καὶ τῶν ἐπισημοτάτων καταρχόμε-
νοι. Πρῶτον μὲν γὰρ Ἀντίπαν, ἄνδρα τοῦ βασιλείου γέν- 20
ους καὶ τῶν κατὰ τὴν πόλιν δυνατώτατον, ὡς καὶ τοὺς δημο-
σίους θησαυροὺς πεπιστεῦσθαι, συλλαβόντες εἶρξαν, ἐπὶ
τούτῳ Δευΐαν τινὰ τῶν ἐπισήμων, καὶ Σωφᾶν υἱὸν Ῥαγουή-
λου — βασιλικὸν δὲ ἦν καὶ τούτων τὸ γένος, — πρὸς δὲ τοὺς 21
κατὰ τὴν χώραν προέχειν δοκοῦντας. Δεινὴ δὲ κατάπληξις
εἶχε τὸν δῆμον, καὶ καθάπερ κατειλημμένης τῆς πόλεως πό-
λεμῳ, τὴν καθ' αὑτὸν ἕκαστος σωτηρίαν ἠγάπα.

15 τοῦ παθεῖν P. κατὰ τὴν πόλιν ἁρπ. M. 16 εἰς τε Ἱεροσο. L. συμπαρεισφθείρονται E. δεχομένη τὸ N. τοὺς ἐπιχειρουμένους L.N.P. et pri. ma. T. 17 Ὁ δὴ καὶ L. ἐβάπτισεν L. προεξαναλώθη P. προ-εξαναλώθο sed θο ex cor. L. στάσιν τε ἑαυτοῖς L. λιμὸν κατεσκεύα-σαν L. 18 οὐδὲν ἔτι τῶν L. παρήεσαν L. παρείασαν M.N.T.E. 19 λαθραίως ἢ ἐπὶ L.P.E. ἐπισημωτάτων P. ἐπισημ. μετερχόμενοι. L. 20 τοῦ βασιλικοῦ L. δυνατοτάτων L. πεπιστεῦθαι N. Ληΐαν M. Λε-ουΐαν N. Ληουβίαν P. Ληουΐαν T. τῶν ἐπισήμων, καὶ καθάπερ desunt quæ intersunt omnia M. καὶ Συφᾶν L.P. υἱὸν Ῥεγέτου L. υἱὸν Ῥεγώ-λου N. υἱὸν Ἀρεγέτου P. υἱὸν Ῥειγώλου T. 21 τοῦ βασιλικοῦ δ' ἦν καὶ P. τὴν καθ' ἑαυτὸν M. σωτηρίαν ἐσκόπει. M.

22 5. Τοῖς δὲ οὐκ ἀπέχρη τὰ δεσμὰ τῶν συνειλημμένων, ‘οὐδὲ ἀσφαλὲς ἦν τὸ μέχρι πολλοῦ δυνατοὺς ἄνδρας οὕτω φυλάσσειν· ἱκανοὺς μὲν γὰρ εἶναι καὶ τοὺς οἴκους αὐτῶν πρὸς
23 ἄμυναν οὐκ ὀλιγάνδρους ὄντας· οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον ἐπαναστήσεσθαι τάχα κινηθέντα πρὸς τὴν παρανομίαν.’ Δόξαν οὖν ἀναιρεῖν αὐτούς, Ἰωάννην τινὰ πέμπουσι τὸν ἐξ
24 αὐτῶν εἰς φόνους προχειρότατον, — Δορκάδος οὗτος ἐκαλεῖτο παῖς κατὰ τὴν ἐπιχώριον γλῶσσαν, — ᾧ δέκα συνελθόντες εἰς τὴν εἱρκτὴν ξιφήρεις ἀποσφάττουσι τοὺς συνειλημμένους. Παρανομήσαντι δ’ ἐπὶ τηλικούτῳ μεγάλην ἀπεψεύδοντο πρό-
25 φασιν, ‘διαλεχθῆναι γὰρ αὐτοὺς Ῥωμαίοις περὶ παραδόσεως τῶν Ἱεροσολύμων, καὶ προδόται ἀνηρῆκέναι τῆς κοινῆς ἐλευθερίας ἔφασκον,’ κατ’ ὀλίγον δ’ ἐπηλάζονεύοντο τοῖς τολμήμασιν, ὡς εὐεργέται καὶ σωτῆρες τῆς πόλεως γεγενημένοι.

26 6. Συνέβη δὲ εἰς τοσοῦτον μὲν τὸν δῆμον ταπεινότητος καὶ δέους, ἐκείνους δὲ ἀπονοίας προελθεῖν, ὡς ἐπ’ αὐτοῖς εἶναι
27 καὶ τὰς χειροτονίας τῶν ἀρχιερέων. Ἄκυρα γοῦν τὰ γένη ποιήσαντες, ἐξ ὧν κατὰ διαδοχὰς οἱ ἀρχιερεῖς ἀπεδείκνυντο, καθίστασαν ἀσήμους καὶ ἀγεννεῖς, ἵν’ ἔχοιεν συνεργοὺς τῶν ἀσεβημάτων· τοῖς γὰρ παρ’ ἀξίαν ἐπιτυχοῦσι τῆς ἀνωτάτω
28 τιμῆς ὑπακούειν ἦν ἀνάγκη τοῖς παρασχοῦσι. Συνέκρουον δὲ καὶ τοὺς ἐν τέλει ποικίλαις ἐπινοίαις καὶ λογοποιίαις, καιρὸν ἑαυτοῖς ἐν ταῖς πρὸς ἀλλήλους τῶν κωλυόντων φιλονεικίαις ποιούμενοι, μέχρι τῶν εἰς ἀνθρώπους ὑπερεπλησθέντες ἀδικημάτων ἐπὶ τὸ θεῖον μετήνεγκαν τὴν ὕβριν, καὶ μεμιασμένοις τοῖς τοσὶ παρῆσαν εἰς τὸ ἅγιον.

29 7. Ἐπανισταμένου τε αὐτοῖς ἤδη τοῦ πλήθους, — ἐνῆγε

22 ἀπέχρησεν τὰ L. ᾧοντο τὸ μέχρι P. 24 οἱ δὲ καὶ συνελθόντες N. τοὺς συνειργμένους E. τοὺς εἰργμένους L. et in marg. P. δ’ ἐν τηλικούτῳ L.M.N.P.T. μεγάλως ἀπεψ. L.N. et P. sed in huj. marg. μεγάλην. καὶ πρόφασιν N. καὶ προφάσεις L. et in huj. marg. ἀνεπλάττοντο. 25 ἔφασκον καθόλου τ’ ἐπηλ. L.E. 26 τὸν μὲν δῆμον L. 27 ἀγενεῖς M.N.P.T. et ex ras. L. 28 καὶ τοῖς ἐν τέλει M. ἑαυτοὺς ἐν ταῖς M. τῶν ὑπὲρ εἰς ἀνθρώπους ἐμπλησ. μεμαμμένοις T. εἰς τὰ ἅγια M. 29 Ἐπανισταμένου δὲ E.

γὰρ ὁ γεραίτατος τῶν ἀρχιερέων Ἄνανος, ἀνὴρ σωφρονέστατος, καὶ τάχα ἂν διασώσας τὴν πόλιν, εἰ τὰς τῶν ἐπιβούλων χεῖρας ἐξέφυγεν, — οἵδε τὸν νεὼν τοῦ θεοῦ φρούριον αὐ- 30
τοῖς καὶ τῶν ἀπὸ τοῦ δήμου ταραχῶν ποιοῦνται, καὶ καταφυγὴ καὶ τυραννεῖον ἦν αὐτοῖς τὸ ἅγιον. Παρεκίρνατο δὲ τοῖς δεινοῖς εἰρωνεία, τὸ τῶν ἐνεργουμένων ἀλγεινότερον· ἀποπειρώμενοι γὰρ τῆς τοῦ δήμου καταπλήξεως, καὶ τὴν αὐ- 31
τῶν δοκιμάζοντες ἰσχὺν, κληρωτοὺς ἐπεχείρησαν ποιεῖν τοὺς ἀρχιερεῖς, οὔσης, ὡς ἔφαμεν, κατὰ γένος αὐτῶν τῆς διαδοχῆς. Ἦν δὲ πρόσχημα μὲν τῆς ἐπιβουλῆς ἔθος ἀρχαῖον, ἐπειδὴ 32
καὶ πάλαι κληρωτὴν ἔφασαν εἶναι τὴν ἀρχιερωσύνην· τὸ δὲ ἀληθὲς τοῦ βεβαιοτέρου νόμου κατάλυσις, καὶ τέχνη πρὸς δυναστείαν, τὰς ἀρχὰς δι' αὐτῶν καθισταμένοις.

8. Καὶ δὴ μεταπεμψάμενοι μίαν τῶν ἀρχιερατικῶν φυ- 33
λὴν, Ἐνιαχεὶμ καλεῖται, διεκλήρουν ἀρχιερέα· λαγχάνει δ' ἀπὸ τύχης, ὁ μάλιστα διαδείξας αὐτῶν τὴν παρανομίαν, Φαννίας τις ὄνομα, υἱὸς Σαμουήλου κώμης Ἄφθας, ἀνὴρ οὐ μόνον οὐκ ἐξ ἀρχιερέων, ἀλλ' οὐδ' ἐπιστάμενος σαφῶς, τί ποτε ἦν ἀρχιερωσύνη, δι' ἀγροικίαν. Ἀπὸ γοῦν τῆς χώρας αὐτὸν 34
ἄκοντα σύραντες, ὥσπερ ἐπὶ σκηνῆς, ἀλλοτρίῳ κατεκόσμουν προσωπείῳ, τήν τε ἐσθῆτα περιτιθέντες ἱερὰν, καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ διδάσκοντες· χλεύη δ' ἦν ἐκείνοις καὶ παιδιὰ 35
τὸ τηλικοῦτον ἀσέβημα, τοῖς δὲ ἄλλοις ἱερεῦσιν, ἐπιθεωμένοις πόρρωθεν παιζόμενον τὸν νόμον, δακρύειν ἐπῆει, καὶ κατέστενον τὴν τῶν ἱερῶν τιμῶν κατάλυσιν.

9. Ταύτην τὴν τόλμαν αὐτῶν οὐκ ἤνεγκεν ὁ δῆμος, ἀλλ' 36

γεραίτερος M.P. σωφρονέστατος ἀνὴρ tr. L. ἐξέφυγε χεῖρας tr. L. 30 ποιοῦνται καταφυγὴν καὶ P. εἰρωνία P. 31 τὴν ἑαυτῶν L. 32 ἔφασαν τὴν L. δι' αὐτῶν τὰς ἀρχὰς tr. L. 33 τῶν ἱερατικῶν M.N. φυλῶν L. Ἐνιαχεῖν L.N. Ἐναχεὶν M. Ἐνιάχιν P. μάλιστα διαδεξόμενος αὐτῶν M.T. Φάνι τις L. Φάννι τις M.N. Φαννίτης P. Φθάς L. Ἀφθίας P. Ἔφθασας M. μόνον ἀνάξιος ἀρχιερεὺς, ἀλλ' E. τί ποτέ ἐστιν ἀρ. M. 34 αὐτὸν σύραντες M. προσωπίῳ M. τὴν ἱερὰν M.N.T. καὶ ὃ δεῖ ποιεῖν L. 35 τὴν τῶν ἱερῶν νόμων κατάλυσιν ὥρμηντο desunt quæ intersunt omnia M. 36 τόλμην N.

ὡς ἐπὶ τυραννίδος κατάλυσιν ὥρμηντο πάντες· καὶ γὰρ οἱ προέχειν δοκοῦντες αὐτῶν, Γωρίων τε υἱὸς Ἰωσήπου, καὶ ὁ Γαμαλιήλου Συμεών, παρεκρότουν ἐν ταῖς ἐκκλησίαις ἀθρό-
37 ους, καὶ κατ' ἰδίαν περιϊόντες ἕκαστον, ἤδη ποτὲ τίσασθαι τοὺς λυμεῶνας τῆς ἐλευθερίας, καὶ καθῆραι τῶν μιαιφόνων τὸ
38 ἅγιον. Οἵ τε δοκιμώτατοι τῶν ἀρχιερέων, Γαμαλᾶ μὲν υἱὸς Ἰησοῦς, Ἀνάνου δὲ Ἄνανος, πολλὰ τὸν δῆμον εἰς νωθείαν κατονειδίζοντες ἐν ταῖς συνόδοις, ἐπήγειρον τοῖς ζηλωταῖς· τοῦτο γὰρ αὐτοὺς ἐκάλεσαν, ὡς ἐπ' ἀγαθοῖς ἐπιτηδεύμασιν, ἀλλ' οὐχὶ ζηλώσαντες τὰ κάκιστα τῶν ἔργων καὶ ὑπερβαλό-
μενοι.

39 10. Καὶ δὴ συνελθόντος τοῦ πλήθους εἰς ἐκκλησίαν, καὶ πάντων ἀγανακτούντων μὲν ἐπὶ τῇ καταλήψει τῶν ἁγίων, ταῖς τε ἁρπαγαῖς, καὶ τοῖς πεφονευμένοις, οὔπω δὲ πρὸς τὴν
40 ἄμυναν ὡρμημένων, τῷ δυσεπιχειρήτους, ὅπερ ἦν, τοὺς ζηλω-τὰς ὑπολαμβάνειν, καταστὰς ἐν μέσοις ὁ Ἄνανος, καὶ πολ-λάκις εἰς τὸν ναὸν ἀπιδών, ἐμπλήσας τε τοὺς ὀφθαλμοὺς
41 δακρύων, "Ἦ καλόν γε," εἶπεν, "ἦν ἐμοὶ τεθνᾶναι, πρὶν ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι καταγέμοντα, καὶ τὰς ἀβάτους καὶ ἁγίας χώρας ποσὶ μιαιφόνων στενοχω-
42 ρουμένας. Ἀλλὰ περικείμενος τὴν ἀρχιερατικὴν ἐσθῆτα, καὶ τὸ τιμιώτατον καλούμενος τῶν σεβασμίων ὀνομάτων, ζῶ καὶ φιλοψυχῶ, μηκέτι ὑπὲρ τοῦ ἐμοῦ γήρως ὑπομένων εὐκλεῆ
43 θάνατον. Εἰ δὲ δὴ μόνος εἰμὶ, καὶ καθάπερ ἐν ἐρημίᾳ, τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω μόνην ὑπὲρ τοῦ θεοῦ· τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναισθητοῦντι, καὶ παρ' οἷς ἀπό-

ὥσπερ ἐπὶ P. αὐτῶν δοκοῦντες tr. P. Γορρίων L. Γαυρίων M. Γαμαήλου L.P. Συμεὼν ὁ Γαμ. tr. L. 37 παρεκροτοῦντο ἔν τε ταῖς L. ἰδίαν παριόντες P. καὶ καθᾶραι L.P. 38 υἱὸς Ἰησοῦ M.N.T. ἐπήγειραν N.T. γὰρ ἑαυτοὺς L. ἐπιτηδ. ἄλλους ζηλ. M.N.P.T. ἔργων ὑπερβ. omisso καὶ P. et ex ras. T. ὑπερβαλλόμενοι M.P.T. 39 τῇ καταλείψει L. τοῖς φονευομένοις οὐδέπω δὲ L. ὁρμωμένων M. 40 τῷ δυσεπιχωρήτους L. τὸ δυσεπιχειρήτους P. μέσοις Ἄνανος M.N.T. 41 εἶπεν ἐμοὶ L. εἶπεν νῦν ἐμοὶ M. τοιούτοις sed in marg. τοσούτοις T. 42 ἱερὰν sed in marg. ἀρχιερατικὴν T. μήθ' ὑπὲρ τοῦ L.P. 43 εἰ δὴ μόνος L. εἰ δεῖ μὴ μόνος P. ἐπιδώσω ψυχὴν tr. M. ὑπὲρ θεοῦ M.

λωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντίληψις; Ἁρπαζόμενοι γοῦν 44
ἀνέχεσθε, καὶ τυπτόμενοι σιωπᾶτε, καὶ τοῖς φονευομένοις
οὐδὲ ἐπιστένει τις ἀναφανδόν. Ὦ τῆς πικρᾶς τυραννίδος.
Τί δὲ μέμφομαι τοὺς τυράννους; Μὴ γὰρ οὐκ ἐτράφησαν 45
ὑφ' ὑμῶν, καὶ τῆς ὑμετέρας ἀνεξικακίας; Μὴ γὰρ οὐχ ὑμεῖς
περιϊδόντες τοὺς πρώτους συνισταμένους, ἔτι δὲ ὄντας ὀλίγους,
πλείους ἐποιήσατε τῇ σιωπῇ, καὶ καθοπλιζομένων ἠρεμοῦντες
καθ' ἑαυτῶν ἐπεστρέψατε τὰ ὅπλα, δέον τὰς πρώτας αὐτῶν
ἐπικόπτειν ὁρμάς, ὅτε λοιδορίαις καθήπτοντο τῶν συγγενῶν;
Ὑμεῖς δὲ ἀμελήσαντες ἐφ' ἁρπαγὰς παρωξύνατε τοὺς ἀλιτη- 46
ρίους· καὶ πορθουμένων οἴκων λόγος ἦν οὐδείς. Τοιγαροῦν
αὐτοὺς ἥρπαζον τοὺς δεσπότας, καὶ συρομένοις διὰ μέσης τῆς
πόλεως οὐδεὶς ἐστέναξεν. Οἱ δὲ καὶ δεσμοῖς ἡκίσαντο τοὺς 47
ὑφ' ὑμῶν προδοθέντας, ἐᾷ λέγειν πόσους καὶ ποδαπούς, ἀλλὰ
ἀκαταιτιάτους, ἀκρίτους· οὐδεὶς ἐβοήθησε τοῖς δεδεμένοις·
ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς αὐτοὺς φονευομένους. Ἐπείδομεν 48
καὶ τοῦτο, καθάπερ ἐξ ἀγέλης ζώων ἀλόγων ἑλκομένου τοῦ
κρατίστου ὄντος ἀεὶ θύματος, οὐδὲ φωνήν τις ἀφῆκεν, οὐχ
ὅπως εἰπεῖν τὴν δεξιάν. Φέρετε δὴ τοίνυν, φέρετε πατού- 49
μενα βλέποντες τὰ ἅγια; Καὶ πάντας ὑποθέντες αὐτοῖς
τοῖς ἀνοσίοις τοὺς τῶν τολμημάτων βαθμούς, μὴ βαρύνεσθε
τὴν ὑπεροχήν; Καὶ γὰρ νῦν πάντως ἂν ἐπὶ μεῖζον προέκο- 50
ψαν, εἴ τι τῶν ἁγίων καταλῦσαι μεῖζον εἶχον· κεκράτηται
μὲν οὖν τὸ ὀχυρώτατον τῆς πόλεως, λεγέσθω γὰρ νῦν τὸ
ἱερὸν ὡς ἄκρα τις ἢ φρούριον. Ἔχοντες δ' ἐπιτετειχισμένην 51
τυραννίδα τοσαύτην, καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέ-

44 Ἁρπαζόμενοι οὖν P. οὐδ' ἐπισταίνει L. Τί μέμφομαι P.E. ἐτράφησαν παρ' ἡμῶν M. τῆς ἡμετέρας M. 45 αὐτῶν ἀνακόπτειν M. ἐπικόπτειν πείρας ὅτε L. 46 ἐφ' ἁρπαγαῖς L.M.N. αὐτοὺς ἀνήρπαζον T. συρ. βίᾳ τῆς πόλεως μέσης M. συρ. δι' ὅλης τῆς πολ. sed in marg. ead. ma. διὰ μέσης T. 47 ἀλλὰ καὶ ἀκαταιτιάτους M. ἀλλὰ ἀκαταιτιάτους sed οι ex cor. T. ἀκρίτως L.M. ἀκρίτους ex cor. T. 48 Ἐπίδομεν P. κρατίστου ἀεὶ L.M. κρατιστεύοντος ἀεὶ P. 49 βλέποντες ἅγια M. καὶ πάντες ὑποθ. M.N. ὑποθ. αὐτοὺς τοῖς M.N. et pri. ma. L. 50 μεῖζον καταλῦσαι tr. T. λεγέσθω δὲ νῦν τὸ L. λεγέσθω γὰρ τὸ P. 51 Ἑλόντες δ' ἐπιτετ. P. κορυφῆς M.

ποντες, τί βουλεύεσθε, καὶ τίσι τὰς γνώμας προσθάλπετε; Ῥωμαίους ἄρα περιμένετε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; 52 Ἔχει μὲν οὕτω τὰ πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμφορῶν, ἵνα ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι; Οὐκ ἐξαναστήσεσθε, ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες, ὃ καὶ ἐπὶ τῶν θηρίων ἐστὶν ἰδεῖν, τοὺς τύπτον- 53 τας ἀμυνεῖσθε; Οὐκ ἀναμνησθήσεσθε τῶν ἰδίων ἕκαστος συμφορῶν, οὐδὲ, ἃ πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι, τὰς ψυ- 54 χὰς ἐπ' αὐτῶν θήξετε πρὸς τὴν ἄμυναν; Ἀπόλωλεν ἄρα παρ' ὑμῖν τὸ τιμιώτατον τῶν παθῶν, καὶ φυσικώτατον, ἐλευθερίας ἐπιθυμία. Φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν, ὥσπερ ἐκ προγόνων τὸ ὑποτάσσεσθαι παραλα- 55 βόντες. Ἀλλ' ἐκεῖνοί γε πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους διήνεγκαν, καὶ οὔτε τῆς Αἰγυπτίων, οὔτε τῆς Μήδων δυναστείας ἠττήθησαν, ὑπὲρ τοῦ μὴ ποιεῖν 56 τὸ κελευόμενον. Καὶ τί δεῖ τὰ τῶν προγόνων λέγειν; Ἀλλ' ὁ νῦν πρὸς Ῥωμαίους πόλεμος—ἐῶ διελέγχειν, πότερον λυσιτελὴς ὢν καὶ σύμφορος ἢ τὸ ἐναντίον,—τίνα δ' οὖν ἔχει 57 πρόφασιν; Οὐ τὴν ἐλευθερίαν; Εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες, τῶν ὁμοφύλων τυράννων ἀνεξόμεθα; Καίτοι τὸ μὲν τοῖς ἔξωθεν ὑπακούειν, ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἠττήσασαν τύχην· τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς, 58 ἀγεννῶν ἐστι καὶ προαιρουμένων. Ἐπειδὴ δὲ ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς εἰπεῖν, ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν ἐπέστρεψε τὴν διάνοιαν, ὅτι, καὶ ἐὰν ἁλῶμεν ὑπ' ἐκείνοις,—ἀπείη δὲ ἡ πεῖρα τοῦ λόγου—χαλεπώτερον 59 οὐδὲν παθεῖν ἔχομεν, ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. Πῶς δ' οὐ δαιμόνιον ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέ-

τί βούλεσθε L.M. περιμενεῖτε L.M.P. 52 μὲν οὖν οὕτω M. φ̣ κἀπὶ τῶν P. 53 ἀναμνησθήσεσθε L.P. ἀναμνησθήσεσθαι M. ψυχὰς ἐπ' αὐτοὺς θήξετε L.P.E. 54 προγόνων ὑποπίπτεσθαι L. 56 ἐῶ λέγειν πότερον ex cor. T. πότερον ἐῶ διελέγχειν tr. P. λυσιτελὴς καὶ L. 57 μὲν τῆς ἔξωθεν ex cor. M. ἐνέγκαι τις ἂν εἰς L.M.E. ἂν ἐνέγκαι τις εἰς P. ἅπαξ ἠττηθεῖσαν L.M.T.E. τὸ δὲ οἰκείοις M. τὸ δὲ τοῖς ἰδίοις L. 58 ἀπεῖ δὲ M. ἀπῄει δὲ N. ἀπῇ δὲ E. παθεῖν οὐδὲν tr. T.

πειν, τῶν δὲ ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνελόντων τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας, ὧν ἀπέσχοντο ἂν καὶ ἐκεῖνοι κρατήσαντες; Καὶ Ῥωμαίους 60
μὲν μηδέποτε ὑπερβῆναι τὸν ὅρον τῶν βεβήλων, μηδὲ παραβῆναί τε τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν ὁρῶντας τοὺς τῶν ἁγίων περιβόλους, γεννηθέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ, καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι, καὶ Ἰουδαίους 61
καλουμένους, ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις, θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων; Εἶτα τίς δέδοικε τὸν ἔξωθεν πόλεμον, καὶ τοὺς ἐν συγκρίσει πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους; Καὶ γὰρ ἂν, εἰ ἑτοίμους δεῖ τοῖς πράγ- 62
μασι τὰς κλήσεις ἐφαρμόζειν, τάχα ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν βεβαιωτὰς τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. Ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι τῆς ἐλευθερίας, καὶ πρὸς 63
ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοήσειε δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπεισμένους οἴκοθεν, καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις ἐπ' αὐτούς, ἃ πεπόνθατε. Καταπλήσσονται δὲ ἴσως οἱ πολλοὶ τό τε πλῆθος αὐτῶν καὶ 64
τὴν τόλμαν, ἔτι δὲ καὶ τὴν ἐκ τοῦ τόπου πλεονεξίαν. Ταῦτα δὲ ὥσπερ συνέστη διὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ νῦν αὐξηθήσεται πλέον ὑπερθεμένων· καὶ γὰρ τὸ πλῆθος αὐτοῖς ἐπιτρέ- 65
φεται καθ' ἡμέραν, παντὸς πονηροῦ πρὸς τοὺς ὁμοίους αὐτομολοῦντος, καὶ τὴν τόλμαν ἐξάπτει μέχρι νῦν μηδὲν ἐμπόδιον· τῷ τε τόπῳ καθύπερθεν ὄντες χρήσαιντο καὶ μετὰ παρασκευῆς, ἂν ἡμεῖς χρόνον δῶμεν. Πιστεύσατε δὲ, ὡς, ἐὰν 66
προβαίνωμεν ἐπ' αὐτοῖς, ἔσονται τῇ συνειδήσει ταπεινότεροι, καὶ τὸ πλεονέκτημα τοῦ ὕψους ὁ λογισμὸς ἀπολεῖ. Τάχα τὸ θεῖον ὑβρισμένον ἀναστρέψει κατ' αὐτῶν τὰ βαλλόμενα,

59 ἀνελόντων deest L. ἀπέσχοντο κἀκεῖνοι L. 60 πόρρωθεν ἐφορῶντας L. τραφέντας τοῖς M. 61 ἔχοντες M. ἡμῖν βελτιωτέρους; Καὶ M. 62 γὰρ ἑτοίμους L. γὰρ ἂν εἰ ἑτύμους sed υ ex cor. T. 63 ὅτι μὲν οὖν ἐξώλεις P. πάντας εἶκειν πεπ. L.M.N. πρὸ τῶν λόγων N.T. παρωξυνθῆναι L. παροξύνεσθε M. 64 τὴν ἡμετέραν T. 65 ἐξάπτειν P. 66 προσβαίνωμεν M.P.E. et pri. ma. T. ἐπ' αὐτοὺς M.P. πρὸς αὐτοὺς L.

καὶ τοῖς σφετέροις διαφθαρήσονται βέλεσιν οἱ δυσσεβεῖς.
67 Μόνον ὀφθῶμεν αὐτοῖς, καὶ καταλέλυνται. Καλὸν δὲ, καὶ
ἂν προσῇ τις κίνδυνος, ἀποθνήσκειν πρὸς τοῖς ἱεροῖς πυλῶσι,
καὶ τὴν ψυχὴν, εἰ καὶ μὴ πρὸ παίδων ἢ γυναικῶν, ἀλλ' ὑπὲρ
68 τοῦ θεοῦ καὶ τῶν ἁγίων προέσθαι. Προστήσομαι δ' ἐγὼ
γνώμῃ τε καὶ χειρὶ, καὶ οὔτε ἐπίνοιά τις ὑμῖν λείψει πρὸς
ἀσφάλειαν ἐξ ἡμῶν, οὔτε τοῦ σώματος ὄψεσθε φειδόμε-
νον."

69 11. Τούτοις ὁ Ἄνανος παρεκρότει τὸ πλῆθος ἐπὶ τοὺς
ζηλωτὰς, οὐκ ἀγνοῶν μὲν, ὡς εἶεν ἤδη δυσκατάλυτοι πλήθει
τε καὶ νεότητι καὶ παραστήματι ψυχῆς, τὸ πλέον δὲ συνει-
70 δήσει τῶν εἰργασμένων, οὐ γὰρ ἐνδώσειν αὐτοὺς εἰς ἔσχατον
συγγνώμην ἐφ' οἷς ἔδρασαν ἐλπίσαντας· ὅμως δὲ πᾶν ὅ τι
οὖν παθεῖν προηρεῖτο μᾶλλον, ἢ περιϊδεῖν ἐν τοιαύτῃ τὰ
πράγματα συγχύσει. Τὸ δὲ πλῆθος ἄγειν αὐτοὺς ἐβόα,
καθ' ὧν παρεκάλει· καὶ προκινδυνεύειν ἕκαστος ἦν ἑτοιμό-
τατος.

71 12. Ἐν ὅσῳ δὲ ὁ Ἄνανος κατέλεγέ τε καὶ συνέτασσε
τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ζηλωταὶ πυθόμενοι τὴν ἐπι-
χείρησιν — παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ
72 παρὰ τοῦ δήμου — παροξύνονται, καὶ ἐκ τοῦ ἱεροῦ προπη-
δῶντες ἀθρόοι τε καὶ κατὰ λόχους, οὐδενὸς ἐφείδοντο τῶν
προστυγχανόντων. Ἀθροίζεται δὲ ὑπ' Ἀνάνου ταχέως τὸ
δημοτικὸν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκε-
73 κροτῆσθαι λειπόμενον τῶν ζηλωτῶν. Τὸ πρόθυμον δὲ παρ'
ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως
ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δὲ ἀπὸ τοῦ
74 ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν· καὶ οἱ μὲν ἀοί-

67 παίδων καὶ γυναικῶν L.M. 68 ὑμῖν λήψεται πρὸς M. 69 παρακροτεῖ M.N.P.T. ἐπὶ τοῖς ζηλωταῖς M. δυσκατάληπτοι πλήθει T. 70 εἰς ἰσχάτην L.M.N.P.T. ἐλπίσαντες L.M.P. προήρητο L.N.T.E. ἐν τοσαύτῃ I. ἑτοιμότατος ἦν. tr. L. 71 κατελέγετέ τε P. πυνθανόμενοι τὴν N. παροξύνοντες M. 72 τῷ μὴ συγκεκροτεῖσθαι M. τὸ μὴ συγκεκροτεῖσθαι P. 73 καθ' ἑκατέροις L. τὰ λίποντα M. τῶν μὲν οὖν ἀπὸ P.

κητον ὑπολαμβάνοντες ἑαυτοῖς τὴν πόλιν, εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς, οἱ ζηλωταὶ δὲ, εἰ μὴ κρατοῖεν, οὐκ ἔστιν ἥστινος ὑστερήσειν τιμωρίας. Συνερρήγνυντο δὲ στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους, καὶ πόρρωθεν διακοντιζόμενοι. Κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι· καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τε ἐγένοντο συχνοί. Καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν ἀνῄει, καθαιμάσσων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἄν τις εἴποι τὸ ἐκείνων αἷμα μιᾶναι τὰ ἅγια. Κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέχοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί· τεθυμωμένοι δὲ οἱ δημοτικοὶ, καὶ πλείους ἀεὶ γινόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας, καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀναχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουσι τὸ σφέτερον εἰς τοὺς ἐναντίους· καὶ ἐκείνων μηκέτι ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δὲ ἀναχωρούντων εἰς τὸ ἱερὸν, συνεισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. Τοῖς δὲ κατάπληξις ἐμπίπτει στερουμένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες εἰς τὸ ἐνδότερον ταχέως ἀποκλείουσι τὰς πύλας. Τῷ δὲ Ἀνάνῳ προσβάλλειν μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν, ἄλλως τε καὶ ἐκείνων βαλλόντων ἄνωθεν· ἀθέμιτον δ' ἡγεῖτο, καὶ ἐὰν κρατήσῃ, μὴ προηγνευκὼς εἰσάγειν τὸ πλῆθος. Διακληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους ὁπλίτας, καθίστησιν ἐπὶ ταῖς στοαῖς φρουρούς· διεδέχοντο δ' ἄλλοι τούτοις, καὶ παντὶ μὲν ἦν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν ἐκ περιόδου· πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἀφεθέντες ὑπὸ τῶν ἄρχειν δοκούντων,

74 ὑπολαμβάνοντες αὐτοῖς N.T. ἐκκόψειαν αὐτοῖς M. 75 πρῶτον κατὰ τοῦ ἱεροῦ M. ἀλλήλοις M. τραυματίαι δὲ L.E. ἐγίνοντο L.M. N.T. 77 τεθυμωμένοι δὲ οἱ δημοτικοὶ desunt omnia P. τοὺς ὑπεναντίους P. 78 μηκέτι ἀνεχόντων M. τὸ ἐνδοτέρω P. 79 Ἀνάνῳ προσβαλεῖν L. ἄνω προσβαίνειν M. προηγνευκὸς T. προηγνευκότα P. εἰσαγάγειν P. 81 διεδέχοντο δὲ τούτους· καὶ παρῆσαν πρὸς τὴν φυλακὴν L. ἄλλοι μὲν ἡ ἀνάγκη παρεῖναι N. μὲν ἀνάγκη παρῆν P. περιόδου· πολλοὶ sic L. ἐφεθέντες P.

μισθούμενοι πενιχροτέρους ἀνθ' ἑαυτῶν ἐπὶ τὴν φρουρὰν ἔπεμπον.

82 13. Γίνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος Ἰωάννης, ὃν ἔφαμεν ἀπὸ Γισχάλων διαδράναι, δολιώτατος ἀνὴρ, καὶ δεινὸν ἔρωτα τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς πόρρωθεν
83 ἐπεβούλευε τοῖς πράγμασι. Καὶ δὴ τότε τὰ τοῦ δήμου φρονεῖν ὑποκρινόμενος, συμπεριήει μὲν τῷ Ἀνάνῳ, βουλευομένῳ σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν, καὶ νύκτωρ ἐπιόντι τὰς
84 φυλακάς· διήγγελλε δὲ τὰ ἀπόρρητα τοῖς ζηλωταῖς, καὶ πᾶν σκέμμα τοῦ δήμου, πρὶν καλῶς βουλευθῆναι, παρὰ τοῖς ἐχθροῖς ἐγινώσκετο δι' αὐτοῦ. Μηχανώμενος δὲ τὸ μὴ δι' ὑποψίας ἐλθεῖν, ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις εἴς τε τὸν
85 Ἄνανον, καὶ τοὺς τοῦ δήμου προεστῶτας. Ἐχώρει δ' εἰς τὸ ἐναντίον αὐτῷ τὸ φιλότιμον· διὰ γὰρ τὰς ἀλόγους κολακείας μᾶλλον ὑπωπτεύετο, καὶ τὸ πανταχοῦ παρεῖναι μὴ καλού-
86 μενον ἔμφασιν προδοσίας τῶν ἀπορρήτων παρεῖχε. Συνεώρων μὲν γὰρ αἰσθανομένους ἅπαντα τοὺς ἐχθροὺς τῶν παρ' αὐτοῖς βουλευμάτων, πιθανώτερος δ' οὐδεὶς ἦν Ἰωάννου πρὸς
87 ὑποψίας τοῦ διαγγέλλειν. Ἀποσκευάσασθαι μὲν οὖν αὐτὸν οὐκ ἦν ῥᾴδιον, ὄντα τε δυνατὸν ἐκ πονηρίας, καὶ ἄλλως οὐ τῶν ἀσήμων, ὑπεζωσμένον τε πολλοὺς τῶν συνεδρευόντων
88 τοῖς ὅλοις. Ἐδόκει δὲ αὐτὸν ὅρκοις πιστώσασθαι πρὸς εὔνοιαν· ὤμνυε δὲ ὁ Ἰωάννης ἑτοίμως, εὐνοήσειν τε τῷ δήμῳ, καὶ μήτε βουλήν τινα μήτε πρᾶξιν προδώσειν τοῖς ἐχθροῖς,
89 συγκαταλύσειν δὲ τοὺς ἐπιθεμένους καὶ χειρὶ καὶ γνώμῃ. Οἱ δὲ περὶ τὸν Ἄνανον πιστεύσαντες τοῖς ὅρκοις, ἤδη χωρὶς ὑπονοίας εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον· καὶ δὴ καὶ

ἀνθ' αὑτῶν N.T. 82 Γίνεται δὲ desunt M. πᾶσιν τούτοις tr. P. ὁ Ἰωάννης L. ἀποδράναι M. δολιότατος P. 83 Καὶ δήποτε τὰ M. N.T. συμπερήει L. βουλευομένῳ μὲν N.T.E. καθ' ἡμέραν P.T.E. μεθ' ἡμ. σὺν τοῖς δυνατοῖς tr. L. νύκτωρ περιόντι L. 84 εἰς τόν τε Ἀν. L.P. 86 ἅπαντας τοὺς N.T. πιθανότερος P. ὑποψίαν L. 87 ὄντα δυνατὸν L.P.T.E. οὔτε δυνατὸν N. ὑπεζωσμένῳ N. ὑπεζωσμένων sed ω ex cor. L. τοῖς ὅπλοις sed ex cor. L. 88 συγκαταλύειν M. 89 αὐτὸν περιελάμβανον L.

πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς περὶ διαλύσεων· ἦν γὰρ αὐτοῖς σπουδὴ τὸ παρ' αὐτοῖς μὴ μιᾶναι τὸ ἱερὸν, μηδέ τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν.

14. Ὁ δὲ ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὁμόσας, καὶ 90
οὐ κατ' αὐτῶν, παρελθὼν εἴσω, καὶ καταστὰς εἰς μέσους,
'πολλάκις μὲν, ἔφη, κινδυνεῦσαι δι' αὐτοὺς, ἵνα μηδὲν ἀγνοή-
σωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν Ἄνανον
ἐβουλεύσαντο· νῦν δὲ τὸν μέγιστον ἀναρρίπτειν κίνδυνον σὺν 91
πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια δαιμόνιος. Οὐ
γὰρ ἔτι μέλλειν Ἄνανον, ἀλλὰ πείσαντα μὲν τὸν δῆμον
πεπομφέναι πρέσβεις πρὸς Οὐεσπασιανὸν, ἵνα ἐλθὼν κατὰ
τάχος παραλάβῃ τὴν πόλιν. Ἀγνείαν δὲ παρηγγελκέναι 92
κατ' αὐτῶν εἰς τὴν ἑξῆς ἡμέραν, ἵνα ἢ κατὰ θρησκείαν εἰσελ-
θόντες, ἢ καὶ βιασάμενοι, συμμίξωσιν αὐτοῖς. Οὐχ ὁρᾶν δὲ,
μέχρι τίνος ἢ τὴν φρουρὰν οἴσουσιν, ἢ παρατάξονται πρὸς
τοσούτους. Προσετίθει δὲ, ὡς αὐτὸς εἰσπεμφθείη, κατὰ 93
θεοῦ πρόνοιαν, ὡς πρεσβευτὴς ὑπὲρ διαλύσεων· τὸν γὰρ Ἄνα-
νον ταύτας αὐτοῖς προτείνειν, ὅπως ἀνόπλοις ἐπέλθῃ. Δεῖν 94
οὖν ἢ τῷ λόγῳ τοῦ ζῆν τοὺς φρουροῦντας ἱκετεύειν, ἢ πορί-
ζεσθαί τινα παρὰ τῶν ἔξωθεν ἐπικουρίαν· τοὺς δὲ θαλπομέ-
νους ἐλπίδι συγγνώμης, εἰ κρατηθεῖεν, ἐπιλελῆσθαι τῶν ἰδίων
τολμημάτων, ἢ νομίζειν ἅμα τῷ μετανοεῖν τοὺς δεδρακότας 95
εὐθέως ὀφείλειν διηλλάχθαι καὶ τοὺς παθόντας· ἀλλὰ τῶν
μὲν ἀδικησάντων διὰ μίσους πολλάκις γίνεσθαι καὶ τὴν μετα-
μέλειαν· τοῖς ἀδικηθεῖσι δὲ τὰς ὀργὰς ἐπ' ἐξουσίας χαλεπω-
τέρας. Ἐφεδρεύειν δὲ ἀεὶ ἐκείνοις φίλους καὶ συγγενεῖς τῶν 96
ἀπολωλότων, καὶ δῆμον τοσοῦτον ὑπὲρ καταλύσεως νόμων
καὶ δικαστηρίων τεθυμωμένον· ὅπου, καὶ ἐὰν ἢ τι μέρος ἐλε-

μιᾶναι ἱερὸν E. 90 κίνδυνον συμπᾶσιν T. 93 παρατάξωνται P. ὑπὲρ διαλύσεως M.N. περὶ διαλύσεως P. ταύταις αὐτοῖς M. ἀόπλοις T. ἀνοπλοτέροις P. ἀνυποπτοτέροις sed in marg. ma. rec. ἀνοπλοτέροις L. προσέλθῃ L. 94 ἱκετεύειν L. εἰ παρακρατηθεῖεν L. τολμημάτων καὶ νομ. L. 95 πολλάκι N. 96 δὲ ἐκείνοις φίλους L. et ex ras. T. δὲ αἰεὶ ἐκεῖνον καὶ φ. M. δὲ αἰεὶ ἐκείνων φ. N. κἂν εἴτι P. μέρος τὸ ἐλεοῦν L.P. et in marg. T. μέρος ἐλέους M.N. et ex cor. T.

οὖν, ὑπὸ πλείονος ἂν αὐτὸ τοῦ διαγανακτοῦντος ἀφανισθῆναι.'

CAP. IV.

1 1. Τοιαῦτα μὲν ἐποίκιλλεν ἀθρόως δεδισσόμενος· καὶ τὴν ἔξωθεν βοήθειαν ἀναφανδὸν μὲν οὐκ ἐθάρρει λέγειν, ἠνίσσετο δὲ τοὺς Ἰδουμαίους. Ἵνα δὲ καὶ τοὺς ἡγεμόνας τῶν ζηλωτῶν ἰδίᾳ παροξύνῃ, τὸν Ἄνανον εἰς τε ὠμότητα διέβαλλε,
2 καὶ ἀπειλεῖν ἐκείνοις ἐξαιρέτως ἔλεγεν. Ἦσαν δὲ Ἐλεάζαρος, υἱὸς Σίμωνος, ὃς δὴ καὶ πιθανώτατος ἐδόκει τῶν ἐν αὐτοῖς νοῆσαί τε τὰ δέοντα καὶ τὰ νοηθέντα πρᾶξαι, Ζαχαρίας
3 τε, υἱὸς Φαλέκου, γένος ἐκ τῶν ἱερέων ἑκάτεροι. Οὗτοι πρὸς ταῖς κοιναῖς τὰς ἰδίας καθ' αὑτῶν ἀπειλὰς ἀκούσαντες, ἔτι δ' ὡς οἱ περὶ τὸν Ἄνανον δυναστείαν ἑαυτοῖς περιποιούμενοι Ῥωμαίους ἐπικαλοῖντο, καὶ γὰρ τοῦτο Ἰωάννης προσεψεύ-
4 σατο, μέχρι πολλοῦ μὲν ἠπόρουν, τὸ τί χρὴ πράττειν εἰς ὀξὺν οὕτω καιρὸν συνεωσμένους, ' παρεσκευάσθαι μὲν γὰρ τὸν δῆμον ἐπιχειρεῖν αὐτοῖς οὐκ εἰς μακρὰν, αὐτῶν δὲ τὸ σύντονον
5 τῆς ἐπιβουλῆς ὑποτετμῆσθαι τὰς ἔξωθεν ἐπικουρίας· πάντα γὰρ ἂν φθῆναι παθεῖν, πρὶν καὶ πυθέσθαι τινὰ τῶν συμμά-
6 χων.' Ἔδοξε δὲ ὅμως ἐπικαλεῖσθαι τοὺς Ἰδουμαίους. Καὶ γράψαντες ἐπιστολὴν σύντομον, ὡς ' Ἄνανος μὲν προδιδοίη Ῥωμαίοις τὴν μητρόπολιν ἐξαπατήσας τὸν δῆμον, αὐτοὶ δὲ ὑπὲρ τῆς ἐλευθερίας ἀποστάντες ἐν τῷ ἱερῷ φρουροῖντο, ὀλί-
7 γος δ' ἔτι χρόνος αὐτοῖς βραβεύοι τὴν σωτηρίαν· εἰ δὲ μὴ βοηθήσουσιν ἐκεῖνοι κατὰ τάχος, αὐτοὶ μὲν ὑπ' Ἀνάνῳ τε καὶ τοῖς ἐχθροῖς, ἡ πόλις δ' ὑπὸ Ῥωμαίοις φθάσει γενομένη' τὰ δὲ πολλὰ τοῖς ἀγγέλοις ἐνετέλλοντο πρὸς τοὺς ἄρχοντας

1 *ἀθρόως δ' αἰνισσόμενος* P. 2 *Ἐλεάζαρος μὲν* M.N.P.T. *υἱὸς Γίωνος* L.P. *ὃς δεῖ καὶ* ex cor. L. *Ζαχα. δέ τις υἱὸς* L.P. *Φαλαίκου* M. *Ἀφεκκαλεῖ* L. *Ἀμφικάλλει* N. *Ἀμφιβάλλει* P. *ἑκάτερος* L.P. 3 *καθ' ἑαυτῶν* L.P. *ἔτι δ' ὅσοι περὶ* P. *αὐτοῖς περιπ.* L. *ὁ Ἰωάννης* T. 4 *ἠπόρουν τί* T. *ἐπιχειρεῖν αὐτοὺς* L. 5 *γὰρ φθῆναι* M. *τοὺς τῆς Ἰδουμαίας.* M. 6 *Ἄνανος προδιδ.* M.N.T. *προδιδοῖ* P. *ὀλίγος τε ἔτι* L. *ὀλ. δὲ ἐπὶ* N. *βραβεύει* L. 7 *βοηθήσωσιν* N.P. et pri. ma. L. *Ἀνάνῳ καὶ* L.T.

τῶν Ἰδουμαίων διαλέγεσθαι. Προεβλήθησαν δ' ἐπὶ τὴν 8
ἀγγελίαν δύο τῶν δραστηρίων ἀνδρῶν, εἰπεῖν τε ἱκανοὶ καὶ
πεῖσαι περὶ πραγμάτων, τὸ δὲ τούτων χρησιμώτερον, ὠκύ-
τητι ποδῶν διαφέροντες· τοὺς μὲν γὰρ Ἰδουμαίους αὐτόθεν 9
ἤδεισαν πεισθησομένους, ἅτε θορυβῶδες καὶ ἄτακτον ἔθνος,
ἀεί τε μετέωρον πρὸς τὰ κινήματα, καὶ μεταβολαῖς χαῖρον,
πρὸς ὀλίγην δὲ κολακείαν τῶν δεομένων τὰ ὅπλα κινοῦν, καὶ 10
καθάπερ εἰς ἑορτὴν εἰς τὰς παρατάξεις ἐπειγόμενον. Ἔδει
δὲ τάχους εἰς τὴν ἀγγελίαν· εἰς ὃ μηδὲν ἐλλείποντες προθυ-
μίας οἱ πεμφθέντες, ἐκαλεῖτο δ' αὐτῶν Ἀνανίας ἑκάτερος, καὶ
δὴ πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων παρῆσαν.

2. Οἱ δὲ πρὸς τὴν ἐπιστολὴν καὶ τὰ ῥηθέντα παρὰ τῶν 11
ἀφιγμένων ἐκπλαγέντες, ὥσπερ ἐμμανεῖς περιέθεόν τε τὸ
ἔθνος, καὶ διεκήρυσσον τὴν στρατείαν. Ἠθροιστο δὲ ἡ πλη-
θὺς τάχιον τοῦ παραγγέλματος, καὶ πάντες ὡς ἐπ' ἐλευθερίᾳ
τῆς μητροπόλεως ἥρπαζον τὰ ὅπλα. Συνταχθέντες δὲ εἰς 12
δύο μυριάδας, παραγίνονται πρὸς τὰ Ἱεροσόλυμα, χρώμενοι
τέσσαρσιν ἡγεμόσιν, Ἰωάννῃ τε καὶ Ἰακώβῳ παιδὶ Σωσᾶ,
πρὸς δὲ τούτοις ἦν Σίμων υἱὸς Καθλᾶ, καὶ Φινέας Κλου-
σώθ.

3. Τὸν δὲ Ἄνανον ἡ μὲν ἔξοδος τῶν ἀγγέλων, ὥσπερ καὶ 13
τοὺς φύλακας, ἔλαθεν, ἡ δ' ἔφοδος τῶν Ἰδουμαίων οὐκ ἔτι.
Προγνοὺς γὰρ ἀποκλείει τὰς πύλας αὐτοῖς, καὶ διὰ φυλακῆς
εἶχε τὰ τείχη· καθάπαν γε μὴν αὐτοὺς ἐκπολεμεῖν οὐκ ἔδο-
ξεν, ἀλλὰ λόγοις πείθειν πρὸ τῶν ὅπλων. Στὰς οὖν ἐπὶ τὸν 14
ἄντικρυς αὐτῶν πύργον, ὁ μετὰ Ἄνανον γεραίτατος τῶν
ἀρχιερέων Ἰησοῦς, "Πολλῶν," ἔφη, "καὶ ποικίλων τὴν πό-
λιν κατεσχηκότων θορύβων, ἐν οὐδενὶ θαυμάσαι τὴν τύχην

10 ἑορτὴν πρὸς τὰς L.T. ἐλλίποντες P. 11 περιέθεον τὸ M.T. τὴν στρατίαν M.N.P.T. ὅπλα, καὶ συναχθέντες εἰς M. 12 παραγίν. εἰς Ἱεροσόλυμα L. υἱὸς Θακαίου καὶ L. υἱὸς Θεκουῖου καὶ M. υἱ. Θακήου καὶ P. et N. sed in huj. marg. Καθλᾶ. υἱ. Κλαθᾶ καὶ T. Φινεὲς Κλουσώθ L. Φινέας Κλουσώθου E. 13 καὶ τοὺς φρούρους ἔλαθεν L.P. ἔλαθεν ὁ δὲ φόβος τῶν N.T. ἀποκλείει τε τὰς L. ἀποκλείεται τὰς N.T. τὰς θύρας αὐτοῖς M. μὴν αὐτοῖς ἐκπολ. T. 14 μετὰ τὸν Ἄνανον T. ποικίλων τῶν κατεσχηκότων τὴν πόλιν θορ. L.

οὕτως, ὡς τὸ συμπράττειν τοῖς πονηροῖς καὶ τὰ παράδοξα.
15 Παρεῖναι γοῦν ὑμᾶς ἀνθρώποις ἐξωλεστάτοις μετὰ τοσαύτης
προθυμίας ἐπαμυνοῦντας καθ' ἡμῶν, μεθ' ὅσης εἰκὸς ἦν ἐλθεῖν
16 οὐδὲ τῆς μητροπόλεως καλούσης ἐπὶ τοὺς βαρβάρους. Καὶ
εἰ μὲν ἑώρων τὴν σύνταξιν ὑμῶν ἐξ ὁμοίων τοῖς καλέσασιν
ἀνδρῶν, οὐκ ἂν ἄλογον τὴν ὁρμὴν ὑπελάμβανον· οὐδὲν γὰρ
17 οὕτως συνίστησι τὰς εὐνοίας, ὡς τρόπων συγγένεια. Νῦν
δὲ, εἰ μέν τις αὐτοὺς ἐξετάζοι καθ' ἕνα, μυρίων ἕκαστος εὑρε-
θήσεται θανάτων ἄξιος· τὰ γὰρ ἀθύρματα καὶ καθάρματα
18 τῆς χώρας ὅλης, κατασωτευσάμενα τὰς ἰδίας οὐσίας, καὶ προ-
γυμνάσαντα τὴν ἀπόνοιαν ἐν ταῖς πέριξ κώμαις τε καὶ πό-
λεσι, τελευταῖα λεληθότως παρεισέρρευσαν εἰς τὴν ἱερὰν
πόλιν· λῃσταὶ, δι' ὑπερβολὴν ἀσεβημάτων, μιαίνοντες καὶ τὸ
19 ἀβέβηλον ἔδαφος, οὓς ὁρᾶν ἐστι νῦν ἀδεεῖς ἐμμεθυσκομένους
τοῖς ἁγίοις, καὶ τὰ σκῦλα τῶν πεφονευμένων καταναλίσκον-
20 τας εἰς τὰς ἀπλήστους γαστέρας. Τὸ δὲ ὑμέτερον πλῆθος,
καὶ τὸν κόσμον τῶν ὅπλων ὁρᾶν ἐστιν, οἷος ἔπρεπε, καλούσης
τῆς μητροπόλεως κοινῷ βουλευτηρίῳ συμμάχους κατ' ἀλλο-
φύλων. Τί ἂν οὖν εἴποι τοῦτό τις ἢ τύχης ἐπήρειαν, ὅταν
λογάσι πονηροῖς αὐτανδρον ἔθνος ὁρᾷ συνασπίζον αὐτοῖς;
21 Μέχρι πολλοῦ μὲν ἀπορῶ, τί δή ποτε καὶ τὸ κινῆσαν ὑμᾶς
οὕτω ταχέως ἐγένετο; Μὴ γὰρ ἂν δίχα μεγάλης αἰτίας
ἀναλαβεῖν τὰς πανοπλίας ὑπὲρ λῃστῶν, καὶ κατὰ δήμου συγ-
22 γενοῦς. Ἐπεὶ δὲ ἠκούσαμεν Ῥωμαίους καὶ προδοσίαν, —
ταῦτα γὰρ ὑμῶν ἐθορύβουν τινὲς ἀρτίως, καὶ τῆς μητροπό-
λεως ἐπ' ἐλευθερώσει παρεῖναι, — πλέον τῶν ἄλλων τολμημά-

ὡς τῷ συμπ. ex cor. T. 15 Παρεῖναι γὰρ ὑμᾶς L.E. ἐπαμύνοντας M.N.P. ἐπὶ βαρβάρους N.P. 16 τρόπων εὐγένεια L. 17 ἐξετάσοι L. τὰ γὰρ θύματα καὶ L.M.N.P.T. τῆς πόλεως ὅλης L. κατ' ἀσωτευσάμενοι P. 18 παρεισέρευσαν P. μιαίνοντες ἅγιον ἔδαφος L. μιαίν. καὶ τὸ ἀβέβ. ἔδ. sed in marg. ἅγιον T. μιαίν. καὶ τὸ ἅγιον καὶ ἀβέβ. ἔδ. M. 19 ἐνμεθυσκομένους P. 20 οἷως ἔπρεπε M. καλούσης μὲν τῆς L.N.P.T. συμμάχους δὲ κατ' ἀλ. L.T. συμμάχους δὲ ἀλ. P. τί ἂν εἴποι T. τίς τοῦτο tr. L. 21 ποτε τὸ κιν. T. ὑμᾶς καὶ οὕτω M.T. 22 ἀρτίως τινὲς tr. M.

των ἐθαυμάσαμεν τοὺς ἀλιτηρίους, τῆς περὶ τὸ ψεῦδος ἐπι-
νοίας. Ἄνδρας γὰρ φύσει φιλελευθέρους, καὶ διὰ τοῦτο 23
μάλιστα τοῖς ἔξωθεν πολεμίοις μάχεσθαι παρεσκευασμένους,
οὐκ ἐνῆν ἄλλως ἐξαγριῶσαι καθ' ἡμῶν, ἢ λογοποιήσαντας
προδοσίαν τῆς ποθουμένης ἐλευθερίας. Ἀλλ' ὑμᾶς γε χρὴ 24
σκέπτεσθαι τούς τε διαβάλλοντας, καὶ καθ' ὧν· συνάγειν τε
τὴν ἀλήθειαν οὐκ ἐκ τῶν ἐπιπλάστων λόγων, ἀλλ' ἐκ τῶν
κοινῶν πραγμάτων. Τί γὰρ δὴ καὶ παθόντες ἂν ἡμεῖς Ῥω- 25
μαίοις προσπωλοῖμεν ἑαυτοὺς νῦν, παρὸν ἢ μηδὲ ἀποστῆναι
τὸ πρῶτον, ἢ προσχωρῆσαι ταχέως ἀποστάντας, ὄντων ἔτι
τῶν πέριξ ἀπορθήτων; Νῦν μὲν γὰρ οὐδὲ βουλομένοις δια- 26
λύσασθαι ῥᾴδιον, ὅτε Ῥωμαίους μὲν ὑπερόπτας πεποίηκεν
ὑποχείριος ἡ Γαλιλαία, φέρει δ' αἰσχύνην ἡμῖν θανάτου χαλε-
πωτέραν τὸ θεραπεύειν αὐτοὺς ὄντας ἤδη πλησίον. Καὶ 27
ἔγωγε κατ' ἐμαυτὸν μὲν ἂν εἰρήνην προτιμήσαιμι θανάτου,
πολεμούμενος δ' ἅπαξ καὶ συμβαλὼν θάνατον εὐκλεᾶ τοῦ
ζῆν αἰχμάλωτος. Πότερον δὲ φασὶν ἡμᾶς τοὺς τοῦ δήμου
προεστῶτας πέμψαι κρύφα πρὸς Ῥωμαίους, ἢ καὶ τὸν δῆμον
κοινῇ ψηφισάμενον; Εἰ μὲν ἡμᾶς, εἰπάτωσαν τοὺς πεμφθέν- 28
τας φίλους, τοὺς διακονήσαντας τὴν προδοσίαν οἰκέτας.
Ἐφωράθη τις ἀπιών; Ἀνακομιζόμενος ἑάλω; Γραμμάτων
γεγόνασιν ἐγκρατεῖς; Πῶς δὲ τοὺς μὲν τοσούτους πολίτας
ἐλάθομεν, οἷς κατὰ πᾶσαν ὥραν συναναστρεφόμεθα; Τοῖς 29
δὲ ὀλίγοις καὶ φρουρουμένοις, καὶ μηδ' εἰς τὴν πόλιν ἐκ τοῦ
ἱεροῦ προελθεῖν δυναμένοις, ἐγνώσθη τὰ κατὰ τὴν χώραν
λαθραίως ἐνεργούμενα. Νῦν δ' ἔγνωσαν, ὅτι δεῖ δοῦναι δίκας
τῶν τετολμημένων· ἕως δ' ἦσαν ἀδεεῖς αὐτοί, προδότης ἡμῶν 30
οὐδεὶς ὑπωπτεύετο. Εἰ δὲ ἐπὶ τὸν δῆμον ἀναφέρουσι τὴν

ἐθαύμασέ τις τοὺς ἀλ. M.N. τῆς περὶ τοῦτο ψευδοῦς L.P. 23 τῆς πορθουμένης ἐλευ. N.P. 24 ὧν· καὶ συνάγειν L. 25 προσπωλοῦμεν M.N.P.T. προσπολεμοῦμεν L. 26 πεποιήκει P. ἐποίησεν T. 27 κἀγὼ μὲν κατ' ἐμαυτὸν L. καὶ ἐγὼ καθ' ἑαυτὸν P. ἢ τὸν δῆμον L. 28 εἰ μὲν οὖν ἡμᾶς M. συνανεστρεφόμεθα M. 29 ἐκ τοῦ ἱεροῦ desunt L. ἐγνώσθη κατὰ N. 30 ἀδεεῖς οὗτοι, προδότης M. οὐδεὶς γὰρ ἀπεστάτει L.M. οὐδεὶς ἀπεστάτη P. οὐδ' εἷς ἀπεστάτει E.

αἰτιὰν, ἐν φανερῷ δήπουθεν ἐβουλεύσαντο, οὐδεὶς ἀπεστάτει τῆς ἐκκλησίας, ὥστε τάχιον ἂν τῆς μηνύσεως ἔσπευσεν ἡ φήμη
31 πρὸς ὑμᾶς φανερωτέρα. Τί δαὶ, οὐχὶ καὶ πρέσβεις ἔδει πέμπειν ψηφισαμένους τὰς διαλύσεις; Καὶ τίς ὁ χειροτονηθεὶς, εἰπάτωσαν. Ἀλλὰ τοῦτο μὲν δυσθανατώντων, καὶ πλη-
32 σίον οὔσας τὰς τιμωρίας διακρουομένων σκῆψίς ἐστιν· εἰ γὰρ δὴ καὶ προδοθῆναι τὴν πόλιν εἵμαρται, μόνους ἂν τολμῆσαι καὶ τοῦτο τοὺς διαβάλλοντας, ὧν τοῖς τολμήμασιν ἓν μόνον
33 κακὸν λείπει, προδοσία. Χρὴ δὲ ὑμᾶς, ἐπειδήπερ ἅπαξ πάρεστε μετὰ τῶν ὅπλων, τὸ μὲν δικαιότατον ἀμύνειν τῇ μητροπόλει, καὶ συνεξαίρειν τοὺς τὰ δικαστήρια καταλύσαντας τυράννους, οἳ πατήσαντες τοὺς νόμους ἐπὶ τοῖς αὐτῶν
34 ξίφεσι πεποίηνται τὰς κρίσεις. Ἄνδρας γοῦν ἀκαταιτιάτους τῶν ἐπιφανῶν ἐκ μέσης τῆς ἀγορᾶς ἁρπάσαντες, δεσμοῖς τε προσηκίσαντο, καὶ μηδὲ φωνὴν μηδὲ ἱκεσίαν ἀνασχόμενοι
35 διέφθειραν. Ἔξεστι δὲ ὑμῖν, παρελθοῦσιν εἴσω μὴ πολέμου νόμῳ, θεάσασθαι τὰ τεκμήρια τῶν λεγομένων, οἴκους ἠρημωμένους ταῖς ἐκείνων ἁρπαγαῖς, καὶ γύναια καὶ γενεὰς τῶν ἀπεσφαγμένων μελανειμονούσας, κωκυτὸν δὲ καὶ θρῆνον ἀνὰ
36 τὴν πόλιν ὅλην. Οὐδεὶς γάρ ἐστιν, ὃς οὐ γέγευται τῆς τῶν ἀνοσίων καταδρομῆς· οἵ γε ἐπὶ τοσοῦτον ἐξώκειλαν ἀπονοίας, ὥστε μὴ μόνον ἐκ τῆς χώρας καὶ τῶν ἔξωθεν πόλεων ἐπὶ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν ὅλου τοῦ ἔθνους μετενεγκεῖν τὴν λῃστρικὴν τόλμαν, ἀλλὰ καὶ ἀπὸ τῆς πόλεως
37 ἐπὶ τὸ ἱερόν. Ὁρμητήριον γοῦν αὐτοῖς τοῦτο καὶ καταφυγὴ, ταμιεῖόν τε τῶν ἐφ' ἡμᾶς παρασκευῶν γέγονεν. Ὁ δὲ ὑπὸ τῆς οἰκουμένης προσκυνούμενος χῶρος, καὶ τοῖς ἀπὸ

ὡς τάχιον L. 31 Τί δὲ οὐχὶ L.M.N.P.T. πέμπειν ψηφισομένους N.P.T.E. πέμψαι ψηφισομένους M. δυσθανατούντων N.P.T.et ex cor.L. 32 διαβάλλοντας, τοῖς P. ἓν κακὸν λείπει L. ἓν μόνον λείπει N. ἓν μόνον λείπει κακὸν tr. T. 33 ἅπαξ ἐστὲ L. δικαιώτατον P. νόμους τοῖς N. τοῖς ἑαυτῶν L. 34 δεσμοῖς προσηκίσ. L. δεσμοῖς τε προηκίσ. P. φωνῆς μηδὲ ἱκεσίας L.E. 35 πόλιν· οὐδεὶς M. 36 γέγενσται L.M. τῆς τῶν ἀνόμων καὶ ἀνοσίων M. ἐξώκιλαν N. 37 ταμεῖόν τε τῶν L. ταμεῖον τῶν N. καὶ ταμεῖον τῶν T.

περάτων γῆς ἀλλοφύλοις ἀκοῇ τετιμημένος, ὑπὸ τῶν παραγεννηθέντων ἐνθάδε θηρίων καταπατεῖται. Νεανιεύονται δ' 38
ἐν ταῖς ἀπογνώσεσιν ἤδη, δήμους τε δήμοις, καὶ πόλεις πόλεσι συγκρούειν, καὶ κατὰ τῶν ἰδίων σπλάγχνων τὸ ἔθνος στρατολογεῖν. Ἀνθ' ὧν τὸ μὲν κάλλιστον καὶ πρέπον ὡς ἔφην ὑμῖν, συνεξαίρειν τοὺς ἀλιτηρίους, καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης ἀμυνομένους, ὅτι συμμάχους ἐτόλμησαν καλεῖν οὓς ἔδει τιμωροὺς δεδιέναι. Εἰ δὲ αἰδεῖσθε τὰς τῶν τοιούτων ἐπικλήσεις, 39
ἀλλά τοι πάρεστι θεμένοις τὰ ὅπλα, καὶ παρελθοῦσιν εἰς τὴν πόλιν σχήματι συγγενῶν, ἀναλαβεῖν τὸ μέσον συμμάχων τε καὶ πολεμίων ὄνομα, δικαστὰς γενομένους· καίτοι 40
λογίσασθε, πόσον κερδήσουσιν, ἐφ' ὁμολογουμένοις καὶ τηλικούτοις κρινόμενοι παρ' ὑμῖν, οἱ τοῖς ἀκαταιτιάτοις μηδὲ λόγου μεταδόντες· λαμβανέτωσαν δ' οὖν ταύτην ἐκ τῆς ὑμετέρας ἀφίξεως τὴν χάριν. Εἰ δὲ οὔτε συναγανακτεῖν ἡμῖν, 41
οὔτε κρίνειν δοκεῖ, τρίτον ἐστὶ καταλιπεῖν ἑκατέρους, καὶ μήτε ταῖς ἡμετέραις ἐπεμβαίνειν συμφοραῖς, μήτε τοῖς ἐπιβουλοις τῆς μητροπόλεως συμμένειν. Εἰ γὰρ καὶ τὰ μά- 42
λιστα Ῥωμαίοις ὑποπτεύετε διειλέχθαι τινὰς, παρατηρεῖν ἔξεστι τὰς ἐφόδους· καὶ ἐάν τι τῶν διαβεβλημένων ἔργων διακαλύπτηται, τότε φρουρεῖν τὴν μητρόπολιν ἐλθόντας, κολάζειν τε τοὺς αἰτίους πεφωραμένους· οὐ γὰρ ἂν ὑμᾶς 43
φθάσειαν οἱ πολέμιοι τῇ πόλει προσφκημένους. Εἰ δὲ οὐ-

τετιμ. παρὰ τῶν P. παραγενηθέντων ἐνθάδε L.N. παραγενηθέντων ἐνταῦθα M. καταπατεῖτε P. 38 Νεανιεύονταί τε N.P. δήμους τε δήμοις desunt N. inter se transposita sunt M.T. καὶ πόλεσι πόλεις tr. M.N.P.T. καὶ τῶν κατὰ ἰδίων E. ὡς ἔφην καὶ πρέπον tr. L. καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης ἀμυνομένους desunt omnia L. ἔδει ὡς τιμωροὺς L. 39 αἰδεῖσθαι L. συμμάχων καὶ L. 40 λογήσασθε P. ὡμολογουμένοις P. ὁμολογημένοις M. παρ' ὑμῶν, οἱ L. ἐκ τῆς ἡμετέρας P.T.E. 41 συναγανακτεῖν ὑμῖν E. οὔτε κρίνεσθαι δεῖ τρ. L.M.N. οὔτε κρίνεσθαι δοκεῖ τρ. P. οὔτε κρί. δεῖ κρεῖττον T. καταλιπεῖν ἀμφοτέρους M. ἑκατέρους, μήτε P. ἡμετέραις ἐπιβαίνειν L.N.P.E. μητροπ. συνέρχεσθαι. L.P. 42 Εἰ γὰρ τὰ P. ὑποπτεύεται L. διηλέχθαι L. διελέγχεσθαι M. καὶ ἔξεστιν παρὰ τὰς L. φρουρεῖν τὴν sic ma. rec. L. κολάζειν δὲ τοὺς L. 43 πολέμ. τῇ μητροπόλει T. προσωκισμένους M.N.P.T.

δὲν ὑμῖν τούτων εὔγνωμον ἢ μέτριον δοκεῖ, μὴ θαυμάζετε τὰ κλεῖθρα τῶν πυλῶν, ἕως ἂν φέρητε τὰ ὅπλα."

44 4. Τοιαῦτα μὲν ὁ Ἰησοῦς ἔλεγε. Τῶν δὲ Ἰδουμαίων οὐδὲν τὸ πλῆθος προσεῖχεν, ἀλλὰ τεθύμωτο μὴ τυχὸν ἑτοίμης τῆς εἰσόδου· καὶ διηγανάκτουν οἱ στρατηγοὶ πρὸς τὴν ἀπόθεσιν τῶν ὅπλων, αἰχμαλωσίαν ἡγούμενοι τὸ κελευόντων τι-
45 νῶν αὐτὰ ῥίψαι. Σίμων δὲ υἱὸς Καθλᾶ τῶν ἡγεμόνων εἷς, μόλις τὸν τῶν οἰκείων καταστείλας θόρυβον, καὶ στὰς εἰς ἐπήκοον τοῖς ἀρχιερεῦσιν, "Οὐκέτι θαυμάζειν," ἔφη, "φρου-
46 ρουμένων ἐν τῷ ἱερῷ τῶν προμάχων τῆς ἐλευθερίας, εἴ γε καὶ τῷ ἔθνει κλείουσί τινες ἤδη τὴν κοινὴν πόλιν, καὶ Ῥωμαίους μὲν εἰσδέχεσθαι παρασκευάζονται, τάχα καὶ στεφανώσαντες τὰς πύλας, Ἰδουμαίοις δὲ ἀπὸ τῶν πύργων διαλέγονται, καὶ
47 τὰ ὑπὲρ τῆς ἐλευθερίας ὅπλα κελεύουσι ῥίψαι. Μὴ πιστεύοντες δὲ τοῖς συγγενέσι τὴν τῆς μητροπόλεως φυλακὴν, τοὺς αὐτοὺς δικαστὰς ποιοῦνται τῶν διαφορῶν, καὶ κατηγοροῦντές τινων, ὡς ἀποκτείνειαν ἀκρίτους, αὐτοὶ καταδικάζοιεν ὅλου
48 τοῦ ἔθνους ἀτιμίαν· τὴν γοῦν ἅπασι τοῖς ἀλλοφύλοις ἀναπεπταμένην εἰς θρησκείαν πόλιν, τοῖς οἰκείοις νῦν ἀποτετειχίσθαι. Πάνυ γὰρ ἐπὶ σφαγὰς ἐσπεύδομεν καὶ τὸν κατὰ τῶν ὁμοφύλων πόλεμον, οἱ διὰ τοῦτο ταχύναντες, ἵνα ἀτυχή-
49 σαντας ὑμᾶς τηρήσωμεν ἐλευθέρους. Τοιαῦτα μέντοι καὶ πρὸς τῶν φρουρουμένων ἠδίκησθε, καὶ πιθανὰς οὕτως ὑποψίας οἶμαι καὶ κατ' ἐκείνων συνελέξατε. Ἔπειτα τῶν ἔνδον φρουρᾷ κρατοῦντες, ὅσοι κήδονται τῶν κοινῶν πραγμάτων, καὶ τοῖς συγγενεστάτοις ἔθνεσιν ἀθρόοις ἀποκλείσαντες τὴν

εὐγνώμων P. εὔγνωμον τούτων tr. T. 43 θαυμάζητε κλεῖθρα M. θαυμάζητε τὰ κλ. T. φέρηται P. 44 μὲν Ἰησοῦς E. οὔτε τὸ πλῆθος M.N.T. στρατ. τὴν πρὸς ἀποθ. L. στρατ. πρὸς ἀπόθεσιν N.P.T. 45 υἱὸς Κααθὰ L.P. μόλις τῶν P. εἰς ὑπήκοον L. ἐν τῷ ναῷ τῶν πρ. L. 46 ἤδη τινὲς tr. L.T. τάχα δὲ καὶ M.N.T.E. Ἰδουμαίοις ἀπὸ N. 47 Μὴ πιστεύονται M. καὶ κατηγορούμενοι τινῶν L. 48 ἀναπεπετασμένην εἰς E. ἐπὶ σφᾶς ἐσπεύδομεν M.E. καὶ κατὰ τῶν N.P. διὰ τοῦτ' ἀτυχήσαντες, ἵν' ὑμᾶς L. διὰ τοῦτο ταχ. ἵνὰ ἀτυχήσαντες ὑμᾶς N.T. διαταχύναντες ἵν' ὑμᾶς P. 49 ἠδικῆσθαι pri. ma. P. οἶμαι κατ' ἐκ. P. ἀθρόως M.P.E. ἀποκλείοντες μὲν τὴν L. ἀποκλείσαντες μὲν τὴν P.

πόλιν, ὑβριστικὰ δὲ οὕτω προστάγματα κελεύοντες, τυραν- 50
νεῖσθαι λέγετε, καὶ τὸ τῆς δυναστείας ὄνομα τοῖς ὑφ' ὑμῶν
τυραννουμένοις περιάπτετε. Τίς ἂν ἐνέγκαι τὴν εἰρωνείαν
τῶν λόγων, ἀφορῶν εἰς τὴν ἐναντιότητα τῶν πραγμάτων;
Εἰ μὴ καὶ νῦν ὑμᾶς ἀποκλείουσιν Ἰδουμαῖοι τῆς μητροπό- 51
λεως, οὓς αὐτοὶ τῶν πατρίων ἱερῶν εἴργετε. Μέμψαιτ' ἄν 52
τις εἰκότως τοὺς ἐν τῷ ἱερῷ πολιορκουμένους, ὅτι θαρσή-
σαντες τοὺς προδότας κολάζειν, οὓς ὑμεῖς ἄνδρας ἐπισήμους,
καὶ ἀκαταιτιάτους λέγετε διὰ τὴν κοινωνίαν, οὐκ ἀφ' ὑμῶν
ἤρξαντο, καὶ τὰ καιριώτατα τῆς προδοσίας μέρη προαπέκο-
ψαν. Ἀλλ' εἰ καὶ ἐκεῖνοι τῆς χρείας ἐγένοντο μαλακώτεροι, 53
τηρήσωμεν Ἰδουμαῖοι τὸν οἶκον τοῦ θεοῦ, καὶ τῆς κοινῆς
πατρίδος προπολεμήσωμεν, ἅμα τούς τε ἔξωθεν ἐπιόντας καὶ
τοὺς ἔνδον προδιδόντας ἀμυνόμενοι πολεμίους. Ἐνθάδε πρὸ 54
τῶν τειχῶν μενοῦμεν ἐν τοῖς ὅπλοις, ἕως ἂν Ῥωμαῖοι κάμωσι
προσέχοντες ὑμῖν, ἢ ὑμεῖς ἐλεύθερα φρονήσαντες μεταβά-
λησθε.

5. Τούτοις τὸ μὲν τῶν Ἰδουμαίων ἐπεβόα πλῆθος. Ὁ 55
δὲ Ἰησοῦς ἀθυμῶν ἀνεχώρει, τοὺς μὲν Ἰδουμαίους μηδὲν φρο-
νοῦντας ὁρῶν μέτριον, διχόθεν δὲ τὴν πόλιν πολεμουμένην.
Ἦν δὲ οὐδὲ τοῖς Ἰδουμαίοις ἐν ἠρεμίᾳ τὰ φρονήματα· καὶ 56
γὰρ τεθύμωντο πρὸς τὴν ὕβριν εἰρχθέντες τῆς πόλεως· καὶ
τὰ τῶν ζηλωτῶν ἰσχυρὰ δοκοῦντες, ὡς οὐδὲν ἐπαμύνοντας ἐώ-
ρων, ἠπόρηντο, καὶ μετενόουν πολλοὶ τὴν ἄφιξιν. Ἡ δὲ 57
αἰδὼς τοῦ τέλεον ἀπράκτους ὑποστρέφειν ἐνίκα τὴν μεταμέ-
λειαν, ὥστε μένειν αὐτόθι πρὸ τοῦ τείχους κακῶς αὐλιζομέ-

50 οὕτως πρὸς τὰ σφάγματα κελεύ. P. οὕτω πρὸς τὰ πράγματα κελ. N. τυραννεῖσθε L.M. ἐλέγετε P. περιάπτεται L. προσάπτετε M. τοῖς ὑφ' ἡμῶν N. ἐνέγκῃ P. ἐνέγκοι T. πραγμάτων. Καὶ νῦν ἡμᾶς L. 51 Ἰδουμαίους L.P. μητροπ. ὡς αὐτοὶ P. τῶν πατρῴων L. εἰκότως τις tr. M.N.P.T. 52 θαρσήσαντας P. ἐπισήμους τε καὶ T. καὶ τῆς καιριωτάτης προδ. M.N.T. προδοσίας τὰ μέρη T. προανέκοψαν L. 53 ἐγένοντο μακρότεροι μαλακώτεροι M. τηρήσομεν P.E. προπολεμήσομεν P.E. 54 μενοῦμεν σὺν τοῖς L. προσέχοντες ἡμῖν ἢ L.M.T. ἐλευθέρια N. 55 ὁρῶν μηδὲν φρον. tr. M. 56 τὰ ζηλωτῶν E. ἐπαμύναντας L. ἠποροῦντο P. 57 τέλεον αὐτοὺς ἀπράκτους M. ὥστε ἐμμένειν P. κακῶς αὐλισάμενοι L.

νους· διὰ γὰρ τῆς νυκτὸς ἀμήχανος ἐκρήγνυται χειμὼν, ἄνε-
58 μοί τε βίαιοι σὺν ὄμβροις λαβροτάτοις, καὶ συνεχεῖς ἀστραπαὶ, βρονταί τε φρικώδεις, καὶ μυκήματα σειομένης τῆς γῆς ἐξαίσια. Πρόδηλον δ' ἦν ἐπ' ἀνθρώπων ὀλέθρῳ τὸ κατάστημα τῶν ὅλων συγκεχυμένον· καὶ οὐχὶ μικροῦ τις ἂν εἰκάσαι συμπτώματος τὰ τέρατα.

59 6. Μία δὲ τοῖς Ἰδουμαίοις καὶ τοῖς ἐν τῇ πόλει παρέστη δόξα· τοῖς μὲν, ὀργίζεσθαι τὸν θεὸν ἐπὶ τῇ στρατείᾳ, καὶ οὐκ ἂν διαφυγεῖν ἐπενεγκόντας ὅπλα τῇ μητροπόλει· τοῖς δὲ περὶ τὸν Ἄνανον, νενικηκέναι χωρὶς παρατάξεως, καὶ τὸν
60 θεὸν ὑπὲρ αὐτῶν στρατηγεῖν. Κακοὶ δὲ ἦσαν ἄρα τῶν μελλόντων στοχασταὶ, καὶ κατεμαντεύοντο τῶν ἐχθρῶν, ἃ τοῖς ἰδίοις αὐτῶν ἐπῆει παθεῖν. Οἱ μὲν γὰρ Ἰδουμαῖοι συσπειραθέντες τοῖς σώμασιν ἀλλήλους ἀντέθαλπον, καὶ τοὺς θυρεοὺς ὑπὲρ κεφαλῆς συμφράξαντες ἧττον ἐκακοῦντο τοῖς
61 ὑετοῖς· οἱ δὲ ζηλωταὶ μᾶλλον τοῦ καθ' αὑτοὺς κινδύνου ὑπὲρ ἐκείνων ἐβασανίζοντο, καὶ συνελθόντες ἐσκόπουν, εἴ τινα
62 μηχανὴν αὐτοῖς ἀμύνης ἐπινοήσειαν. Τοῖς μὲν οὖν θερμοτέροις ἐδόκει 'μετὰ τῶν ὅπλων βιάζεσθαι τοὺς παραφυλάσσοντας· ἔπειτα δὲ εἰσπεσόντας εἰς μέσον τῆς πόλεως ἀναφανδὸν ἀνοίγειν τοῖς συμμάχοις τὰς πύλας· τούς τε γὰρ
63 φύλακας εἴξειν πρὸς τὸ ἀδόκητον αὐτῶν τεταραγμένους, ἄλλως τε καὶ τοὺς πλείονας αὐτῶν ὄντας ἀνόπλους καὶ πολέμων ἀπείρους, καὶ τῶν κατὰ τὴν πόλιν δυσσύνακτον ἔσεσθαι τὸ
64 πλῆθος κατειλημμένον ὑπὸ τοῦ χειμῶνος εἰς τὰς οἰκίας· εἰ δὲ καί τις γένοιτο κίνδυνος, πρέπειν αὐτοῖς πᾶν ὁτιοῦν παθεῖν, ἢ περιϊδεῖν τοσοῦτον πλῆθος δι' αὐτοὺς αἰσχρῶς ἀπολλύμενον.'

διὰ δὲ τῆς L. 58 καὶ νυκτὸς μυκήματα L. ἐξαίσιον L. ὅλεθρον M. συνεχόμενον sed in marg. ead. ma. συγκεχυμένον T. ἂν συμπτώματος εἰκάσαιτο τὰ M. 59 τὸ θεῖον ἐπὶ L. τῇ στρατίᾳ M.N.P.T. 60 Ἰδουμαῖοι συστραφέντες τοῖς N.P. et T. sed in huj. marg. ma. rec. συμπειραθέντες. ἐκακοῦντο τοῖς ὑετ. ἧττον tr. L. 61 τοῦ καθ' ἑαυτῶν κινδ. L. 62 παραφυλάττοντας L.M. εἰσπεσόντες τῆς πόλεως L. τὰς πύλας τοῖς συμ. tr. T. ἀδόκητον αὐτοῖς τετ. L. 63 πλείονας ὄντας L. κατὰ πόλιν L. δυσάνακτον M. 64 ἀπολλύμενον αἰσχρῶς tr. L.

Οἱ δὲ συνετώτεροι βιάζεσθαι μὲν ἀπεγίνωσκον, ὁρῶντες οὐ μόνον τὴν αὐτῶν φρουρὰν πληθύουσαν, ἀλλὰ καὶ τὸ τῆς πό- 65
λεως τεῖχος διὰ τοὺς Ἰδουμαίους ἐπιμελῶς φυλασσόμενον· φοντό τε πανταχοῦ τὸν Ἄνανον παρεῖναι, καὶ κατὰ πᾶσαν ὥραν ἐπισκέπτεσθαι τὰς φυλακάς· ὃ δὴ ταῖς μὲν ἄλλαις 66
νυξὶν οὕτως εἶχεν, ἀνέθη δὲ κατ' ἐκείνην, οὔτι κατὰ τὴν Ἀνάνου ῥᾳθυμίαν, ἀλλ' ὡς αὐτὸς ἐκεῖνος ἀπόλοιτο, καὶ τὸ πλῆθος τῶν φυλάκων, στρατηγούσης τῆς εἱμαρμένης ἤδη. Καὶ δὴ 67
τῆς νυκτὸς προκοπτούσης, καὶ τοῦ χειμῶνος ἐπακμάζοντος, κοιμίζει μὲν τοὺς ἐπὶ τῇ στοᾷ φρουρούς· τοῖς ζηλωταῖς δὲ ἐπίνοιαν ἐμβάλλει, τῶν ἱερῶν αἴρονταs πριόνων ἐκτεμεῖν τοὺς μοχλοὺς τῶν πυλῶν. Συνήργησε δὲ αὐτοῖς πρὸς τὸ μὴ κατα- 68
κουσθῆναι τὸν ψόφον ὅ τε τῶν ἀνέμων ἦχος, καὶ τὸ τῶν βροντῶν ἐπάλληλον.

7. Διαλαθόντες δὲ ἐκ τοῦ ἱεροῦ παραγίνονται πρὸς τὸ 69
τεῖχος, καὶ τοῖς αὐτοῖς πρίοσι χρώμενοι, τὴν κατὰ τοὺς Ἰδουμαίους ἀνοίγουσι πύλην. Τοῖς δὲ τὸ μὲν πρῶτον ἐμ-
πίπτει ταραχὴ, τοὺς περὶ τὸν Ἄνανον ἐπιχειρεῖν οἰηθεῖσι, καὶ πᾶς ἐπὶ τοῦ ξίφους ἔσχε τὴν δεξιὰν, ὡς ἀμυνούμενος· ταχέως δὲ γνωρίσαντες τοὺς ἥκοντας εἰσήεσαν. Εἰ μὲν οὖν 70
ἐτράποντο ἐπὶ τὴν πόλιν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τὸν δῆμον αὐτανδρον· οὕτως εἶχον ὀργῆς. Νῦν δὲ πρώτους τοὺς 71
ζηλωτὰς ἔσπευδον τῆς φρουρᾶς ἐξελέσθαι, δεομένων πολλὰ καὶ τῶν εἰσδεξαμένων, ' μὴ περιϊδεῖν δι' οὓς ἦλθον ἐν μέσοις τοῖς δεινοῖς, μηδὲ αὐτοῖς χαλεπώτερον ἐπισεῖσαι τὸν κίνδυ-
νον· τῶν μὲν γὰρ φρουρῶν ἁλόντων, ῥᾴδιον αὐτοῖς εἶναι χω- 72

65 τὴν ἑαυτῶν φρουρὰν E. φρουρὰν πλήθουσαν M. 66 ἀνείθη δὲ M. N.P. οὔτε κατὰ L. οὐ κατὰ P. ὥστε αὐτὸς L.N.P.T.E. ἤδη deest M. 67 Καὶ τότε τῆς L.N.P. Καὶ δὴ τότε τῆς M. τοῖς δὲ ζηλωταῖς P. ἱερῶν ἐρῶντας L. ἱερῶν ἅραντας ex cor. T. 68 αὐτοῖς εἰς τὸ μὴ L. καὶ τῶν ὄμβρων ἐπάλληλον L. 69 Διαλανθανόντος δὲ P. καὶ τοῖς πρίοσι E. ταραχὴ πρὸς τὸ τεῖχος τοὺς περὶ M. ταραχὴ τοῖς περὶ P. ξίφους εἶχε L. ὡς ἀμυνόμενος P. 70 γνωρίζοντες L.P. ἐτράποντο περὶ τὴν L.M.N. P.T. οὐδὲν ἐκώλυσεν ἂν ἀπ. L. οὐδὲν ἐκώλυεν ἀπ. N. οὐδὲν ἐκώλυσεν ἀπ. P. 71 ζηλωτὰς σπεύδοντες τοὺς L.N.P.T.E.

ρεῖν ἐπὶ τὴν πόλιν· εἰ δὲ ἅπαξ ταύτην προκινήσειαν, οὐκ ἂν ἔτι ἐκείνων κρατῆσαι· πρὸς γὰρ τὴν αἴσθησιν συντάξασθαι αὐτοὺς, καὶ τὰς ἀνόδους ἀποφράξειν.'

CAP. V.

1 1. Συνεδόκει ταῦτα τοῖς Ἰδουμαίοις, καὶ διὰ τῆς πόλεως ἀνέβαινον πρὸς τὸ ἱερὸν, μετέωροί τε οἱ ζηλωταὶ τὴν ἄφιξιν αὐτῶν ἐκαραδόκουν. Καὶ παριόντων εἴσω καὶ αὐτοὶ θαρροῦντες προῆσαν ἐκ τοῦ ἐνδοτέρου ἱεροῦ· μιγέντες δὲ τοῖς
2 Ἰδουμαίοις προσέβαλλον ταῖς φυλακαῖς. Καὶ τινὰς μὲν τῶν προκοιτούντων ἀπέσφαξαν κοιμωμένους· πρὸς δὲ τὴν τῶν ἐγρηγορότων βοὴν διανέστη πᾶν τὸ πλῆθος, καὶ μετ' ἐκπλή-
3 ξεως ἁρπάζοντες τὰ ὅπλα πρὸς τὴν ἄμυναν ἐχώρουν. Ἕως μὲν οὖν μόνους τοὺς ζηλωτὰς ἐπιχειρεῖν ὑπελάμβανον, ἐθάρρουν, ὡς τῷ πλήθει περιεσόμενοι· κατιδόντες δὲ ἔξωθεν ἐπεισχεομένους ἄλλους, ἤσθοντο τὴν εἰσβολὴν τῶν Ἰδουμαίων.
4 Καὶ τὸ μὲν πλέον αὐτῶν ἅμα ταῖς ψυχαῖς κατέβαλλε τὰ ὅπλα, καὶ πρὸς οἰμωγαῖς ἦν· φραξάμενοι δὲ ὀλίγοι τῶν νέων γενναίως ἐδέχοντο τοὺς Ἰδουμαίους, καὶ μέχρι πολλοῦ τὴν
5 ἀργοτέραν πληθὺν ἔσκεπον. Οἱ δὲ κραυγῇ διεσήμαινον τοῖς κατὰ τὴν πόλιν τὰς συμφορὰς, καὶ ἐκείνων ἀμῦναι μὲν οὐδεὶς
6 ἐτόλμησεν, ὡς ἔμαθον εἰσπεπτωκότας τοὺς Ἰδουμαίους· ἄγαν δὲ ἀντεβόων καὶ ἀντωλοφύροντο, καὶ πολὺς γυναικῶν κωκυτὸς ἠγείρετο, ἐκινδύνευόν τε ἕκαστοι τῶν φυλάκων. Οἱ δὲ ζηλωταὶ τοῖς Ἰδουμαίοις συνεπηλάλαζον, καὶ τὴν ἐκ πάντων
7 βοὴν ὁ χειμὼν ἐποίει φοβερωτέραν. Ἐφείδοντό τε οὐδενὸς Ἰδουμαῖοι, φύσει τε ὠμότατοι φονεύειν ὄντες, καὶ τῷ χει-

72 οὐδ' ἂν ἔτι M. οὔτε ἂν ἔτι N.T.E. συντάξ. αὐτοῖς P. 1 ἀνέβαινον εἰς τὸ L. προῖεσαν P. προσίεσαν L. ἐνδοτέρου ναοῦ M. 2 κοιμωμένους ἀπέσφαξαν tr. L. πρός τε τὴν L. 4 κατέβαλε T. κατέβαλλον L. τὴν γεραιτέραν πληθὺν E. ἔσκεπτον M. 5 διεσήμανον L. ἔμαθον εἰσπεπαικότας L.N.P. ἐμ. εἰσπεπταικότας M. 6 ἀργὰ δ' ἀντεβόων P. πολύς τε γυναικῶν κωκ. L. πολὺς κωκυτὸς γυναικῶν tr. M.P. ἠγείροντο P. κινδυνεύοντος ἑκάστη τινὸς τῶν L. et ex cor. rec. T. κινδυνεύοντος ἑκάστης τινὸς τῶν P. συνεπιλάλαζον P.

μῶνι κεκακωμένοι, κατὰ τῶν ἀποκλεισάντων ἐχρῶντο τοῖς ὅπλοις, ἦσαν δὲ ὅμοιοι τοῖς ἱκετεύουσι καὶ τοῖς ἀμυνομένοις· καὶ πολλοὺς τήν τε συγγένειαν ἀναμιμνήσκοντας, καὶ δεομέ- 8
νους τοῦ κοινοῦ ἱεροῦ λαβεῖν αἰδῶ, διήλαυνον τοῖς ξίφεσιν. Ἦν δὲ φυγῆς μὲν οὐδεὶς τόπος, οὐδὲ σωτηρίας ἐλπίς· συνω- 9
θούμενοι δὲ περὶ ἀλλήλους κατεκόπτοντο, καὶ τὸ πλέον ἐκβιαζόμενοι, — ὡς οὐκ ἔτι ἦν ὑποχωρήσεως τόπος, ἐπῆσαν δὲ οἱ φονεύοντες — ὑπ' ἀμηχανίας κατεκρήμνιζον ἑαυτοὺς εἰς τὴν 10
πόλιν, οἰκτρότερον, ἔμοιγε δοκεῖ, οὗ διέφευγον ὀλέθρου τὸν αὐθαίρετον ὑπομένοντες. Ἐπεκλύσθη δὲ τὸ ἔξωθεν ἱερὸν πᾶν αἵματι, καὶ νεκροὺς ὀκτακισχιλίους καὶ πεντακοσίους ἡ ἡμέρα κατελάμβανεν.

2. Οὐκ ἐκορέσθησαν δὲ τούτοις οἱ θυμοὶ τῶν Ἰδουμαίων, 11
ἀλλ' ἐπὶ τὴν πόλιν τραπόμενοι πᾶσαν μὲν οἰκίαν διήρπαζον, ἔκτεινον δὲ τὸν περιτυγχάνοντα· καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτοῖς ἐδόκει παρανάλωμα, τοὺς δ' ἀρχιερεῖς ἀνεζήτουν, καὶ 12
κατ' ἐκείνων ἦν τοῖς πλείστοις ἡ φορὰ, ταχέως δὲ ἁλόντες διεφθείροντο· καὶ τοῖς νεκροῖς αὐτῶν ἐπιστάντες τὸν μὲν Ἄνανον τῆς πρὸς τὸν δῆμον εὐνοίας, τὸν δὲ Ἰησοῦν τῶν ἀπὸ τοῦ τείχους λόγων ἐπέσκωπτον. Προῆλθον δὲ εἰς τοσοῦτον 13
ἀσεβείας, ὥστε καὶ ἀτάφους ῥίψαι, καίτοι τοσαύτην Ἰουδαίων περὶ τὰς ταφὰς πρόνοιαν ποιουμένων, ὥστε καὶ τοὺς ἐκ καταδίκης ἀνασταυρουμένους πρὸ δύντος ἡλίου καθελεῖν τε καὶ θάπτειν. Οὐκ ἂν ἁμάρτοιμι δὲ εἰπὼν ἁλώσεως ἄρξαι 14
τῇ πόλει τὸν Ἀνάνου θάνατον, καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνατραπῆναι τὸ τεῖχος, καὶ διαφθαρῆναι τὰ πράγματα Ἰουδαίοις, ἐν ᾗ τὸν ἀρχιερέα καὶ ἡγεμόνα τῆς ἰδίας σωτηρίας αὐτῶν ἐπὶ μέσης τῆς πόλεως εἶδον ἀπεσφαγμένον· ἦν γὰρ δὴ 15

7 ἐχρῶντο ὡς ἐχθροῖς· ἦσαν L. ἐχρ. τοῖς ἐχθροῖς· ἦσαν N. ἐχρ. τοῖς θυμοῖς· ἦσαν sed in marg. ὅπλοις T. 8 τὴν τοῦ κοινοῦ P. τόπος μὲν οὐδεὶς tr. L. 9 ἐπῆσαν γὰρ οἱ M. ἐπίεσαν δὲ οἱ P. φονεύοντες, οἱ δὲ ὑπ' ἀμηχ. L. 10 ἔμοιγε δοκεῖν M. διέφυγον L. ἱερὸν ἅπαν L. 11 οἰκίαν διήρπασαν L. τὸν περιτυχόντα L.N.P.T. τὸ μὲν πλῆθος T. ἐδόκει αὐτοῖς tr. P. 12 ἀρχιερεῖς ἐζήτουν L. 13 περὶ τὴν ταφὴν T. πρόνοιαν πεποιημένων N.P. προσδύντος ἡλίου καθαίρειν τε L. 14 μέσης πόλεως T. 15 γὰρ τά τε L.

τά τε ἄλλα σεμνὸς ὁ ἀνὴρ καὶ δικαιότατος, καὶ παρὰ τὸν ὄγκον τῆς τε εὐγενείας καὶ τῆς ἀξίας, καὶ ἧς εἶχε τιμῆς, ἠγα-
16 πηκὼς τὸ ἰσότιμον καὶ πρὸς τοὺς ταπεινοτάτους. Φιλελεύθερος δὲ ἐκτόπως, καὶ δημοκρατίας ἐραστὴς, πρό τε τῶν ἰδίων λυσιτελῶν τὸ κοινῇ συμφέρον ἀεὶ τιθέμενος, καὶ περὶ παντὸς
17 ποιούμενος τὴν εἰρήνην — ἄμαχα γὰρ ἤδει τὰ Ῥωμαίων — προσκοπούμενος δὲ ὑπ' ἀνάγκης καὶ κατὰ τὸν πόλεμον, ὅπως, εἰ μὴ διαλύσαιντο Ἰουδαῖοι δεξιῶς, διαφθείροιντο. Καθόλου δὲ εἰπεῖν, ζῶντος Ἀνάνου πάντως ἂν διελύθησαν· δεινὸς γὰρ ἦν
18 εἰπεῖν τε καὶ πεῖσαι τὸν δῆμον. Ἤδη δ' εἰ ἐκεχείρωτο καὶ τοὺς ἐμποδίζοντας, ἢ πολεμοῦντας, πλείστην ἂν τριβὴν Ῥωμαίοις παρέσχον ὑπὸ τοιούτῳ στρατηγῷ. Παρέζευκτο δὲ αὐτῷ καὶ ὁ Ἰησοῦς, αὐτοῦ μὲν λειπόμενος κατὰ σύγκρισιν,
19 προέχων δὲ τῶν ἄλλων. Ἀλλ' οἶμαι κατακρίνας ὁ θεὸς ὡς μεμιασμένης τῆς πόλεως ἀπώλειαν, καὶ πυρὶ βουλόμενος ἐκκαθαρθῆναι τὰ ἅγια, τοὺς ἀντεχομένους αὐτῶν καὶ φιλοστορ-
20 γοῦντας περιέκοψεν. Οἱ δὲ πρὸ ὀλίγου τὴν ἱερὰν ἐσθῆτα περικείμενοι, καὶ τῆς κοσμικῆς θρησκείας κατάρχοντες, προσκυνούμενοί τε τοῖς ἐκ τῆς οἰκουμένης παραβάλλουσιν εἰς τὴν πόλιν, ἐρριμμένοι γυμνοὶ βορὰ κυνῶν καὶ θηρίων ἐβλέποντο.
21 Αὐτὴν ἐπ' ἐκείνοις στενάξαι τοῖς ἀνδράσι δοκῶ τὴν ἀρετὴν, ἀλοφυρομένην, ὅτι τοσοῦτον ἥττητο τῆς κακίας. Ἀλλὰ γὰρ τὸ μὲν Ἀνάνου καὶ Ἰησοῦ τέλος τοιοῦτον ἀπέβη.

22 3. Μετὰ δὲ ἐκείνους οἵ τε ζηλωταὶ καὶ τῶν Ἰδουμαίων τὸ πλῆθος, τὸν λαὸν, ὥσπερ ἀνοσίων ζώων ἀγέλην ἐπιόντες, ἔσφαζον. Καὶ τὸ μὲν εἰκαῖον ἐφ' οὗ καταληφθείη τόπου

σεμνὸς ἀνὴρ M.T. τῆς εὐγενείας L. 16 Φιλελεύθερός τε L.P. δημοκρατείας P. πρό γε τῶν L. τὰ κοινῇ συμφέροντα N.T. 17 γὰρ ἤδη τὰ N. προσκοπ. ὑπ' ἀνάγκης M.N. et pri. ma. T. ἀνάγκης καὶ τὰ κατὰ P. et sec. ma. T. ἀνάγ. κατὰ E. διαφέροιντο N. et in marg. T. Καὶ καθόλου L. 18 Ἤδη δ' ἐκεχείρωτο L.M.E. εἰ δὲ δὴ ἐχείρ. P. πλείστην δ' ἂν E. 19 μεμιαμμένης P.T. ἐγκαθαρθῆναι M. περιέκοπτεν N.P.T. ἀπέτεμεν sic L. 20 προσκυνούμενοι δὲ τοῖς ἀπὸ τῆς L. 21 στενάξαι ἂν τοῖς M.E. ἀλλὰ τὸ μὲν P. 22 τὸ μὲν οἰκεῖον ἐφ' οὗ M. κατελήφθη N.T.

διεφθείρετο, τοὺς δὲ εὐγενεῖς καὶ νέους συλλαμβάνοντες εἰς 23
εἱρκτὴν κατέκλειον δεδεμένους, κατ' ἐλπίδα τοῦ προστεθήσε-
σθαί τινας αὐτοῖς τὴν ἀναίρεσιν ὑπερτιθέμενοι. Προσέσχε 24
δὲ οὐδεὶς, ἀλλὰ πάντες τοῦ τάξασθαι μετὰ τῶν πονηρῶν
κατὰ τῆς πατρίδος προειλοντο τὸν θάνατον. Δεινὰς δὲ τῆς
ἀρνήσεως αἰκίας ὑπέμενον, μαστιγούμενοί τε καὶ στρεβλού-
μενοι· μετὰ δὲ τὸ μηκέτ' ἀρκεῖν τὸ σῶμα ταῖς βασάνοις,
μόλις ἠξιοῦντο τοῦ ξίφους. Οἱ συλληφθέντες δὲ μεθ' ἡμέ- 25
ρον, ἀνηροῦντο νύκτωρ· καὶ τοὺς νεκροὺς ἐκφοροῦντες ἐρρίπ-
τουν, ὡς ἑτέροις εἴη δεσμώταις τόπος. Ἦν δὲ τοσαύτη τοῦ 26
δήμου κατάπληξις, ὡς μηδένα τολμῆσαι μήτε κλαίειν φανε-
ρῶς τὸν προσήκοντα νεκρὸν, μήτε θάπτειν· ἀλλὰ λαθραῖα
μὲν ἦν αὐτῶν κατακεκλεισμένων τὰ δάκρυα, καὶ μετὰ περι-
σκέψεως, μή τις ἐπακούσῃ τῶν ἐχθρῶν, ἔστενον· ἴσα γὰρ 27
τοῖς πενθουμένοις ὁ πενθήσας εὐθὺς ἔπασχε. Νύκτωρ δὲ
κόνιν αἴροντες χεροῖν ὀλίγην ἐπερρίπτουν τοῖς σώμασι, καὶ
μεθ' ἡμέραν εἴ τις παράβολος. Μύριοι δὲ καὶ δισχίλιοι τῶν
εὐγενῶν νέων οὕτω διεφθάρησαν.

4. Οἱ δὲ ἤδη διαμεμισηκότες τὸ φονεύειν, ἀναίδην εἰρω- 28
νεύοντο δικαστήρια καὶ κρίσεις. Καὶ δή τινα τῶν ἐπιφανε-
στάτων ἀποκτεῖναι προθέμενοι Ζαχαρίαν υἱὸν Βαρούχου, —
παρώξυνε δ' αὐτοὺς τὸ λίαν τοῦ ἀνδρὸς μισοπόνηρον καὶ φι-
λελεύθερον· ἦν δὲ καὶ πλούσιος, ὥστε μὴ μόνον ἐλπίζειν τὴν 29
ἁρπαγὴν τῆς οὐσίας, ἀλλὰ καὶ προσαποσκευάσεσθαι δυνατὸν
ἄνθρωπον εἰς τὴν αὐτῶν κατάλυσιν, — συγκαλοῦσιν οὖν ἐξ

23 τοῦ προσθήσεσθαι L. τοῦ προτεθήσεσθαι M. τὴν αἵρεσιν L.P. 24 μετὰ πονηρῶν L. προείλαντο N. μαστιγούμενοι καὶ P. καὶ προστρε-
βλούμενοι L. 25 ἡμέραν ἀνήγοντο νύκτωρ L.E. τοὺς μὲν νε-
κροὺς E. ἔρριπτον N.P. 26 αὐτῶν ἦν tr. L. δάκρυα, μετὰ περι-
σκέψεως δὲ, μὴ L. 27 πενθουμένοις εὐθὺς ὁ πενθῶν L. αἴροντες χερ-
σὶν L. μύριοι καὶ L.P. νέων deest L.E. 28 ἤδη μεμισηκότες M.
φονεύειν, ἀνέδην M.P. et ex cor. T. εἰρωνεύονται L. καί τινα τῶν L.
ἀποκτείνειν L. προσθέμενοι N. Βαρισκαίου L. et ex cor. T. Βαρεὶς
N.P. 29 ὡς μὴ μόνον T. προσαποσκευάζεσθαι L.M.P.T. συγκα-
λοῦσι μὲν ἐξ L. συγκαλοῦσιν ἐξ T.E.

ἐπιτάγματος ἑβδομήκοντα τῶν ἐν τέλει δημοτῶν, εἰς τὸ
30 σχῆμα δικαστῶν ἔρημον ἐξουσίας. Καὶ τοῦ Ζαχαρίου κατη-
γόρουν, ὡς ἐνδιδῴη τὰ πράγματα Ῥωμαίοις, καὶ περὶ προ-
δοσίας διαπέμψαιτο πρὸς Οὐεσπασιανόν. Ἦν δὲ οὔτε ἔλεγ-
χός τις τῶν κατηγορουμένων, οὔτε τεκμήριον, ἀλλ' αὐτοὶ
πεπεῖσθαι καλῶς ἔφασαν, καὶ τοῦτ' εἶναι πίστιν τῆς ἀλη-
31 θείας ἠξίουν. Ὁ γε μὴν Ζαχαρίας συνιδὼν μηδεμίαν αὐτῷ
καταλειπομένην σωτηρίας ἐλπίδα, κεκλῆσθαι γὰρ κατ' ἐνέ-
δραν εἰς εἱρκτὴν, οὐκ ἐπὶ δικαστήριον, ἐποιήσατο τὴν τοῦ ζῆν
32 ἀπόγνωσιν οὐκ ἀπαρρησίαστον· ἀλλὰ καταστὰς τὸ μὲν πιθα-
νὸν τῶν κατηγορουμένων διεχλεύασε, καὶ διὰ βραχέων ἀπε-
λύσατο τὰς ἐπιφερομένας αἰτίας. Εἶτα δὲ τὸν λόγον εἰς
τοὺς κατηγόρους ἀποστρέψας, ἐξῆς πάσας αὐτῶν διεξῆει τὰς
παρανομίας, καὶ πολλὰ περὶ τῆς συγχύσεως κατωλοφύρατο
33 τῶν πραγμάτων· οἱ ζηλωταὶ δὲ ἐθορύβουν, καὶ μόλις τῶν
ξιφῶν ἀπεκράτουν, τὸ σχῆμα καὶ τὴν εἰρωνείαν τοῦ δικαστη-
ρίου μέχρι τέλους παῖξαι προαιρούμενοι, καὶ ἄλλως πειράσαι
θέλοντες τοὺς δικαστὰς, εἰ παρὰ τὸν αὐτῶν κίνδυνον μνησθή-
34 σονται τοῦ δικαίου. Φέρουσι δὲ οἱ ἑβδομήκοντα τῷ κρινο-
μένῳ τὰς ψήφους ἀπολύσεως, καὶ σὺν αὐτῷ προείλοντο
τεθνᾶναι μᾶλλον, ἢ τῆς ἀναιρέσεως αὐτοῦ λαβεῖν τὴν ἐπιγρα-
35 φήν. Ἤρθη δὲ βοὴ τῶν ζηλωτῶν πρὸς τὴν ἀπόλυσιν, καὶ
πάντων μὲν ἦν ἀγανάκτησις ἐπὶ τοῖς δικασταῖς, ὡς μὴ συν-
36 ιεῖσι τὴν εἰρωνείαν τῆς δοθείσης αὐτοῖς ἐξουσίας. Δύο δὲ
τῶν τολμηροτάτων, προσπεσόντες ἐν μέσῳ τῷ ἱερῷ, διαφθεί-

τέλει δημοτικῶν L. τέλει δυνατῶν M. δημοτῶν, πρόσχημα, et ad marg. hæc sunt, γρ. τῶν ἐν τέλει δημ. εἰς τὸ ἱερόν· περιβέντες δ' αὐτοῖς ὥσπερ ἐπὶ σκηνῆς σχῆμα δικαστῶν ἔρημον ἐξουσίας τοῦ Ζαχ. κ. τ. λ. P. eadem man. rec. adscripta habet T. σχῆμα διὰ τῶν ἔρημον M. 30 ὡς ἐνδιδῶντα πράγματα L. κατηγορημένων N.P. 31 κεκλεῖσθαι γὰρ L.N. κατ' ἐνέδρας E. Ἔπειτα δὲ P. 32 αὐτῶν διεξίει P. τὰς πονηρίας καὶ πολλὰ M. περὶ συγχύσεως T. κατολοφύρετο P. 33 τὸ σχῆμα καὶ desunt M. τέλους παῖξαι L.P.E. ἄλλως πειρᾶσθαι M.E. τὸν ἑαυτῶν L. 34 τῶν κρινομένων L. ψήφους ἅπαντες, καὶ σὺν L.P. ψήφους τῆς ἀπολ. καὶ σὺν M. προείλαντο N. 35 μὴ συνεῖσι L.N.T. τῶν τολμηροτέρων M. τολμηρότατοι N.P.T. 36 ἱερῷ κτείνουσι τὸν L.

ρουσι τὸν Ζαχαρίαν, καὶ πεσόντι ἐπιχλευάζοντες ἔφασαν, " Καὶ παρ' ἡμῶν τὴν ψῆφον ἔχεις, καὶ βεβαιοτέραν ἀπόλυσιν," ῥίπτουσί τε αὐτὸν εὐθέως ἀπὸ τοῦ ἱεροῦ κατὰ τῆς ὑποκειμένης φάραγγος. Τοὺς δὲ δικαστὰς πρὸς ὕβριν ἀπε- 37
στραμμένοις τοῖς ξίφεσι τύπτοντες ἐξέωσαν τοῦ περιβόλου, δι' ἓν τοῦτο φεισάμενοι τῆς σφαγῆς αὐτῶν, ἵνα σκεδασθέντες ἀνὰ τὴν πόλιν ἄγγελοι πᾶσι τῆς δουλείας γένωνται.

5. Τοῖς δὲ Ἰδουμαίοις ἤδη τῆς παρουσίας μετέμελε, καὶ 38
προσίστατο τὰ πραττόμενα. Συναγαγὼν δὲ αὐτούς τις ἀπὸ τῶν ζηλωτῶν κατ' ἰδίαν ἐλθών, ἐνεδείκνυτο τὰ συμπαρανομηθέντα τοῖς καλέσασι, καὶ τὰ κατὰ τῆς μητροπόλεως διεξῄει, ' παρατάσσεσθαι μὲν γὰρ ὡς ὑπὸ τῶν ἀρχιερέων 39
προδιδομένης Ῥωμαίοις τῆς μητροπόλεως, εὑρηκέναι δὲ προδοσίας μὲν τεκμήριον οὐδέν· τοὺς δὲ ἐκείνην ὑποκρινομένους φυλάττεσθαι, καὶ πολέμου καὶ τυραννίδος ἔργα τολμῶντας. Προσήκειν μὲν οὖν αὐτοῖς διακωλύειν ἀπ' ἀρχῆς· ἐπεὶ δ' ἅπαξ 40
εἰς κοινωνίαν ἐμφυλίου φόνου προσέπεσον, ὅρον γοῦν ἐπιθεῖναι τοῖς ἁμαρτήμασι, καὶ μὴ παραμένειν χορηγοῦντας ἰσχὺν τοῖς καταλύουσι τὰ πάτρια. Καὶ γὰρ εἴ τινες χαλεπαί- 41
νουσι τὸ κλεισθῆναι τὰς πύλας καὶ τὴν εἴσοδον, ἀλλὰ τοὺς εἰρξαντας τετιμωρῆσθαι, καὶ τεθνᾶναι μὲν Ἄνανον, διεφθάρθαι δὲ ἐπὶ μιᾶς νυκτὸς ὀλίγου δεῖν πάντα τὸν δῆμον. Ἐφ' 42
οἷς τῶν μὲν οἰκείων πολλοὺς αἰσθάνεσθαι μετανοοῦντας, τῶν ἐπικαλεσαμένων δὲ ὁρᾶν ἄμετρον τὴν ὠμότητα, μηδὲ δι' οὓς

ἐπιχλευάσαντες P. βεβαι. τὴν ἀπόλυσιν M. εὐθέως deest P. 37 πρὸς τὴν ὕβριν P. ἀπεστρ. ξίφεσι P. 38 μετέμελλε P. καὶ προίστατο L.P. τις ὑπὸ τῶν N. ἐνεδείκνυτο καὶ τὰ L. et rec. man. T. καλέσασι τὸ κατὰ L. καλ. καὶ τὸ κατὰ N.P. 39 παρατάσσεσθε μὲν M. παραγενέσθαι μὲν L. Ῥωμαίοις προδιδομένης τῆς πόλεως L. προδοσίας τεκμήριον M.N.T. τεκμήρ. οὐδὲ ἓν L. 40 μὲν αὐτοῖς L. ἐπεὶ δ' εἰς T. ἐπειδὴ δὲ εἰς N. ἐπειδὴ δὲ ἅπαξ εἰς P. φόνου μετέπεσον L. πολέμου προσέπεσον M. φόν. προέπεσον deest σ ex ras. T. ἐπιτιθέναι L. 41 πύλας εἰς εἴσοδον M.N.T. et P. sed in huj. marg. hæc sunt γρ. τὰς πύλας καὶ μὴ δοθῆναι μετὰ τῶν ὅπλων αὐτοῖς ἑτοίμην τὴν εἴσοδον. τετιμώρησθε M.P. 42 Ἐφ' οὓς τῶν L. αἰσθάνεσθε M.

43 ἐσώθησαν αἰδουμένων. Ἐν ὄμμασι γοῦν τῶν συμμάχων τὰ αἴσχιστα τολμᾶν, καὶ τὰς ἐκείνων παρανομίας Ἰδουμαίοις προσάπτεσθαι, μέχρις ἂν μήτε κωλύῃ τις, μήτε χωρίζηται τῶν δρωμένων. Δεῖν οὖν, ἐπειδὴ διαβολὴ μὲν πέφηνε τὰ 44 τῆς προδοσίας, ἔφοδος δὲ Ῥωμαίων οὐδεμία προσδοκᾶται, δυναστεία τε ἐπιτετείχισται τῇ πόλει δυσκατάλυτος, αὐτοὺς ἀναχωρεῖν ἐπ' οἴκου, καὶ τοῦ μὴ κοινωνεῖν τοῖς φαύλοις ἁπάντων ἀπολογήσασθαι περὶ ὧν φενακισθέντες μετάσχοιεν.

CAP. VI.

1 1. Τούτοις πεισθέντες οἱ Ἰδουμαῖοι πρῶτον μὲν λύουσι τοὺς ἐν τοῖς δεσμωτηρίοις περὶ δισχιλίους δημότας, οἳ παραχρῆμα φυγόντες ἐκ τῆς πόλεως ἀφικνοῦνται πρὸς Σίμωνα, 2 περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν· ἔπειτα ἐκ τῶν Ἱεροσολύμων ἀνεχώρησαν ἐπ' οἴκου. Καὶ συνέβη τὸν χωρισμὸν αὐτῶν γενέσθαι παράδοξον ἀμφοτέροις· ὅ τε γὰρ δῆμος ἀγνοῶν 3 τὴν μετάνοιαν, ἐθάρσησε πρὸς ὀλίγον ὡς ἐχθρῶν κεκουφισμένος, οἵ τε ζηλωταὶ μᾶλλον ἐπανίστησαν, οὐχ ὡς ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ' ἀπηλλαγμένοι τῶν δυσωπούντων 4 καὶ διατρεπόντων παρανομεῖν. Οὐκ ἔτι γοῦν μέλλησις ἦ σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ' ὀξυτάταις μὲν ἐχρῶντο ταῖς ἐπινοίαις εἰς ἕκαστα, τὰ δοχθέντα δὲ τάχιον καὶ τῆς ἐπινοίας ἐνήργουν. Μάλιστα δ' ἐπ' ἀνδρείαν τε καὶ εὐγένειαν ἐφό- 5 νων, τὴν μὲν φθόνῳ λυμαινόμενοι, τὸ δὲ γενναῖον δέει· μόνην γὰρ αὐτῶν ἀσφάλειαν ὑπελάμβανον τὸ μηδένα τῶν δυνατῶν καταλιπεῖν. Ἀνῃρέθη γοῦν σὺν πολλοῖς ἑτέροις καὶ Γωρίων, ἀξιώματι μὲν καὶ γένει προέχων, δημοκρατικὸς δὲ καὶ φρονή- 6 ματος ἐλευθερίου μεστὸς, εἰ καί τις ἕτερος Ἰουδαίων. Ἀπώλεσε δὲ αὐτὸν ἡ παρρησία μάλιστα πρὸς τοῖς ἄλλοις πλεο-

43 Ἐπ' ὄμμασι γοῦν N.P. ἐπ' ὄμμασιν οὖν T. τῶν δρομένων P. ἐπεὶ διαβολὴ L. 44 δυναστεία δ' ἐπ. L. ἀπολογίσασθαι L. φαινακισθέντες P. 1 Τούτοις δὲ πεισθέντες L.N.T.E. 2 παρὰ δόξαν T. 3 ἐθάρρησεν ὀλίγον L. ἐπανέστησαν P.T. 4 ἀνδρείαν καὶ L. ἀνδρίαν τε καὶ M.T. τῷ μὲν φθόνῳ P. τὸν δὲ γενναῖον N. τὴν δὲ E. 5 τὸ μηδὲν αὐτῶν δυνατῶν L. δημοκρατηκὸς μὲν καὶ M. εἴπερ τις L.

νεκτήμασιν. Οὐδὲ ὁ Περαΐτης Νίγερ αὐτῶν τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐκ τοῖς πρὸς Ῥωμαίους πολέμοις γενόμενος, ὃς καὶ βοῶν πολλάκις τάς τε ὠτειλὰς ἐπιδεικνὺς διὰ μέσης ἐσύρετο τῆς πόλεως. Ἐπεὶ δὲ ἔξω τῶν πυλῶν ἦκτο, τὴν σωτηρίαν ἀπογνοὺς, περὶ ταφῆς ἱκέτευεν· οἱ δὲ προαπειλήσαντες, ἧς ἐπεθύμει μάλιστα γῆς μὴ μεταδώσειν αὐτῷ, τὸν φόνον ἐνήργουν. Ἀναιρούμενος δὲ ὁ Νίγερ τιμω- 8
ροὺς Ῥωμαίους αὐτοῖς ἐπηράσατο, λιμόν τε καὶ λοιμὸν ἐπὶ τῷ πολέμῳ, καὶ πρὸς ἅπασι τὰς ἀλλήλων χεῖρας. Ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ θεὸς, καὶ τὸ δικαιότατον, ὅτι γεύσασθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον οὐκ εἰς μακρὰν στασιάσαντες. Νίγερ μὲν οὖν ἀνηρημένος τοὺς περὶ τῆς 9
καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε. Τοῦ λαοῦ δὲ μέρος οὐδὲν ἦν, ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο πρόφασις· τὸ μὲν γὰρ αὐτῶν διενεχθέν τινι πάλαι διέφθαρτο, τὸ δὲ μὴ προσκροῦσαν κατ' εἰρήνην ἐπικαίρους ἐλάμβανε τὰς αἰτίας. Καὶ 10
ὁ μὲν μηδὲ ὅλως αὐτοῖς προσιὼν, ὡς ὑπερήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας, ὡς καταφρονῶν, ὁ θεραπεύων δὲ ὡς ἐπίβουλος ὑπωπτεύετο· μία τ' ἦν τῶν τε μεγίστων καὶ τῶν μετριωτάτων ἐγκλημάτων τιμωρία, θάνατος. Καὶ διέφυγεν οὐδεὶς, εἰ μὴ σφόδρα τις ἦν ταπεινὸς, ἢ δι' ἀγένειαν, ἢ διὰ τύχην.

2. Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες ἕρμαιον 11
ἡγούμενοι τὴν στάσιν τῶν πολεμίων, ὥρμηντο πρὸς τὴν πόλιν, καὶ τὸν Οὐεσπασιανὸν ἤπειγον ὡς ἂν ὄντα κύριον τῶν ὅλων, φάμενοι, πρόνοιαν θεοῦ σύμμαχον σφίσι, τῷ τετράφθαι τοὺς ἐχθροὺς κατ' ἀλλήλων· εἶναι μέντοι τὴν ῥοπὴν 12
ὀξεῖαν, καὶ ταχέως Ἰουδαίους ὁμονοήσειν, ἢ κοπιάσαντας ἐν

6 τὰς χεῖρας αὐτῶν tr. M. πρὸς Ῥωμαίοις M. 7 προσαπειλήσαντες M. 8 Νίγερ τιμωρουμένους M.N.T. Νίγ. τιμωρησομένους L. Ῥωμ. αὐτοὺς ἐπειράσατο M. λοιμὸν ἐν τῷ L. ὅτε γεύσασθαι M. 9 ἐπενοείτω P. ἐπὶ καιροὺς N.P.T.E. 10 μία δὲ ἦν M.N.T. καὶ μετριωτάτων L. καὶ μετριοτάτων P. τις εἴη ταπεινὸς διὰ πενίαν ἢ διὰ L. 11 ὡς ὄντα M. σφίσι deest M. τὸ τρέφθαι M. τὸ τετράφθαι L.E. 12 ὁμονοήσειν ἡμῖν, ἢ L.M.N.P.T.

13 τοῖς ἐμφυλίοις κακοῖς, ἢ μετανοήσαντας.' Οὐεσπασιανὸς δὲ
'πλεῖστον αὐτοὺς, ἔφη, τοῦ δέοντος ἁμαρτάνειν, ὥσπερ ἐν
θεάτρῳ χειρῶν τε καὶ ὅπλων ἐπίδειξιν ποιήσασθαι γλιχομέ-
νους οὐκ ἀκίνδυνον· ἀλλὰ μὴ τὸ συμφέρον, καὶ τὸ ἀσφαλὲς
14 σκοποῦντας. Εἰ μὲν γὰρ εὐθέως ὁρμήσαιεν ἐπὶ τὴν πόλιν,
αἴτιοι ὁμονοίας ἔσεσθαι τοῖς πολεμίοις, καὶ τὴν ἰσχὺν αὐτῶν
ἀκμάζουσαν ἐφ' αὐτοὺς ἐπιστρέφειν· εἰ δὲ περιμένοιεν, ὀλι-
15 γωτέροις χρήσεσθαι δαπανηθεῖσιν ἐν τῇ στάσει· στρατηγεῖν
μὲν γὰρ ἄμεινον αὐτοῦ τὸν θεὸν, ἀκοντὶ Ἰουδαίους Ῥωμαίοις
παραδιδόντα, καὶ τὴν νίκην ἀκινδύνως τῇ στρατιᾷ χαριζόμε-
νον· ὥστε χρῆναι διαφθειρομένων χερσὶν οἰκείαις τῶν ἐχθρῶν,
16 καὶ τῷ μεγίστῳ κακῷ στάσει χρωμένων, θεατὰς μᾶλλον αὐ-
τοὺς ἀποκαθῆσθαι τῶν κινδύνων, ἢ θανατῶσιν ἀνθρώποις καὶ
λελυσσηκόσι κατ' ἀλλήλων χεῖρα μίσγειν. Εἰ δέ τις οἴεται
τὴν δόξαν τῆς νίκης ἐωλοτέραν ἔσεσθαι δίχα μάχης, γνώτω
τοῦ διὰ τῶν ὅπλων σφαλεροῦ τὸ μεθ' ἡσυχίας κατόρθωμα
17 λυσιτελέστερον. Καὶ γὰρ οὐχ ἧττον εὐκλεεῖς οἴεσθαι χρὴ
τῶν κατὰ χεῖρα λαμπρῶν τοὺς ἐγκρατείᾳ καὶ συνέσει τὰ ἴσα
διαπράξαντας. Ἅμα μέντοι μειουμένων τῶν πολεμίων, καὶ
τὴν αὐτοῦ στρατιὰν, ἀναληφθεῖσαν ἐκ τῶν συνεχῶν πόνων,
18 ἐρρωμενέστερον ἄξειν. Ἄλλως τε καὶ τῶν στοχαζομένων
τῆς περὶ τὴν νίκην λαμπρότητος, οὐ τοῦτον εἶναι τὸν καιρόν·
οὐ γὰρ περὶ κατασκευὴν ὅπλων ἢ τειχῶν, οὐδὲ περὶ συλλο-
γὴν ἐπικούρων Ἰουδαίους ἀσχολεῖσθαι, καὶ τὴν ὑπέρθεσιν
19 ἔσεσθαι κατὰ τῶν διδόντων, ἀλλ' ἐμφυλίῳ πολέμῳ καὶ διχο-
νοίᾳ τραχηλιζομένους καθ' ἡμέραν οἰκτρότερα πάσχειν, ὧν

13 τὸ σύμφορον L. σκοπούντων N. 14 εὐθέως ὡρμήσαμεν M. εἰς τὴν πόλιν T. αἴτιος ὁμονοίας L.P. ἐπακμάζουσαν L. ἐφ' ἑαυτὸν ἐπιστ. L.P. περιμένοιμεν M. περιμείνειεν P. χρῆσθαι L. 15 στρατηγεῖν γὰρ αὐτοῦ ἄμεινον L. θεὸν, ἀκοντὶ L. θεὸν, ἀπονητὶ P.E. Ἰουδ. παραδιδ. Ῥωμαί. tr. L. Ῥωμ. παραδ. Ἰουδ. M.N.P. Ῥωμ. τοὺς Ἰουδαίους παρ. T. τῇ στρατηγίᾳ χαριζόμενος P. 16 λελυσσικόσι P. ἐωλωτέραν P. 17 οἴεσθαι εἰ χρὴ P. ἴσα πράξαντας L.N.P.T. τὴν ἑαυτοῦ L. ἄρξειν. ἄλλως L. 18 εἶναι καιρόν· E. γὰρ κατασκευὴν M. ἐπικουριῶν L. 19 τραχηλιαζομένους M.

ἂν ἐπελθόντες αὐτοὶ διαθεῖεν αὐτοὺς ἁλόντας. Εἴτε οὖν τὸ ἀσφαλές τις σκοποίη, χρῆναι τοὺς ὑφ' ἑαυτῶν ἀναλισκομένους ἐᾶν· εἴτε τὸ εὐκλεέστερον τοῦ κατορθώματος, οὐ δεῖν τοῖς οἴκοι νοσοῦσιν ἐπιχειρεῖν· ῥηθήσεσθαι γὰρ εὐλόγως οὐκ αὐτῶν τὴν νίκην ἀλλὰ τῆς στάσεως.'

3. Ταῦτα Οὐεσπασιανῷ λέγοντι συνήνουν οἱ ἡγεμόνες, καὶ παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης ἀνεφαίνετο. Πολλοὶ δὲ καθ' ἡμέραν ἠτομόλουν τοὺς ζηλωτὰς διαδιδράσκοντες· χαλεπὴ δὲ ἦν ἡ φυγή, φρουραῖς διειλημμένων τὰς διεξόδους πάσας, καὶ τὸν ἐν αὐταῖς ὀπωσοῦν ἁλισκόμενον ὡς πρὸς Ῥωμαίους ἀπιόντα διαχρωμένων. Ὅ γε μὴν χρήματα δοὺς ἐξήφιετο, καὶ μόνος ἦν ὁ μὴ διδοὺς προδότης· ὥστε κατελείπετο, τῶν εὐπόρων τὴν φυγὴν ὠνουμένων, μόνους ἀποσφάττεσθαι τοὺς πένητας. Νεκροὶ δὲ κατὰ τὰς λεωφόρους πάσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὡρμημένων αὐτομολεῖν πάλιν τὴν ἔνδον ἀπώλειαν ᾑροῦντο· τὸν γὰρ ἐπὶ τῆς πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει δοκεῖν μετριώτερον. Οἱ δὲ εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν, ὡς μήτε τοῖς ἔνδον ἀναιρουμένοις, μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς· ἀλλὰ καθάπερ συνθήκας πεποιημένοι τοῖς τῆς πατρίδος συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως νόμους, ἅμα τε τοῖς εἰς ἀνθρώπους ἀδικήμασι συμμιᾶναι καὶ τὸ θεῖον, ὑφ' ἡλίῳ τοὺς νεκροὺς μυδῶντας ἀπέλειπον. Τοῖς δὲ θάπτουσί τινα τῶν προσηκόντων, ὃ καὶ τοῖς αὐτομολοῦσιν, ἐπιτίμιον θάνατος ἦν· καὶ δεῖσθαι παραχρῆμα ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζόμενον. Καθόλου τε εἰπεῖν, οὐδὲν οὕτως ἀπολώλει χρηστὸν πάθος ἐν ταῖς τότε συμφοραῖς, ὡς ἔλεος·

τὰ ἀσφαλῆ L. 20 οὐ δεῖ L.M.N.T.E. ῥηθήσεται N.P.E. γὰρ deest P. 21 τῆς γνώμης τὸ στρατηγικὸν tr. M. Πολλοὶ γοῦν καθ' L. 22 φυγὴ, φρουρᾷ L. τὰς ἐξόδους T. ἐν αὐταῖς desunt M.N.T. ὀπωσοῦν ἐν αὐταῖς tr. L.P. τῶν ὀπωσοῦν ἁλισκομένων M. ἁλισκομένων πρὸς T. ἀπιόντων M. 23 μόνους ἐναποσφάττεσθαι L.P. 24 τῶν ὁρμημένων T. ex cor. ἔνδοθεν ἀπώλειαν L. ὡς μηδὲ τοῖς L. μηδὲ τοῖς ἀνὰ L. 25 ἐξώκιλαν P. πεποιημένοι τῆς T. sed rec. ma. sup. lin. adscrip. τοῖς. ἅμα δὲ τοῖς M. 26 ἀπέλιπον M. ἐπιτίμιος P. τῷ νεωτέρῳ χαριζόμενον P. 27 ἀπωλώλει T.

ἃ γὰρ ἐχρῆν οἰκτείρειν, ταῦτα παρώξυνε τοὺς ἀλιτηρίους, καὶ ἀπὸ μὲν τῶν ζώντων ἐπὶ τοὺς ἀνηρημένους, ἀπὸ δὲ τῶν νε-
28 κρῶν ἐπὶ τοὺς ζῶντας τὰς ὀργὰς μετέφερον· καὶ δι' ὑπερβολὴν δέους ὁ περιὼν τοὺς προληφθέντας ὡς ἀναπαυσαμένους ἐμακάριζεν, οἵ τε ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι, κατὰ
29 σύγκρισιν, καὶ τοὺς ἀτάφους ἀπέφαινον εὐδαίμονας. Κατεπατεῖτο μὲν οὖν πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων, ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ τοὺς τῶν προφητῶν θεσμοὺς ὥσπερ ἀγυρτικὰς
30 λογοποιΐας ἐχλεύαζον. Πολλὰ δὲ οὗτοι περὶ ἀρετῆς καὶ κακίας προεθέσπισαν, ἃ παραβάντες οἱ ζηλωταὶ, καὶ τὴν
31 κατὰ τῆς πατρίδος προφητείαν τέλους ἠξίωσαν. Ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν, ἔνθα τότε τὴν πόλιν ἁλώσεσθαι, καὶ καταφλεγήσεσθαι τὰ ἅγια νόμῳ πολέμου, στάσις ἐὰν κατασκήψῃ, καὶ χεῖρες οἰκεῖαι προμιάνωσι τὸ τοῦ θεοῦ τέμενος· οἷς οὐκ ἀπιστήσαντες οἱ ζηλωταὶ διακόνους ἑαυτοὺς ἐπέδοσαν.

CAP. VII.

1 1. Ἤδη δὲ Ἰωάννῃ τυραννιῶντι τὸ πρὸς τοὺς ὁμοίους ἰσότιμον ἠδοξεῖτο, καὶ κατ' ὀλίγους προσποιούμενος τῶν πονηροτέρων ἀφηνίαζε τοῦ συντάγματος. Ἀεὶ δὲ τοῖς μὲν τῶν ἄλλων δόγμασιν ἀπειθῶν, τὰ δὲ αὐτοῦ προστάσσων δε-
2 σποτικώτερον, δῆλος ἦν μοναρχίας ἀντιποιούμενος. Εἶκον δὲ αὐτῷ τινὲς μὲν δέει, τινὲς δὲ κατ' εὔνοιαν — δεινὸς γὰρ ἦν ἀπάτῃ καὶ δόλῳ προσαγαγέσθαι, — πολλοὶ δὲ πρὸς ἀσφαλείας ἡγούμενοι τῆς αὐτῶν τὰς αἰτίας ἤδη τῶν τολμωμένων
3 ἐφ' ἕνα καὶ μὴ πολλοὺς ἀναφέρεσθαι· τό γε μὴν δραστήριον αὐτοῦ κατά τε χεῖρα καὶ κατὰ γνώμην δορυφόρους εἶχεν οὐκ ὀλίγους. Πολλὴ δὲ μοῖρα τῶν ἀντικαθισταμένων ἀπελεί-

28 οἱ δ' ἐν τοῖς L. 29 προφητῶν χρησμοὺς ὥσπερ L. 30 Πολλὰ δ' αὐτοῖς περὶ L. τῆς κατὰ τ. π. προφητείας L. 31 ἀνδρῶν τότε M. καταφλεχθήσεσθαι L. καταφλέξεσθαι N.P.T. τὰ ἅγια ὅταν νόμῳ πολ. T. τὰ ἅγια ὅταν πολ. νόμῳ L. τὸ ἁγιώτατον νόμῳ πολ. N.P. στάσις ἐγκατασκήψῃ L.P. στάσις κατασκήψῃ sed ex ras. T. προμιανοῦσι P. διακόνους αὐτοὺς N.T. 1 ἀφηνιάζετο τοῦ L. 2 ἀπάτῃ καὶ λόγῳ πρ. L.N.T. προσάγεσθαι L. ἀσφαλείαν L. 3 τῶν ἀντικαθημένων L.N.T.

πετο, παρ' οἷς ἴσχυε μὲν καὶ φθόνος, δεινὸν ἡγουμένων ὑποτετάχθαι τῷ πρὶν ἰσοτίμῳ· τὸ πλέον δὲ εὐλάβεια τῆς μοναρχίας ἀπέτρεπεν· οὔτε γὰρ καταλύσειν ῥᾳδίως ἤλπιζον 4 αὐτὸν ἅπαξ κρατήσαντα, καὶ κατ' αὐτῶν πρόφασιν ἕξειν, τὸ τὴν ἀρχὴν ἀντιπρᾶξαι. Προηρεῖτο δὲ ἡ πολεμῶν ἕκαστος 5 ὁτιοῦν παθεῖν, ἢ δουλεύσας ἑκουσίως ἐν ἀνδραπόδου μοίρᾳ παραπολέσθαι. Διαιρεῖται μὲν οὖν ἡ στάσις ἐκ τούτων, καὶ τοῖς ἐναντιωθεῖσιν Ἰωάννης ἀντεβασίλευσεν. Ἀλλὰ τὰ μὲν 6 πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ οὐδὲν ἢ μικρὸν εἴ ποτε διηκροβολίζοντο τοῖς ὅπλοις. Ἤριζον δὲ κατὰ τοῦ δήμου, καὶ πότεροι πλείονα λείαν ἀνάξουσιν ἀντεφιλονείκουν. Ἐπεὶ δὲ ἡ πόλις τρισὶ τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, 7 πολέμῳ καὶ τυραννίδι καὶ στάσει, κατὰ σύγκρισιν μετριώτερον ἦν τοῖς δημοτικοῖς ὁ πόλεμος· ἀμέλει διαδιδράσκοντες ἐκ τῶν οἰκείων ἔφευγον πρὸς τοὺς ἀλλοτρίους, καὶ παρὰ Ῥωμαίοις ἧς ἀπήλπισαν ἐν τοῖς ἰδίοις σωτηρίας ἠξιοῦντο.

2. Τέταρτον δὲ ἄλλο κακὸν ἐκινεῖτο πρὸς τὴν τοῦ ἔθνους 8 κατάλυσιν. Φρούριον ἦν οὐ πόρρω Ἱεροσολύμων καρτερώτατον, ὑπὸ τῶν ἀρχαίων βασιλέων εἷς τε ὑπέκθεσιν κτήσεως ἐν πολέμου ῥοπαῖς, καὶ σωμάτων ἀσφαλείαν κατεσκευασμένον, ὃ ἐκαλεῖτο Μασάδα. Τοῦτο προκατειληφότες οἱ προσαγο- 9 ρευόμενοι σικάριοι, τέως μὲν τὰς πλησίον χώρας κατέτρεχον, οὐδὲν πλέον τῶν ἐπιτηδείων ποριζόμενοι· δέει γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς. Ὡς δὲ τὴν Ῥωμαίων στρα- 10

οἷς ἰσχὺς μὲν L. τὸ πρὶν P. 4 καθ' ἑαυτῶν P.E. καθ' ἑαυτὸν L. 5 Προηγεῖτο δὲ ἡ N.T.E. προηρεῖτο δ' οὖν L.P. δουλεύσας ἀκουσίως L. παραπολεῖσθαι L. οὖν στάσις E. ἀντεβασίλευεν sed ex ras. T. 6 διὰ φυλακῆς αὐτοῖς tr. L. καὶ οὐδὲ μικρὸν ἦν εἴποτε L. πότεροι λίαν ἀνάξουσιν M. 7 Ἐπειδὴ δὲ ἡ L. μετριότερον P. πρὸς τοὺς ἀλλοφύλους καὶ L.P. 8 Τέταρτον δὲ ἦδη κακὸν E. κτήσεων L. πολέμων M. κατεσκεν. ἐκαλεῖτο δὲ L. 9 Τοῦτο κατειληφότες N.P.T. σικάριοι in marg. λησταὶ P. σικάριοι· δέει γὰρ desunt quæ interjacent omnia L.M.N. et T. sed in huj. marg. literis evanidis apparent hæc verba λησταί· τέως μὲν τὰς πλησίον χώρας κατέτρεχον, οὐδὲν τῶν ἐπιτηδείων ἠπορημένοι. πλέον ἐπιτήδειον πορίζ. P. πλέον [ἢ χρειώδη] πορίζ. E. 10 Ὡς τὴν M. Ῥωμαίων μὲν στρατιὰν L.

τιὰν ἠρεμοῦσαν, στάσει δὲ καὶ τυραννίδι ἰδίᾳ τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους ἐπύθοντο διηρημένους, ἀδροτέρων ἥπτοντο
11 τολμημάτων. Καὶ κατὰ τὴν ἑορτὴν τῶν ἀζύμων, ἣν ἄγουσιν Ἰουδαῖοι σωτήρια ἐξόδου τῆς ὑπ' Αἰγυπτίοις δουλείας ἀνεθέντες εἰς τὴν πάτριον γῆν, κατῆλθον νύκτωρ, τοὺς ἐμποδὼν ὄντας διαλαθόντες, καὶ πολίχνην τινὰ κατατρέχουσι κα-
12 λουμένην Ἐγγαδδί. Ἐν ᾗ τὸ μὲν ἀμύνεσθαι δυνάμενον, πρὶν ὅπλων ἅψασθαι καὶ συνελθεῖν, φθάσαντες ἐσκέδασαν, καὶ τῆς πόλεως ἐξέβαλον· τὸ δὲ φυγεῖν ἧττον ὂν, γύναιά τε
13 καὶ παῖδας, ὑπὲρ ἑπτακοσίους ἀναιροῦσιν. Ἔπειτα τούς τε οἴκους ἐξεσκευασμένοι, καὶ τῶν καρπῶν τοὺς ἀκμαίους
14 ἁρπάσαντες ἀνήνεγκαν εἰς τὴν Μασάδαν. Καὶ οἱ μὲν ἐλητίζοντο πάσας τὰς περὶ τὸ φρούριον κώμας, καὶ τὴν χώραν ἐπόρθουν ἅπασαν, προσδιαφθειρομένων αὐτοῖς καθ' ἡμέραν ἐκασταχόθεν οὐκ ὀλίγων. Ἐκινεῖτο δὲ καὶ τὰ ἄλλα τῆς
15 Ἰουδαίας κλίματα, τό τε τέως ἠρεμοῦν λῃστρικόν. Καθάπερ δὲ ἐν σώματι τοῦ κυριωτάτου φλεγμαίνοντος πάντα τὰ μέλη συνενόσει, διὰ γοῦν τὴν ἐν τῇ μητροπόλει στάσιν καὶ ταραχὴν ἄδειαν ἔσχον οἱ κατὰ τὴν χώραν πονηροὶ τῶν ἀρ-
16 παγῶν· καὶ τὰς οἰκείας ἕκαστοι κώμας ἁρπάσαντες, ἔπειτα εἰς τὴν ἐρημίαν ἀφίσταντο. Συναθροιζόμενοί τε καὶ συνομνύμενοι κατὰ λόχους, στρατιᾶς μὲν ὀλιγώτεροι, πλείους δὲ
17 λῃστηρίου, προσέπιπτον ἱεροῖς καὶ πόλεσι. Καὶ κακοῦσθαι μὲν συνέβαινεν, ἐφ' οὓς ἂν ὁρμήσειαν ὡς ἐν πολέμῳ καταλειφθέντας, φθάνεσθαι δὲ τὰς ἀμύνας ὡς λῃστῶν ἅμα ταῖς

ἐπυνθάνοντο L.E. 11 ἄγουσιν Ἑβραῖοι σωτ. L. σωτηρίᾳ N.T.E. ἐξόδου ὅτε τῆς M. ἐξ οὗ τῆς L. ἐξο τῆς ex ras. T. ὑπ' Αἰγύπτου δουλ. L. διαλαθόντες πολίχνην L.P. et ex ras. T. καλουμένην Γαδδεὶν κατατρέχουσιν tr. L. Ἐγγαδδὶ sed in marg. γρ. Γαλάδια P. 12 ἀμύνασθαι L. ἅψασθαι ὅπλων tr. N.P.T. φθάσαντες ἐκόλασαν καὶ N.T. et P. sed in huj. marg. γρ. ἐσκέδασαν. τὰ δὲ φεῦγον ἧττον ἦν. γύναια δὲ καὶ L. 13 Μασάδα L. 14 καθ' ἡμέραν αὐτοῖς tr. L. ἐκινεῖτο δὲ κατὰ τὰ E. ἄλλα τῆς Ἰδουμαίας L. κλήματα M. ἠρεμοῦν τὸ λῃστρικόν. M. N.P.E. et pri. ma. T. 15 ἐν ἑνὶ σώματι L. ἐν μητροπόλει M.N.P. et pri. ma. T. 16 ἕκαστος M.N.P. ἁρπάξαντες L.N.T. ἁρπάζοντες M. 17 οὓς ὁρμήσειαν M.N.P.T. ὡς πολέμῳ L. καταληφθέντας M.N.

ἁρπαγαῖς ἀποδιδρασκόντων. Οὐδὲν δὲ μέρος ἦν τῆς Ἰουδαίας, ὃ μὴ τῇ προανεχούσῃ πόλει συναπώλλυτο.

3. Ταῦτα Οὐεσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγγέλ- 18
λετο. Καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στασιαστῶν ἁπάσας, καὶ διαφθειρόντων τοὺς ὀπωσοῦν προσιόντας, ὅμως ἦσαν οἳ διελάνθανον, καὶ καταφεύγοντες εἰς τοὺς Ῥω- 19
μαίους τὸν στρατηγὸν ἐνῆγον ‘ἀμῦναι τῇ πόλει, καὶ τὰ τοῦ δήμου περισῶσαι λείψανα· διὰ γὰρ τὴν πρὸς Ῥωμαίους εὔνοιαν ἀνῃρῆσθαί τε τοὺς πολλοὺς, καὶ κινδυνεύειν τοὺς περιόντας.’ Ὁ δὲ οἰκτείρων ἤδη τὰς συμφορὰς αὐτῶν, τὸ μὲν 20
δοκεῖν ἐκπολιορκήσων ἀνίσταται τὰ Ἱεροσόλυμα, τὸ δ’ ἀληθὲς ἀπαλλάξων πολιορκίας. Ἔδει δὲ προκαταστρέψασθαι 21
τὰ λειπόμενα, καὶ μηδὲν ἔξωθεν ἐμπάδιον τῇ πολιορκίᾳ καταλιπεῖν. Ἐλθὼν γοῦν ἐπὶ τὰ Γάδαρα μητρόπολιν τῆς Περαίας καρτερὰν, τετράδι Δύστρου μηνὸς εἴσεισιν εἰς τὴν πόλιν. Καὶ γὰρ ἔτυχον οἱ δυνατοὶ, λάθρα τῶν στασιωτῶν, 22
πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ παραδόσεως, πόθῳ τε εἰρήνης καὶ διὰ τὰς οὐσίας· πολλοὶ δὲ τὰ Γάδαρα κατῴκουν πλούσιοι. Τούτων τὴν πρεσβείαν ἠγνοήκεσαν οἱ διάφοροι, 23
πλησίον δὲ ἤδη ὄντος Οὐεσπασιανοῦ διεπύθοντο. Καὶ κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέγνωσαν δύνασθαι, τῶν τε ἔνδον ἐχθρῶν πλήθει λειπόμενοι, καὶ Ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς πόλεως· φεύγειν δὲ κρίναντες ἠδόξουν ἀναιμωτὶ 24
καὶ μηδεμίαν παρὰ τῶν αἰτίων εἰσπραξάμενοι τιμωρίαν. Συλλαβόντες δὴ τὸν Δόλεσον — οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώ- 25
ματι καὶ γένει τῆς πόλεως πρῶτος, ἀλλ’ ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος — κτείνουσί τε αὐτὸν, καὶ δι’ ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισάμενοι, διέδρασαν ἐκ τῆς πόλεως. Ἐπιούσης δὲ 26

προσανεχούσῃ L. συναπόλλυτο P. 18 ἠγγέλλετο M. τῶν στασιαστῶν τὰς ἐξόδους tr. P. ὁπωσοῦν προσόντας ex ras. T. 20 ἐκπολ. ἐφίσταται L.P. 21 ἔδει μὲν τοῦ προκατ. L. ἔδει μὲν προκ. P. ἐλθόντων οὖν ἐπὶ τὰ Γάδ. M.N.P.T. ἐπὶ Γάδαρα L. ἐπὶ τὰ Γάδηρα P. καρτερὰν τετάρτῃ Δ.Ε. 22 Καὶ ἔτυχον L. τῶν στασιωδῶν L.M.N.P. πρὸς τὸν αὐτὸν L. 23 τῶν δὲ ἔνδον P. 24 κρίνοντες L. μηδεμίαν ὑπὸ τῶν L. 25 Συλλαβόμενοι δὲ M. Δόλισον L. διέδραν ex cor. T. 26 Ἐπιούσης ἤδη L.

ἤδη τῆς Ῥωμαϊκῆς δυνάμεως, ὅ τε δῆμος τῶν Γαδάρων μετ' εὐφημίας τὸν Οὐεσπασιανὸν εἰσδεξάμενοι, δεξιὰς παρ' αὐτοῦ πίστεως ἔλαβον, καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν, πρὸς τὰς
27 τῶν φυγάδων καταδρομάς· τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι Ῥωμαίους καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρήνην ἀγαπᾶν, τὸ μηδὲ βουληθέντας πολεμεῖν.

28 4. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν Γαδάρων Πλάκιδον, σὺν ἱππεῦσι πεντακοσίοις καὶ πεζοῖς τρισχιλίοις πέμπει· αὐτὸς δὲ μετὰ τῆς ἄλλης στρατιᾶς ὑπέστρε-
29 ψεν εἰς Καισάρειαν. Οἱ δὲ φυγάδες ὡς αἰφνίδιον τοὺς διώκοντας ἱππεῖς ἐθεάσαντο, πρὶν εἰς χεῖρας ἐλθεῖν, εἴς τινα κώμην συνειλοῦνται, Βηθενναβρὶν προσαγορευομένην· ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες, καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ βίᾳ καθοπλίσαντες, εἰκαίως προπηδῶσιν ἐπὶ τοὺς περὶ τὸν
30 Πλάκιδον. Οἱ δὲ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν ὀλίγον εἶξαν, ἅμα καὶ προκαλέσασθαι τεχνιτεύοντες αὐτοὺς ἀπὸ τοῦ τείχους πορρωτέρω. Λαβόντες δὲ εἰς ἐπιτήδειον, περιήλαυ-
31 νόν τε καὶ κατηκόντιζον· καὶ τοὺς μὲν φυγάδας αὐτῶν οἱ ἱππεῖς ὑπετέμνοντο, τὰς συμπλοκὰς δὲ τὸ πεζὸν εὐτόνως διέφθειρον. Οὐ μέντοι πλεῖόν τι τόλμης ἐπιδεικνύμενοι οἱ
32 Ἰουδαῖοι διεφθείροντο· πεπυκνωμένοις γὰρ προσπίπτοντες τοῖς Ῥωμαίοις, καὶ ταῖς πανοπλίαις ὥσπερ τετειχισμένοις, αὐτοὶ μὲν οὐχ εὕρισκον βέλους παράδυσιν, οὐδὲ ἠτόνουν ῥῆ-
33 ξαι τὴν φάλαγγα· περιεπείροντο δὲ τοῖς ἐκείνων βέλεσι, καὶ τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις ὥρμων ἐπὶ τὸν σίδηρον. Διεφθείροντο δὲ οἱ μὲν κατὰ στόμα παιόμενοι τοῖς ξίφεσιν, οἱ δὲ ὑπὸ τῶν ἱππέων σκεδαννύμενοι.

εἰσδεξάμενος L. ἔλαβεν L. 27 αὐτοῖς τὴν N. et pri. ma. T. τὸ μηδὲν N. βουλευθέντας M. 28 πεζοῖς τριακοσίοις πέμπει L. ἱπ. πεντακοσίοις ἐκπέμπει, καὶ πεζοῖς τρισχιλίοις M. πέμπει· μετὰ δὲ L.M.N. T.E. στρατιᾶς αὐτὸς ὑπέσ. E. 29 Βιθεναβρὶν L. Βηθεναβρὶν M. ἐν ᾗ Ἰουδαίων πλ. P. ἔνθα Ἰουδ. πλ. L. 30 πρώτην συμβολὴν L. προσκαλέσασθαι M. πορροτέρω P. 31 διέφθειρεν L.M. μέν τι πλέον M. 32 τοῖς Ῥωμαίοις προσπίπτοντες tr. P. παρείσδυσιν ex cor. T. οὐδ' ἠτόνουν P. 33 ὥρμον P. στόμα πληττόμενοι τοῖς ὀϊστοῖς, οἱ δὲ L.

5. Σπουδὴ γὰρ ἦν τῷ Πλακίδῳ τὰς ἐπὶ τὴν κώμην ὁρμὰς 34
αὐτῶν διακλείειν, καὶ συνεχῶς παρελαύνων κατ' ἐκεῖνο τὸ μέ-
ρος, ἔπειτα ἐπιστρέφων ἅμα καὶ τοῖς βέλεσι χρώμενος, εὐ-
στόχως ἀνῄρει τοὺς πλησιάζοντας, καὶ δέει τοὺς πόρρωθεν 35
ἀνέστρεφε, μέχρι βίᾳ διεκπαίοντες οἱ γενναιότατοι πρὸς τὸ
τεῖχος διέφυγον. Ἀπορία δὲ εἶχε τοὺς φύλακας· οὔτε γὰρ
ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν Γαδάρων ὑπέμενον διὰ τοὺς σφετέ-
ρους, καὶ δεξάμενοι συναπολεῖσθαι προσεδόκων. Ὁ δὴ καὶ 36
συνέβη. Συνωσθέντων γὰρ αὐτῶν εἰς τὸ τεῖχος, παρ' ὀλίγον
μὲν οἱ τῶν Ῥωμαίων ἱππεῖς συνεισέπεσον· οὐ μὴν ἀλλὰ καὶ
φθασάντων ἀποκλεῖσαι τὰς πύλας, προσβαλὼν ὁ Πλάκιδος,
καὶ μέχρι δείλης γενναίως ἀγωνισάμενος, τοῦ τείχους καὶ τῶν
ἐν τῇ κώμῃ ἐκράτει. Τὰ μὲν οὖν ἀργὰ πλήθη διεφθείρετο· 37
φυγὴ δὲ ἦν τῶν δυνατωτέρων, τὰς δὲ οἰκίας οἱ στρατιῶται
διήρπασαν, καὶ τὴν κώμην ἐνέπρησαν. Οἱ δὲ διαδράντες ἐξ 38
αὐτῆς τοὺς κατὰ τὴν χώραν συνανέστησαν, καὶ τὰς μὲν αὐτῶν
συμφορὰς ἐξαίροντες ἐπὶ μεῖζον, τὴν δὲ Ῥωμαίων στρατιὰν
πᾶσαν ἐπιέναι λέγοντες, πάντας πανταχόθεν ἐξέσεισαν τῷ
δέει. Γενόμενοί τε παμπληθεῖς, ἔφευγον ἐπὶ Ἰεριχοῦντος· 39
αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε τῆς σωτηρίας,
καρτερὰ τείχει τε καὶ πλήθει οἰκητόρων τυγχάνουσα. Πλά- 40
κιδος δὲ, τοῖς ἱππεῦσι καὶ ταῖς προαγούσαις εὐπραγίαις
τεθαρρηκώς, εἵπετο, καὶ μέχρι μὲν Ἰορδάνου τοὺς ἀεὶ κατα-
λαμβανομένους ἀνῄρει. Συνελάσας δὲ πρὸς τὸν ποταμὸν
πᾶν τὸ πλῆθος, εἰργομένους ὑπὸ τοῦ ῥεύματος —τραφὲν γὰρ 41
ὑπ' ὄμβρων ἄβατον ἦν— ἀντικρὺ παρετάσσετο. Παρώξυνε
δὲ ἡ ἀνάγκη πρὸς μάχην τοὺς φυγῆς τόπον οὐκ ἔχοντας·

34 αὐτῶν ὁρμὰς διακωλύειν, καὶ L. 35 βίᾳ διεκπεσόντες οἱ L. διέ-
φευγον P. συναπολέσθαι P. 36 ἱππεῖς συνέπεσον E. πύλας προλα-
βὼν ὁ L. κώμη δὲ κρατεῖ L. 37 διεφθείροντο L. κώμην διέπρη-
σαν P. 38 τῶν δὲ Ῥωμαίων τὴν στρ. P. πανταχόθεν ἐξεστήσαν τῷ M.
δέει· ἠτιμωμένοι δὲ παμπ. L. 39 γὰρ αὐτῶν ἔτι L. ἐλπίδας ἔθαλπε L.
καρτερίᾳ L. τείχει τε καὶ desunt L.M.N.P.T. πλήθει τε οἰκητόρων
L.P. πλήθει τῶν οἰκ. M. πλήθει γε οἰκ. N.T. τυγχάνουσα deest L.
N.T. 40 ἅπαν τὸ M. εἰργομένοις L.N. εἰργόμενον ex cor. T. ἀπὸ
τοῦ ῥεύμ. E.

42 καὶ ταῖς ὄχθαις ἐπιμήκιστον παρεκτείνοντες σφᾶς αὐτοὺς, ἐδέχοντο τὰ βέλη καὶ τὰς τῶν ἱππέων ἐμβολὰς, οἳ πολλοὺς 3 αὐτῶν παίοντες εἰς τὸ ῥεῦμα κατέβαλον. Καὶ τὸ μὲν ἐν χερσὶν αὐτῶν διαφθαρὲν μύριοι πεντακισχίλιοι, τὸ δὲ βιασθὲν ἐμπηδῆσαι ἀκουσίως εἰς τὸν Ἰορδάνην πλῆθος ἄπειρον ἦν. Ἐάλωσαν δὲ περὶ δισχιλίους καὶ διακοσίους, λεία τε παμπληθὴς ὄνων τε καὶ προβάτων, καὶ καμήλων καὶ βοῶν.

44 6. Ἰουδαίοις μὲν οὖν οὐδὲν ἐλάττων ἦδε ἡ πληγὴ προσπεσοῦσα, καὶ μείζων ἔδοξεν ἑαυτῆς, διὰ τὸ μὴ μόνον τὴν χώραν ἅπασαν, δι' ἧς ἔφευγον, πληρωθῆναι φόνου, μηδὲ νεκροῖς δια- 45 βατὸν γένεσθαι τὸν Ἰορδάνην, ἐμπλησθῆναι δὲ τῶν σωμάτων καὶ τὴν Ἀσφαλτῖτιν λίμνην, εἰς ἣν παμπληθεῖς ὑπὸ τοῦ ποταμοῦ κατεσύρησαν. Πλάκιδος δὲ, δεξιᾷ τύχῃ χρώμενος, ὥρμησεν ἐπὶ τὰς πέριξ πολίχνας τε καὶ κώμας, καταλαμβα- 46 νόμενός τε Ἄβιλα καὶ Ἰουλιάδα καὶ Βησιμὼθ, τάς τε μέχρι τῆς Ἀσφαλτίτιδος πάσας, ἐγκαθίστησιν ἑκάστῃ τοὺς ἐπιτηδείους τῶν αὐτομόλων. Ἔπειτα σκάφεσιν ἐπιβιβάσας τοὺς στρατιώτας ἀναιρεῖ τοὺς εἰς τὴν λίμνην καταφυγόντας. Καὶ τὰ μὲν κατὰ τὴν Περαίαν προσεχώρησεν ἢ ἑάλω πάντα μέχρι Μαχαιροῦντος.

CAP. VIII.

1 1. Ἐν δὲ τούτῳ τὸ περὶ τὴν Γαλατίαν ἀγγέλλεται κίνημα, καὶ Οὐΐνδιξ ἅμα τοῖς δυνατοῖς τῶν ἐπιχωρίων ἀφεστὼς 2 Νέρωνος, περὶ ὧν ἐν ἀκριβεστέροις ἀναγέγραπται. Οὐεσπασιανὸν δὲ ἐπήγειρεν εἰς τὴν ὁρμὴν τοῦ πολέμου τὰ ἠγγελμένα, προορώμενον ἤδη τοὺς μέλλοντας ἐμφυλίους πολέ-

42 παρεκτείναντες N.T. κατέβαλλον L.N. 43 μύρι διακόσιοι· τὸ δὲ L. βιασθὲν πηδῆσαι L. ἀκουσίως deest M.N.P.T. πλῆθος ἑκουσίως ἄπειρον M.N.P.T. παμπληθεῖς P. ὄνων τε καὶ καμήλων καὶ βοῶν καὶ προβάτων L. ὄνων καὶ M.N.P.T. 44 ἐλάττω L. ἔλαττον P. ἔδοξεν αὐτῆς L. 45 ἐμπλησθῆναί τε L. Ἀσφαλτίτην M. Ἀσφαλτικὴν P. παρεσύρησαν M. δεξιᾷ τῇ τύχῃ L. κώμας τε καὶ πολίχνας tr. M. καταλαβόμενός τε Ἀμίλαν καὶ Ἰουλ. L. Βασιμὼθ sic L. Βησιμὼ P. 46 σκάφεσιν ἐπιβήσας N.P.T. στρατιώτας αἱρεῖ L.P. et in marg. ma. rec. T. καταφεύγοντας L.P. τὰ μὲν περὶ τὴν L. 1 τῆς Γαλατίας L.N.P.T. 2 μέλλοντας πολέμους M.

μους, καὶ τὸν ὅλης κίνδυνον τῆς ἡγεμονίας, ἐν ᾧ προειρηνεύσας τὰ κατὰ τὴν ἀνατολὴν, ἐπικουφίσειν ᾤετο τοὺς κατὰ τὴν Ἰταλίαν φόβους. Ἕως μὲν οὖν ἐπεῖχεν ὁ χειμὼν, τὰς 3
ὑπηγμένας διησφαλίζετο κώμας τε καὶ πολίχνας φρουραῖς, δεκαδάρχας μὲν κώμαις ἐγκαθιστὰς, ἑκατοντάρχας δὲ πόλεσι· πολλὰ δὲ ἀνῴκιζε καὶ τῶν πεπορθημένων. Ὑπὸ δὲ τὴν ἀρ- 4
χὴν τοῦ ἔαρος ἀναλαβὼν τὸ πλέον τῆς δυνάμεως, ἦγαγεν ἀπὸ τῆς Καισαρείας ἐπὶ Ἀντιπατρίδος. Ἔνθα δυσὶν ἡμέραις καταστησάμενος τὴν πόλιν, τῇ τρίτῃ προῆει πορθῶν καὶ καίων τὰς πέριξ πάσας. Καταστρεψάμενος δὲ τὰ περὶ τὴν 5
Θαμνᾶ τοπαρχίαν, ἐπὶ Λύδδης καὶ Ἰαμνίας ἐχώρει· καὶ προσκεχωρημέναις ἑκατέραις ἐγκαταστήσας οἰκήτορας τῶν προσκεχωρηκότων ἱκανοὺς, εἰς Ἀμμαοῦντα ἀφικνεῖται. Κατα- 6
λαβόμενος δὲ τὰς ἐπὶ τὴν μητρόπολιν αὐτῶν εἰσβολὰς, στρατόπεδόν τε τειχίζει, καὶ τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν πρόσεισι μετὰ τῆς ἄλλης δυνάμεως ἐπὶ τὴν Βεθλεπτηφῶν τοπαρχίαν. Πυρὶ δὲ αὐτήν τε καὶ τὴν γειτνιῶσαν ἀνε- 7
λὼν, καὶ τὰ πέριξ τῆς Ἰδουμαίας φρούρια τοῖς ἐπικαίροις τόποις ἐπετείχισε· καταλαβόμενος δὲ δύο κώμας, τὰς μεσαιτάτας τῆς Ἰδουμαίας, Βήταριν καὶ Καφάρτοβαν, κτείνει μὲν ὑπὲρ μυρίους, αἰχμαλωτίζεται δὲ ὑπὲρ χιλίους, καὶ τὸ λοιπὸν 8
πλῆθος ἐξελάσας, ἐγκαθίστησι τῆς ἰδίας δυνάμεως οὐκ ὀλίγην, οἳ κατατρέχοντες ἐπόρθουν ἅπασαν τὴν ὀρεινήν. Αὐ- 9
τὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεφεν εἰς Ἀμμαοῦντα, ὅθεν διὰ τῆς Σαμαρείτιδος καὶ παρὰ τὴν Νεάπολιν

ἐπικουφίζειν L. ὥετο κώμας τε desunt quæ interjacent omnia M. 3 Ἕως οὖν N. 4 τοῦ ἔαρος pri. ma. N. εἰς Ἀντιπατρίδα M. ἔνθα δυοῖν L. ἐγκαταστησάμενος M.N.T. πόλιν, τρίτῃ P. 5 τὰς περὶ τὴν L. Θαμνᾶν L.P. τοπαρχίας L. Λύδδων καὶ Ἰαμνείας N. Λύδων καὶ Ἰαμνείας P. προκεχειρωμέναις M.N.P. προκεχωρημέναις T. 6 Καταλαβόμενός τε τὰς L. Βετελεπτηφῶν L. Βεθλεπτηνφῶν N.P.T. 7 φρούρια μὲν τοῖς L.T.E. Ἰδουμ. Μετάφορίν τε καὶ L. Ἰδ. Βήτακριν καὶ P. Φαρτόρβαν L. Καταφάρτοβαν M.N.P.T. 8 αἰχμαλωτίζεται δὲ περὶ χιλ. L. τῆς οἰκείας δυνάμεως L.P. ἅπασαν ἐπόρθουν tr. L. 9 δὲ τότε μετὰ τῆς L. λοιπῆς στρατιᾶς ὑπέσ. L. ὑπέστρεψεν P. Ἀμαοῦντα M. Ἀμμαοῦν N.P. Ἐμμαοῦν L. τὴν νέαν πόλιν L.

καλουμένην, Μαβορθὰ δὲ ὑπὸ τῶν ἐπιχωρίων, καταβὰς εἰς
10 Κορέαν δευτέρᾳ Δαισίου μηνὸς στρατοπεδεύεται, τῇ δὲ ἑξῆς
εἰς Ἰεριχοῦντα ἀφικνεῖται, καθ' ἣν αὐτῷ συμμίσγει Τραϊα-
νὸς εἷς τῶν ἡγεμόνων, τὴν ἐκ τῆς Περαίας ἄγων δύναμιν, ἤδη
τῶν ὑπὲρ τὸν Ἰορδάνην κεχειρωμένων.

11 2. Τὸ μὲν οὖν πολὺ πλῆθος ἐκ τῆς Ἰεριχοῦντος φθάσαν
τὴν ἔφοδον αὐτῶν, εἰς τὴν ἄντικρυς Ἱεροσολύμων ὀρεινὴν δια-
πεφεύγει, καταλειφθὲν δ' οὐκ ὀλίγον διαφθείρεται. Τὴν δὲ
πόλιν ἔρημον κατειλήφεσαν, ἥτις ἵδρυται μὲν ἐν πεδίῳ, ψι-
12 λὸν δὲ ὑπέρκειται αὐτῆς καὶ ἄκαρπον ὄρος μήκιστον. Κατὰ
μὲν τὸ βόρειον κλίμα μέχρι τῆς Σκυθοπολιτῶν γῆς ἐκτείνε-
ται, κατὰ δὲ τὸ μεσημβρινὸν μέχρι τῆς Σοδομιτῶν χώρας
13 καὶ τῶν περάτων τῆς Ἀσφαλτίτιδος. Ἔστι δὲ ἀνώμαλόν
τε πᾶν, καὶ ἀοίκητον διὰ τὴν ἀγονίαν. Ἀντίκειται δὲ τούτῳ
τὸ περὶ τὸν Ἰορδάνην ὄρος, ἀρχόμενον ἀπὸ Ἰουλιάδος καὶ
τῶν βορείων κλιμάτων, παρατεῖνον δὲ εἰς μεσημβρίαν ἕως
14 Σομόρρων ἥπερ ὁρίζει τὴν Πέτραν τῆς Ἀραβίας. Ἐν
τούτῳ δέ ἐστι καὶ τὸ Σιδηροῦν καλούμενον ὄρος, μηκυνόμενον
μέχρι τῆς Μωαβίτιδος· ἡ μέση δὲ τῶν δύο ὀρέων χώρα τὸ
Μέγα πεδίον καλεῖται, ἀπὸ κώμης Γιναβρὶν διῆκον μέχρι
15 τῆς Ἀσφαλτίτιδος λίμνης. Ἔστι δὲ αὐτοῦ μῆκος μὲν στα-
δίων τριάκοντα καὶ διακοσίων, εὖρος δὲ εἴκοσι καὶ ἑκατόν.
Καὶ μέσον ὑπὸ τοῦ Ἰορδάνου τέμνεται, λίμνας τε ἔχει τήν
τε Ἀσφαλτῖτιν καὶ τὴν Τιβεριέων, φύσιν ἐναντίας· ἡ μὲν

Μαβορθὰν δὲ ὑπὸ L. Μαβαρθᾶ ὑπὸ M. Μαβαρθὰδ ὑπὸ N.T. Μαβαρθὰ
δ' ὑπὸ P. Κοραίαν L.N.T. Κοραίας M. 10 Δησίου μηνὸς P. Δεσίου
μ. M.N.T. αὐτῷ μίσγει P. Ἰορδάνην κεκυρωμένων L. 11 οὖν πλῆ-
θος M. Ἰεριχοῦς L. διαπεφεύγει, καὶ καταλ. E. καταληφθὲν M.T.
αὐτὴν καὶ L. αὐτῇ καὶ N. αὐτῇ καὶ sic T. 12 Κατὰ γὰρ τὸ M.N.T.
μέχρι τῶν Σκ. L. Σοδομίτιδος L. 13 ἀγωνίαν P. παρατείνων P.
δὲ μεσημβρίαν L. Συμόρων ἡ περιορίζει L.P. 14 Μοαβίτιδος λίμνης·
ἡ P. δύο ὀρῶν χώρα L. καλεῖται πεδίον tr. L. Δενναβρὶ L. Γινα-
βρὶν M. λίμνης deest P. 15 αὐτοῦ τὸ μῆκος P. σταδίων χιλίων δια-
κοσίων M.N.P.T. μέσον μὲν ὑπὸ L.E. λίμνας δὲ τήν τε Ἀσφαλ.
ἔχει L. Τιβεριαίων L. Τιβεριαίαν N.T. Τιβεριαίων P. φύσεις ἐναν-
τίας L.

γὰρ ἁλμυρώδης καὶ ἄγονος, ἡ Τιβεριέων δὲ γλυκεῖα καὶ γόνι- 16
μος. Ἐκπυροῦται δὲ ὥρᾳ θέρους τὸ πεδίον, καὶ δι' ὑπερβο-
λὴν αὐχμοῦ περιέχει νοσώδη τὸν ἀέρα· πᾶν γὰρ ἄνυδρον 17
πλὴν τοῦ Ἰορδάνου, παρὸ καὶ τοὺς μὲν ἐπὶ ταῖς ὄχθαις φοι-
νικῶνας εὐθαλεστέρους καὶ πολυφορωτέρους εἶναι συμβέβηκεν,
ἧττον δὲ τοὺς πόρρω κεχωρισμένους.

3. Παρὰ μέντοι τὴν Ἰεριχοῦντα ἐστὶ πηγὴ δαψιλής τε 18
καὶ πρὸς ἀρδείας λιπαρωτάτη, παρὰ τὴν παλαιὰν ἀναβλύ-
ζουσα πόλιν, ἣν Ἰησοῦς ὁ Ναυῆ παῖς, στρατηγὸς Ἑβραίων,
πρώτην εἶλε γῆς Χαναναίων δορίκτητον. Ταύτην τὴν πη- 19
γήν, λόγος ἔχει, κατ' ἀρχὰς οὐ μόνον γῆς καὶ δένδρων καρ-
ποὺς ἀπαμβλύνειν, ἀλλὰ καὶ γυναικῶν γονὰς, καθόλου τε
πᾶσιν εἶναι νοσώδη τε καὶ φθαρτικήν· ἐξημερωθῆναι δὲ καὶ 20
γενέσθαι τὸ ἐναντίον ὑγιεινοτάτην τε καὶ γονιμωτάτην ὑπὸ
Ἐλισσαίου τοῦ προφήτου· γνώριμος δὲ ἦν οὗτος Ἠλία καὶ
διάδοχος, ὃς ἐπιξενωθεὶς τοῖς κατὰ τὴν Ἰεριχοῦντα, περισσὸν
δή τι φιλοφρονησαμένων αὐτὸν τῶν ἀνθρώπων, αὐτούς τε
ἀμείβεται καὶ τὴν χώραν αἰωνίῳ χάριτι. Προελθὼν γὰρ 21
ἐπὶ τὴν πηγὴν, καὶ καταβαλὼν εἰς τὸ ῥεῦμα πλῆρες ἁλῶν
ἀγγεῖον κεράμου, ἔπειτα εἰς οὐρανὸν δεξιὰν ἀνατείνας δι-
καίαν, καὶ πηγῇ σπονδὰς μειλικτηρίους χεόμενος, ‘τὴν μὲν 22
ἠτεῖτο μαλάξαι τὸ ῥεῦμα, καὶ γλυκυτέρας φλέβας ἀνοῖξαι·
τὸν δὲ ἐγκεράσασθαι τῷ ῥεύματι γονιμωτέρους ἀέρας, δοῦναί
τε ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις καὶ τέκνων δια-
δοχὴν, μηδὲ ἐπιλιπεῖν αὐτοῖς τὸ τούτων γεννηματικὸν ὕδωρ, 23
ἕως μένουσι δίκαιοι.’ Ταύταις ταῖς εὐχαῖς, πολλὰ προχει-

16 ἁλμυρόδης P. ἡ δὲ Τιβερειαίων L. ἡ Τιβεριαίων δὲ N. 18 Ἰερι-
χοῦν L.N.T. et sic infra. ὁ Ναβῆ M. δορύκτητον P. 19 καρποὺς
ἀμβλύνειν T. 20 ἐξημερωθῆναί τε καὶ M.N.P.T. ὑγιεινοτάτην καὶ M.
N.P.T. Ἐλισσαίου τινὸς πρ. L. Ἐλισσαιὲ τοῦ πρ. N.T. δή τινα φι-
λοφ. L. αὐτῷ τῶν sed ex cor. T. αἰωνίᾳ L. 21 Προσελθὼν L.P.
πηγῆς σπονδὰς L.P. τῇ γῇ σπονδὰς ex cor. T. 22 τῷ γεύματι L.
γονιμοτέρους τε ἀέρας M. γονιμωτ. τε ἀέρας P. τοῖς δὲ ἐπιχωρίοις N.
P.T. 23 ἐπιλείπειν αὐτ. τοσοῦτον P. γεννητικὸν ὕδωρ L. et ex
ras. T.

ρουργήσας ἐξ ἐπιστήμης, ἔτρεψε τὴν πηγὴν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ λιμοῦ παραίτιον ὕδωρ ἐκ τότε εὐτεκνίας
24 καὶ κόρου χορηγὸν κατέστη. Τοσαύτην γοῦν ἐν ταῖς ἀρδείαις ἔχει δύναμιν, ὡς, εἰ καὶ μόνον ἐφάψαιτο τῆς χώρας, νοστιμώτερον εἶναι τῶν μέχρι κόρου χρονιζόντων. Παρὸ καὶ τῶν μὲν δαψιλέστερον χρωμένων ἡ ὄνησίς ἐστιν ὀλίγη,
25 τούτου δὲ τοῦ ὀλίγου δαψιλής. Ἄρδει γοῦν πλέον τῶν ἄλλων ἁπάντων, καὶ πεδίον μὲν ἔπεισιν ἑβδομήκοντα σταδίων μῆκος, εὖρος δὲ εἴκοσιν, ἐκτρέφει τε ἐν αὐτῷ παραδείσους καλλίστους τε καὶ πυκνοτάτους· τῶν δὲ φοινίκων ἐπαρδομένων γένη πολλὰ ταῖς γεύσεσι καὶ ταῖς παρηγορίαις διάφορα·
26 τούτων οἱ πιότεροι πατούμενοι καὶ μέλι δαψιλὲς ἀνιᾶσιν, οὐ πολλῷ τοῦ λοιποῦ χεῖρον. Καὶ μελιττοτρόφος δὲ ἡ χώρα. Φέρει δὲ καὶ ὀποβάλσαμον, ὃ δὴ τιμιώτατον τῶν τῇδε καρ-
27 πῶν, κύπρον τε καὶ μυροβάλανον· ὡς οὐκ ἂν ἁμαρτεῖν τινα εἰπόντα, θεῖον εἶναι τὸ χωρίον, ἐν ᾧ δαψιλῆ τὰ σπανιώτατα καὶ κάλλιστα γεννᾶται. Τῶν μὲν γὰρ ἄλλων αὐτῷ καρπῶν ἕνεκεν οὐκ ἂν ῥᾳδίως τι παραβληθείη κλίμα τῆς οἰκουμένης·
28 οὕτω τὸ καταβληθὲν πολύχουν ἀναδίδωσιν. Αἴτιον δέ μοι δοκεῖ τὸ θερμὸν τῶν ἀέρων καὶ τὸ τῶν ὑδάτων εὔγονον, τῶν μὲν προκαλουμένων τὰ φυόμενα καὶ διαχεόντων, τῆς δὲ ἰκμάδος ῥιζούσης ἕκαστον ἰσχυρῶς, καὶ χορηγούσης τὴν ἐν θέρει
29 δύναμιν. Περικαὲς δέ ἐστιν οὕτω τὸ χωρίον, ὡς μηδένα ῥᾳδίως προσιέναι. Τὸ δὲ ὕδωρ πρὸ ἀνατολῆς ἡλίου ἀντλούμενον, ἔπειτα ἐξαιθριασθὲν γίνεται ψυχρότατον, καὶ τὴν ἐναν-
30 τίαν πρὸς τὸ περιέχον φύσιν λαμβάνει· χειμῶνος δὲ ἀνάπα-

καὶ τὸ μὲν πρὶν L.P. ὀρφανείας τε καὶ λιμοῦ L. 24 ἐφάψαιτο τοῖς τῆς L. μέχρι καιροῦ χρον. L. τῶν δαψιλεστέρως L. ὀλίγη ἐστὶν tr. P. ὀλίγου ἡ χορηγία δαψιλής· L. ὀλίγου χορ. δαψιλής P. 25 πλέονα τῶν N.P.E. et pri. ma. T. ἐκτρέφει δὲ ἐν L. τῶν τε φοινίκων P. et ex cor. T. 26 Τούτων οἱ πλειότεροι L. οὐ πολὺ τοῦ L. μελιτοτρόφος L.M. 27 πολυχοῦν ἀποδίδωσιν N.T. 28 Αἴτιον ἐμοὶ L. αἰτιόν μοι N.T. εὔγονον sed in marg. γρ. εὔτονον P. προσκαλουμένων L.M.N.T. ἰκμάδος ἐρριζούσης L. χορηγ. τοῖς ἐν N.T. 29 οὕτως ἐστὶ tr. L. μηδένα ῥάδιον L. προϊέναι N.P.T. ἡλίου deest N.P.T. ἔπειτα deest L. ἐξετριασθὲν P. 30 χειμῶνός τε ἀνάπ. L.

λιν χλιαίνεται, καὶ τοῖς ἐμβαίνουσι γίνεται προσηνέστατον. Ἔστι δὲ καὶ τὸ περιέχον οὕτως εὔκρατον, ὡς λινοῦν ἀμφιέννυσθαι τοὺς ἐπιχωρίους, νιφομένης τῆς ἄλλης Ἰουδαίας. Ἀπέχει δὲ Ἱεροσολύμων μὲν σταδίους ἑκατὸν πεντήκοντα, 31 τοῦ δὲ Ἰορδάνου ἑξήκοντα. Καὶ τὸ μὲν μέχρι Ἱεροσολύμων αὐτῆς ἔρημον καὶ πετρῶδες· τὸ δὲ μέχρι τοῦ Ἰορδάνου καὶ 32 τῆς Ἀσφαλτίτιδος χθαμαλώτερον μέν, ἔρημον δὲ ὁμοίως καὶ ἄκαρπον. Ἀλλὰ τὰ μὲν περὶ Ἱεριχοῦντα εὐδαιμονεστάτην οὖσαν ἀποχρώντως δεδήλωται.

4. Ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὴν φύσιν τῆς Ἀσφαλτί- 33 τιδος λίμνης, ἥτις ἐστὶ πικρὰ μέν, ὡς ἔφην, καὶ ἄγονος, ὑπὸ δὲ κουφότητος καὶ τὰ βαρύτατα τῶν εἰς αὐτὴν ῥιφέντων ἀναφέρει, καταδῦναι δὲ εἰς τὸν βυθὸν οὐδὲ ἐπιτηδεύσαντα ῥᾴδιον. Ἀφικόμενος γοῦν καθ' ἱστορίαν ἐπ' αὐτὴν Οὐεσπασιανὸς, 34 ἐκέλευσέ τινας τῶν νεῖν οὐκ ἐπισταμένων δεθέντας ὀπίσω τὰς χεῖρας ῥιφῆναι κατὰ τοῦ βυθοῦ· καὶ συνέβη πάντας ἐπινήξασθαι, καθάπερ ὑπὸ πνεύματος ἄνω βιαζομένους. Ἔστι 35 δὲ ἐπὶ τούτῳ καὶ ἡ τῆς χρόας μεταβολὴ θαυμάσιος· τρὶς γὰρ ἑκάστης ἡμέρας τὴν ἐπιφάνειαν ἀλλάσσεται, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀνταυγεῖ ποικίλως· τῆς μέντοι ἀσφάλτου 36 κατὰ πολλὰ μέρη βώλους μέλανας ἀναδίδωσιν, αἱ δὲ ἐπινήχονται τό τε σχῆμα καὶ τὸ μέγεθος ταύροις ἀκεφάλοις παραπλήσιαι. Προσελαύνοντες δὲ οἱ τῆς λίμνης ἐργάται, καὶ δρασσόμενοι τοῦ συνεστῶτος ἕλκουσιν εἰς τὰ σκάφη· πληρώσασι δὲ ἀποκόπτειν οὐ ῥᾴδιον, ἀλλὰ δι' εὐτονίαν προσ- 37 ήρτηται τῷ μηρύματι τὸ σκάφος, ἕως ἂν ἐμμηνίῳ γυναικῶν αἵματι καὶ οὔρῳ διαλύσωσιν αὐτὴν, οἷς μόνοις εἴκει. Καὶ 38

ὡς λινῷ ἀμφ. L.P. et ex cor. T. νειφομένης N.P. 31 Ἀπέχει δὲ ἀπὸ P. Ἱεροσολ. σταδίους L.M. Ἰορδάνου σταδίους ἑξη. L. 32 χαμαλώτερον μὲν περὶ Ἱεριχ. desunt quæ interjacent omnia M. Ἀλλὰ γὰρ τὰ μὲν P. περὶ τὴν Ἱεριχ. T. 33 μέν, ὡς ἔφην, πικρὰ tr. M.N.P.T. καὶ βαρυτάτων εἰς L. ἐπιτηδεύσαντι ex cor. T. 34 τινας τῶν δύνειν οὐκ L.P. κατὰ τοῦ βάθους· καὶ L. βιαζομένου. N.T. 35 τῆς χώρας μεταβολὴ N.T. ἀλάσσεται τὴν ἐπιφανείαν L. 37 εὐτονίαν προσῆρται P. μόνοις εἴκη M. εἴκει· ἐπιτήδειος δέ ἐστιν οὐ L. μόνον ἐστὶν εἰς E.

χρήσιμος δὲ οὐ μόνον εἰς ἁρμονίας νεῶν, ἀλλὰ καὶ πρὸς ἄκεσιν σωμάτων· εἰς πολλὰ γοῦν τῶν φαρμάκων παραμίσγεται. Ταύτης τῆς λίμνης μῆκος μὲν ὀγδοήκοντα καὶ πεντακόσιοι
39 στάδιοι, καθὸ δὴ μέχρι Ζοάρων τῆς Ἀραβίας ἐκτείνεται, εὖρος δὲ πεντήκοντα καὶ ἑκατόν. Γειτνιᾷ δὲ ἡ Σοδομῖτις αὐτῇ, πάλαι μὲν εὐδαίμων γῆ, καρπῶν τε ἕνεκα καὶ τῆς κατὰ
40 πόλεις περιουσίας· νῦν δὲ κεκαυμένη πᾶσα. Φασὶ δὲ, ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς κατεφλέγη· ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρὸς, καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιάς·
41 ἔστι δὲ καὶ ἐν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν ἀναλύονται καὶ τέφραν. Τὰ μὲν δὴ περὶ τὴν Σοδομῖτιν μυθευόμενα τοιαύτην ἔχει πίστιν ἀπὸ τῆς ὄψεως.

CAP. IX.

1 1. Ὁ δὲ Οὐεσπασιανὸς πανταχόθεν περιτειχίζων τοὺς ἐν τοῖς Ἱεροσολύμοις, ἔν τε τῇ Ἱεριχοῖ καὶ ἐν Ἀδίδοις ἐγείρει στρατόπεδα, καὶ φρουρὰς ἀμφοτέραις ἐγκαθίστησιν ἔκ τε
2 τοῦ Ῥωμαϊκοῦ καὶ συμμαχικοῦ τάγματος. Πέμπει δὲ καὶ εἰς Γέρασα Λούκιον Ἄννιον, παραδοὺς μοῖραν ἱππέων καὶ συχνοὺς πεζῶν. Ὁ μὲν οὖν ἐξ ἐφόδου ἑλὼν τὴν πόλιν, ἀποκτείνει μὲν χιλίους τῶν νέων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν·
3 γενεὰς δὲ ᾐχμαλωτίσατο, καὶ τὰς κτήσεις διαρπάσαι τοῖς στρατιώταις ἐπέτρεψεν. Ἔπειτα τὰς οἰκίας ἐμπρήσας, ἐπὶ
4 τὰς πέριξ κώμας ἐχώρει. Φυγαὶ δὲ ἦσαν τῶν δυνατῶν, καὶ φθοραὶ τῶν ἀσθενεστέρων· τὸ καταλειφθὲν δὲ πᾶν ἐνεπίμπρατο, καὶ διειληφότος τοῦ πολέμου τήν τε ὀρεινὴν ὅλην καὶ

38 σωμάτων· πολλοῖς γοῦν L. Ταύτης μὲν τῆς L. 39 καθὸ μέχρι M. Ζοβαρῶν L.P. εὖρος πεντήκοντα N.T. κατὰ πόλιν περ. L.P. 40 καταφλεγῆναι M.N.P.T. σκιάς· ἔτι δὲ κἀν τοῖς L. σκ. ἔτι δὲ καὶ τοῖς P. 41 τῶν ἐδωδίμων P. et ad marg. quæ sequuntur σῃ. ἐν τούτῳ καὶ ὁ μέγας αὐτῷ Ἰωάννης ὁ ✳ συμφωνεῖ. δρεψαμένῳ ex ras. T. διαλύονται M.N. 1 πανταχόσε N.T. ἐπιτειχίζων L. στρατόπεδον M. φρουρὸν L. 2 Γέσαρα M. Ἄνιον M. συχνοὺς πεζούς. M.N.P.T. τὴν πόλιν ἑλὼν tr. L. ἀποκτένει M.N. 3 δὲ αἰχμαλωτίσας, καὶ L. τὰς κτίσεις L. 4 ὅλην deest L.

τὴν πεδιάδα πᾶσαν, οἱ ἐν τοῖς Ἱεροσολύμοις τὰς ἐξόδους ἀφῄρηντο. Τοὺς μὲν γὰρ αὐτομολεῖν προαιρουμένους οἱ 5
ζηλωταὶ παρεφυλάσσοντο· τοὺς δὲ οὔπω τὰ Ῥωμαίων φρονοῦντας εἶργεν ἡ στρατιὰ, πανταχόθεν τὴν πόλιν περιέχουσα.

2. Οὐεσπασιανῷ δὲ εἰς Καισάρειαν ἐπιστρέψαντι, καὶ 6
παρασκευαζομένῳ μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτῶν τῶν Ἱεροσολύμων ἐξελαύνειν, ἀγγέλλεται Νέρων ἀνῃρημένος, τρισκαίδεκα βασιλεύσας ἔτη καὶ ἡμέρας ὀκτώ. Περὶ οὗ λέ- 7
γειν, ὃν τρόπον εἰς τὴν ἀρχὴν ἐξύβρισε, πιστεύσας τὰ πράγματα τοῖς πονηροτάτοις, Νυμφιδίῳ καὶ Τιγελλίνῳ, τοῖς γε ἀναξίοις τῶν ἐξελευθέρων· καὶ ὡς ὑπὸ τούτων ἐπιβουλευθεὶς 8
κατελείφθη μὲν ὑπὸ τῶν φυλάκων ἁπάντων, διαδρὰς δὲ σὺν τέτρασι τῶν πιστῶν ἀπελευθέρων ἐν τοῖς προαστείοις ἑαυτὸν ἀνεῖλε· καὶ ὡς οἱ καταλύσαντες αὐτὸν μετ' οὐ πολὺν χρόνον δίκας ἔδοσαν· τόν τε κατὰ τὴν Γαλατίαν πόλεμον, ὡς ἐτε- 9
λεύτησε, καὶ πῶς Γάλβας ἀποδειχθεὶς αὐτοκράτωρ εἰς Ῥώμην ἐπανῆλθεν ἐκ τῆς Ἱσπανίας, καὶ ὡς ὑπὸ τῶν στρατιωτῶν αἰτιασθεὶς ἐπὶ ταπεινοφροσύνῃ ἐδολοφονήθη κατὰ μέσην τὴν Ῥωμαίων ἀγοράν, ἀπεδείχθη δὲ αὐτοκράτωρ Ὄθων· τήν τε 10
τούτου στρατείαν ἐπὶ τοὺς Οὐϊτελλίου στρατηγοὺς καὶ κατάλυσιν, ἔπειτα τοὺς κατὰ Οὐϊτέλλιον ταράχους, καὶ τὴν περὶ τὸ Καπιτώλιον συμβολήν· ὅπως τε Ἀντώνιος Πρῖμος καὶ 11
Μουκιανὸς, διαφθείραντες Οὐϊτέλλιον καὶ τὰ Γερμανικὰ τάγματα, κατέστειλαν τὸν ἐμφύλιον πόλεμον — πάντα ταῦτα διεξιέναι μὲν ἐπ' ἀκριβὲς παρῃτησάμην, ἐπειδὴ δι' ὄχλου πᾶ- 12
σίν ἐστι, καὶ πολλοῖς Ἑλλήνων τε καὶ Ῥωμαίων ἀναγέγραπται. Συναφείας δὲ ἕνεκα τῶν πραγμάτων, καὶ τοῦ μὴ

5 Τοὺς μέν τοι γε P. εἶρξεν L. 6 τρία καὶ δέκα L.N.T. 7 Τιγελαίνῳ P. τοῖς τε ἀναξίοις P. τοῖς ἀναξίοις T. 8 διαδιδράσκει δὲ σὺν τέσσαρσιν P. ἑαυτὸν ἀνελὼν P. αὐτὸν μετὰ πολὺν L.M.N.P.T. αὐτὸν οὐ μετὰ πολὺν E. δίκας ἔδωκαν M. 9 κατὰ Γαλατίαν L. τῆς Σπανίας L.N.P. ὡς ἐκ στρατιωτῶν L. αἰτιαθεὶς L.N.T. ἀπεδείχθη τε αὐτ. M.N.P.T.E. 10 Οὐϊτιλλίου N.T. Οὐϊτιλίου P. et sic infra. 11 Ἀντώνινος Πρῖμος M. ταῦτα πάντα tr. L.

διηρτῆσθαι τὴν ἱστορίαν, κεφαλαιωδῶς ἕκαστον ἐπεσημηνάμην. Οὐεσπασιανὸς τοίνυν τὸ μὲν πρῶτον ἀνεβάλλετο τὴν
13 τῶν Ἱεροσολύμων στρατείαν, καραδοκῶν πρός τίνα ῥέψει τὸ κρατεῖν μετὰ Νέρωνα. Αὖθις δὲ Γάλβαν ἀκούσας αὐτοκράτορα, πρὶν ἐπιστεῖλαί τι περὶ τοῦ πολέμου καὶ ἐκεῖνον,
14 οὐκ ἐπεχείρει. Πέμπει δὲ πρὸς αὐτὸν καὶ τὸν υἱὸν Τίτον ἀσπασόμενόν τε καὶ ληψόμενον τὰς περὶ Ἰουδαίων ἐντολάς. Τῆς αὐτῆς δὲ αἰτίας ἅμα Τίτῳ καὶ Ἀγρίππας ὁ βασιλεὺς
15 πρὸς Γάλβαν ἔπλει, καὶ διὰ τῆς Ἀχαΐας, χειμῶνος γὰρ ἦν ἄρα, μακραῖς ναυσὶ πλεόντων, φθάνει Γάλβας ἀναιρεθεὶς μετὰ μῆνας ἑπτὰ καὶ ἴσας ἡμέρας. Ἐξ οὗ τὴν ἡγεμονίαν παρέλαβεν Ὄθων, ἀντιποιούμενος τῶν πραγμάτων. Ὁ μὲν οὖν Ἀγρίππας εἰς τὴν Ῥώμην ἀφικέσθαι διέγνω, μηδὲν ὀρ-
16 ρωδήσας πρὸς τὴν μεταβολήν. Τίτος δὲ κατὰ δαιμόνιον ὁρμὴν ἀπὸ τῆς Ἑλλάδος εἰς τὴν Συρίαν ἔπλει, καὶ κατὰ
17 τάχος εἰς Καισάρειαν ἀφικνεῖται πρὸς τὸν πατέρα. Καὶ οἱ μὲν μετέωροι περὶ τῶν ὅλων ὄντες, ὡς ἂν σαλευομένης τῆς Ῥωμαίων ἡγεμονίας, ὑπερεώρων τὴν ἐπὶ Ἰουδαίους στρατείαν, καὶ διὰ τὸν περὶ τῆς πατρίδος φόβον τὴν ἐπὶ τοὺς ἀλλοφύλους ὁρμὴν ἄωρον ἐνόμιζον.

18 3. Ἐπανίσταται δὲ ἄλλος τοῖς Ἱεροσολύμοις πόλεμος. Υἱὸς ἦν Γιώρα Σίμων τις, Γερασηνὸς τὸ γένος, νεανίας πανουργίᾳ μὲν ἠττώμενος Ἰωάννου τοῦ προκατέχοντος ἤδη τὴν
19 πόλιν, ἀλκῇ δὲ σώματος καὶ τόλμῃ διαφέρων, δι' ἣν καὶ ὑπὸ Ἀνάνου τοῦ ἀρχιερέως φυγαδευθεὶς ἐξ ἧς εἶχε τοπαρχίας Ἀκραβατηνῆς, πρὸς τοὺς κατειληφότας τὴν Μασάδαν λῃστὰς παραγίνεται. Τὸ μὲν οὖν πρῶτον ἦν αὐτοῖς δι' ὑποψίας·

12 διηρῆσθαι P. ἕκαστον ἐπισημαίνομαι. L.P. 13 τὴν Ἱεροσολύμων T. στρατίαν, καραδ. N. 14 αὐτὸν τὸν υἱὸν E. ἀσπασόμενον καὶ M.E. ἐντολάς. Διὰ δὲ τὰς αὐτὰς αἰτίας L.P. Ἀχαίας αὐτῶν· χειμ. L. 15 ὥρα ἦν tr. N.P.T. ναυσὶ μακραῖς tr. L. ναυσὶ περιπλεόντων N.P.T. ἐξ οὗ καὶ τὴν L.P. ἀφικνεῖσθαι διέγνω L. 16 Συρίαν ἀνέπλει N.T. εἰς τὴν Καισάρειαν L. 17 Ἰουδαίους στρατίαν N.T. Ἰουδ. στρατηγίαν P. 18 Ἐπανίστατο L.N. Σίμων Γερασινὸς νεανίας L. Ἰωάννου προκατέχοντος M.N.T.E. τὴν πόλιν ἤδη tr. M. 19 Μεσσάδα L. Μασάδα P. et sic infra. δι' ὑποψίας ἦν αὐτοῖς tr. M.

εἰς τὸ κατωτέρω γοῦν φρούριον ἐπέτρεψαν αὐτῷ παρελθεῖν ἅμα ταῖς γυναιξὶν, ἃς ἄγων ἦκεν, αὐτοὶ τὸ ὑψηλότερον οἰκοῦντες. Αὖθις δὲ διὰ συγγένειαν ἠθῶν, καὶ ὅτι πιστὸς ἐδό- 20
κει, συμπροενόμενε γοῦν αὐτοῖς ἐξιὼν, καὶ συνεπόρθει τὰ περὶ τὴν Μασάδαν· οὐ μὴν ἐπὶ τὰ μεῖζω παρακαλῶν ἔπειθεν. Οἱ μὲν γὰρ ἐν ἕθει ὄντες τῷ φρουρίῳ, καθάπερ φωλεοῦ χω- 21
ρίζεσθαι μακρὰν ἐδεδοίκεσαν· ὁ δὲ τυραννιῶν, καὶ μεγάλων ἐφιέμενος, ἐπειδὴ καὶ τὴν Ἀνάνου τελευτὴν ἤκουσεν, εἰς τὴν ὀρεινὴν ἀφίσταται, καὶ προκηρύξας δούλοις μὲν ἐλευθερίαν, 22
γέρας δὲ ἐλευθέροις, τοὺς πανταχόθεν πονηροὺς συνήθροιζεν.

4. Ὡς δὲ ἦν αὐτῷ καρτερὸν ἤδη τὸ σύνταγμα, τὰς ἀνὰ 23
τὴν ὀρεινὴν κώμας κατέτρεχεν· ἀεὶ δὲ πλειόνων προσγινομένων, ἐθάρρει καταβαίνειν εἰς τὰ χθαμαλώτερα. Καὶ ἐπειδὴ 24
πόλεσιν ἤδη φοβερὸς ἦν, πολλοὶ πρὸς τὴν ἰσχὺν καὶ τὴν εὔροιαν τῶν κατορθωμάτων ἐφθείροντο δυνατοί. Καὶ οὐκ ἔτι ἦν δούλων μόνον, οὐδὲ λῃστῶν στρατὸς, ἀλλὰ καὶ δημοτικῶν οὐκ ὀλίγων, ὡς πρὸς βασιλέα πειθαρχία. Κατέτρεχε 25
δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν, καὶ τὰ μέχρι τῆς μεγάλης Ἰδουμαίας. Κατὰ γὰρ κώμην τινὰ καλουμένην Ναῖν τεῖχος κατασκευάσας, ὥσπερ φρουρίῳ πρὸς ἀσφάλειαν ἐχρῆτο. Κατὰ δὲ τὴν Φαρὰν προσαγορευομένην φάραγγα, πολλὰ 26
μὲν ἀνευρύνας σπήλαια, πολλὰ δὲ εὑρὼν ἕτοιμα, ταμιείοις ἐχρῆτο θησαυρῶν καὶ τῆς λείας ἐκδοχείοις. Ἀνετίθει δὲ καὶ 27
τοὺς ἁρπαζομένους εἰς αὐτὰ καρποὺς, οἵ τε πολλοὶ τῶν λόχων δίαιταν εἶχον ἐν ἐκείνοις· δῆλος δὲ ἦν τό τε σύνταγμα προγυμνάζων καὶ τὰς παρασκευὰς κατὰ τῶν Ἱεροσολύμων.

20 καὶ πιστὸς M. ἔπεισε· οἱ μὲν P. 21 Οἱ μὲν ἐν N. γὰρ ἐθίζοντες τῷ L. τοῦ φρουρίου M. φωλαιοῦ χωρ. μακρὸν P. ὀρεινὴν ἐφίσταται L. 23 τὸ σύνταγμα ἤδη tr. M.N.P.T. πλειόνων γιγνομένων L. προσγινομένων πλειόνων tr. M.N.P.T. καταβαίνειν ἐπὶ τὰ L. 24 τὴν εὔνοιαν M. πειθαρχεῖν. Κατ. P. 25 δὲ Ἀκραβεττηνὴν L. δὲ τὴν Ἀκραιβατηνὴν M. δὲ τήν τε Ἀκραβαιτινὴν T. Κατὰ μὲν γὰρ L. 26 Κατὰ γὰρ τὴν M. προσαγορευομένην φέρεται· πολλὰ L.P. ἕτοιμα, οἷς ταμιείοις L. 27 εἶχον ἐκείνοις P.

28 5. Ὅθεν οἱ ζηλωταὶ, δείσαντες αὐτοῦ τὴν ἐπιβουλὴν, καὶ προλαβεῖν βουλόμενοι τὸν κατ' αὐτῶν τρεφόμενον, ἐξιᾶσι μετὰ τῶν ὅπλων οἱ πλείους· ὑπαντιάζει δὲ Σίμων, καὶ παραταξάμενος συχνοὺς μὲν αὐτῶν ἀναιρεῖ, συνελαύνει δὲ τοὺς λοι-
29 ποὺς εἰς τὴν πόλιν. Οὔπω δὲ θαρρῶν τῇ δυνάμει τοῦ μὲν τοῖς τείχεσι προσβαλεῖν ἀπετράπη, χειρώσασθαι δὲ πρότερον τὴν Ἰδουμαίαν ἐπεβάλλετο. Καὶ δὴ δισμυρίους ἔχων
30 ὁπλίτας, ἤλαυνεν ἐπὶ τοὺς ὅρους αὐτῆς. Οἱ δὲ ἄρχοντες τῶν Ἰδουμαίων κατὰ τάχος ἀθροίσαντες ἐκ τῆς χώρας τὸ μαχιμώτατον περὶ πεντακισχιλίους καὶ δισμυρίους, τοὺς δὲ πολλοὺς ἐάσαντες φρουρεῖν τὰ σφέτερα διὰ τὰς τῶν ἐν Μασάδᾳ σικαρίων καταδρομὰς, ἐδέχοντο τὸν Σίμωνα πρὸς τοῖς
31 ὅροις. Ἔνθα συμβαλὼν αὐτοῖς, καὶ δι' ὅλης πολεμήσας ἡμέρας, οὔτε νενικηκὼς οὔτε νενικημένος διεκρίθη· καὶ ὁ μὲν εἰς
32 τὴν Ναῖν, οἱ δὲ Ἰδουμαῖοι διελύθησαν ἐπ' οἶκου. Καὶ μετ' οὐ πολὺ Σίμων μείζονι δυνάμει πάλιν εἰς τὴν χώραν αὐτῶν ὥρμητο· στρατοπεδευσάμενος δὲ κατά τινα κώμην, ἣ Θεκωὲ καλεῖται, πρὸς τοὺς ἐν Ἡρωδείῳ φρουροὺς, ὅπερ ἦν πλησίον, Ἐλεάζαρόν τινα τῶν ἑταίρων ἔπεμψε, πείσοντα παραδοῦναι
33 τὸ ἔρυμα. Τοῦτον οἱ φύλακες ἑτοίμως ἐδέξαντο, τὴν αἰτίαν ἀγνοοῦντες, δι' ἣν ἦκοι· φθεγξάμενον δὲ περὶ παραδόσεως ἐδίωκον σπασάμενοι τὰ ξίφη, μέχρι φυγῆς τόπον οὐκ ἔχων ἔρριψεν ἀπὸ τοῦ τείχους ἑαυτὸν εἰς τὴν ὑποκειμένην φά-
34 ραγγα. Καὶ ὁ μὲν αὐτίκα τελευτᾷ, τοῖς δὲ Ἰδουμαίοις ἤδη κατορρωδοῦσι τὴν ἰσχὺν τοῦ Σίμωνος, ἔδοξε πρὸ τοῦ συμβαλεῖν κατασκέψασθαι τὴν στρατιὰν τῶν πολεμίων.

35 6. Εἰς τοῦτο δὲ ὑπηρέτην ἑαυτὸν ἑτοίμως ἐπεδίδου Ἰάκωβος, εἷς τῶν ἡγεμόνων, προδοσίαν ἐνθυμούμενος. Ὁρμήσας

28 αὐτῶν στρεφόμενον L. 29 προσβάλλειν P. ἀνετράπη L. ἐπεβάλετο N.P.T. ἤλαυνον ἐπὶ L. 30 ἄρχοντες τῆς Ἰδουμαίας M.N. P.T. τοὺς δὲ λοιποὺς ἐάσαντες E. 32 ὅρμητο P. στρατοπ. κατὰ L. κώμην, Θεκωὲ L.N.T. κώμην, Θεκουὲ M.P. Ἡρωδίῳ N.P.T.E. Ἐλεάζαρον τὸν ἑταῖρον L. Ἐλ. τῶν ἑτέρων N. 33 φύλακες προθύμως ἐδ. P. ἐδέχοντο τὴν L. 34 τὴν ὁρμὴν τοῦ Σίμ. L. 35 ὑπηρέτην αὐτὸν N. P.T. ἀπεδίδου M.

σας γοῦν ἀπὸ τῆς Ἀλούρου — κατὰ γὰρ ταύτην συνήθροιστο τὴν κώμην τότε τῶν Ἰδουμαίων τὸ στράτευμα — παραγίνεται 36
πρὸς Σίμωνα, καὶ πρῶτον αὐτῷ παραδώσειν συντίθεται τὴν αὐτοῦ πατρίδα, λαβὼν ὅρκους, ὡς ἀεὶ τίμιος ὢν διατελοίη, συνεργήσειν δὲ ὑπέσχετο καὶ περὶ τῆς ὅλης Ἰδουμαίας. Ἐφ' οἷς ἑστιαθεὶς φιλοφρόνως ὑπὸ τοῦ Σίμωνος, καὶ λαμ- 37
πραῖς ἐπαρθεὶς ὑποσχέσεσιν, ἐπειδήπερ εἰς τοὺς σφετέρους ὑπέστρεψεν, τὸ μὲν πρῶτον πολλαπλασίονα τὴν στρατιὰν τοῦ Σίμωνος ἐψεύδετο· ἔπειτα δεξιούμενος τούς τε ἡγεμόνας 38
καὶ κατ' ὀλίγους πᾶν τὸ πλῆθος, ἐνῆγεν ὥστε δέξασθαι τὸν Σίμωνα, καὶ παραδοῦναι δίχα μάχης αὐτῷ τὴν τῶν ὅλων ἀρχήν. Ἅμα δὲ ταῦτα διαπραττόμενος, καὶ Σίμωνα δι' ἀγγέ- 39
λων ἐκάλει, σκεδάσειν ὑπισχνούμενος τοὺς Ἰδουμαίους· ὃ δὴ παρέσχεν. Ὡς γὰρ ἦν ἤδη πλησίον ἡ στρατιά, πρῶτος 40
ἀναπηδήσας ἐπὶ τὸν ἵππον, μετὰ τῶν συνδιεφθαρμένων ἔφευγε. Πτοία δὲ ἐμπίπτει παντὶ τῷ πλήθει, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν λυθέντες ἐκ τῆς τάξεως ἀνεχώρουν ἕκαστοι πρὸς τὰ ἴδια.

7. Σίμων δὲ παρὰ δόξαν εἰς τὴν Ἰδουμαίαν εἰσήλασεν 41
ἀναιμωτὶ, καὶ προσβαλὼν ἀδοκήτως πρῶτον αἱρεῖ τὴν πόλιν Χεβρὼν, ἐν ᾗ πλείστης ἐκράτησε λείας, πάμπολυν δὲ διήρπασε καρπόν· ὡς δὲ φασὶν οἱ ἐπιχώριοι τὴν Χεβρὼν, οὐ μό- 42
νον τῶν τῇδε πόλεων, ἀλλὰ καὶ τῆς ἐν Αἰγύπτῳ Μέμφεως ἀρχαιοτέραν, δισχίλια γοῦν αὐτῇ καὶ τριακόσια ἔτη συνηρίθμητο. Μυθεύουσι δὲ αὐτὴν καὶ οἰκητήριον Ἀβράμου τοῦ 43
Ἰουδαίων προγόνου γεγονέναι, μετὰ τὴν ἐκ τῆς Μεσοποταμίας ἀπανάστασιν, τούς τε παῖδας αὐτοῦ λέγουσι καταβῆναι εἰς Αἴγυπτον ἔνθεν· ὧν καὶ τὰ μνημεῖα μέχρι νῦν ἐν τῇδε τῇ 44

τῆς Ὁλούρου M.N. κώμην τὸ τῶν M. 36 πρώτην αὐτῷ L.M.N.P. παράδοσιν συντίθ. L. ὢν διατελεῖ L. ὢν διατελήσει N. ὢν διατελέσει P.T. 37 ἐψεύδετο τοῦ Σίμωνος tr. L.N.P.T. 38 κατ' ὀλίγον πᾶν L. 39 Σίμωνα διαγγέλλων L. 40 πρῶτον ἀναπηδ. N. τῶν διεφθαρμένων P. διέφευγεν. L. Πτόα δὲ P. λυθέντες τῆς L. 41 πρώτην αἱρεῖ M.N.P. αἱρεῖ πολίχνην L. αἱρεῖ τὴν πολίχνην P. πάμπολυ δὲ P. 42 γοῦν αὕτη καὶ L. καὶ τριάκοντα ἔτη M. συναριθμεῖται L.P. 43 ἐκ Μεσοποταμ. L. τοὺς δὲ παῖδας L. 44 μέχρι τοῦ νῦν P.E.

πολίχνη δείκνυται, πάνυ καλῆς μαρμάρου καὶ φιλοτίμως εἰργασμένα. Δείκνυται δὲ ἀπὸ σταδίων ἓξ τοῦ ἄστεως τερέβινθος μεγίστη, καὶ φασὶ τὸ δένδρον ἀπὸ τῆς κτίσεως μέχρι
45 νῦν διαμένειν. Ἔνθεν ὁ Σίμων διὰ πάσης ἐχώρει τῆς Ἰδουμαίας, οὐ μόνον κώμας καὶ πόλεις πορθῶν, ἀλλὰ καὶ τὴν χώ-
46 ραν ἅπασαν λυμαινόμενος· δίχα γὰρ τῶν ὁπλιτῶν, τέσσαρες αὐτῷ συνείποντο μυριάδες, ὡς μηδὲ τῶν ἐπιτηδείων ἐξαρκούντων πρὸς τὸ πλῆθος. Προσῆν δὲ ταῖς χρείαις ὠμότης τε αὐτοῦ, καὶ πρὸς τὸ γένος ὀργή, δι' ἃ μᾶλλον ἐξερημοῦσθαι
47 συνέβαινε τὴν Ἰδουμαίαν. Καθάπερ δὲ ὑπὸ τῶν ἀκρίδων κατόπιν ὕλην ἐστὶν ἰδεῖν ἐψιλωμένην πᾶσαν, οὕτω τὸ κατὰ
48 νώτου τῆς Σίμωνος στρατιᾶς ἐρημία καταλείπετο. Καὶ τὰ μὲν ἐμπιπράντες, τὰ δὲ κατασκάπτοντες, πᾶν δὲ τὸ πεφυκὸς ἀνὰ τὴν χώραν ἢ συμπατοῦντες ἠφάνιζον, ἢ νεμόμενοι, καὶ τὴν ἐνεργὸν ὑπὸ τῆς πορείας σκληροτέραν ἐποίουν τῆς ἀκάρπου. Καθόλου τε εἰπεῖν, οὐδὲ σημεῖόν τι κατελείπετο τοῖς πορθουμένοις τοῦ γεγονέναι.

49 8. Ταῦτα πάλιν τοὺς ζηλωτὰς ἐπήγειρε, καὶ φανερῶς μὲν ἀντιπαρατάξασθαι κατέδεισαν· προλοχίσαντες δὲ ἐν ταῖς παρόδοις ἁρπάζουσι τοῦ Σίμωνος τὴν γυναῖκα, καὶ τῆς περὶ
50 αὐτὴν θεραπείας συχνούς. Ἔπειτα ὡς αὐτὸν ᾐχμαλωτισμένοι τὸν Σίμωνα, γεγηθότες εἰς τὴν πόλιν ὑπέστρεψαν, καὶ ὅσον οὐδέπω προσεδόκων καταθέμενον τὰ ὅπλα περὶ τῆς
51 γυναικὸς ἱκετεύσειν. Τὸν δὲ οὐκ ἔλεος εἴσεισιν, ἀλλ' ὀργὴ περὶ τῆς ἡρπασμένης· καὶ πρὸς τὸ τεῖχος τῶν Ἱεροσολύμων ἐλθών, καθάπερ τὰ τρωθέντα τῶν θηρίων, ἐπειδὴ τοὺς τρώ-
52 σαντας οὐ κατέλαβεν, ἐφ' οὓς εὗρε τὸν θυμὸν ἠφίει. Ὅσοι γοῦν λαχανείας ἕνεκεν ἢ φρυγανισμοῦ προεληλύθεισαν ἔξω

τοῦ ἄστεος T. 45 ἐχώρει διὰ πάσης tr. P. πόλεις καὶ κώμας tr. E. πορθῶν, λυμαινόμενος δὲ καὶ τὴν χώραν L.P.T. ἅπασαν deest L.T. 46 γὰρ ὁπλιτῶν M. δι' ὃ μᾶλλον L. 47 νώτου τοῦ Σίμωνος P. 48 τῆς πορίας P. οὔτε σημεῖόν N.P.T. πορθουμ. τούτοις τοῦ P. et in marg. T. 49 προλοχήσαντες L.P. 50 αἰχμαλωτισάμενοι L.P. 51 ἔλεος εἰσῆλθεν, ἀλλὰ L.P. παρελθών, καθάπερ L. 52 λαχανίας L.N. λαχ. ἢ φρυγανισμοῦ χάριν L. λαχ. ἕνεκεν καὶ φρυγ. M. φρυγανιασμοῦ P. ἐξεληλύθεισαν L. προεληλύθεσαν M.N.P.T.

πυλῶν, ἀνόπλους καὶ γέροντας, συλλαμβάνων ἠκίζετο, καὶ διέφθειρε δι' ὑπερβολὴν ἀγανακτήσεως, μονονουχὶ καὶ νεκρῶν γενόμενος τῶν σωμάτων. Πολλοὺς δὲ καὶ χειροκοπήσας εἰσ- 53
έπεμπε καταπλήξασθαι τοὺς ἐχθροὺς ἅμα, καὶ διαστασιάσαι τὸν δῆμον ἐπιχειρῶν πρὸς τοὺς αἰτίους. Ἐντέταλτο δὲ αὐ- 54
τοῖς λέγειν, ὅτι Σίμων θεὸν ὄμνυσι τὸν πάντων ἔφορον, εἰ μὴ θᾶττον ἀποδώσουσιν αὐτῷ τὴν γυναῖκα, ῥήξας τὸ τεῖχος, τοιαῦτα διαθήσειν πάντας τοὺς κατὰ τὴν πόλιν, μηδεμιᾶς φεισάμενος ἡλικίας, μηδὲ ἀπὸ τῶν ἀναιτίων διακρίνας τοὺς αἰτίους.' Τούτοις οὐ μόνον ὁ δῆμος, ἀλλὰ καὶ οἱ ζηλωταὶ 55
καταπλαγέντες, ἀποπέμπουσιν αὐτῷ τὴν γυναῖκα, καὶ τότε μὲν ἐκμειλιχθεὶς ὀλίγον, ἀνεπαύσατο τοῦ συνεχοῦς φόνου.

9. Οὐ μόνον δὲ κατὰ τὴν Ἰουδαίαν στάσις ἦν καὶ πόλεμος 56
ἐμφύλιος, ἀλλὰ καὶ ἐπὶ τῆς Ἰταλίας. Ἀνήρητο μὲν γὰρ κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὰν Γάλβας, ἀποδεδειγμένος δὲ αὐτοκράτωρ Ὄθων ἐπολέμει Οὐϊτελλίῳ βασιλειῶντι· τοῦ- 57
τον γὰρ ᾔρητο τὰ κατὰ Γερμανίαν τάγματα. Καὶ γενομένης συμβολῆς κατὰ Βηδριακὸν τῆς Γαλατίας πρός τε Οὐάλεντα καὶ Καικίνναν τοὺς Οὐϊτελλίου στρατηγοὺς, τῇ πρώτῃ 58
μὲν ἡμέρᾳ περιῆν Ὄθων, τῇ δευτέρᾳ δὲ τὸ Οὐϊτελλίου στρατιωτικόν· καὶ πολλοῦ φόνου γενομένου διεχρήσατο μὲν Ὄθων ἑαυτὸν, ἐν Βρεξέλλῳ τὴν ἦτταν πυθόμενος, ἡμέρας δύο καὶ τρεῖς μῆνας κρατήσας τῶν πραγμάτων. Προσεχώρησε δὲ 59
τοῖς Οὐϊτελλίου στρατηγοῖς ἡ στρατιὰ, καὶ κατέβαινεν αὐτὸς εἰς τὴν Ῥώμην μετὰ τῆς δυνάμεως. Ἐν δὲ τούτῳ καὶ 60
Οὐεσπασιανὸς, ἀναστὰς ἐκ τῆς Καισαρείας πέμπτῃ Δαισίου

ἀόπλους T. 53 εἰσέπεμπεν ἅμα καὶ καταπλήξ. τοὺς ἐχ. καὶ L. καὶ διαστῆσαι τὸν M.N.P.T. 54 Ἐντέταλται L. ἀποδωσιν sed ex ras. L. ἀποδώσωσιν N. τοιαῦτα θήσειν N.P.T. 56 Ἰουδαίαν φόνος ἦν L. πόλεμος, ἀλλὰ καὶ L. Ἀνηρεῖτο γὰρ L.E. γὰρ Γάλβας κατὰ ἀγορὰν, ἀποδ. L. βασιλεῖ ὄντι L. βασιλεύοντι P. βασιλιῶντι E. 57 κατὰ τὴν Γερμ. P. γενομ. τῆς συμβολῆς M. Φηγδίακον T. Φρηγδίακον M.N. P. Φριγδίακον T. κὰι Κίνναν τοὺς P.T. 58 δευτέρᾳ δὲ τοῦ Οὐϊ. E. ἑαυτὸν Ὄθων tr. L.M. μὲν deest M. ἐν Βριξέμῳ L.M.N.P.T. 59 στρατηγοῖς καὶ τοῦ Ὄθωνος ἡ στρατιὰ E. 60 ἀναστὰς ἀπὸ τῆς L. Δεσίου M.N.T. Δησίου P.

μηνὸς, ὥρμησεν ἐπὶ τὰ μηδέπω κατεστραμμένα τῶν τῆς Ἰου-
61 δαίας χωρίων. Ἀναβὰς δὲ εἰς τὴν ὀρεινὴν αἱρεῖ δύο τοπαρ-
χίας, τήν τε Γοφνιτικὴν καὶ τὴν Ἀκραβατηνὴν καλουμένην,
μεθ' ἃς Βηθηλᾶ τε καὶ Ἐφραΐμ πολίχνια, οἷς φρουροὺς
62 ἐγκαταστήσας μέχρις Ἱεροσολύμων ἱππάζετο. Φθορὰ δὲ
ἦν πολλῶν καταλαμβανομένων, καὶ συχνοὺς ᾐχμαλωτίζετο.
Κερεάλιος δὲ αὐτῷ τῶν ἡγεμόνων, μοῖραν ἱππέων καὶ πεζῶν
63 ἀναλαβὼν τὴν ἄνω καλουμένην Ἰδουμαίαν ἐπόρθει, καὶ Καφε-
θρὰ μὲν ψευδοπολίχνιον ἐξ ἐφόδου λαβὼν ἐμπίπρησιν, ἑτέ-
ραν δὲ καλουμένην Καφαραβὶν προσβαλὼν ἐπολιόρκει. Πάνυ
δὲ ἦν ἰσχυρὸν τὸ τεῖχος· καὶ τρίψεσθαι προσδοκῶντι πλείω
χρόνον αἰφνιδίως ἀνοίγουσιν οἱ ἔνδον τὰς πύλας, καὶ μεθ'
64 ἱκετηριῶν προσελθόντες αὐτοὺς παρέδοσαν. Κερεάλιος δὲ
τούτους παραστησάμενος, ἐπὶ Χεβρὼν ἑτέρας πόλεως ἀρ-
χαιοτάτης ἐχώρει. Κεῖται δὲ, ὡς ἔφην, αὕτη κατὰ τὴν ὀρει-
νὴν, οὐ πόρρω Ἱεροσολύμων· βιασάμενος δὲ τὰς εἰσόδους, τὸ
μὲν ἐγκαταληφθὲν πλῆθος ἠβηδὸν ἀναιρεῖ, τὸ δὲ ἄστυ κατα-
65 πίμπρησι. Καὶ πάντων ἤδη κεχειρωμένων πλὴν Ἡρωδείου
καὶ Μασάδας καὶ Μαχαιροῦντος, — ταῦτα δὲ ὑπὸ τῶν λῃστῶν
κατείληπτο, — σκοπὸς ἦδη τὰ Ἱεροσόλυμα προέκειτο Ῥω-
μαίοις.

66 10. Ὁ δὲ Σίμων, ὡς ἐρρύσατο παρὰ τῶν ζηλωτῶν τὴν
γυναῖκα, πάλιν ἐπὶ τὰ λείψανα τῆς Ἰδουμαίας ὑπέστρεψε·
καὶ περιελαύνων πανταχόθεν τὸ ἔθνος, εἰς Ἱεροσόλυμα πολ-
67 λοὺς φεύγειν συνηνάγκασεν. Εἵπετο δὲ καὶ αὐτὸς ἐπὶ τὴν
πόλιν, καὶ κυκλωσάμενος αὖθις τὸ τεῖχος, ὄντινα λάβοι τῶν

Γοφνητικὴν L. Γνοφιτικὴν N.P.T. Ἀκραβεττηνήν· L. Ἀκραιβατηνὴν M. Ἀκραβαιτινὴν P. 61 καλουμένην deest L. Βηθηγά τε L.P. 62 καὶ πολλοὺς ᾐχμαλωτίζετο P.E. Κεραάλιος P. 63 Κεφαίορα μὲν L. Χαφιθραμὶν M. Καφεθραμὶν N. et T. sed in hujus marg. Καφεώραν. Χαφεθραμὶν P. ψευδοπολύχνιον M. Καφαραβεὶν L. Χαραμὶν N. Χαραβὶν P. et T. sed in huj. marg. Καφαραβὴν. ἐπολιόρκει προσβαλὼν tr. L. τρίψασθαι L. πλείονα L. ἑαυτοὺς L.M.P. 64 ἐγκαταλειφθὲν L. P.E. 65 Ἡρωδίου N.P.E. et pri. ma. T. 66 Ἱεροσ. τοὺς πολλοὺς L.

προσιόντων κατὰ τὴν χώραν ἐργατῶν διέφθειρεν. Ἦν δὲ τῷ δήμῳ Σίμων μὲν ἔξωθεν Ῥωμαίων φοβερώτερος, οἱ ζηλωταὶ δὲ ἔνδον ἑκατέρων χαλεπώτεροι. Καὶ ἐν τούτοις ἐπίνοια 68
κακῶν καὶ τόλμη τὸ σύνταγμα τῶν Γαλιλαίων διέφθειρε· τόν τε γὰρ Ἰωάννην παρῆγον εἰς ἰσχὺν οὗτοι, καὶ ἐκεῖνος αὐτοὺς ἐξ ἧς περιεποιήσατο δυναστείας ἠμείβετο, πάντα ἐπιτρέπων δρᾶν, ὧν ἕκαστος ἐπεθύμει. Πόθοι δὲ ἦσαν ἁρπαγῆς ἀπλή- 69
ρωτοι, καὶ τῶν πλουσίων οἴκων ἔρευνα, φόνος τε ἀνδρῶν, καὶ γυναικῶν ὕβρεις ἐπαίζοντο, μεθ' αἵματος δὲ τὰ συληθέντα κατέπινον, καὶ μετὰ ἀδείας ἐνεθηλυπάθουν τῷ κόρῳ, κόμας 70
συνθετιζόμενοι, καὶ γυναικείας ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι δὲ μύροις, καὶ πρὸς εὐπρέπειαν ὑπογράφοντες ὀφλαλμούς. Οὐ μόνον δὲ κόσμον, ἀλλὰ καὶ πάθη γυναικῶν 71
ἐμιμοῦντο, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀθεμίτους ἡδονὰς ἐπενόησαν· ἐνειλινδοῦντο δὲ ὥσπερ πορνείῳ τῇ πόλει, καὶ πᾶσαν ἀκαθάρτοις ἐμίαναν ἔργοις. Γυναικιζόμενοι δὲ τὰς ὄψεις 72
ἐφόνων ταῖς δεξιαῖς, θρυπτόμενοι δὲ τοῖς βαδίσμασιν ἐπιόντες ἐξαπίνης ἐγίνοντο πολεμισταὶ, τά τε ξίφη προφέροντες ἀπὸ τῶν βεβαμμένων χλανίδων τὸν προστυχόντα διήλαυνον. Τοὺς ἀποδιδράσκοντας δὲ Ἰωάννην Σίμων φονικώ- 73
τερος ἐξεδέχετο, καὶ διαφυγών τις τὸν ἐντὸς τοῦ τείχους τύραννον ὑπὸ τοῦ πρὸ πυλῶν διεφθείρετο. Πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐτομολεῖν πρὸς Ῥωμαίους βουλομένοις ἀπεκόπτετο.

11. Διεστασιάζετο δὲ πρὸς τὸν Ἰωάννην ἡ δύναμις, καὶ 74

67 προϊόντων L. et ex ras. T. χώραν τῶν ἐργαζομένων L. χώρ. τῶν ἐργατῶν N.T. 68 τό τε σύνταγμα L.N.P. παρήγαγον L. περιεποιήσαντο L.N. 69 τῶν πλησίων οἴκων M. αἵματος τὰ L. 70 κόμας συντεθειμένοι L. καταντλούμενοί τε M. ὀφθαλμοὺς ὑπογράφοντες tr. L. 71 ἀνειλινδοῦντο E. ἐνηλινδοῦντο L.M.N. ὡς πορνείῳ M.N.P. 72 ξίφη προβάλλοντες ἀπὸ L. ἀπὸ τῶν περιβεβλημένων χλανιδίων M.N.P.T. 73 Τοὺς διαδιδράσκοντας P. φονικώτερον L.P. et ex cor. T. ἐντὸς τείχους M.N.T. ἀπεκέκοπτο L.T. ἀποκέκλειστο M. 74 Διαστασιάζεται N.T. διαστασιάζετο M. ἡ περὶ τὸν Ἰωάν. δύναμις L. ἡ πρὸς τὸν Ἰω. δύναμις E.

πᾶν ὅσον ἦν Ἰδουμαῖον ἐν αὐτῇ χωρισθὲν ἐπεχείρει τῷ τυράννῳ φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ καὶ μίσει τῆς ὠμότητος.
75 Συμβαλόντες δὲ ἀναιροῦσί τε πολλοὺς τῶν ζηλωτῶν, καὶ συνελαύνουσι τοὺς λοιποὺς εἰς τὴν βασιλικὴν αὐλὴν κατασκευασθεῖσαν ὑπὸ Γραπτῆς, — συγγενὴς δὲ ἦν αὕτη τοῦ τῶν
76 Ἀδιαβηνῶν βασιλέως Ἰζάτου, — συνεισπίπτουσι δὲ οἱ Ἰδουμαῖοι, καὶ ἐκεῖθεν εἰς τὸ ἱερὸν ἐξώσαντες τοὺς ζηλωτὰς, ἐφ' ἁρπαγὴν ἐτράποντο τῶν Ἰωάννου χρημάτων· κατὰ γὰρ τὴν προειρημένην αὐλὴν αὐτός τε ἦν, καὶ ἐκεῖ τὰ λάφυρα τῆς
77 τυραννίδος κατέθετο. Ἐν δὲ τούτῳ τὸ κατὰ τὴν πόλιν ἐσκεδασμένον πλῆθος τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν πρὸς τοὺς διαπεφευγότας ἠθροίσθη, καὶ κατάγειν αὐτοὺς παρεσκευάζετο
78 Ἰωάννης ἐπί τε τὸν δῆμον καὶ τοὺς Ἰδουμαίους. Τοῖς δὲ οὐχ οὕτω τὴν ἔφοδον αὐτῶν καταδεῖσαι παρέστη μαχιμωτέροις οὖσιν, ὡς τὴν ἀπόνοιαν, μὴ νύκτωρ ἐκ τοῦ ἱεροῦ παρεισδύντες
79 αὐτούς τε διαφθείρωσι, καὶ τὸ ἄστυ καταπρήσωσι. Συνελθόντες οὖν μετὰ τῶν ἀρχιερέων ἐβουλεύοντο, τίνα χρὴ τρόπον φυλάξασθαι τὴν ἐπίθεσιν. Θεὸς δὲ ἄρα τὰς γνώμας αὐτῶν εἰς κακὸν ἔτρεψε, καὶ χαλεπώτερον ἀπωλείας ἐπενοή-
80 σαντο πρὸς σωτηρίαν φάρμακον. Ἵνα γοῦν καταλύσωσιν Ἰωάννην, ἔκριναν δέχεσθαι Σίμωνα, καὶ μεθ' ἱκετηριῶν δεύτερον εἰσαγαγεῖν ἑαυτοῖς τύραννον. Ἐπεραίνετο δὲ ἡ βουλή.
81 Καὶ τὸν ἀρχιερέα Ματθίαν πέμψαντες ἐδέοντο Σίμωνος εἰσελθεῖν, ὃν πολλὰ ἔδεισαν. Συμπαρεκάλουν δὲ οἱ ἐκ τῶν Ἱεροσολύμων τοὺς ζηλωτὰς φεύγοντες, πόθῳ τῶν οἴκων καὶ
82 τῶν κτημάτων. Ὁ δὲ αὐτοῖς ὑπερηφάνως κατανεύσας τὸ δεσπόζειν, εἰσέρχεται μὲν ὡς ἀπαλλάξων τῶν ζηλωτῶν τὴν

ὅσον Ἰδουμαίων P. ἰσχύος καὶ L. ὠμότητος αὐτοῦ L. 75 συμβαλλόντες τε ἀναιροῦσι πολλοὺς L. βασιλέως Ἰζᾶ L.M.N.P.T. 76 δ' Ἰδουμαῖοι L. ἱερὸν περιεξώσαντες τοὺς L. ἱερὸν περιεώσαντες τοὺς M. τὴν προῃρημένην P. αὐτός τε ὢν ἐκεῖ καὶ L.N.P. αὐτός τε ἦν ἐκεῖ καὶ T. 77 παρεσκενάσατο P. νύκτωρ ἀπὸ τοῦ P.E. 78 παρεισδύσαντες αὐτούς τε διαφθείραντες L. καταπιμπρῶσι L.P. 79 ἐπενόησαν τὸ πρὸς M.P. T.E. 80 Σίμωνα δέχεσθαι tr. E. Ἐπαιρέτο δὲ P. 81 Σίμωνι P. πολλάκις ἔδεισαν L.E. φεύγοντας N. 82 κατανεύσας τῷ δεσ. P.

πόλιν, σωτὴρ ὑπὸ τοῦ δήμου καὶ κηδεμὼν εὐφημούμενος. Παρελθὼν δὲ μετὰ τῆς δυνάμεως ἐσκόπει τὰ περὶ τῆς ἑαυτοῦ 83
δυναστείας, καὶ τοὺς καλέσαντας οὐχ ἧττον ἐχθροὺς ἐνόμιζεν, ἢ καθ' ὧν ἐκέκλητο.

12. Σίμων μὲν οὕτως ἐνιαυτῷ τρίτῳ τοῦ πολέμου Ξαν- 84
θικῷ μηνὶ Ἱεροσολύμων ἐγκρατὴς ἐγένετο. Ἰωάννης δὲ καὶ τὸ τῶν ζηλωτῶν πλῆθος, εἰργόμενον τῶν ἐξόδων τοῦ ἱεροῦ, καὶ τὰ τῆς πόλεως ἀπολωλεκότες — παραχρῆμα γὰρ τὰ ἐκείνων οἱ περὶ τὸν Σίμωνα διήρπασαν — ἐν ἀπόρῳ τὴν σωτηρίαν εἶχον. Προσέβαλλε δὲ τῷ ἱερῷ Σίμων, τοῦ δήμου βοηθοῦν- 85
τος· καὶ ἐκεῖνοι καταστάντες ἐπὶ τῶν στοῶν καὶ τῶν ἐπάλξεων, ἠμύνοντο τὰς προσβολάς, συχνοὶ δὲ ἔπιπτον τῶν περὶ Σίμωνα, καὶ πολλοὶ τραυματίαι κατεφέροντο· ῥᾳδίως γὰρ 86
ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ζηλωταὶ, καὶ οὐκ ἀστόχους ἐποιοῦντο. Πλεονεκτοῦντες δὲ τῷ τόπῳ, καὶ πύργους ἔτι προσκατεσκεύασαν τέσσαρας μέγιστους, ὡς ἀφ' ὑψηλοτέρων ποιοῖντο τὰς ἀφέσεις, τὸν μὲν κατὰ τὴν ἀνατολικὴν καὶ βορείαν 87
γωνίαν, τὸν δὲ τοῦ ξυστοῦ καθύπερθεν, τὸν δὲ τρίτον κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς κάτω πόλεως, ὁ δὲ λοιπὸς ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν παστοφορίων· ἔνθα τῶν 88
ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην ἑβδομάδα εἰσιοῦσαν προεσήμαινε σάλπιγγι δείλης, καὶ τελεσθεῖσαν αὖθις περὶ ἑσπέραν, ὅτε μὲν ἀνεργεῖν τῷ λαῷ καταγγέλλων, ὅτε δὲ ἔργων ἔχεσθαι. Διέστησαν δὲ ἐπὶ τῶν πύργων ὀξυβελεῖς τε 89
καὶ λιθοβόλους μηχανὰς, τούς τε τοξότας καὶ σφενδονήτας. Ἔνθα δὴ τὰς μὲν προσβολὰς ὀκνηροτέρας ἐποιεῖτο ὁ Σίμων, μαλακιζομένων αὐτῷ τῶν πλειόνων, ἀντεῖχε δὲ ὅμως περι- 90

πόλιν ὁ σωτὴρ L. 84 μηνὶ τρίτῃ Ἱεροσ. L. ἐγκρατὴς γίνεται L.P. ἀπολωλεκότων L. ἀπολολεκότες P. 85 Προσέβαλε L. et ex cor. T. προσεβάλλετο N.P. περὶ τὸν Σίμωνα L. 86 ῥαδίους γὰρ N. καὶ οὔτε ἀστόχους N. προσπαρακατεσκεύασαν P. προσκατασκευάσαντες L. προκατεσκεύασαν M.E. μεγίστους τέσσαρας ὡς ἂν ἀφ' L. 87 βόρειον M. N.T. βόριον P. λοιπὸς ὑπὸ τὴν M. 88 ὅτε μὲν ἀνειργεῖν L.M.N. et in marg. T. ὅτε μὲν ἀνέργειαν P. 89 καὶ πετροβόλους μηχ. L. προσβολὰς ὁ Σίμων ὀκνηροτέρας ἐποιεῖτο L. 90 ἀντέχει δ' ὅμως L.

ουσίᾳ δυνάμεως· τὰ δὲ ἀπὸ τῶν ὀργάνων βέλη πορρωτέρω φερόμενα πολλοὺς τῶν μαχομένων ἀνῄρει.

CAP. X.

1 1. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν περιέσχε καὶ τὴν Ῥώμην πάθη χαλεπά. Παρῆν μὲν γὰρ ἀπὸ Γερμανίας Οὐϊτέλλιος ἅμα τῷ στρατιωτικῷ πολὺ πλῆθος ἐπισυρόμενος ἕτερον. 2 Μὴ χωρούμενος δὲ τοῖς ἀποδεδειγμένοις εἰς τοὺς στρατιώτας περιβόλοις, ὅλην ἐποιήσατο τὴν Ῥώμην στρατόπεδον, καὶ 3 πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. Οἱ δὲ ἀήθεσιν ὀφθαλμοῖς τὸν Ῥωμαίων πλοῦτον θεασάμενοι, καὶ περιλαμφθέντες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ, τὰς ἐπιθυμίας μόλις κατεῖχον, ὥστε μὴ ἐφ' ἁρπαγὰς τρέπεσθαί τε, καὶ τοὺς ἐμποδὼν γινομένους ἀναιρεῖν. Καὶ τὰ μὲν κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν.

4 2. Οὐεσπασιανὸς δὲ, ὡς τὰ πλησίον Ἱεροσολύμων καταστρεψάμενος ὑπέστρεψεν εἰς Καισάρειαν, ἀκούει τὰς κατὰ 5 τὴν Ῥώμην ταραχὰς, καὶ Οὐϊτέλλιον αὐτοκράτορα. Τοῦτο οὖν αὐτὸν, καίπερ ἄρχεσθαι καθάπερ ἄρχειν καλῶς ἐπιστάμενον, εἰς ἀγανάκτησιν προήγαγε, καὶ τὸν μὲν ὡς ἐρήμου κατα- 6 μανέντα τῆς ἡγεμονίας ἠδόξει δεσπότην. Περιαλγήσας δὲ τῷ πάθει καρτερεῖν τὴν βάσανον οὐχ οἷός τε ἦν, καὶ τῆς 7 πατρίδος πορθουμένης ἑτέροις προσευσχολεῖν πολέμοις· ἀλλ' ὅσον ὁ θυμὸς ἤπειγεν ἐπὶ τὴν ἄμυναν, τοσοῦτον εἶργεν ἡ ἔννοια τοῦ διαστήματος. Πολλὰ γὰρ φθάσαι παμουργήσασαν τὴν τύχην, πρὶν αὐτὸν εἰς τὴν Ἰταλίαν περαιωθῆναι, καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα, σφαδάζουσαν ἤδη κατεῖχε τὴν ὀργήν.

ὀργάνων μέρη πορ. L. 1 *τὴν Ῥωμαίων ἡγεμονίαν πάθη* L. *πάθη χαλεπώτερα* L.E. Οὐϊτίλλιος N.T. et sic infra. 2 *περιβόλοις, ὅλοις* P. 3 *ὀφθαλμοῖς τῶν Ῥωμ.* P. *τραπέσθαι* L. *ἀναιρεῖν· τὰ μὲν* L.M.T. 4 *κατὰ Ῥώμην* L. 5 *Τούτῳ αὐτὸν* P. *καὶ τὸν ὡς* M. N.T. 7 *εἶργεν ἔννοια* N.P.T. *φθάσαι καλλιουργήσασαν* L. *εἰς Ἰταλίαν* L.M. *περαιωθῆναι* P. *ὥρᾳ πλέοντας* P. *σφαδάζουσαν δ' ἤδη* M. *σφαδάζουσαν δὴ* ex ras. T. *τὴν ὁρμὴν* ex cor. T.

3. Συνιόντες δὲ οἵ τε ἡγεμόνες καὶ οἱ στρατιῶται καθ' 8
ἑταιρίαν, φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο, καὶ διαγα-
νακτοῦντες ἐβόων, 'ὡς οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται
τρυφῶντες, καὶ μηδὲ ἀκούειν πολέμου φήμην ὑπομένοντες,
διαχειροτονοῦσιν οἷς βούλονται τὴν ἡγεμονίαν, καὶ πρὸς ἑλ- 9
πίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτορας· αὐτοὶ δὲ διὰ
τοσούτων κεχωρηκότες πόνων, καὶ γηρῶντες ὑπὸ τοῖς κράνε-
σιν, ἑτέροις χαρίζονται τὴν ἐξουσίαν, καὶ ταῦτα τὸν ἀξιώτε-
ρον ἄρχειν παρ' αὐτοῖς ἔχοντες. Ὧι τίνα δικαιοτέραν ποτὲ 10
τῆς εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβὴν, εἰ τὴν νῦν κατα-
πρόοιντο; Τοσούτῳ δὲ εἶναι Οὐεσπασιανὸν ἡγεμονεύειν Οὐϊ-
τελλίου δικαιότερον, ὅσῳ καὶ αὐτοὺς τῶν ἐκείνου ἀποδειξάν-
των· οὐ γὰρ δὴ μικροτέρους τῶν ἀπὸ Γερμανίας διενηνοχέναι 11
πολέμους, οὐδὲ τῶν ἐκεῖθεν καταγόντων τὸν τύραννον ἡττῆσ-
θαι τοῖς ὅπλοις. Ἀγῶνος δ' ἐνδεήσειν οὐδέν· οὐ γὰρ τὴν
σύγκλητον, ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι τῆς Οὐϊτελλίου
λαγνείας ἀντὶ τῆς Οὐεσπασιανοῦ σωφροσύνης· οὐδὲ ἀντὶ μὲν 12
ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον, ἄπαιδα δὲ ἀντὶ πα-
τρὸς αἱρεῖσθαι προστάτην· μέγιστον γὰρ δὴ πρὸς ἀσφά-
λειαν εἰρήνης εἶναι τὰς γνησίους τῶν βασιλέων ὑπεροχάς.
Εἴτε οὖν ἐμπειρίᾳ γήρως προσήκει τὸ ἄρχειν, Οὐεσπασιανὸν 13
αὐτοὺς ἔχειν, εἴτε νεότητος ἀλκῇ, Τίτον· καρπίσεσθαι γὰρ
τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ ὠφέλιμον. Χορηγήσειν δὲ οὐ 14
μόνον αὐτοὺς τότε τὴν ἰσχὺν τοῖς ἀποδειχθεῖσιν, ἅτε τρία

8 Συνιέντες δὲ οἵ L.N.P. ἐβόων οἱ μὲν ἐπὶ N.P. ἐβόων ὡς ἐπὶ E. τρυφῶντές καὶ sic T. 9 ἀξιώτερον P. ἔχοντες· ὡς τίνα M.N. ἔχοντες· τίνα E. 10 δικαιοτέραν ἢ πότε τῆς L. δικαιότερον μήποτε τῆς N. δικαιότερον μήποτε δὲ τῆς M. ἀποδώσουσιν ἀμοιβὴν L. ἡγεμόνα Οὐϊτελλίου L. 11 μικροτέρους τοὺς ἀπὸ L. καταγαγόντων P. ἡττεῖσθαι M. ἀγῶνος ἐνδεηθεῖσιν οὐδέν L. ἀγῶνος· ἐνδεήσει δὲ οὐδέν M. ἀγῶνος· ἐνδεήσειν δὲ οὐδέν N.T. ἢ τῶν Ῥωμαίων L.M.N.P.E. 12 ὠμότατον, παῖδα L.M.N.P.T. αἱρήσεσθαι L.M. 13 καρπίσασθαι E. καρπήσεσθαι N. κραθήσεσθαι L.P. et ex cor. T. 14 χορηγεῖν δ' οὐ μόνον αὐτοῖς L. τότε deest L.P. ἀποδειχ. ὅτι τρία L.N. ἀποδειχ. τρία P. et ex ras. T.

τάγματα καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντας, ἀλλὰ καὶ συνεργήσειν τά τε πρὸς ἕω πάντα, καὶ τῆς Εὐρώ-
15 πης ὅσα τῶν ἀπὸ Οὐϊτελλίου φόβων κεχώρισται, καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ συμμάχους, ἀδελφὸν Οὐεσπασιανοῦ καὶ παῖδα ἕτερον, ὧν τὸν μὲν προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς πόλεως φυλακὴν πεπι-
16 στεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβολὴν ἡγεμονίας. Καθόλου τε ἂν βραδύνωσιν αὐτοὶ, τάχα τὴν σύγκλητον ἀποδείξειν τὸν ὑπὸ τῶν συντετηρηκότων στρατιωτῶν ἀτιμούμενον.

17 4. Τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν· ἔπειτα συναθροισθέντες, καὶ παρακροτήσαντες ἀλλήλους, ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα, καὶ σώζειν τὴν
18 κινδυνεύουσαν ἡγεμονίαν παρεκάλουν. Τῷ δὲ φροντὶς μὲν ἦν πάλαι περὶ τῶν ὅλων, οὔτι γε μὴν αὐτὸς ἄρχειν προῄρητο, τοῖς μὲν ἔργοις ἑαυτὸν ἄξιον ἡγούμενος, προκρίνων δὲ τῶν ἐν
19 λαμπρότητι κινδύνων τὴν ἐν ἰδιώταις ἀσφάλειαν. Ἀρνουμένῳ δὲ μᾶλλον οἱ ἡγεμόνες ἐπέκειντο, καὶ περιχυθέντες οἱ στρατιῶται ξιφήρεις ἀναιρεῖν αὐτὸν ἠπείλουν, εἰ μὴ βούλοιτο ζῆν ἀξίως. Πολλὰ δὲ πρὸς αὐτοὺς διατεινάμενος ἐξ ὧν διωθεῖτο τὴν ἀρχὴν, τελευταῖον, ὡς οὐκ ἔπειθεν, εἴκει τοῖς ὀνομάσασι.

20 5. Προτρεπομένων δὲ αὐτὸν ἤδη Μουκιανοῦ τε καὶ τῶν ἄλλων ἡγεμόνων εἰς αὐτοκράτορα, καὶ τῆς ἄλλης στρατιᾶς ἄγειν βοώσης ἐπὶ πᾶν τὸ ἀντίπαλον, αὐτὸς πρῶτον τῶν ἀπ'
21 Ἀλεξανδρείας εἴχετο πραγμάτων, — εἰδὼς πλεῖστον τῆς ἡγεμονίας μέρος τὴν Αἴγυπτον οὖσαν διὰ τὴν τοῦ σίτου χορη-

ἔχοντα, ἀλλὰ συνεργήσειν τά τε πρὸς N. ἔχοντας, ἀλλὰ συνερ. τά τε πρὸς T. ἔχοντες, συνετηρήσαμεν τά τε πρὸς L.P. ἠῶ N. καὶ τὰ τῆς L. 15 ὧν τῷ μὲν N.T. οὕτω μὲν P. καὶ τῆς πόλεως N.P.T. εἰς ἐπιβουλὴν N.P. et pri. ma. T. 16 Καθόλου δὲ M. συντετηρηκότων deest L. στρατιωτῶν τὸν ἀτιμούμ. P. 17 κατὰ τὰς συστροφὰς L. 18 προηρεῖτο M.N. ἄξιον ἑαυτὸν tr. L. ἐν ἰδιωτείαις I. 19 ἡγεμόνες προσέκειντο L. διατεινόμενος L. 20 Μουκρανοῦ N. Μουκιανοῦ καὶ L. ἄλλης στρατείας P. βοώσης αὐτὸν ἐπὶ L.M. βοώσης αὐτὴν ἐπὶ E. ἀντίπαλον, ὁ δὲ πρῶτον L.P. 21 πλεῖστον μὲν τῆς L.

γίαν, ἧς κρατήσας, εἰ παρέλκοι καὶ βία, καθαιρήσειν ἤλπιζεν Οὐϊτέλλιον· οὐ γὰρ ἀνέξεσθαι πεινῆσαν ἐπὶ Ῥώμης τὸ πλῆθος, — τὰ δύο τε ἐπὶ τῆς Ἀλεξανδρείας τάγματα προσποιήσασθαι βουλόμενος. Ἐνεθυμεῖτο δὲ καὶ πρόβλημα τὴν χώραν ἔχειν τῶν ἀπὸ τῆς τύχης ἀδήλων. Ἔστι γὰρ κατά τε γῆν δυσέμβολος, καὶ τὰ πρὸς θάλασσαν ἀλίμενος· κατὰ μὲν ἑσπέραν προβεβλημένη τὰ ἄνυδρα τῆς Λιβύης, κατὰ δὲ μεσημβρίαν τὴν διορίζουσαν ἀπὸ Αἰθιόπων τὴν Συήνην καὶ τοὺς ἀπλώτους τοῦ ποταμοῦ καταράκτας, ἀπὸ δὲ τῆς ἀνατολῆς ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν ἀναχεομένη μέχρι Κοπτοῦ, βόρειον δὲ τεῖχος αὐτῇ ἥ τε μέχρι Συρίας γῆ, καὶ τὸ καλούμενον Αἰγύπτιον πέλαγος, πᾶν ἄπορον ὅρμων. Τετείχισται μὲν οὕτως ἡ Αἴγυπτος πάντοθεν. Τὸ μεταξὺ δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τε ἀπὸ τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλούσιον σταδίων τρισχιλίων ἑξακοσίων· ὁ δὲ Νεῖλος ἀναπλεῖται μέχρι τῆς Ἐλεφάντων καλουμένης πόλεως, ὑπὲρ ἣν εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν καταράκτας. Δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξανδρείας· στενός τε γὰρ εἴσπλους, καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ καμπτόμενος δρόμον. Καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος πέφρακται χειροκμήτοις σκέλεσιν· ἐν δεξιᾷ δὲ ἡ προσαγορευομένη Φάρος νησὶς πρόκειται, πύργον ἀνέχουσα μέγιστον, ἐκπυρσεύοντα τοῖς καταπλέουσιν ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου. Περὶ ταύτην τὴν νησίδα καταβέβληται χειροποίητα τείχη

21 εἰ παρέλθοι M. πείνης ἂν ἐπὶ L. πείνης ἐπὶ M.N. πίνης ἐπὶ P. 22 προσποιήσεσθαι P. 23 πρὸς θαλάσσης L.P. et pri. ma. T. μεσημβρίαν δὲ tr. L. Σοηνὴν N. τοὺς ἀπλότους P. καταρράκτας T. et sic infra. 24 ἀνατολῆς ἔτι τὴν E. ἀναχεομένην L.M.P.E. 25 στα-δίων χιλίων M. ὁ δὲ ἀπὸ L. τῆς πλιθίνης L. τῆς πλινθήνης M. εἰς Πηλούσιον M.N.T. δισχιλίων ὅ τε ἀπὸ τ. π. ἀνάπ. εἰς τὸ πηλ. σταδίων desunt omnia P. προσοτέρω P. 26 στενὸς γὰρ P. τὸν ὑπ' εὐθὺ L. 27 Φάρος νῆσος L.P.E. πρόσκειται M. πύργον ἔχουσα P. ἐκπυρσεύσασα M. ἐκπυρσεύουσα N. δυσχέριαν N. 28 τὴν νῆσον P. καταβάλλεται L.

μέγιστα· προσαρασσόμενον δὲ τούτοις τὸ πέλαγος, καὶ τοῖς
ἄντικρυς ἔρκεσιν ἀμφαγνύμενον ἐκτραχύνει τὸν πόρον, καὶ
29 σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται. Ὁ μέντοι
γε λιμὴν ἔνδον ἀσφαλέστατος, καὶ τριάκοντα σταδίων τὸ
μέγεθος, εἰς ὃν τά τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν
κατάγεται, καὶ τὰ περισσεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς
πᾶσαν μερίζεται τὴν οἰκουμένην.

30 6. Ἐφίετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων Οὐε-
σπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας. Ἐπιστέλλει
δ' οὖν εὐθὺς τῷ διέποντι τὴν Αἴγυπτιον καὶ τὴν Ἀλεξάν-
δρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς πρόθυ-
μον, καὶ ὡς αὐτὸς, ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς ἡγεμο-
31 νίας, συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνοι. Παρα-
ναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος, ἅμα προθύμως τά τε
τάγματα καὶ τὸ πλῆθος εἰς αὐτὸν ὥρκωσεν. Ἑκάτεροι δὲ
ἀσμένως ὑπήκουσαν, τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἐκ τῆς ἐγγὺς
32 στρατηγίας εἰδότες. Καὶ ὁ μὲν πεπιστευμένος ἤδη τὰ περὶ
τὴν ἀρχὴν, προπαρεσκεύαζεν αὐτῷ καὶ τὰ πρὸς τὴν ἄφιξιν·
τάχιον δὲ ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν ἐπὶ τῆς ἀνατο-
λῆς αὐτοκράτορα, καὶ πᾶσα μὲν πόλις ἑώρταζεν, εὐαγγέλια
33 δὲ καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. Τὰ δὲ κατὰ Μυσίαν καὶ
Παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς τὴν
Οὐϊτελλίου τόλμαν, μείζονι χαρᾷ Οὐεσπασιανῷ τὴν ἡγεμο-
34 νίαν ὤμνυον. Ὁ δὲ ἀναζεύξας ἀπὸ Καισαρείας εἰς Βηρυτὸν
παρῆν, ἔνθα πολλαὶ μὲν ἀπὸ τῆς Συρίας αὐτῷ, πολλαὶ δὲ
καὶ ἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων, στεφά-
νους παρ' ἑκάστης πόλεως καὶ συγχαρτικὰ προσφέρουσαι

ἀφεγνύμενον L. ἀφιγμένον M. ἀμφικυμένον P. ἀφικνούμενον ex cor. T. ἀμφηγνυμένον E. 29 Ὁ μέν τί γε M. ἀσφαλέστατος ἔνδον tr. M.N.P.T. τὰ λείποντα τῆς χώρας L. πᾶσαν μεριζόμενα τὴν L. πᾶσαν χωρίζεται τὴν P. 30 μὲν εἰκότως τῶν ταύτης L. ἐπιστέλλει δ' εὐθὺς L.P. βοηθὸν παραλαμβάνοι L. 31 Προσαναγνοὺς M.N.T. προαναγνοὺς E. ἅμα deest L.P.T. τά τε πράγματα καὶ M. 32 αὐτῷ ἤδη καὶ τὰ L. διήγγελον M. τὸν ἀπὸ τῆς ex cor. T. ἑόρταζεν P. 34 δὲ ἀπὸ τῶν M.T. συγχαριτικὰ N.T. συγχαρητικὰ M.P.E.

ψηφίσματα. Παρῆν δὲ καὶ Μουκιανὸς ὁ τῆς ἐπαρχίας ἡγε- 35
μὼν, τὸ πρόθυμον τῶν δήμων καὶ τοὺς κατὰ πόλιν ὅρκους
ἀπαγγέλλων.

7. Προχωρούσης δὲ πανταχοῦ κατὰ νοῦν τῆς τύχης, καὶ 36
τῶν πραγμάτων συννενευκότων ἐκ πλείστου μέρους, ἤδη παρί-
στατο τῷ Οὐεσπασιανῷ νοεῖν, ὡς οὐ δίχα δαιμονίου προνοίας
ἅψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαία τις εἱμαρμένη περιάγοι τὸ
κρατεῖν τῶν ὅλων ἐπ' αὐτόν· ἀναμιμνήσκεται γὰρ τά τε 37
ἄλλα σημεῖα — πολλὰ δὲ αὐτῷ ἐγεγόνει πανταχοῦ — προφαί-
νοντα τὴν ἡγεμονίαν, καὶ τὰς τοῦ Ἰωσήπου φωνὰς, ὃς αὐτὸν
ἔτι ζῶντος Νέρωνος αὐτοκράτορα προσειπεῖν ἐθάρρησεν.
Ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δεσμώτην ἔτι ὄντα παρ' αὐτῷ, 38
καὶ προσκαλεσάμενος Μουκιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι
καὶ φίλοις, πρῶτον μὲν αὐτοῦ τὸ δραστήριον ἐκδιηγεῖτο, καὶ
ὅσα τοῖς Ἰωταπάτοις δι' αὐτὸν ἔκαμεν· ἔπειτα τὰς μαντείας, 39
ἃς αὐτὸς μὲν ὑπώπτευσε τότε πλάσμα τοῦ δέους, ἀποδειχθῆ-
ναι δὲ ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας· ‘αἰσχρὸν 40
οὖν, ἔφη, τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν, καὶ διάκονον
τῆς τοῦ θεοῦ φωνῆς, ἔτι αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύ-
χην ὑπομένειν.’ Καὶ καλέσας τὸν Ἰώσηπον, λυθῆναι κελεύει.
Τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς εἰς τὸν ἀλλόφυλον ἀμοιβῆς 41
λαμπρὰ καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη. Συνὼν δὲ τῷ
πατρὶ Τίτος, “Δίκαιον, ὦ πάτερ,” ἔφη, “τοῦ Ἰωσήπου καὶ
τὸ ὄνειδος ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· γενήσεται γὰρ ὅμοιος 42
τῷ μὴ δεθέντι τὴν ἀρχὴν, ἂν αὐτοῦ μὴ λύσωμεν ἀλλὰ κόψω-
μεν τὰ δεσμά.” Τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων
πράττεται. Συνεδόκει δὲ ταῦτα, καὶ παρελθών τις πελέκει 43

36 ἐκ τοῦ πλείστου P. περιαγάγοι P. περιάγει E. 37 γεγόνει L. M.N.P.T. τήν τε ἡγεμονίαν N. ὡς αὐτὸν P. 38 ἐκδιηγεῖται T. ὅσα περὶ τοῖς L. ἔκαμον L.M.N.P.T. 39 πλάσματα τοῦ N.P.T. θείως sic alia ma. sed antiqua N. 40 κελεύει λυθῆναι tr. L. 41 τῆς πρὸς τὸν L. 42 ἀλλὰ κόψωμεν desunt N. et T. sed in huj. marg. adscripta sunt. ἀλλὰ καὶ κόψωμεν E. 43 Συνεδόκει γὰρ τ. M. συνεδόκει ταῦτα P. συνεδόκει δὲ τ. sic T. πέλυκι N. πέλεκι P.

διέκοψε τὴν ἄλυσιν. Ὁ δὲ Ἰώσηπος εἰληφὼς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν, ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

CAP. XI.

1 1. Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας, καὶ καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν
2 ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. Καὶ βουλευόμενος, ποῖ χρὴ τρέπεσθαι, προυργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν τὰ
3 δὲ ὑπὸ Οὐϊτελλίου ταρασσόμενα. Πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν, παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δύναμιν. Ὁ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν, πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

4 2. Ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος, ἀναλαβὼν τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν, ἔτυχε δὲ ἡγεμονεύων αὐτόθι, Οὐϊτελλίῳ παραταξόμενος ἠπείγετο. Οὐϊτέλλιος δὲ αὐτῷ συναντήσοντα μετὰ πολλῆς δυνάμεως Καικίνναν Ἀλιηνὸν ἐκ-
5 πέμπει, μέγα θαρρῶν τῷ ἀνδρὶ διὰ τὴν ἐπ' Ὄθωνι νίκην. Ὁ δὲ ἀπὸ τῆς Ῥώμης ἐλαύνων διὰ τάχους περὶ Κρεμῶνα τῆς Γαλατίας τὸν Ἀντώνιον καταλαμβάνει· μεθόριος δέ ἐστιν ἡ
6 πόλις αὕτη τῆς Ἰταλίας. Κατιδὼν δὲ ἐνταῦθα τὸ πλῆθος τῶν πολεμίων καὶ τὴν εὐταξίαν, συμβάλλειν μὲν οὐκ ἐθάρρει· σφαλερὰν δὲ τὴν ἀναχώρησιν λογιζόμενος, προδοσίαν ἐβου-
7 λεύετο. Συναγαγὼν δὲ τοὺς ὑφ' αὑτὸν ἑκατοντάρχας καὶ χιλιάρχους, ἐνῆγε μεταβῆναι πρὸς τὸν Ἀντώνιον, ταπεινῶν μὲν τὰ Οὐϊτελλίου πράγματα, τὴν Οὐεσπασιανοῦ δὲ ἰσχὺν
8 ἐπαίρων, καὶ 'παρ' ᾧ μὲν εἶναι, λέγων, μόνον τῆς ἀρχῆς

2 προυγιάτερα N. προυχιότερα P. βεβαίαν L. ὑπὸ τοῦ Οὐϊτ. L. Οὐιτιλλίῳ P.T. 3 δείσας τὸ πᾶν, πεζῇ L.M.N.T. 4 κατὰ τὴν Μυσίαν L. ἔτυχε γὰρ ἡγεμ. L. παραταξάμενος N. δυνάμ. Κικίλιον Ἀλιηνὸν ἐκπ. L M.N.T. δυνάμ. Κικίλ. Ἀλικνὶν ἐκπ. P. δυνάμ. Καικίνναν ἐκπ. E. 5 αὕτη ἡ πόλις tr. P. Κρέμωνα τῆς Γαλλίας N.T. 6 συμβαλεῖν μὲν M.P. et ex ras. T. τὴν ἀποχώρησιν P. 7 ἑκατοντάρχους L.N. τὴν Οὐεσπ. δὲ ἀρχὴν M. τὴν δ' Οὐεσ. ἰσχὺν P. 8 τῆς ἀρχῆς ὄνομα μόνον tr. M.

ὄνομα, παρ' ᾧ δὲ τὴν δύναμιν· καὶ αὐτοὺς δὲ ἄμεινον προλαβόντας τὴν ἀνάγκην ποιῆσαι χάριν, καὶ μέλλοντας ἡττᾶσθαι τοῖς ὅπλοις ταῖς γνώμαις τὸν κίνδυνον φθάσαι. Οὐεσπασιανὸν μὲν γὰρ ἱκανὸν εἶναι χωρὶς αὐτῶν προσθήσεσθαι καὶ τὰ λείποντα, Οὐϊτέλλιον δὲ οὐδὲ σὺν αὐτοῖς τηρῆσαι τὰ ὄντα.' 9

3. Πολλὰ τοιαῦτα λέγων ἔπεισε, καὶ πρὸς τὸν Ἀντώνιον αὐτομολεῖ μετὰ τῆς δυνάμεως. Τῆς δὲ αὐτῆς νυκτὸς ἐμπίπτει μετάνοια τοῖς στρατιώταις, καὶ δέος τοῦ προπέμψαντος, εἰ κρείττων γένοιτο· σπασάμενοι δὲ τὰ ξίφη, τὸν Καικίνναν ὥρμησαν ἀνελεῖν, καὶ ἂν ἐπράχθη τὸ ἔργον αὐτοῖς, εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν αὐτούς. Οἱ δὲ τοῦ κτείνειν μὲν ἀπέσχοντο, δήσαντες δὲ τὸν προδότην, οἷοί τε ἦσαν πέμπειν Οὐϊτελλίῳ. Ταῦτα ἀκούσας ὁ Πρῖμος αὐτίκα τοὺς σφετέρους ἀνίστησι, καὶ μετὰ τῶν ὅπλων ἦγεν ἐπὶ τοὺς ἀποστάντας. Οἱ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν ἀντέσχον, αὖθις δὲ τραπέντες ἔφευγον εἰς τὴν Κρεμῶνα. Καὶ τοὺς ἱππεῖς ἀναλαβὼν Πρῖμος ὑποτέμνεται τὰς εἰσόδους αὐτῶν, καὶ τὸ μὲν πολὺ πλῆθος κυκλωσάμενος πρὸ τῆς πόλεως διαφθείρει· τῷ δὲ λοιπῷ συνεισπεσὼν, διαρπάσαι τὸ ἄστυ τοῖς στρατιώταις ἐφῆκεν. Ἔνθα δὴ πολλοὶ μὲν τῶν ξένων ἔμποροι, πολλοὶ δὲ τῶν ἐπιχωρίων ἀπώλοντο, πᾶσα δὲ ἡ Οὐϊτελλίου στρατιὰ, μυριάδες τρεῖς ἀνδρῶν καὶ διακόσιοι· τῶν δὲ ἀπὸ τῆς Μυσίας Ἀντώνιος τετρακισχιλίους ἀποβάλλει καὶ πεντακοσίους. Λύσας δὲ τὸν Καικίνναν πέμπει πρὸς Οὐεσπασιανὸν, ἀγγελοῦντα τὰ πεπραγμένα. Καὶ ὃς ἐλθὼν ἀπεδέχθη τε ὑπ' αὐτοῦ, καὶ τὰ τῆς προδοσίας ὀνείδη ταῖς παρ' ἐλπίδα τιμαῖς ἐπεκάλυψεν. 10 11 12 13 14 15 16

καὶ αὐτοῖς δὲ L. ἄμεινον εἶναι προλ. L. προσλαβόντας M. 9 εἶναι καὶ χωρὶς M.N.T. αὐτῶν προκτήσασθαι καὶ L. 10 Τῆς δ' αὖ πίπτει μετάνοια L. δέος εἰ τοῦ προπέμψαντος κρείσσων M. εἰ κρεῖσσον P. ξίφη τὸν Κικίλιον L.M.N.P.T. et sic infra. ὅρμησαν P. 11 καθικέτευσαν ἑκάστους. L. τοῦ κτεῖναι μὲν ἀπ. L.M. τοῦ κτεῖνai ἀπ. N. τοῦ κτείνειν ἀπ. P. ἀπέχοντο M. ἦσαν ἀναπέμπειν L. ἦσαν πέμψειν E. 12 αὐτίκα εὐθέως τοὺς M. ἔφυγον εἰς L. 13 Τοὺς δὲ ἱππεῖς P. 14 πολλοὶ τῶν ξένων P. πολλὰ δὲ τῶν ἐπιχ. L. πᾶσα δὲ καὶ Ὀυ. P. πᾶσα δὲ Οὐ. E. ἀνδρῶν τρεῖς tr. P. 15 πεπραγμένα· ὃς εἰσελθὼν L.

17 4. Ἀνεθάρσει δὲ ἤδη καὶ κατὰ τὴν Ῥώμην Σαβῖνος, ὡς πλησίον Ἀντώνιος ὢν ἀπηγγέλλετο· καὶ συναθροίσας τὰ τῶν νυκτοφυλάκων στρατιωτῶν τάγματα, νύκτωρ καταλαμ-
18 βάνει τὸ Καπιτώλιον. Μεθ' ἡμέραν δὲ αὐτῷ πολλοὶ τῶν ἐπισήμων προσεγένοντο, καὶ Δομετιανὸς ὁ τοῦ ἀδελφοῦ
19 παῖς, μεγίστη μοῖρα τῶν εἰς τὸ κρατεῖν ἐλπίδων. Οὐϊτελλίῳ δὲ Πρίμου μὲν ἐλάττων φροντὶς ἦν, τεθύμωτο δὲ ἐπὶ τοὺς συναποστάντας τῷ Σαβίνῳ, καὶ διὰ τὴν ἔμφυτον ὠμότητα διψῶν αἵματος εὐγενοῦς, τοῦ στρατιωτικοῦ τὴν συγκα-
20 τελθοῦσαν αὐτῷ δύναμιν ἐπαφίησι τῷ Καπιτωλίῳ. Πολλὰ μὲν οὖν ἔκ τε ταύτης, καὶ τῶν ἀπὸ τοῦ ἱεροῦ μαχομένων ἐτολμήθη· τέλος δὲ τῷ πλήθει περιόντες οἱ ἀπὸ τῆς Γερμα-
21 νίας ἐκράτησαν τοῦ λόφου. Καὶ Δομετιανὸς δὲ σὺν πολλοῖς τῶν ἐν τέλει Ῥωμαίων δαιμονιώτερον διασώζεται· τὸ δὲ λοιπὸν πλῆθος ἅπαν κατεκόπη, καὶ Σαβῖνος ἀναχθεὶς ἐπὶ Οὐϊτέλλιον ἀναιρεῖται, διαρπάσαντές τε οἱ στρατιῶται τὰ
22 ἀναθήματα τὸν ναὸν ἐμπιπρῶσι. Καὶ μετὰ μίαν ἡμέραν εἰσελαύνει μὲν Ἀντώνιος μετὰ τῆς δυνάμεως, ὑπήντων δὲ οἱ Οὐϊτελλίου, καὶ τριχῇ κατὰ τὴν πόλιν συμβαλόντες ἀπώ-
23 λοντο πάντες. Προέρχεται δὲ μεθύων ἐκ τοῦ βασιλείου Οὐϊτέλλιος, καὶ δαψιλέστερον ὥσπερ ἐν ἐσχάτοις τῆς ἀσώ-
24 του τραπέζης κεκορεσμένος. Συρεὶς δὲ διὰ τοῦ πλήθους, καὶ παντοδαπαῖς αἰκίαις ἐξυβρισθεὶς, ἐπὶ μέσης τῆς Ῥώμης ἀποσφάττεται, μῆνας ὀκτὼ κρατήσας καὶ ἡμέρας πέντε· ὃν εἰ συνέβη πλείω χρόνον βιῶσαι, ἐπιλιπεῖν ἂν αὐτοῦ τῇ λαγνείᾳ
25 τὴν ἡγεμονίαν οἶμαι. Τῶν δὲ ἄλλων νεκρῶν ὑπὲρ πέντε μυριάδες ἠριθμήθησαν. Ταῦτα μὲν οὖν τρίτῃ μηνὸς Ἀπελλαίου πέπρακτο· τῇ δὲ ὑστεραίᾳ Μουκιανὸς εἴσεισι μετὰ τῆς στρα-

17 ὢν ἠγγέλλετο M. καταλαμβάνεται τὸ L. 18 ἐλπίδων Οὐιτελλίῳ. Πρίμῳ L. 19 ἐλάττω φρ. L.M.N.P. τεθυμωμένος δὲ ἐπὶ L. 21 ἅπαν διεκόπη L. διαρπάσαντες δὲ οἱ L. ναὸν ἐνέπρησαν. L.P. 22 ὑπήντουν M. 23 Προσέρχεται M.N. 24 κρατήσας μῆνας ὀκτὼ, ἡμέρας P. βιῶσαι χρόνον tr. L. ἐπιλείπειν P. 25 πέντε μυριάδας T. Ταῦτα δὲ τρίτῃ N. ταῦτα μὲν τρίτῃ P. Ἀπελλίου P. πέπρακται L. εἴσισι μετὰ P.

τιᾶς, καὶ τοὺς σὺν Ἀντωνίῳ παύσας τοῦ κτείνειν, — ἔτι γὰρ 26
ἐξερευνώμενοι τὰς οἰκίας, πολλοὺς μὲν τῶν Οὐϊτελλίου στρατιωτῶν, πολλοὺς δὲ τῶν δημοτικῶν, ὡς ἐκείνου, ἀνῄρουν, φθάνοντες τῷ θυμῷ τὴν ἀκριβῆ διάγνωσιν, — καὶ προαγαγὼν τὸν Δομετιανὸν, συνίστησι τῷ πλήθει μέχρι τῆς τοῦ πατρὸς ἀφίξεως ἡγεμόνα. Ὁ δὲ δῆμος, ἀπηλλαγμένος ἤδη τῶν φό- 27
βων, αὐτοκράτορα Οὐεσπασιανὸν εὐφήμει, καὶ ἅμα τήν τε τούτου βεβαίωσιν ἐώρταζε καὶ τὴν Οὐϊτελλίου κατάλυσιν.

5. Εἰς δὲ τὴν Ἀλεξάνδρειαν ἀφιγμένῳ τῷ Οὐεσπασιανῷ 28
τὰ ἀπὸ τῆς Ῥώμης εὐαγγέλια ἦκε, καὶ πρέσβεις ἐκ πάσης τῆς ἰδίας οἰκουμένης συνηδόμενοι· μεγίστη τε οὖσα μετὰ τὴν Ῥώμην ἡ πόλις, στενοτέρα τοῦ πλήθους ἠλέγχετο. Κεκυ- 29
ρωμένης δὲ ἤδη τῆς ἀρχῆς ἁπάσης, καὶ σεσωσμένων παρ' ἐλπίδα Ῥωμαίοις τῶν πραγμάτων, Οὐεσπασιανὸς ἐπὶ τὰ λείψανα τῆς Ἰουδαίας τὸν λογισμὸν ἐπέστρεφεν. Αὐτὸς μέντοι εἰς 30
τὴν Ῥώμην ὥρμητο λήξαντος τοῦ χειμῶνος ἀνάγεσθαι, καὶ τάχος τὰ κατὰ τὴν Ἀλεξάνδρειαν διῴκει· τὸν δὲ υἱὸν Τίτον μετὰ τῆς ἐκκρίτου δυνάμεως ἀπέστειλεν ἐξαιρήσοντα τὰ Ἱεροσόλυμα. Ὁ δὲ προελθὼν πεζῇ μέχρι Νικοπόλεως, εἴκοσι 31
δὲ αὖτη διέχει τῆς Ἀλεξανδρείας σταδίους, καὶ ἐκεῖθεν ἐπιβήσας τὴν στρατιὰν μακρῶν πλοίων ἀναπλεῖ διὰ τοῦ Νείλου κατὰ τὸν Μενδήσιον νόμον μέχρι πόλεως Θμούεως. Ἐκεῖθεν 32
δὲ ἀποβὰς ὁδεύει, καὶ κατὰ πολίχνην τινὰ Τάνιν αὐλίζεται. Δεύτερος αὐτῷ σταθμὸς Ἡρακλέους πόλις, καὶ τρίτος Πηλούσιον γίνεται. Δυσὶ δὲ ἡμέραις ἐνταῦθα τὴν στρατιὰν 33
ἀναλαβὼν, τῇ τρίτῃ διέξεισι τὰς ἐμβολὰς τοῦ Πηλουσίου, καὶ προελθὼν σταθμὸν ἕνα διὰ τῆς ἐρήμου, πρὸς τῷ τοῦ

26 ἐξερευνώμενος P. οἰκίας, πολλοὺς δὲ τῶν δημοτ. desunt quæ interjacent omnia M. ἀκριβῆ διάκρισιν, προαγάγων δὲ L.P. 27 εὐφήμουν E. τὴν τούτου P. ἑόρταζεν P. 28 Ἀλεξ. ἀφικομένῳ Οὐεσπ. L. στενοτέρα τότε τοῦ L. 30 μέντοι γε εἰς L. λήξαντος δὲ τοῦ P. 31 Ὁ δὲ προσελθὼν L.P. κἀκεῖθεν ἐπὶ τὴν στρατείαν P. πλοίων ἀνέβη διὰ L. Νείλου μετὰ τὸν Γ. Νείλου καὶ μετὰ τὸν M. τὸν δημόσιον νόμον T. 32 Ἐκεῖθεν ἀποβὰς M. πολύχνην M. τινα deest P. Ἡρακλέος N.T. Ἡρακλέως P. καὶ τρίτον N.P. 33 ἡμέραις τὴν L. τὴν στρατείαν P. τρίτῃ διεξέῃ L. προσελθὼν L. πρὸς τὸ τοῦ L.P.

34 Κασίου Διὸς ἱερῷ στρατοπεδεύεται· τῇ δὲ ὑστεραίᾳ κατὰ τὴν
'Οστρακίνην· οὗτος ὁ σταθμὸς ἦν ἄνυδρος, ἐπεισάκτοις δὲ
ὕδασιν οἱ ἐπιχώριοι χρῶνται. Μετὰ ταῦτα πρὸς 'Ρινοκορού-
ροις ἀναπαύεται, καὶ ἐκεῖ θενεὶς 'Ράφειαν προελθὼν σταθμὸν
35 τέταρτον — ἔστι δὲ ἡ πόλις αὕτη Συρίας ἀρχὴ — τὸ πέμπτον
ἐν Γάζῃ τίθεται στρατόπεδον, μεθ' ἣν εἰς 'Ασκάλωνα, καὶ
ἐκεῖθεν εἰς 'Ιάμνειαν, ἔπειτα εἰς 'Ιόππην, καὶ ἐξ 'Ιόππης εἰς
Καισάρειαν ἀφικνεῖται, διεγνωκὼς αὐτόθι τὰς ἄλλας δυνάμεις
ἀθροίζειν.

Κασσίου N.P.T. Διὸς ἱερὸν L.P. 34 ὕδασιν ἐπιχώριοι L. 'Ρηνοκορούροις P. 'Ράφιαν N.P.T. προσελθὼν M.N. et pri. ma. L. 35 ἔστιν ἡ πόλις L. τῆς Συρίας L. ἀρχὴ καὶ τὸ M. 'Ιάμνιαν L.M.T. καὶ ἀπὸ 'Ιοπ. L.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Ε'.

ARGUMENTUM LIB. V.

1. Περὶ στασιαστῶν ἐν Ἱεροσολύμοις. 2. Οἷος Τίτος ἦει πρὸς τὰ Ἱεροσόλυμα. 3. Ὡς πάλιν ἔνδον Ἱεροσολύμων ἡ στάσις ἐγείρεται. 4. Ἱεροσολύμων ἔκφρασις. 5. Ἔκφρασις τοῦ ἱεροῦ. 6. Περὶ Σίμωνος καὶ Ἰωάννου τῶν τυράννων. Καὶ ὡς τοξεύεται Νικάνωρ, ὅθεν εἰς πολιορκίαν παροξύνεται ὁ Τίτος. 7. Ὡς μετὰ πολὺν φόνον ἐκράτησαν Ῥωμαῖοι τοῦ πρώτου τείχους, ὥς τε Τίτος τῷ δευτέρῳ τείχει προσβολὰς ἐποιεῖτο. Περί τε Λογγίνου τοῦ Ῥωμαίου καὶ Κάστορος τοῦ Ἰουδαίου. 8. Ὡς τὸ δεύτερον τεῖχος δὶς παρέλαβον οἱ Ῥωμαῖοι. 9. Ὅτι Τίτος πάλιν ὥρμησεν εἰς τὸ πολιορκεῖν, καὶ Ἰώσηπον ὑπέπεμψε διαλέγεσθαι τοῖς ὁμοφύλοις περὶ εἰρήνης. 10. Ὡς πολλοὶ τοῦ δήμου αὐτομολεῖν ὥρμησαν, οἷά τε λιμῷ οἱ μένοντες ἔπασχον. 11. Ὡς Ἰουδαῖοι πρὸ τοῦ τείχους ἀνεσταυροῦντο. Περὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. 12. Τίτῳ ἐδόκει περιβόλῳ τὴν πόλιν κυκλῶσαι. 13. Φόνος ἐν Ἱεροσολύμοις γίνεται πολὺς καὶ ἱεροσυλία.

CAP. I.

1. Ὁ μὲν οὖν Τίτος, ὃν προειρήκαμεν τρόπον, διοδεύσας 1
τὴν ὑπὲρ Αἰγύπτου μέχρι Συρίας ἐρημίαν, εἰς Καισάρειαν
παρῆν, ταύτῃ διεγνωκὼς προσυντάξασθαι τὰς δυνάμεις. Ἔτι 2
δὲ αὐτοῦ κατὰ τὴν Ἀλεξάνδρειαν συγκαθισταμένου τῷ πατρὶ
τὴν ἡγεμονίαν νέον αὐτοῖς ἐγκεχειρισμένην ὑπὸ τοῦ θεοῦ,
συνέβη καὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις στάσιν ἀνακμάσασαν

1 Ὁ μὲν Τίτος M.N.P.T. 2 συγκαθεζομένου τῷ πατρὶ L. νέαν αὐτοῖς L.P. στάσιν ἀκμάσασαν L. et ex ras. T.

τριμερῆ γενέσθαι, καὶ καθ' αὑτοῦ θάτερον ἐπιστρέψαι μέρος,
3 ὅπερ ἄν τις ὡς ἐν κακοῖς ἀγαθὸν εἴποι καὶ δίκης ἔργον. Ἡ
μὲν γὰρ κατὰ τοῦ δήμου τῶν ζηλωτῶν ἐπίθεσις, ἥπερ κατῆρ-
ξεν ἁλώσεως τῇ πόλει, προδεδήλωται μετὰ ἀκριβείας, ὅθεν τε
4 ἔφυ, καὶ πρὸς ὅσον κακὸν ἀνηυξήθη. Ταύτην δὲ οὐκ ἂν ἁμάρ-
τοι τις εἰπὼν στάσει στάσιν ἐγγενέσθαι, καὶ καθάπερ θηρίον
λυσσῆσαν ἐνδείᾳ τῶν ἔξωθεν ἐπὶ τὰς ἰδίας ἤδη σάρκας ὁρμᾶν.
5 2. Ἐλεάζαρος γὰρ ὁ τοῦ Σίμωνος, ὃς δὴ καὶ τὰ πρῶτα
τοῦ δήμου τοὺς ζηλωτὰς ἀπέστησεν εἰς τὸ τέμενος, ὡς ἀγα-
νακτῶν δῆθεν ἐπὶ τοῖς ὀσημέραι τῷ Ἰωάννῃ τολμωμένοις, —
6 οὐ γὰρ ἀνεπαύετο φονῶν οὗτος, — τὸ δὲ ἀληθὲς αὐτοῦ μετα-
γενεστέρῳ τυράννῳ μὴ φέρων ὑποτετάχθαι, πόθῳ τῶν ὅλων
καὶ δυναστείας ἰδίας ἐπιθυμίᾳ διΐσταται, παραλαβὼν Ἰούδην
τε τὸν Χελκία καὶ Σίμωνα τὸν Ἐζρῶνος τῶν δυνατῶν, πρὸς
7 οἷς Ἐζεκίας ἦν Χωβαρὶ παῖς οὐκ ἄσημος. Καθ' ἕκαστον δὲ
οὐκ ὀλίγοι τῶν ζηλωτῶν ἠκολούθησαν, καὶ καταλαβόμενοι
τὸν ἐνδότερον τοῦ νεῶ περίβολον, ὑπὲρ τὰς ἱερὰς πύλας ἐπὶ
8 τῶν ἁγίων μετώπων τίθενται τὰ ὅπλα. Πλήρεις μὲν οὖν
ἐπιτηδείων ὄντες ἐθάρρουν, — καὶ γὰρ ἀφθονία τῶν ἱερῶν
ἐγίνετο πραγμάτων, τοῖς γε μηδὲν ἀσεβὲς ἡγουμένοις, — ὀλι-
γότητι δὲ τῇ κατὰ σφᾶς ὀρρωδοῦντες, ἐγκαθιστάμενοι τὰ
9 ὅπλα κατὰ χώραν ἔμενον. Ὁ δὲ Ἰωάννης ὅσον ἀνδρῶν ὑπερ-
εῖχε πλήθει, τοσοῦτον ἐλείπετο τῷ τόπῳ· καὶ κατὰ κορυφὴν
ἔχων τοὺς πολεμίους, οὔτ' ἀδεεῖς ἐποιεῖτο τὰς προσβολάς,
10 οὔτε δι' ὀργὴν ἠρέμει. Κακούμενος δὲ πλέον, ἥπερ διατιθεὶς
τοὺς περὶ τὸν Ἐλεάζαρον, ὅμως οὐκ ἀνίει· συνεχεῖς δὲ ἐκδρο-

3 ὅθεν ἔφυ L. πρὸς ὅσων κακῶν P. 4 ἰδίας σάρκας P. ὁρμᾶ, οὕτως Ἐλεάζαρος ὁ τοῦ M.P.T. ὁρμᾶν, Ἐλεάζαρος ὁ τοῦ N. 5 ὡσημέραι P. φόνων L.M.N.P. ἰδίας deest N.T. 6 τὸν Χελκήα L. τὸν Χέλικα M.N.P. T. καὶ τὸν Νέσρωνος Σίμωνα τῶν L. τὸν Ἐσρῶνος P. τὸν Ἐξέρωνος in marg. T. Χωβαρεὶ M.N.P.T. ἦν deest P. 7 δὲ τούτοις οὐκ ὀλίγοι L. ἐνδοτέρω ex cor. T. τοῦ ναοῦ περίβολον L. μετόπων P. 8 ὄντες ἐπιτηδείων tr. M. ἐγένετο E. πραγμάτων ἐγίνετο tr. L. τοῖς δὲ μηδὲν L. ὀλιγότητι δ' ἐν τῇ P. ἐγκαθήμενοι τὰ ὅπλα P. ἐγκαθισάμενοι τὰ ὅπλα L.E. ἐγκαθιστάμενοι τὰ πολλὰ M.N.T. 9 ὅσῳ ἀνδρῶν L. οὔτε δέει ἐποιεῖτο L. οὔτε δὲ εἰσεποιεῖτο N. 10 συνεχεῖς τε ἐκδ. L.

μαὶ κατ' ἀλλήλων καὶ βελῶν ἀφέσεις ἐγίνοντο, καὶ φόνοις ἐμιαίνετο πανταχοῦ τὸ ἱερόν.

3. Ὁ δὲ τοῦ Γιώρα Σίμων, ὃν ἐν ταῖς ἀμηχανίαις ἐπίκλη- 11
τον αὐτῷ τύραννον ὁ δῆμος ἐλπίδι βοηθείας προσηγάγετο, τήν τε ἄνω πόλιν ἔχων καὶ τῆς κάτω πολὺ μέρος, ἐρρωμενέστερον ἤδη τοῖς περὶ τὸν Ἰωάννην προσέβαλλεν, ὡς ἂν καὶ καθύπερθεν πολεμουμένοις. Ἦν δὲ ὑπὸ χεῖρα προσιὼν αὐ- 12
τοῖς, ὥσπερ ἐκεῖνοι τοῖς ἄνωθεν. Καὶ τῷ Ἰωάννῃ, διχόθεν πολεμουμένῳ, συνέβαινε βλάπτεσθαί τε καὶ βλάπτειν εὐκόλως, καὶ καθόσον ἡττᾶτο τῶν ἀμφὶ τὸν Ἐλεάζαρον ὢν ταπεινότερος, τοσοῦτον ἐπλεονέκτει ἐν ὑψηλῷ τοῦ Σίμωνος. Παρὸ καὶ χειρὶ μὲν τὰς κάτωθεν προσβολὰς εὐμαρῶς εἶργε, 13
τοὺς δὲ ἄνωθεν ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἀνέστελλε τοῖς ὀργάνοις. Ὀξυβελεῖς τε γὰρ αὐτῷ καὶ καταπέλται 14
παρῆσαν οὐκ ὀλίγοι καὶ λιθοβόλοι, δι' ὧν οὐ μόνον ἠμύνετο τοὺς πολεμοῦντας, ἀλλὰ καὶ πολλοὺς τῶν ἱερουργούντων ἀνῄρει. Καίπερ γὰρ πρὸς πᾶσαν ἀσέβειαν ἐκλελυσσηκότες, 15
ὅμως τοὺς θύειν ἐθέλοντας εἰσηφίεσαν, μεθ' ὑποψιῶν μὲν καὶ φυλακῆς τοὺς ἐπιχωρίους προδιερευνώμενοι, τοὺς δὲ ξένους ἀδεέστερον, οἳ καὶ περὶ τὰς εἰσόδους δυσωπήσαντες αὐτῶν τὴν ὠμότητα παρανάλωμα τῆς στάσεως ἐγίνοντο· τὰ γὰρ 16
ἀπὸ τῶν ὀργάνων βέλη μέχρι τοῦ βωμοῦ καὶ τοῦ νεὼ διὰ τὴν βίαν ὑπερφερόμενα, τοῖς τε ἱερεῦσι καὶ τοῖς ἱερουργοῦσιν ἐνέπιπτε. Καὶ πολλοὶ σπεύσαντες ἀπὸ γῆς περάτων, περὶ 17
τὸν διώνυμον καὶ πᾶσιν ἀνθρώποις χῶρον ἅγιον, πρὸ τῶν θυμάτων ἔπεσον αὐτοί, καὶ τὸν Ἕλλησι πᾶσι καὶ βαρβάροις σεβάσμιον βωμὸν κατέσπεισαν ἰδίῳ φόνῳ. Νεκροῖς δὲ ἐπι- 18

κατ' ἀλλήλων desunt L.N.P.T. πανταχόθεν M. 11 Γηώρα M. ἑαυτῷ τύραννον L.M. αὐτοτύραννον P. ἐλπίδι βοηθείας ὁ δῆμος tr. E. προσήγαγε M.P. προσεισήγαγε L. προεισήγαγε N.T. προσέβαλεν L. ἔβαλλεν N. πολεμούμενος L.M. 12 προσιὼν αὐτὸς ὥσπερ L.M.N.P.T. ὥσπερ ἐκείνοις τοῖς M. Ἰωάννῃ πανταχόθεν πολεμ. L. πλεονέκτει τῷ ὑψηλῷ L. 13 εὐμαρῶς ἦγε M. ἰσχυρῶς εἶργε P. 15 μεθ' ὑποψίας L. διερευνώμενοι L.N.P.T. διερευν. δὲ τοὺς ξένους, οἳ N.T. οἳ καίπερ περὶ N.P.T. οἳ καίπερ δυσωπήσαντες M. 16 βέλη deest L. τοῖς ἱερεῦσι L. 17 περάτων ἐπὶ τὸν περιώνυμον L. ἐπὶ ex cor. T. ναὸν sed in marg. ead. ma. βωμὸν L.

χωρίοις ἀλλύφυλοι, καὶ ἱερεῦσι βέβηλοι συνεφύροντο, καὶ παντοδαπῶν αἷμα πτωμάτων ἐν τοῖς θείοις περιβόλοις ἐλι-
19 μνάζετο. Τί τηλικοῦτον, ὦ τλημονεστάτη πόλις, πέπονθας ὑπὸ Ῥωμαίων, οἵ σου τὰ ἐμφύλια μύσῃ περικαθαροῦντες εἰσῆλθον. Θεοῦ μὲν γὰρ οὔτε ἦς ἔτι χῶρος, οὔτε μένειν ἐδύνασο, τάφος οἰκείων γενομένη σωμάτων, καὶ πολέμου τὸν
20 ναὸν ἐμφυλίου ποιήσασα πολυάνδριον. Δύναιο δ' ἂν γενέσθαι πάλιν ἀμείνων, εἴγε ποτὲ τὸν πορθήσαντα θεὸν ἐξιλάσει. Ἀλλὰ καθεκτέον γὰρ καὶ τὰ πάθη τῷ νόμῳ τῆς συγγραφῆς, ὡς οὐ κατολοφυρμῶν οἰκείων ὁ καιρὸς, ἀλλ' ἀφηγήσεως πραγμάτων. Δίειμι δὲ τὰ ἑξῆς ἔργα τῆς στάσεως.

21 4. Τριχῇ τῶν ἐπιβούλων τῆς πόλεως διηρημένων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον, τὰς ἱερὰς ἀπαρχὰς διαφυλάσσοντες, κατὰ τοῦ Ἰωάννου τὴν μέθην ἔφερον. Οἱ δὲ σὺν τούτῳ διαρπάζοντες τοὺς δημότας, ἠγείροντο κατὰ τοῦ Σίμωνος.
22 Ἦν δὲ καὶ ἐκείνῳ τροφὴ κατὰ τῶν ἀντιστασιαστῶν ἡ πόλις. Ὁπότε μὲν οὖν ἀμφοτέρωθεν ἐπιχειροῖτο, τοὺς συνόντας ὁ Ἰωάννης ἀντέστρεφε, καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας ἀπὸ τῶν στοῶν βάλλων, τοὺς δὲ ἀπὸ τοῦ ἱεροῦ κατακοντί-
23 ζοντας ἠμύνετο τοῖς ὀργάνοις. Εἰ δὲ ἐλευθερωθείη ποτὲ τῶν καθύπερθεν ἐπικειμένων, — διανέπαυε δὲ αὐτοὺς πολλάκις μέθη τε καὶ κάματος, — ἀδεέστερον τοῖς περὶ τὸν Σίμωνα
24 μετὰ πλειόνων ἐπεξέθεεν. Ἀεὶ δὲ ἐφ' ὅσον τρέψαιτο τῆς πόλεως, ὑπεμπίπρα τὰς οἰκίας σίτου μεστὰς καὶ παντοδαπῶν ἐπιτηδείων· τὸ δὲ αὐτὸ πάλιν ὑποχωροῦντος ἐπιὼν ὁ Σίμων
25 ἔπραττεν, ὥσπερ ἐπίτηδες Ῥωμαίοις διαφθείροντες ἃ παρεσκευάσατο πρὸς πολιορκίαν ἡ πόλις, καὶ τὰ νεῦρα τῆς αὐτῶν

18 βεβήλοις L. περιελιμνάζετο scd περι ma. rec. supra lin. adscrip. L. 19 μύση περὶ καθαίροντες L. μύση περικαθαιροῦντες M.N.P.T. οὔτε εἰς ἔτι M. ἐμφυλίου πλήσασα L.M.N.P.T. πολυάνδρειον L. 20 ἄμειvον P. πάλιν ἂν ἄμεινον N. ἀλλὰ γὰρ καθεκτέον P. τῆς γραφῆς L.P. οὐκ ὀλυφυρμῶν L.T. 21 τὰς ἀπαρχὰς τὰς ἱερὰς L. 22 κατὰ τῶν στασιαστῶν E. ἐπεχείρουν τοὺς L. ἀνιέντας ἀπὸ P. 23 μέθη καὶ P. 24 ὑπεμπίπρησι L. ὑπεμπίπρει P. σίτου τε μεστὰς M. 25 διαφθείροντες παρεσκεύαζον πρὸς L. πολιορκίαν τὴν πόλιν καὶ L. τῆς ἑαυτῶν ἀποκόπτοντες L.

ὑποκόπτοντες δυνάμεως. Συνέβη γοῦν τὰ μὲν περὶ τὸ ἱερὸν πάντα συμφλεγῆναι, καὶ μεταίχμιον ἐρημίας γενέσθαι καὶ παρατάξεως τὴν πόλιν· κατακαῆναι δὲ πλὴν ὀλίγου πάντα 26
τὸν σῖτον, ὃς ἂν αὐτοῖς οὐκ ἐπ' ὀλίγα διήρκεσεν ἔτη πολιορκουμένοις. Λιμῷ γοῦν ἑάλωσαν, ὅπερ ἥκιστα δυνατὸν ἦν, εἰ μὴ τοῦτον ἑαυτοῖς προπαρεσκεύασαν.

5. Πανταχόθεν δὲ τῆς πόλεως πολεμουμένης ὑπὸ τῶν ἐπι- 27
βούλων καὶ συγκλύδων, μέσος ὁ δῆμος ὥσπερ μέγα σῶμα διεσπαράσσετο. Γηραιοὶ δὲ καὶ γυναῖκες ὑπ' ἀμηχανίας τῶν εἴσω κακῶν ηὔχοντο Ῥωμαίοις, καὶ τὸν ἔξωθεν πόλεμον ἐπ' ἐλευθερίᾳ τῶν οἰκείων κακῶν ἐκαραδόκουν. Κατάπληξις δὲ 28
δεινὴ καὶ δέος ἦν τοῖς γνησίοις, καὶ οὔτε βουλῆς καιρὸς εἰς μεταβολὴν, οὔτε συμβάσεως ἐλπὶς οὔτε φυγῆς τοῖς ἐθέλουσιν. Ἐφρουρεῖτο γὰρ πάντα· καὶ τὰ λοιπὰ στασιάζοντες 29
οἱ ἀρχιλησταὶ τοὺς εἰρηνικὰ Ῥωμαίοις φρονοῦντας, ἢ πρὸς αὐτομολίαν ὑπόπτους ὡς κοινοὺς πολεμίους ἀνῄρουν, καὶ μόνον ὠμονόουν τὸ φονεύειν τοὺς σωτηρίας ἀξίους. Καὶ τῶν 30
μὲν μαχομένων ἀδιάλειπτος ἦν κραυγὴ μεθ' ἡμέραν τε καὶ νύκτωρ· δεινότεροι δὲ οἱ τῶν πενθούντων ὀδυρμοὶ ἀεί. Καὶ 31
θρήνων μὲν αἰτίας ἐπαλλήλους αἱ συμφοραὶ προσέφερον, τὰς δὲ οἰμωγὰς ἐνέκλειεν ἡ κατάπληξις αὐτῶν. Φιμούμενοι δὲ τά γε πάθη τῷ φόβῳ μεμυκόσι τοῖς στεναγμοῖς ἐβασανίζοντο· καὶ οὔτε πρὸς τοὺς ζῶντας ἦν αἰδὼς ἔτι τοῖς προσή- 32
κουσιν, οὔτε πρόνοια τῶν ἀπολωλότων ταφῆς. Αἴτιον δὲ ἀμφοτέρων ἡ καθ' ἑαυτὸν ἀπόγνωσις ἑκάστου· παρείθησαν 33
γὰρ εἰς πάντα τὰς προθυμίας οἱ μὴ στασιάζοντες, ὡς ἀπολούμενοι πάντως ὅσον οὐδέπω. Πατοῦντες δὴ τοὺς νεκροὺς,

συνέβη τὰ μὲν P. μεσαίχμιον N.T.E. γενέσθαι παρατάξεως L.M.N. P.T. παρατάξ. οἰκείας τὴν L.M.T. 26 σῖτον ὅσον αὐτοῖς P. λιμοῦ γοῦν P. ἑάλωσαν ὥσπερ ἥκιστα L.P. τοῦτον αὐτοῖς P. 27 καὶ συνηλύδων P. τῶν ἴσων κακῶν ηυχ. L. τῶν εἴσω κακῶν ἐκαρ. M.N.T. 28 οὔτε φυγὴ τοῖς M.N.P. 29 στασιάζοντες ἀρχιλησταὶ M.N. ὁμονόουν P. 30 ἀδιάλ. ἡ κραυγὴ ἦν L. ἀδιάλ. κραυγὴ ἦν M. ὀδυρμοὶ δέει. Καὶ P. 31 δὴ τά τε πάθη L. ἐβασάνιζον M. 32 ἡ καθ' ἑαυτῶν P. 33 παρῆσαν γὰρ L. παρεῖσαν γὰρ P. πάντα τῆς προθ. L. οἱ στασιάζοντες M.N.T. ὡς deest L. Πατοῦντες δὲ τοὺς M.

ἐπ' ἀλλήλοις σεσωρευμένους, οἱ στασιασταὶ συνεπλέκοντο, καὶ τὴν ἀπόνοιαν ἀπὸ τῶν ἐν ποσὶ πτωμάτων σπῶντες ἦσαν
34 ἀγριώτεροι. Προσεξευρίσκοντες δὲ ἀεί τι καθ' αὑτῶν ὀλέθριον, καὶ πᾶν τὸ δοχθὲν ἀφειδῶς δρῶντες, οὐδεμίαν οὔτε
35 αἰκίας ὁδὸν οὔτε ὠμότητος παρέλιπον. Ἀμέλει Ἰωάννης τὴν ἱερὰν ὕλην εἰς πολεμιστηρίων κατασκευὴν ὀργάνων ἀπεχρήσατο. Δόξαν γάρ ποτε τῷ λαῷ καὶ τοῖς ἱερεῦσιν ὑποστη-
36 ρίξανταϛ τὸν ναὸν εἴκοσι πήχεις προσυψῶσαι, κατάγει μὲν ἀπὸ τοῦ Λιβάνου μεγίστοις ἀναλώμασι καὶ πόνοις τὴν χρήσιμον ὕλην ὁ βασιλεὺς Ἀγρίππας, ξύλα θέας ἄξια τήν τε
37 εὐθύτητα καὶ τὸ μέγεθος. Μεσολαβήσαντος δὲ τοῦ πολέμου τὸ ἔργον, ὁ Ἰωάννης τεμὼν αὐτὰ πύργους κατεσκεύαζεν, ἐξαρκοῦν τὸ μῆκος εὑρὼν πρὸς τοὺς ἀπὸ τοῦ καθύπερθεν ἱεροῦ
38 μαχομένους· ἵστησί τε προσαγαγὼν κατόπιν τοῦ περιβόλου, τῆς πρὸς δύσιν ἐξέδρας ἄντικρυς, ἥπερ καὶ μόνη δυνατὸν ἦν, τῶν ἄλλων μερῶν βαθμοῖς πόρρωθεν διειλημμένων.

39 6. Καὶ ὁ μὲν τοῖς κατασκευασθεῖσιν ἐξ ἀσεβείας ὀργάνοις κρατήσειν ἤλπισε τῶν ἐχθρῶν· ὁ δὲ θεὸς ἄχρηστον αὐτῷ τὸν πόνον ἀπέδειξε, πρὶν ἐπιστῆσαί τινα τῶν πύργων, Ῥωμαίους
40 ἐπαγαγών. Ὁ γὰρ δὴ Τίτος ἐπειδὴ τὰ μὲν συνήγαγε τῆς δυνάμεως πρὸς αὐτὸν, τοῖς δὲ ἐπὶ Ἱεροσολύμων συναντᾶν
41 ἐπέστειλεν, ἐξήλαυνε τῆς Καισαρείας. Ἦν δὲ τρία μὲν τὰ πρότερον αὐτοῦ τῷ πατρὶ συνδήσαντα τὴν Ἰουδαίαν τάγματα, καὶ τὸ πάλαι σὺν Κεστίῳ πταῖσαν δωδέκατον, ὅπερ καὶ ἄλλως ἐπίσημον δι' ἀνδρείαν ὑπάρχον, τότε κατὰ μνήμην
42 ὧν ἔπαθεν εἰς ἄμυναν ἦει προθυμότερον. Τούτων μὲν οὖν τὸ πέμπτον δι' Ἀμμαούντος ἐκέλευσεν αὐτῷ συναντᾶν, καὶ διὰ Ἱεριχοῦντος τὸ δέκατον ἀναβαίνειν. Αὐτὸς δὲ ἀνέζευξε μετὰ

ἐπ' ἀλλήλους L. 34 παρέλειπον N.P. 35 καὶ τοῖς ἀρχιερεῦσιν L.M.N. ὑποστηρίξοντας M. 36 Λιβάνου τοῖς μεγίστοις L. τὴν εὐθύτητα P. ἔργον Ἰωάννης P. 37 κατεσκεύασεν L.P. τοῦ ἱεροῦ P. 38 ἵστησίν τε καὶ προσαγ. L. 39 ἐξ ἀσεβείας κατασκευασθεῖσιν tr. L. τῶν ἐχθρῶν ἤλπισε tr. L. ἄχρηστον ἀπέκλεισεν αὐτῷ τὸν πόνον L. πρὶν ἐπιστῆναι L. Ῥωμαίους ἐπαγών L. 40 ἐπέστελλεν P. ἐπιστείλας L. 41 ὅπερ ἄλλως L. 42 μὲν τὸ πέμπτον L. δι' Ἀμμαοῦς L.M.N.P.T. ἀναβαίνειν τὸ δέκατον tr. L.

τῶν λοιπῶν, πρὸς οἷς αἵ τε τῶν βασιλέων συμμαχίαι πᾶσαι πλείους, καὶ συχνοὶ τῶν ἀπὸ τῆς Συρίας ἐπίκουροι συνῆλθον. Ἀνεπληρώθη δὲ καὶ τῶν τεσσάρων ταγμάτων, ὅσον Οὐεσπα- 43
σιανὸς ἐπιλέξας, Μουκιανῷ συνέπεμψεν εἰς Ἰταλίαν, ἐκ τῶν ἐπελθόντων μετὰ Τίτου. Διςχίλιοι μὲν γὰρ αὐτῷ τῶν ἀπ' 44
Ἀλεξανδρείας στρατευμάτων ἐπίλεκτοι, τρισχίλιοι δὲ συνείποντο τῶν ἀπ' Εὐφράτου φυλάκων, φίλων δὲ δοκιμώτατος εὔνοιάν τε καὶ σύνεσιν Τιβέριος Ἀλέξανδρος, πρότερον μὲν αὐτὸς τὴν Αἴγυπτον διέπων, τότε δὲ τῶν στρατευμάτων ἄρχων κριθεὶς ἄξιος, ἐξ ὧν ἐδεξιώσατο πρῶτος ἐγειρομένην 45
ἄρτι τὴν ἡγεμονίαν, καὶ μετὰ πίστεως λαμπρᾶς ἐξ ἀδήλου τῇ τύχῃ προσέθετο· σύμβουλός γε μὴν ταῖς τοῦ πολέμου χρείαις, ἡλικίᾳ τε προέχων καὶ κατ' ἐμπειρίαν εἴπετο.

CAP. II.

1. Προσιόντι δὲ εἰς τὴν πολεμίαν Τίτῳ, προῆγον μὲν οἱ 1
βασιλικοὶ, καὶ πᾶν τὸ συμμαχικὸν, ἐφ' οἷς ὁδοποιοὶ καὶ μετρηταὶ στρατοπέδων· ἔπειτα τὰ τῶν ἡγεμόνων σκευοφόρα, καὶ μετὰ τοὺς τούτων ὁπλίτας αὐτὸς, τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχοφόρους ἔχων· κατόπιν δὲ αὐτῷ τοῦ 2
τάγματος τὸ ἱππικόν. Οὗτοι δὲ πρὸ τῶν μηχανημάτων, καὶ ἐπ' ἐκείνοις μετ' ἐπιλέκτων χιλίαρχοι καὶ σπειρῶν ἔπαρχοι. Μετὰ δὲ τούτους περὶ τὸν ἀετὸν αἱ σημαῖαι, καὶ ἔμπροσθεν 3
οἱ σαλπιγκταὶ τῶν σημαιῶν· ἐπὶ δὲ τούτοις ἡ φάλαγξ, τὸ στίφος εἰς ἓξ πλατύνασα. Τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ὀπίσω, καὶ πρὸ τούτων τὰ σκευοφόρα. Τελευταῖοι δὲ 4
πάντων οἱ μίσθιοι, καὶ τούτων φύλακες οἱ οὐραγοί. Προάγων δὲ τὴν δύναμιν ἐν κόσμῳ, καθὰ Ῥωμαίοις σύνηθες, ἐμβάλ-

συμμαχίαι πάλαι πλείους L. συμ. πολὺ πλείους P. 43 καὶ τοῦ τεσσάρων E. 44 τρισχίλιοι δὲ τῶν N.T. πρότερον μὲν αὐτοῖς τὴν L.N.T. διέπων deest L. 45 ἀδήλου τύχης προσέθετο L. 1 Προσιόντι τε εἰς L. προϊόντι δὲ εἰς P. προσῆγον L. ἔπειτα τῶν L. 2 κατόπιν τε αὐτῷ L. κατόπιν αὐτῷ N.E. τάγματος ἱππικόν. N.E. et pri. ma. T. 3 Κατὰ δὲ τούτους P. τὸν ἀετὸν L. ὀπίσω τάγματος ἑκάστου L. τάγμα ἑκάστου ὀπίσω. 4 φύλακες οὐραγοί. L.P. Προσάγων δὲ M. κόσμῳ Τίτος, καθὰ L. ἐμβάλει M.

5 λει διὰ τῆς Σαμαρείτιδος εἰς Γοφνὰ, κατειλημμένην τε πρό-
τερον ὑπὸ τοῦ πατρὸς, καὶ τότε φρουρουμένην· ἔνθα μίαν
6 ἐσπέραν αὐλισάμενος, ὑπὸ τὴν ἕω πρόεισι· καὶ διανύσας ἡμέ-
ρας σταθμὸν στρατοπεδεύεται κατὰ τὸν ὑπὸ Ἰουδαίων πα-
τρίως Ἀκανθῶν αὐλῶνα καλούμενον, πρός τινι κώμῃ Γαβαθσα-
7 ουλῃ λεγομένῃ, — σημαίνει δὲ τοῦτο λόφον Σαούλου — διέχων
ἀπὸ τῶν Ἱεροσολύμων ὅσον ἀπὸ τριάκοντα σταδίων. Ἀνα-
λαβών τε ἐντεῦθεν ὅσον εἰς ἑξακοσίους τῶν ἐπιλέκτων ἱπ-
8 πέων, ἦει τήν τε πόλιν περισκεψόμενος, ὅπως ὀχυρότητος
ἔχοι, καὶ τὰ φρονήματα τῶν Ἰουδαίων, εἰ πρὸς τὴν ὄψιν
9 αὐτοῦ, πρὶν εἰς χεῖρας ἐλθεῖν, ὑποδείσαντες ἐνδοῖεν· πέπειστο
γὰρ, ὅπερ ἦν ἀληθὲς, τοῖς στασιώδεσι καὶ λῃστρικοῖς τὸν
δῆμον ὑποπεπτηχότα ποθεῖν μὲν εἰρήνην, ἀσθενέστερον δὲ
ὄντα τῆς ἐπαναστάσεως ἠρεμεῖν.

10 2. Ἕως μὲν οὖν ὄρθιον ἱππάζετο τὴν λεωφόρον κατατεί-
νουσαν πρὸς τὸ τεῖχος, οὐδεὶς προεφαίνετο τῶν πυλῶν· ἐπεὶ
δὲ ἐκ τῆς ὁδοῦ πρὸς τὸν Ψήφινον πύργον ἀποκλίνας, πλά-
γιον ἦγε τὸ τῶν ἱππέων στίφος, προπηδήσαντες ἐξαίφνης
11 ἄπειροι, κατὰ τοὺς Γυναικείους καλουμένους πύργους διὰ τῆς
ἀντικρὺ τῶν Ἑλένης μνημείων πύλης, διεκπαίουσι τῆς ἵππου,
καὶ τοὺς μὲν ἔτι κατὰ τὴν ὁδὸν θέοντας ἀντιμέτωποι στάντες
ἐκώλυσαν συνάψαι τοῖς ἐκκλίνασι, τὸν δὲ Τίτον ἀποτέμνον-
12 ται σὺν ὀλίγοις. Τῷ δὲ πρόσω μὲν ἦν χωρεῖν ἀδύνατον, ἐκτε-
τάφρευτο γὰρ ἀπὸ τοῦ τείχους περὶ τὰς κηπείας ἅπαντα,
13 τοίχοις τε ἐπικαρσίοις καὶ πολλοῖς ἕρκεσι διειλημμένα. Τὴν
δὲ πρὸς τοὺς σφετέρους ἀναδρομὴν πλήθει τῶν ἐν μέσῳ

Γόφαν L. Γνοφὰ N. Γοφνὰν T. 5 μίαν ἡμέραν αὐλ. N. ἕω προσ-
ήει L. ἕω πρόσεισι N.T. 6 σταθμὸν ἡμέρας tr. L. κατὰ τῶν ὑπὸ P.
Ἀκανθῶνα M. Γαβάθσ. καλουμένῃ P.E. 7 λόφον Σαοὺλ P. διέχον
ἀπὸ M. διέχοντα ἀπὸ E. ὅσον εἰς τριάκοντα σταδίους L. ἀναλαβὼν δὲ
L.N.P. 9 πέπυστο γὰρ E. πέπιστο γὰρ P. ὑπεπτηχότα L. ὑποπτη-
χότα M. ὑποπεπτωκότα T. 10 τῶν πύργων· ἐπεὶ M.T. τὸν Ψήφιον
M. 11 καὶ τοῖς μὲν ἔτι P. 12 τὰς κηπίας ἀπ. P. ἅπαντα κήποις
τε L.M.N.T.E. 13 πλήθει τε τῶν M.

πολεμίων ἀμήχανον ἑώρα· ὧν οἱ πολλοὶ μηδὲ γινώσκοντες τὸν τοῦ βασιλέως κίνδυνον, ἀλλ' οἰόμενοι συναναστραφῆναι καὶ ἐκεῖνον ἀνέφευγον. Ὁ δὲ κατιδὼν, ὡς ἐν μόνῃ τῇ καθ' 14 αὑτὸν ἀλκῇ κεῖται τὸ σώζεσθαι, τόν τε ἵππον ἐπιστρέφει, καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἕπεσθαι, μέσοις ἐμπηδᾷ τοῖς πολεμίοις, διεκπαῖσαι πρὸς τοὺς σφετέρους βιαζόμενος. Ἔν- 15 θα δὴ μάλιστα πάρεστι νοεῖν, ὅτι καὶ πολέμων ῥοπαὶ καὶ βασιλέων κίνδυνοι μέλονται τῷ θεῷ. Τοσούτων γὰρ ἐπὶ τὸν Τίτον ἀφιεμένων βελῶν, μήτε κράνος ἔχοντα μήτε θώρακα, — προῆλθε γὰρ, ὡς ἔφην, οὐ πολεμιστὴς, ἀλλὰ κατά- 16 σκοπος, — οὐδὲν ἥψατο τοῦ σώματος, κενὰ δὲ, ὥσπερ ἐπίτηδες ἀστοχούντων, παρερροιζεῖτο πάντα. Τῷ δὲ ξίφει τοὺς κατὰ 17 πλευρὸν ἀεὶ διαστέλλων, καὶ πολλοὺς τῶν ἀντιπροσώπων ἀνατρέπων, ἤλαυνεν ὑπὲρ τοὺς ἐρειπομένους τὸν ἵππον. Τῶν δὲ κραυγή τε ἦν πρὸς τὸ παράστημα τοῦ Καίσαρος, καὶ παρακέλευσις ὁρμᾶν ἐπ' αὐτόν· φυγὴ δὲ καὶ διαχωρισμὸς 18 ἄθρους, καθ' οὓς ἐπελαύνων γένοιτο. Συνήπτοντο δὲ οἱ τοῦ κινδύνου μετέχοντες, κατὰ νῶτα καὶ κατὰ πλευρὰ νυσσόμενοι· μία γὰρ ἐλπὶς ἦν σωτηρίας ἑκάστῳ, τὸ συνεξανοίγειν τῷ 19 Τίτῳ μὴ φθάσαντι κυκλωθῆναι. Δύο γοῦν τῶν ἀτονωτέρων τὸν μὲν σὺν τῷ ἵππῳ περισχόντες κατηκόντισαν, θάτερον δὲ καταπηδήσαντα διαφθείραντες τὸν ἵππον ἀπήγαγον· μετὰ 20 δὲ τῶν λοιπῶν Τίτος ἐπὶ τὸ στρατόπεδον διασώζεται. Τοῖς μὲν οὖν Ἰουδαίοις, πλεονεκτήσασι κατὰ τὴν πρώτην ἐπίθεσιν,

ἑώρα· καὶ τραπέντας τοὺς ἀνὰ τὴν λεωφόρον· ὧν οἱ L. ἑώρα· οἱ δὲ ἀνὰ τὴν λεωφ. ὧν οἱ M.N. μήτε γινώσκοντες P. καὶ ἐκείνοις L.N. καὶ ἐκείνους P. καὶ ἐκεῖνοι ex rss. T. 14 καθ' ἑαυτὸν L. τὸν ἵππον P. καὶ τοὺς περὶ P. διεκπέσαι πρὸς N. et ex cor. P. 15 παρέστη μοι διανοεῖν ὅτι M. παρίστη μοι ὅτι N.T. πάρεστί μοι νοεῖν ὅτι P. μέλλονται L. μέλονται θεῷ N.T. ἔχοντι M. μηδὲ θώρακα L. 16 παραρροίζητο L. παρερροιζοῖτο M.T.E. πάντα· ὁ δὲ ξίφει P. 17 ἤλαυνε πρὸς τοὺς L. ἤλαυνεν ἐπὶ τοὺς P. τοὺς ἐριπωμένους L.N.E. ὁρμᾶν πρὸς αὐτὸν M. 18 φυγή τε L. καὶ χωρισμὸς P. συνῆπτον δὲ P. πλευρὰν L.M.P. 19 τὸ συνεξανύτειν τῷ L. τῷ συνεξανοίγειν τῷ P. Τίτῳ καὶ μὴ L.N.P.T. φθάσαντα P.T. τῶν ἀποτέρων τὸν μὲν M.N.P.E. τῶν ἀπωτέρω T. κατηκόντησαν M. 20 Τοῖς μὲν Ἰουδ. L.

ἐπήγειρε τὰς διανοίας ἄσκεπτος ἐλπὶς, καὶ πολὺ θάρσος αὐτοῖς εἰς τὸ μέλλον ἡ πρόσκαιρος ῥοπὴ προεξένει.

21 3. Καίσαρ δὲ, ὡς αὐτῷ συνέμιξε διὰ νυκτὸς τὸ ἀπὸ τῆς Ἀμμαοῦντος τάγμα, μεθ' ἡμέραν ἐκεῖθεν ἄρας ἐπὶ τὸν Σκο-
22 πὸν καλούμενον πρόσεισιν· ἔνθεν ἥ τε πόλις ἤδη κατεφαίνετο, καὶ τὸ τοῦ ναοῦ μέγεθος ἔκλαμπον, καθὰ τῷ βορείῳ κλίματι τῆς πόλεως χθαμαλὸς συνάπτων ὁ χῶρος ἐτύμως Σκοπὸς
23 ὠνόμασται. Τῆς δὲ πόλεως σταδίους ἑπτὰ διέχων, ἐκέλευσε περιβάλλεσθαι στρατόπεδον τοῖς δύο τάγμασιν ὁμοῦ· τὸ δὲ
24 πέμπτον ὀπίσω τούτων τρισὶ σταδίοις· κόπῳ γὰρ τῆς διὰ νυκτὸς πορείας τετριμμένους ἐδόκει σκέπης ἀξίους εἶναι, ὡς ἂν ἀδεέστερον τειχίσαιντο. Καταρχομένων δὲ ἄρτι τῆς δομήσεως, καὶ τὸ δέκατον τάγμα διὰ Ἰεριχοῦντος ἤδη παρῆν, ἔνθα καθῆστό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολὴν,
25 ὑπὸ Οὐεσπασιανοῦ προκατειλημμένην. Προσετέτακτο δὲ αὐτοῖς, ἓξ ἀπέχοντας τῶν Ἱεροσολύμων σταδίους στρατοπεδεύσασθαι κατὰ τὸ Ἐλαιῶν καλούμενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται, μέσῃ φάραγγι βαθείᾳ διειργόμενον, ἣ Κεδρὼν ὠνόμασται.

5 4. Τῶν δὲ ἀνὰ τὸ ἄστυ συρρηγνυμένων ἀδιαλείπτως, τότε πρῶτον ἀνέπαυσε τὴν ἐπ' ἀλλήλοις ἔριν ὁ ἔξωθεν πόλεμος, ἐξαίφνης πολὺς ἐπελθών, καὶ μετ' ἐκπλήξεως οἱ στασιασταὶ
27 τοὺς Ῥωμαίους ἀφορῶντες στρατοπεδευομένους τριχῇ, κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, 'τί μένοιεν ἢ τί παθόντες ἀνέχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν
28 ἐπιφρασσόμενα τείχη; καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολίζοντος ἑαυτὸν, οἱ δὲ ὥσπερ θεαταὶ καλῶν καὶ συμφόρων

μέλλον πρόσκαιρος M.N.T.E. μέλλον προσροπὴ P. 21 ὡς αὐτοῖς M. ὡσαύτως N. διὰ νυκτὸς συνέμιξε tr. L. Ἀμμαοῦς L.M.N.P.T. τάγμα καὶ μεθ' L.N. 22 καὶ τοῦ ναοῦ L. ἔκλαμπρον M.N.T.E. ἐκλάμπων P. χῶρος ἑτοίμως σ. P. 23 διέχον ἑπτὰ L. περιβαλέσθαι P. τῷ δὲ πέμπτῳ E. τούτων ὀπίσω tr. P. 24 καθῆτό τις L. 25 Προστέτακτο M.N.T. ἀπέχοντα L. σταδίους τῶν Ἱερ. tr. L. βαθείᾳ διεγειρόμενον M. 27 ἀναφρασσόμενα L. 28 καὶ τοῦ πολεμίου μετ' ex cor. T.

ἔργων καθέζοιντο τειχήρεις, τῷ χεῖρε καὶ τὰς πανοπλίας παρέντες. Καθ' αὐτῶν ἄρα γενναῖοι μόνον ἡμεῖς, ἐξεβόη- 29
σαν, 'Ρωμαῖοι δὲ ἐκ τῆς ἡμετέρας στάσεως κερδήσουσιν ἀναι-
μωτὶ τὴν πόλιν.' Τούτοις ἀθροίζοντες ἀλλήλους παρεκρό- 30
τουν, καὶ τὰς πανοπλίας ἁρπάσαντες αἰφνιδίως ἐπεκθέουσι
τῷ δεκάτῳ τάγματι, καὶ διὰ τῆς φάραγγος αἴξαντες μετὰ
κραυγῆς ἐξαισίου τειχιζομένοις προσπίπτουσι τοῖς 'Ρωμαί-
οις. Οἱ δὲ πρὸς τὸ ἔργον διηρημένοι, καὶ διὰ τοῦτο τὰ 31
πολλὰ τεθεικότες τῶν ὅπλων, — οὔτε γὰρ θαρσεῖν τοὺς Ἰου-
δαίους πρὸς ἐκδρομὴν ὑπελάμβανον, καὶ προθυμουμένων περι-
σπασθήσεσθαι τὰς ὁρμὰς τῇ στάσει, — συνεταράχθησαν ἀδο- 32
κήτως, καὶ τῶν ἔργων ἀφέμενοί τινες μὲν ἀνεχώρουν εὐθέως,
πολλοὶ δὲ ἐπὶ τὰ ὅπλα θέοντες, πρὶν ἐπιστραφῆναι πρὸς
τοὺς ἐχθροὺς, ἐφονεύοντο παιόμενοι. Προσεγίνοντο δὲ τοῖς 33
Ἰουδαίοις ἀεὶ πλείους, ἐπὶ τῷ κρατεῖν τοὺς πρώτους τεθαρρη-
κότες, καὶ τῶν ὄντων πολλαπλασίους ἐδόκουν σφίσι τε καὶ
τοῖς πολεμίοις, δεξιᾷ τῇ τύχῃ χρώμενοι. Μάλιστα δὲ τοὺς 34
ἐν ἔθει συντάξεως ὄντας, καὶ μετὰ κόσμου καὶ παραγγελμά-
των πολεμεῖν εἰδότας, ἀταξία φθάσασα θορυβεῖ. Διὸ καὶ
τότε προληφθέντες οἱ 'Ρωμαῖοι ταῖς ἐμβολαῖς εἶκον· καὶ 35
ὁπότε μὲν ἐπιστραφεῖεν οἱ καταλαμβανόμενοι, τοῦ τε δρό-
μου τοὺς Ἰουδαίους ἐπεῖχον, καὶ διὰ τὴν ὁρμὴν ἧττον φυλατ-
τομένους ἐτίτρωσκον. Ἀεὶ δὲ πληθυούσης τῆς ἐκδρομῆς,
μᾶλλον ταραττόμενοι τελευταῖον ἀπὸ τοῦ στρατοπέδου τρέ-
πονται, καὶ ἐδόκει τότε ἂν κινδυνεῦσαι τὸ τάγμα πᾶν, εἰ μὴ 36
Τίτος ἀγγελθέντος αὐτῷ διὰ τάχους ἐπεβοήθησε, καὶ πολλὰ
ὀνειδίσας εἰς ἀνανδρίαν, ἐπιστρέφει μὲν τοὺς φεύγοντας,

καθίζοιντο L. 29 Κατ' αὐτῶν ἄρα N.P.E. ἐξεβόησέν τις, Ῥωμ. L. κερδήσωσιν N. 30 πανοπ. σπάσαντες N.T. αἰφνιδίως deest P. φάραγγος δείξαντες μετὰ L. τοῖς πολεμίοις. Οἱ δὲ M.N.P.T. 31 γὰρ θαρρήσειν L. et ex cor. T. 32 ἔργων ἐφιέμενοι L. ἐχθροὺς ἐφθάνοντο παιόμενοι L.M. 33 δεξιᾷ χρώμενοι τῇ τύχῃ tr. L.P. χρώμενοι deest N.T. 34 καὶ παρακελμάτων πολεμεῖν M. 35 πληθυνούσης M. τελευταῖον deest, sed in marg. adscrip. T. 36 καὶ δοκεῖ M.N.P.T. τότε κινδυνεῦσαι L.M.N.T.E. ἀπαγγελθέντος L. ἀγγελθὲν P. et ex ras. T. αὐτῷ τάχος P. ἀνανδρείαν N.P².

37 αὐτὸς δὲ πλαγίοις τοῖς Ἰουδαίοις προσπεσὼν, μεθ' ὧν ἦκεν ἐπιλέκτων, συχνοὺς μὲν ἀναιρεῖ, τιτρώσκει δὲ πλείους, τρέπε-
38 ται δὲ πάντας καὶ συνωθεῖ κατὰ τῆς φάραγγος. Οἱ δὲ ἐν τῷ κατάντει πολλὰ κακωθέντες, ὡς διεξέπεσον, ἄντικρυς ἐπιστρέφονται, καὶ μέσην ἔχοντες τὴν χαράδραν τοῖς Ῥωμαίοις διεμάχοντο. Μέχρι μὲν δὴ μέσης ἡμέρας οὕτως ἐπολέ-
39 μουν· ὀλίγον δὲ ἀπὸ μεσημβρίας ἐκκλίνοντος ἤδη, Τίτος τοὺς μεθ' ἑαυτοῦ προσβοηθήσαντας, καὶ τοὺς ἀπὸ τῶν σπειρῶν τοῖς ἐκτρέχουσιν ἀντιπαρατάξας, τὸ λοιπὸν τάγμα πρὸς τὸν τειχισμὸν ἀνέπεμπεν εἰς τὴν ἀκρώρειαν.

40 5. Ἰουδαίοις δὲ τοῦτο ἐδόκει φυγὴ, καὶ τοῦ σκοποῦ κατασείσαντος τὸ ἱμάτιον, ὃς αὐτοῖς ἐπὶ τοῦ τείχους καθῆστο, προπηδῶσι πλῆθος ἀκραιφνέστερον μετὰ τοσαύτης ὁρμῆς, ὡς
41 τὸν δρόμον αὐτῶν τοῖς ἀγριωτάτοις εἰκάζειν θηρίοις. Ἀμέλει τῶν παραταχθέντων οὐδεὶς ἔμεινε τὴν ἐμβολὴν, ἀλλ' ὥσπερ ἐξ ὀργάνου παιόμενοι διέρρηξαν τὴν τάξιν, καὶ πρὸς
42 τὸ ὄρος τραπέντες ἀνέφευγον. Λείπεται δὲ ἐν μέσῳ τῷ προσάντει Τίτος μετ' ὀλίγων, καὶ πολλὰ παραινούντων τῶν φίλων, ὅσοι δι' αἰδῶ τὴν πρὸς τὸν ἡγεμόνα τοῦ κινδύνου
43 καταφρονήσαντες ἔστησαν, 'εἶξαι θανατῶσιν Ἰουδαίοις, καὶ μὴ προκινδυνεύειν τούτων, οὓς ἐχρῆν πρὸ αὐτοῦ μένειν, λαμβάνειν δὲ ἔννοιαν τῆς καθ' αὐτὸν τύχης, καὶ μὴ στρατιώτου τάξιν ἀποπληροῦν, ὄντα καὶ τοῦ πολέμου καὶ τῆς οἰκουμένης δεσπότην, μηδὲ ὀξεῖαν οὕτως ὑφίστασθαι ῥοπὴν, ἐν ᾧ σαλεύει
44 τὰ πάντα,' τούτων οὐδὲ ἀκούειν ἔδοξε, τοῖς δὲ κατ' αὐτὸν ἀνατρέχουσιν ἀνθίσταται, καὶ κατὰ στόμα παίων βιαζομένους ἀνῄρει, κατά τε τοῦ πρανοῦς ἀθρόοις ἐμπίπτων ἀνεώθει τὸ

37 ὧν ἦν ἐπιλέκτων L. 38 τῷ κατάντι P. δὴ μεσημβρίας οὕτως L. 39 καὶ τοῖς ἀπὸ τῶν L.P. τάγμα εἰς τὸν L. 40 κατασείσαντος θυμάτιον P. ἀκραιφνέστατον L. ἀγριοτάτοις P. 41 τῶν ἀντιπαραταχθέντων L. et rec. ma. T. τὴν συμβολὴν, ἀλλ' N.T. παιόμ. ἔρρηξαν P. 42 τῷ προσάντι N. τῷ προσάντῃ P. τῶν φίλων παραινούντων tr. M.N.P.T. αἰδῶ τῇ πρὸς M.P. ἐχρῆν πρὸς ἑαυτοὺς μένειν L. 43 ἀποπληροῦντα καὶ M.N.E. ἀποπληροῦντα τὸν καὶ L. δεσπότην μὴ δόξειεν L. δεσπότην, ὀξεῖαν M.P.E. ὑφίστασθαι τροπὴν, M.N.T.E. 44 τούτων δ' οὐδ' ἀκούειν L. καθ' αὐτὸν L.

πλῆθος. Οἱ δὲ πρός τε τὸ παράστημα καὶ τὴν ἰσχὺν κατα- 45
πλαγέντες, οὐδὲ οὕτω μὲν ἀνέφευγον εἰς τὴν πόλιν, καθ' ἑκά-
τερον δὲ ἐκκλίνοντες ἀπ' αὐτοῦ τοῖς ἀνωτέρω φεύγουσι προσ-
έκειντο. Καὶ τούτοις δὲ κατὰ πλευρὰν προσβάλλων, τὰς 46
ὁρμὰς ὑπετέμνετο. Καὶ ἐν τούτῳ καὶ τοῖς ἄνω τειχίζουσιν
τὸ στρατόπεδον, ὡς ἐθεάσαντο τοὺς κάτω φεύγοντας, πάλιν
ἐμπίπτει ταραχὴ καὶ δέος, καὶ διασκίδναται πᾶν τὸ τάγμα·
δοκούντων ἀνυπόστατον μὲν εἶναι τὴν τῶν Ἰουδαίων ἐκδρομὴν, 47
τετράφθαι δὲ αὐτὸν Τίτον, οὐ γὰρ ἄν ποτε τοὺς ἄλλους
φυγεῖν ἐκείνου μένοντος. Καὶ καθάπερ πανικῷ δείματι κυ- 48
κλωθέντες, ἄλλος ἀλλαχῆ διεφέροντο, μέχρι τινὲς κατιδόντες
ἐν μέσῳ τοῦ πολέμου τὸν ἡγεμόνα στρεφόμενον, καὶ μέγα
δείσαντες ἀμφ' αὐτῷ, διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγμα-
τι. Τοὺς δὲ αἰδὼς ἐπέστρεφε, καὶ πλεῖόν τι φυγῆς κακί- 49
ζοντες ἀλλήλους ἐπὶ τῷ καταλιπεῖν Καίσαρα, πάσῃ βίᾳ
κατὰ τῶν Ἰουδαίων ἐχρῶντο, καὶ κλίναντες ἅπαξ ἀπὸ τοῦ
κατάντους συνώθουν αὐτοὺς εἰς τὸ κοῖλον. Οἱ δὲ ὑπὸ πόδα 50
χωροῦντες ἐμάχοντο, καὶ πλεονεκτοῦντες οἱ Ῥωμαῖοι τῷ
καθυπέρθεν εἶναι συνελαύνουσι πάντας εἰς τὴν φάραγγα.
Προσέκειτο δὲ τοῖς καθ' αὐτὸν ὁ Τίτος, καὶ τὸ μὲν τάγμα
πάλιν ἐπὶ τὴν τειχοποιΐαν ἔπεμψεν. Αὐτὸς δὲ σὺν οἷς πρό- 51
τερον ἀντιστὰς εἶργε τοὺς πολεμίους, ὥστε, εἰ χρὴ μήτε
θεραπείᾳ τι προστιθέντα, μήτε ὑφελόντα φθόνῳ τὸ ἀληθὲς
εἰπεῖν, αὐτὸς Καῖσαρ δὶς μὲν ἐρρύσατο κινδυνεῦον ὅλον τὸ
τάγμα, καὶ τοῦ περιβάλλεσθαι τὸ στρατόπεδον αὐτοῖς
ἄδειαν παρέσχε.

CAP. III.

1. Λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θύραθεν πολέμου, 1

45 καθ' ἕτερον δὲ P. et ex ras. T. προσέκειτο P. 46 πλευρὰ L. κὰν τοῖς ἄνω M.N. 47 Τίτον deest N. οὐ γάρ ποτε L. ἄλλους φεύγειν L.P. 48 ἀλλαχοῦ P. τινὸς κατιδόντος L. δείσαντες ἐπ' αὐτῷ L. 49 δὲ ἐπέστρεφε M. κλίναντας ἅπαξ E. 50 τὸ καθύπερθεν P. 51 σὺν τοῖς πρ. rec. ma. T. πρότερον ἀναστὰς M. ὥστε χρὴ P. θεραπείᾳ προστιθέντα P. κινδυνεῦσαν L.P. περιβαλέσθαι N.P.T. περιβαλ. δὲ τὸ M.N.T.E. 1 τοῦ θύραζε M.N.

πάλιν ἔνδον ἡ στάσις ἐπηγείρετο, καὶ τῆς τῶν ἀζύμων ἐν-
στάσης ἡμέρας τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς, ἐν ᾗ δο-
κοῦσιν Ἰουδαῖοι τὸν πρῶτον ἀπαλλαγῆναι καιρὸν Αἰγυπτίων,
2 οἱ μὲν περὶ τὸν Ἐλεάζαρον, παρανοίγοντες τὰς πύλας, ἐδέ-
3 χοντο ἐκ τοῦ δήμου τοὺς προσκυνεῖν ἐθέλοντας εἴσω. Ἰω-
άννης δὲ προκάλυμμα τῆς ἐπιβουλῆς ποιησάμενος τὴν ἑορ-
τὴν, τῶν σὺν αὐτῷ κρυπτοῖς ὅπλοις ἐνσκευάσας τοὺς ἀσημο-
τέρους, ὧν οἱ πλείους ἦσαν ἄναγνοι, διὰ σπουδῆς παρεισπέμπει
4 προκαταληψομένους τὸ ἱερόν. Οἱ δὲ, ὡς ἔνδον ἐγένοντο, τὰς
ἐσθῆτας ἀπορρίψαντες, ἐφάνησαν ἐξαπίνης ὁπλῖται. Ταραχὴ
δὲ μεγίστη περὶ τὸν ναὸν αὐτίκα καὶ θόρυβος ἦν, τοῦ μὲν
ἔξω τῆς στάσεως λαοῦ κατὰ πάντων ἄκριτον οἰομένων εἶναι
5 τὴν ἐπίθεσιν, τῶν δὲ ζηλωτῶν ἐπὶ σφίσι μόνοις. Ἀλλ' οἱ
μὲν ἀφέμενοι τὸ φρουρεῖν ἔτι τὰς πύλας, καὶ τῶν ἐπάλξεων
καταπηδήσαντες πρὶν εἰς χεῖρας ἐλθεῖν, εἰς τοὺς ὑπονόμους
6 τοῦ ἱεροῦ κατέφυγον· οἱ δὲ ἀπὸ τοῦ δήμου πρὸς τῷ βωμῷ
καταπτήσσοντες, καὶ περὶ τὸν ναὸν συνειλούμενοι κατεπα-
7 τοῦντο, ξύλοις τε ἀνέδην παιόμενοι καὶ σιδήρῳ. Πολλοὺς δὲ
τῶν ἡσυχίων κατ' ἔχθραν καὶ μῖσος ἴδιον ὡς ἀντιστασιαστὰς
ἀνῄρουν οἱ διάφοροι· καὶ πᾶς ὁ προσκρούσας τινὶ τῶν ἐπι-
βούλων πάλαι, τηνικαῦτα ἐπιγνωσθεὶς, ὡς ζηλωτὴς πρὸς
8 αἰκίαν ἀνήγετο. Πολλὰ δὲ δεινὰ τοὺς ἀναιτίους διαθέντες
ἐκεχειρίαν τοῖς αἰτίοις ἔδοσαν, καὶ προελθόντας ἐκ τῶν ὑπο-
9 νόμων διῆσαν. Αὐτοὶ δὲ καὶ τὸ ἐνδότερον ἱερὸν κατασχόντες
καὶ τὰς ἐν αὐτῷ παρασκευὰς πάσας, κατεθάρρυνον ἤδη τοῦ
Σίμωνος. Ἡ μὲν οὖν στάσις, οὕτω τριμερὴς οὖσα πρότερον,
εἰς δύο μοίρας περιῆσταται.

10 2. Ὁ δὲ Τίτος ἔγγιον ἀπὸ τοῦ Σκοποῦ τῇ πόλει στρα-

πάλιν τὸν ἔνδον L. et ex cor. T. ἐπήγειρε L. et ex cor. T. ἡμέρα τεσσ. M. οἱ Ἰουδαῖοι N.T. 3 ὅπλοις συσκευάσας M.N.T. 4 ἔξωθεν τῆς L. οἰηθέντων εἶναι L. 5 τοῦ φρουρεῖν L. et ex cor. T. φρουρεῖν· ἐπὶ τὰς L. 6 δήμου ἐπὶ τῷ L. ξύλοις τε ἀναίδην L.N. 7 προσκρούσας τῷ τῶν L.P. ἐπιγνωσθεὶς ζηλωτὴς L.N.P.T. αἰκίαν ἀνελέγετο. M.N.T. 8 προσελθόντας N. 9 τὸ ἐνδοτέρω N.T. 10 Τίτος ἀντίος ἀπὸ τοῦ L. παραστρατοπεδεύσασθαι L.N.T. παραστρατοπ τῇ πόλει tr. L.

τοπεδεύσασθαι προαιρούμενος, πρὸς μὲν τοὺς ἐκτρέχοντας ἔστησεν ἐπιλέξας ἱππέων τε καὶ πεζῶν ὅσους ἀρκέσειν ὑπελάμβανε· τῇ δὲ ὅλῃ δυνάμει προσέταξεν ἐξομαλίζειν τὸ μέχρι τοῦ τείχους διάστημα. Καταβληθέντος δὲ παντὸς 11
ἕρκους καὶ περιφράγματος, ὅσα κήπων προανεστήσαντο καὶ δένδρων οἱ οἰκήτορες, ὕλης τε ἡμέρου τῆς μεταξὺ πάσης ἐκκοπείσης, ἀνεπλήσθη μὲν τὰ κοῖλα καὶ χαραδρώδη τοῦ τόπου. Τὰς δὲ πετρώδεις ἐξοχὰς σιδήρῳ κατεργαζόμενοι, χθαμαλὸν 12
ἐποίουν πάντα τὸν χῶρον ἀπὸ τοῦ Σκοποῦ μέχρι τῶν Ἡρώδου μνημείων, ἃ προσεῖχε τῇ τῶν Ὄφεων ἐπικαλουμένῃ κολυμβήθρᾳ.

3. Καὶ κατὰ ταύτας τὰς ἡμέρας οἱ Ἰουδαῖοι κατὰ τῶν 13
Ῥωμαίων ἐνέδραν συσκευάζονται τοιάνδε. Τῶν στασιαστῶν οἱ μὲν τολμηρότεροι προελθόντες ἔξω τῶν Γυναικείων καλουμένων πύργων, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν εἰρηνικὰ φρονούντων, καὶ δεδοικότες τὴν τῶν Ῥωμαίων ἔφοδον ἀνειλοῦντο, 14
καὶ παρ' ἀλλήλους ὑπέπτησσον. Οἱ δὲ διαστάντες ἐπὶ τοῦ τείχους δῆμος εἶναι δοκῶν, εἰρήνην ἐβόων, καὶ δεξιὰν ἠτοῦντο, καὶ τοὺς Ῥωμαίους ἐκάλουν, ἀνοίξειν ὑπισχνούμενοι τὰς πύλας. Ἅμα δὲ ταῦτα κεκραγότες, καὶ τοὺς σφετέρους ἔβαλ- 15
λον λίθοις, ὡς ἀπελαύνοντες τῶν πυλῶν. Καὶ ἐκεῖνοι βιάζεσθαι τὰς εἰσόδους ὑπεκρίνοντο, καὶ τοὺς ἔνδον ἱκετεύειν, συνεχῶς τε πρὸς τοὺς Ῥωμαίους ὁρμήσαντες, ἐπιστρεφόμενοι ταραττομένοις προσεῴκεσαν. Παρὰ μὲν οὖν τοῖς στρατιώ- 16
ταις τὸ πανοῦργον αὐτῶν οὐκ ἐλείπετο πίστεως· ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν ἔχοντες ἑτοίμους πρὸς τιμωρίαν, τοὺς δὲ ἀνοιξειν τὴν πόλιν ἐλπίζοντες, ἐχώρουν ἐπὶ τὴν πρᾶξιν. Τίτῳ 17
δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλήσεως παράλογον· καὶ γὰρ

ἱππέων καὶ L. 11 περιφραγμάτων L. ἐκκοπήσης P. χαραδρόδη P. 12 τὸν τόπον ἀπὸ τοῦ P. ἃ προσέχει τῇ P. 13 Καὶ κατ' αὐτὰς τὰς N.E. et pri. ma. T. ἐνέδραν οἱ Ἰουδαῖοι tr. P. οἱ τολμηρότατοι L. οἱ τολμηροὶ P. προσελθόντες L.N. πύργων καλουμένων tr. L. 14 ἀλλήλοις P.E. δῆμος δ' εἶναι ἐδόκει εἰρ. L. καὶ Ῥωμαίους L. 15 ὑπεκρίναντο M.N.T. ὁρμήσαντας N.P. προσεώκεισαν L.P. 16 Παρὰ μὲν τοῖς P. ἐπελείπετο L. χερσὶν ἑτοίμους M.N. et T. sed in huj. marg. adject. est ἔχοντες.

πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐτοὺς ἐπὶ συμβάσεις διὰ τοῦ Ἰωσήπου, μέτριον οὐδὲν εὗρισκε, καὶ τότε τοὺς στρατιώ-
18 τας κατὰ χώραν μένειν ἐκέλευσεν. Ἔφθασαν δέ τινες τῶν ἐπὶ τοῖς ἔργοις προτεταγμένων ἁρπάσαντες τὰ ὅπλα πρὸς τὰς πύλας ἐκδραμεῖν. Τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες τὸ πρῶτον ὑπεχώρουν· ἐπεὶ δὲ μεταξὺ τῶν τῆς πύλης ἐγίνοντο πύργων, ἐκθέοντες ἐκυκλοῦντο σφᾶς, καὶ προσέκειντο
19 κατόπιν. Οἱ δὲ ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων ἄθρουν κατέχεαν, ὥστε συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλείστους· ἦν γὰρ οὐ ῥᾴδιον τοῦ τείχους διαφυγεῖν τῶν κατόπιν βιαζομένων, καὶ ἄλλως αἰδὼς τῆς διαμαρτίας τῶν ἡγεμόνων καὶ δέος παρεκελεύετο τῷ πταίσματι
20 προσλιπαρεῖν. Διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι, καὶ πολλὰς ὑπὸ τῶν Ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει δὲ οὐκ ἐλάττους ἀντιδιδόντες, τέλος ἀνωθοῦσι τοὺς κυκλωσαμένους· ὑποχωροῦσι δὲ αὐτοῖς οἱ Ἰουδαῖοι καὶ μέχρι τῶν Ἑλένης μνημείων εἵποντο βάλλοντες.

21 4. Ἔπειτα οἱ μὲν ἀπειροκάλως ἐξυβρίζοντες εἰς τὴν τύχην, ἔσκωπτόν τε τοὺς Ῥωμαίους δελεασθέντας ἀπάτῃ, καὶ τοὺς θυρεοὺς ἀνασείοντες ἐσκίρτων, καὶ μετὰ χαρᾶς ἀνεβόων.
22 Τοὺς δὲ στρατιώτας ἀπειλή τε τῶν ταξιαρχῶν, καὶ χαλεπαίνων Καῖσαρ τούτοις ἐξεδέχετο. Ἰουδαῖοι μὲν, οἷς ἀπόνοια μόνη στρατηγεῖ, πάντα μετὰ προνοίας πράττουσι καὶ
23 σκέψεως, ἐπιβουλάς τε συντάσσοντες καὶ λόχους· ἕπεται δὲ αὐτῶν ταῖς ἐνέδραις καὶ τύχη, διὰ τὸ πειθήνιον καὶ τὴν πρὸς
24 ἀλλήλους εὔνοιάν τε καὶ πίστιν. Ῥωμαῖοι δὲ, οἷς δι' εὐταξίαν καὶ τὸ πρὸς τοὺς ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει καὶ τύχη, νῦν ὑπὸ τῶν ἐναντίων πταίουσι, καὶ διὰ χειρῶν ἀκρασίαν ἁλίσκονται, τὸ πάντων αἴσχιστον, ἀστρατήγητοι μαχόμενοι παρόν-

18 προστεταγμένων L.M.N. τῶν τῆς πόλεως ἐγ. L. ἐγίνοντο L.M. 19 ὡς σύχνους ἀνελεῖν P. τείχους καταφυγεῖν M.N. 20 οὐκ ἔλαττον P. ἀντιδόντες M. αὐτοῖς Ἰουδαῖοι M. Ἰουδαῖοι μέχρι N. et pri. ma. T. 21 ἐξύβριζον εἰς L. τοὺς θυραιοὺς P. 22 τούτοις deest E. ἐξεδ. ὡς Ἰουδαῖοι L. ἐξεδ. φάσκων ὡς Ἰουδ. P. et ex rec. adj. T. μὲν ὧν ἀπόνοια L. 24 Ῥωμαίοις δὲ L. νῦν δὲ ὑπὸ τῶν N.P.

τος Καίσαρος. Ἡ μεγάλα μὲν στενάξειν, ἔφη, τοὺς τῆς 25
στρατιᾶς νόμους, μεγάλα δὲ αὐτοῦ τὸν πατέρα τήνδε τὴν
πληγὴν πυθόμενον, εἴ γε ὁ μὲν ἐν πολέμοις γηράσας οὐδέ-
ποτε ἔπταισεν οὕτως, οἱ νόμοι δὲ ἀεὶ καὶ τοὺς βραχύ τι τῆς
τάξεως παρακινήσαντας θανάτῳ κολάζουσι. Νῦν δὲ ὅλην 26
στρατιὰν ἑωράκασι λειποτακτεῖν· γνώσεσθαί γε μὴν αὐτίκα
τοὺς ἀπαυθαδισαμένους, ὅτι καὶ τὸ νικᾶν παρὰ Ῥωμαίοις
δίχα παραγγέλματος ἀδοξεῖται.' Τοιαῦτα διατεινάμενος 27
πρὸς τοὺς ἡγεμόνας, δῆλος ἦν κατὰ πάντων χρῆσθαι τῷ
νόμῳ. Καὶ οἱ μὲν παρείθησαν τὰς ψυχάς, ὡς ὅσον οὐδέπω
τεθνηξόμενοι δικαίως· περιχυθέντα δὲ τὰ τάγματα τῷ Τίτῳ 28
περὶ τῶν συστρατιωτῶν ἱκέτευε, καὶ 'τὴν ὀλίγων προπέτειαν
χαρίσασθαι τῇ πάντων εὐπειθείᾳ κατηντιβόλουν· ἀναλήψε-
σθαι γὰρ αὐτοὺς τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον
ἀρεταῖς.'

5. Πείθεται Καῖσαρ ἅμα ταῖς τε ἱκεσίαις καὶ τῷ συμφέ- 29
ροντι. Τὴν μὲν γὰρ καθ' ἑνὸς τιμωρίαν ᾤετο χρῆναι μέχρις
ἔργου προκόπτειν· τὴν δὲ ἐπὶ πλήθους, μέχρι λόγου. Τοῖς 30
μὲν οὖν στρατιώταις διηλλάττετο, πολλὰ νουθετήσας αὖθις
εἶναι φρονιμωτέρους· αὐτὸς δὲ ὅπως ἀμύνηται τὴν Ἰουδαίων
ἐπιβουλὴν ἐσκόπει. Τέσσαρσι δὲ ἡμέραις ἐξισωθέντος τοῦ 31
μέχρι τῶν τειχῶν διαστήματος, βουλόμενος μετὰ ἀσφαλείας
τάς τε ἀποσκευὰς καὶ τὸ λοιπὸν πλῆθος παραγαγεῖν, τὸ
καρτερώτατον τῆς δυνάμεως ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ
τὸ βόρειον κλίμα καὶ πρὸς ἑσπέραν ἐφ' ἑπτὰ βαθύνας τὴν

Καίσαρος· ὡς μεγάλα N. 25 ἔφη στενάξειν tr. L. τοὺς τῆς στρα-
τηγιᾶς νόμ. ex cor. T. τοὺς τῆς στρατείας ν. P. τήνδε πληγὴν M. νόμοι
δὲ οἱ καὶ ex cor. T. 26 Νῦν ὅλην L. et ex ras. T. λειποτάκτην P. λει-
ποτακτοῦς ex cor. T. γνώσεσθέ γε N. ἀπαυθαδισαμένους M.T. ὑπαυ-
θαδισαμένους N.P. 27 χρήσασθαι τῷ L.P. μὲν παρῆσαν τὰς L. μὲν
παρεῖσαν τὰς P. ὅσον οὐδεπώποτε L. ὅσον οὔπω P. et ex ras. T.
28 συστρατ. ἐκέλευε καὶ τὴν sed in marg. hæc sunt ἐνταῦθα τὸ ἐκέλευεν
ἀντὶ τοῦ ἐδέετο N. τὴν ὀλίγην πρ. N.T. αὐτοὺς deest P. 29 ταῖς
τε ἱκετείαις L. ταῖς ἱκεσίαις P. τιμωρίαν ὡς τὸ χρῆναι L. 30 διηλάττετο
P. ὅπως ἀμυνεῖται M N.T. ἐσκόπει ἐπιβουλὴν tr. E. 31 Τέσσαρσίν
τε ἡμ. L. πλῆθος παράγειν P. πρὸς τὸ ἑσπέριον L.

32 φάλαγγα· τῶν τε πεζῶν προτεταγμένων, καὶ κατόπιν τῶν ἱππέων τριστοίχων ἑκατέρων, ἕβδομοι κατὰ μέσον εἱστήκεσαν οἱ τοξόται. Τοσούτῳ δὲ στίφει πεφραγμένων Ἰουδαίοις τῶν ἐκδρομῶν, τά τε ὑποζύγια τῶν τριῶν ταγμάτων καὶ ἡ 33 πληθὺς ἀδεῶς παρώδευσεν. Αὐτὸς μὲν οὖν Τίτος ἀπέχων ὅσον εἰς σταδίους δύο τοῦ τείχους, κατὰ τὸ γωνιαῖον αὐτοῦ μέρος, ἀντικρὺ τοῦ Ψηφίνου καλουμένου πύργου στρατοπεδεύεται, πρὸς ὃν ὁ κύκλος τοῦ τείχους, πρὸς ἄρκτον καθήκων, 34 ἀνακάμπτει πρὸς δύσιν. Ἡ δὲ ἑτέρα μοῖρα τῆς στρατιᾶς κατὰ τὸν Ἱππικὸν προσαγορευθέντα πύργον τειχίζεται, διεστῶσα τῆς πόλεως ὁμοίως δύο σταδίους. Τὸ μέντοι δέκατον τάγμα κατὰ χώραν ἐπὶ τοῦ Ἐλαιῶν καλουμένου ὄρους ἔμενε.

CAP. IV.

1 1. Τρισὶ δὲ ὠχυρωμένη τείχεσιν ἡ πόλις, καθὰ μὴ ταῖς ἀβάτοις φάραγξιν ἐκυκλοῦτο, — ταύτῃ γὰρ εἷς ἦν περίβολος, — αὐτὴ μὲν ὑπὲρ δύο λόφων ἀντιπρόσωπος ἔκτιστο, μέσῃ φάραγγι διῃρημένων, εἰς ἣν ἐπάλληλοι κατέληγον αἱ οἰκίαι. 2 Τῶν δὲ λόφων ὁ μὲν τὴν ἄνω πόλιν ἔχων, ὑψηλότερος πολλῷ, καὶ τὸ μῆκος ἰθύτερος ἦν· διὰ γοῦν τὴν ὀχυρότητα, φρούριον 3 μὲν ὑπὸ Δαβίδου τοῦ βασιλέως ἐκαλεῖτο, — πατὴρ Σολομῶνος ἦν οὗτος, τοῦ πρώτου τὸν νεὼν κτίσαντος, — ἡ ἄνω δὲ ἀγορὰ πρὸς ἡμῶν. Ἕτερος δὲ ὁ καλούμενος Ἄκρα, καὶ τὴν 4 κάτω πόλιν ὑφεστὼς, ἀμφίκυρτος. Τούτου δὲ ἀντικρὺ τρίτος ἦν λόφος, ταπεινότερός τε φύσει τῆς Ἄκρας, καὶ πλα-

32 τῶν δὲ πεζῶν L. τρίστοιχον P. κατὰ μέσους L. εἱστήκεισαν M. N.T. περιπεφραγμένων L. παρόδευσεν P. 33 ἀπέχων σταδίους δύο L. καλουμένου Ψηφίνου tr. L.P. τείχους ἀπ' ἄρκτου L. et ex cor. T. τείχ. ἀπάρκτον P. καθῆκον P. 34 τοῦ Ἐλαιῶνος M. καλουμένου deest L.E. ἔμεινε M. 1 καθὴν μὴ P. ἐκυκλῶτο M.N.P. μὲν ὑπὸ δύο L. δύο λόφων· ὁ μὲν τὴν ἄνω desunt quæ interjacent omnia M. 2 ὑψηλότερός τε πολ. L.M.P. ὑψηλότερος δὲ πολ. N. ἰθύτερος L. ὑπὸ Δαβὶδ P.T. τοῦ πάλαι βασιλέως L. 3 Σολομῶντος L. et sic infra. τοῦ τὸν πρῶτον ναὸν P. τὸν ναὸν κτίσ. L. ἡ δὲ ἄνω ἀγ. E. Ἕτερος δὲ L.

τείᾳ φάραγγι διειργόμενος ἄλλῃ πρότερον· αὖθις γε μὴν 5
καθ' οὓς οἱ Ἀσαμωναῖοι χρόνους ἐβασίλευον, τήν τε φά-
ραγγα ἔχωσαν, συνάψαι βουλόμενοι τῷ ἱερῷ τὴν πόλιν, καὶ
τῆς Ἄκρας κατεργασάμενοι τὸ ὕψος ἐποίησαν χθαμαλώτε-
ρον, ὡς ὑπερφαίνοιτο καὶ ταύτῃ τὸ ἱερόν. Ἡ δὲ τῶν Τυρο- 6
ποιῶν προσαγορευομένη φάραγξ, ἣν ἔφαμεν τόν τε τῆς ἄνω
πόλεως καὶ τὸν κάτω λόφον διαστέλλειν, καθήκει μέχρι Σι-
λωάμ· οὕτω γὰρ τὴν πηγήν, γλυκεῖάν τε καὶ πολλὴν οὖσαν, 7
ἐκαλοῦμεν. Ἔξωθεν δὲ οἱ τῆς πόλεως δύο λόφοι βαθείαις
φάραγξι περιείχοντο, καὶ διὰ τοὺς ἑκατέρωθεν κρημνοὺς προσ-
ιτον οὐδαμόθεν ἦν.

2. Τῶν δὲ τριῶν τειχῶν τὸ μὲν ἀρχαῖον διά τε τὰς φά- 8
ραγγας, καὶ τὸν ὑπὲρ τούτων λόφον, ἐφ' οὗ κατεσκεύαστο,
δυσάλωτον ἦν· πρὸς δὲ τῷ πλεονεκτήματι τοῦ τόπου καὶ
καρτερῶς ἐδεδόμητο, Δαβίδου τε καὶ Σολομῶνος, ἔτι δὲ τῶν
μεταξὺ τούτων βασιλέων, φιλοτιμηθέντων περὶ τὸ ἔργον.
Ἀρχόμενον δὲ κατὰ βορρᾶν ἀπὸ τοῦ Ἱππικοῦ καλουμένου 9
πύργου, καὶ διατεῖνον ἐπὶ τὸν Ξυστὸν λεγόμενον, ἔπειτα τῇ
βουλῇ συνάπτον, ἐπὶ τὴν ἑσπέριον τοῦ ἱεροῦ στοὰν ἀπηρτί-
ζετο. Κατὰ θάτερα δὲ πρὸς δύσιν, ἀπὸ τοῦ αὐτοῦ μὲν ἀρ- 10
χόμενον πύργου, διὰ δὲ τοῦ Βηθσὼ καλουμένου χωρίου κατα-
τεῖνον ἐπὶ τὴν Ἐσσηνῶν πύλην, καὶ ἔπειτα πρὸς νότον ὑπὲρ 11
τὴν Σιλωὰμ ἐπιστρέφον πηγήν, ἔνθεν τε πάλιν ἐκκλίνον πρὸς
ἀνατολὴν ἐπὶ τὴν Σολομῶνος κολυμβήθραν, καὶ διῆκον μέχρι
χώρου τινὸς, ὃν καλοῦσιν Ὀφλὰν, τῇ πρὸς ἀνατολὴν στοᾷ
τοῦ ἱεροῦ συνῆπτε. Τὸ δὲ δεύτερον τὴν μὲν ἀρχὴν ἀπὸ πύ- 12

5 καθ' οὓς Ἀσαμων. L. φάραγγα ἔχων, L. τήν τε πόλιν L. ἐποιή-
σαντο E. καὶ ταύτης τὸ M.E. 6 Σιλωᾶς M.N.P.T. 7 ἑκατέρο-
θεν N. 8 δυσάλωτος L. ἐνδεδόμητο L.N.P. Δαβίδ τε καὶ P.T.
9 Ἀρχομένου P. κατὰ βορέαν L. λεγόμενον deest P. τῇ βολῇ συνάπ-
τον M. τῇ βουλῇ συνάπτων P. 10 Κατὰ θάτερον L.E. ἀπὸ τούτου
μὲν L. πύργου deest L.P. ejus loco χωρίου habet E. τοῦ Βησὼ P.
καλουμένου χώρου κατατ. N.P. καλουμένου κατατ. E. 11 νότον ἐπὶ τὴν
ὑπὲρ τὴν L. Σιλωὰν T. ἐπιστρέφων L. ἔνθεν πάλιν P. ἐκκλίνων P.
καὶ διήκει L. Ὀφλὰμ L. Ὀφλᾶς M.N.P.T. Ὀφλ. σὺν τῇ L. ἀνα-
τολῇ M. τοῦ ἱεροῦ στοᾷ tr. L. συνῆπτατ. T.E.

λης εἶχεν, ἣν Γεννὰθ ἐκάλουν, τοῦ πρώτου τείχους οὖσαν, κυκλούμενον δὲ τὸ προσάρκτιον κλίμα μόνον ἀνῄει μέχρι τῆς
13 Ἀντωνίας. Τῷ τρίτῳ δὲ ἦν ἀρχὴ ὁ Ἱππικὸς πύργος, ὅθεν μέχρι τοῦ βορείου κλίματος κατατεῖνον ἐπὶ τὸν Ψήφινον πύργον, ἔπειτα καθῆκον ἀντικρὺ τῶν Ἑλένης μνημείων, —
14 Ἀδιαβηνὴ βασιλὶς ἦν αὕτη, Ἰζάτου βασιλέως μήτηρ, — καὶ διὰ σπηλαίων βασιλικῶν μηκυνόμενον ἐκάμπτετο μὲν γωνιαίῳ πύργῳ κατὰ τὸ τοῦ Γναφέως προσαγορευόμενον μνῆμα· τῷ δὲ ἀρχαίῳ περιβόλῳ συνάπτον εἰς τὴν Κεδρῶνα καλουμένην
15 φάραγγα κατέληγεν. Τοῦτο τῇ προσκτισθείσῃ πόλει περιέθηκεν Ἀγρίππας, ἥπερ ἦν πᾶσα γυμνή· πλήθει γὰρ ὑπερχεομένη, κατὰ μικρὸν ἐξεῖρπε τῶν περιβόλων, καὶ τοῦ ἱεροῦ
16 τὰ προσάρκτια πρὸς τῷ λόφῳ συμπολίζοντες, ἐπ' οὐκ ὀλίγον προῆλθον, καὶ τέταρτον περιοικηθῆναι λόφον, ὃς καλεῖται Βεζεθὰ, κείμενος μὲν ἀντικρὺ τῆς Ἀντωνίας, ἀποτεμνόμενος δὲ ὀρύγματι βαθεῖ· διεταφρεύθη γὰρ ἐπίτηδες, ὡς μὴ τῷ λόφῳ συνάπτοντες οἱ θεμέλιοι τῆς Ἀντωνίας εὐπρόσιτοί
17 τε εἶεν, καὶ ἧττον ὑψηλοί. Διὸ δὴ καὶ πλεῖστον ὕψος τοῖς πύργοις προσεδίδου τὸ βάθος τῆς τάφρου· ἐκλήθη δὲ ἐπιχωρίως Βεζεθὰ τὸ νεόκτιστον μέρος, ὃ μεθερμηνευόμενον Ἑλ-
18 λάδι γλώσσῃ καινὴ λέγοιτ' ἂν πόλις. Δεομένων οὖν τῶν ταύτῃ σκέπης, ὁ πατὴρ τοῦ νῦν βασιλέως, καὶ ὁμώνυμος Ἀγρίππας, ἄρχεται μὲν οὗ προείπομεν τείχους· δείσας δὲ
19 Κλαύδιον Καίσαρα, μὴ τὸ μέγεθος τῆς κατασκευῆς ἐπὶ νεωτερισμῷ πραγμάτων ὑπονοήσῃ καὶ στάσεως, παύεται θεμελίους μόνον βαλόμενος. Καὶ γὰρ οὐδ' ἂν ἦν ἁλώσιμος ἡ

12 Γενναθὴν L. et ex adj. T. Γεννὰθ P. κυκλουμένην P. πρὸς ἀρκτικὸν κλίμα L. μόνον ἀνίει N. μόν. ἀνείη P. 13 ἀρχὴ ἦν tr. L.P. 14 Ἀδιαβινὴ P. αὕτη deest L. Ἰζᾶ τοῦ βασ. M.N.P.T. Ἀζᾶ τοῦ β. L. βασιλέως θυγάτηρ, καὶ L.M.N.P.T. ἀρχαίῳ περισυνάπτων P. 15 ὑπερεχομένη P. ἐξῆρπε M.P. 16 προῆλθον καὶ sic T. λόφον, ὃ καλ. L. Ἀβισσαθὴ L. 17 ἐπιχωρίως δὲ ἐκλήθη tr. E. Βεζεθωὰ L. 18 τῶν ἐν αὐτῇ σκέπης L. οὖν ταύτης σκέπης P. προείπαμεν L. 19 ὑπονοήσει M.N.P. βαλλόμενος L.M. ἁλώσιμος ἦν tr. P.

πόλις, εἰ προέκοπτε τὸ τεῖχος, ὡς ἤρξατο· λίθοις μέν γε 20
εἰκοσιπήχεσι τὸ μῆκος, καὶ τὸ εὖρος δεκαπήχεσι συνηρμόζετο,
μήθ' ὑπορυγῆναι σιδήρῳ ῥᾳδίως, μήθ' ὑπ' ὀργάνοις διασεισθῆ-
ναι δυναμένοις· δέκα πήχεις αὐτὸ τὸ τεῖχος ἐπλατύνετο, καὶ 21
τὸ ὕψος πλεῖον μὲν ἄν, ὡς εἰκὸς, ἔσχε, μὴ διακωλυθείσης τῆς
τοῦ καταρξαμένου φιλοτιμίας. Αὖθις δὲ, καίτοι μετὰ σπου- 22
δῆς ἐγειρόμενον ὑπὸ Ἰουδαίων, εἰς εἴκοσι πήχεις ἀνέστη· καὶ
διπήχεις μὲν τὰς ἐπάλξεις, τριπήχεις δὲ τοὺς προμαχῶνας
εἶχεν, ὡς τὸ πᾶν ὕψος εἰς εἰκοσιπέντε πήχεις ἀνατετά-
σθαι.

3. Τοῦ δὲ τείχους ὑπερεῖχον οἱ πύργοι πήχεις εἴκοσι μὲν 23
εἰς εὖρος, εἴκοσι δὲ εἰς ὕψος, τετράγωνοί τε καὶ πλήρεις,
ὥσπερ αὐτὸ τὸ τεῖχος, ὄντες· ἥ γε μὴν ἁρμονία καὶ τὸ κάλ-
λος τῶν λίθων οὐδὲν ἀπέδει ναοῦ. Μετὰ δὲ τὸ ναστὸν ὕψος 24
τῶν πύργων, ὅπερ ἦν εἰκοσίπηχυ, πολυτελεῖς ἦσαν οἶκοι, καὶ
καθύπερθεν ὑπερῷα, δεξάμεναί τε πρὸς τὰς τῶν ὑετῶν ὑποδο-
χὰς ἐκεῖ πλεῖσται, καὶ πλατεῖαι καθ' ἕκαστον ἄνοδοι. Τοι- 25
ούτους μὲν οὖν πύργους τὸ τρίτον τεῖχος εἶχεν ἐνενήκοντα, τὰ
δὲ μεταπύργια τούτων ἀνὰ πήχεις διακοσίους· τὸ δὲ αὖ μέσον
εἰς τεσσαρεσκαίδεκα πύργους, τὸ δὲ ἀρχαῖον εἰς ἑξήκοντα με-
μέριστο. Τῆς πόλεως δὲ ὁ πᾶς κύκλος σταδίων ἦν τριάκοντα 26
τριῶν· θαυμασίου δὲ ὄντος ὅλου τοῦ τρίτου τείχους, θαυμα-
σιώτερος ἀνεῖχε κατὰ γωνίαν βόρειός τε καὶ πρὸς δύσιν ὁ
Ψήφινος πύργος, καθ' ὃν ἐστρατοπεδεύσατο Τίτος. Ἐπὶ 27
γὰρ ἑβδομήκοντα πήχεις ὑψηλὸς ὤν, Ἀραβίαν τε ἀνίσχον-
τος ἡλίου παρεῖχεν ἀφορᾶν, καὶ μέχρι θαλάττης τὰ τῆς

20 λίθοις μὲν γὰρ εἰκ. L.P. et ex cor. T. εἰκοσαπήχεσι P.T. συνηρμό-
ζοντο L. μήτ' ὀργάνῳ διασεισ. L. δυνάμενον L.P. 21 δέκα πήχεσιν
αὐτὸ L. δέκα δὲ πήχεις αὐτῷ P. δέκα πήχεις αὐτῷ sed ῷ ex cor. T. καὶ
τὸ τεῖχος P. 22 ὑπὸ Ἰουδ. ἐγειρόμενον tr. L. ὕψος εἰκοσιπέντε L.
23 τετράγωνοι δὲ καὶ ex cor. T. αὐτὸ τεῖχος P. 24 εἰκοσάπηχυ L.
M.P. et sic infra. ὑποδοχὰς, ἕλικές τε πλατεῖαι καὶ P. et ex cor. T.
25 μὲν πύργους L. μεταπύργια δὲ L.M.N.P.T. διακοσίας L. τὸ δὲ
μέσον E. τεσσαρασκαίδεκα L.M.P.E. 26 πόλεως ὁ πᾶς L. βορείου
τε L. ἐστρατοπεδεύετο L. 27 Ἐπεὶ γὰρ ὁ πήχεις L. θαλάσσης καὶ
τὰ L.

28 Ἑβραίνω κληρουχίας ἔσχατα· ὀκτάγωνος δὲ ἦν. Τούτου δὲ
ἄντικρυς ὁ Ἱππικὸς, καὶ παρ' αὐτὸν δύο κατεσκευάσθησαν
ὑπὸ Ἡρώδου τοῦ βασιλέως ἐν τῷ ἀρχαίῳ τείχει· μέγεθος δὲ
καὶ κάλλος ἦσαν καὶ ὀχυρότητα τῶν κατὰ τὴν οἰκουμένην διά-
29 φοροι· πρὸς γὰρ τῷ φύσει μεγαλοψύχῳ, καὶ τῇ περὶ τὴν
πόλιν φιλοτιμίᾳ, τὴν ὑπεροχὴν τῶν ἔργων ὁ βασιλεὺς πάθε-
σιν οἰκείοις ἐχαρίζετο, καὶ τρισὶ τοῖς ἠδίστοις προσώποις,
30 ἀφ' ὧν ὠνόμασε τοὺς πύργους, ἀδελφῷ καὶ φίλῳ καὶ γυναικὶ,
τὴν μνήμην ἀνέθηκε· τὴν μὲν, ὡς προειρήκαμεν, κτείνας δι'
ἔρωτα, τοὺς δὲ ἀποβαλὼν ἐν πολέμῳ γενναίως ἀγωνισαμέ-
31 νους. Ὁ μὲν οὖν Ἱππικὸς ἀπὸ τοῦ φίλου προσαγορευθεὶς
τετράγωνος μὲν ἦν, εὖρος δὲ καὶ μῆκος εἴκοσι καὶ πέντε πη-
χῶν ἕκαστος καὶ ὕψος τριάκοντα, οὐδαμοῦ διάκενος. Ὑπὲρ
δὲ τὸ πλῆρες, καὶ ταῖς πέτραις συνηνωμένον, εἰς ἐκδοχὴν τῶν
32 ὄμβρων εἰκοσίπηχυς λάκκος ἦν τὸ βάθος. Ἐπάνω δὲ τού-
του δίστεγος οἶκος ἦν, εἴκοσι καὶ πέντε πηχῶν τὸ ὕψος, εἰς
ποικίλα τε διηρημένος, ὑπὲρ ὃν τύρσεις μὲν διπήχεις, προμα-
χῶνες δὲ περιβέβληντο τριπήχεις· ὡς τὸ πᾶν ὕψος εἰς ὀγδοή-
33 κοντα πήχεις συναριθμεῖσθαι. Ὁ δὲ δεύτερος πύργος, ὃν
ὠνόμασεν ἀπὸ τοῦ ἀδελφοῦ Φασάηλον, τὸ μὲν πλάτος καὶ
τὸ μῆκος ἴσον εἶχε, τεσσαράκοντα πηχῶν ἕκαστον, ἐπὶ τεσ-
34 σαράκοντα δὲ ἦν τὸ ναστὸν αὐτοῦ ὕψος. Ἐπάνω δὲ αὐτοῦ
περιήει στοὰ δεκαπήχυς τὸ ὕψος, θωρακίοις τε καὶ προ-
βόλοις σκεπομένη. Μέσην δὲ ὑπερῳκοδόμητο τὴν στοὰν

ὀκταγώνιος L. 28 Τοιούτου δ' ἄντικρυς ἱππικὸς L. κατεσκευάσθ. μὲν ὑπὸ N.P.T. κατεσκευασμένοι ὑπὸ L. Ἡρώδου βασιλέως N.T. μέγεθός τε καὶ M.N.E. et pri. ma. T. ὀχυρότητι L. 29 οἰκείοις καὶ ἰδίοις ἐχαρ. L. τοῖς ἰδίστοις P. ὧν ἐπωνόμασε L. 30 μνήμην ἀνατιθεὶς· τὴν L. προειρήκ. καὶ κτείνας L. 31 εἴκοσι πέντε N.P.T. πηχῶν ἕκαστον P. τριάκοντα καὶ οὐδαμοῦ L. πληρέστατον καὶ ταῖς L. συνηνωμένος εἰς M. συνηνομένον εἰς P. συνηνωμένον ἦν εἰς sed rec. ma. adj. ἦν T. ἐκδοκὴν ὄμβρων M.N.P.T. 32 Ἐπάνω δὴ L. διάστεγος M.P. ἦν οὖν εἴκοσι N. ποικίλα τέγη διηρ. P. τύρσεις in textu; sed in marg. ead. ma. πύργος σκηνή. L. πήχεις ὀγδοήκ. tr. L. 33 αὐτοῦ τὸν ναστὸν ἦν L. 34 Ἐπάνωθεν δὲ τούτου L. περιήει ἡ στοὰ L. στοὰ δέκα πήχεις N. θωρακείοις T. Μέση δὲ ὑπ. τῇ στοᾷ L.

πύργος ἕτερος, εἵς τε οἴκους πολυτελεῖς, καὶ δὴ καὶ βαλανεῖον διῃρημένος, ὡς μηδὲν ἐνδέοι τῷ πύργῳ βασίλειον δοκεῖν. Τὰ 35 δὲ ἄκρα τοῖς προμαχῶσι καὶ ταῖς τύρσεσι μᾶλλον, ἤπερ ὁ πρὸ αὐτοῦ, κεκόσμητο. Πηχῶν δὴ τὸ πᾶν ὕψος ὡς ἐνενήκοντα, καὶ τὸ μὲν σχῆμα παρεῴκει τῷ κατὰ τὴν Φάρον ἐκπυρσεύοντι τοῖς ἐπ' Ἀλεξανδρείας πλέουσι, τῇ περιοχῇ δὲ πολὺ μεῖζον ἦν· τηνικαῦτά γε μὴν τυραννεῖον ἀπεδείχθη τοῦ Σίμω- 36 νος. Ὁ δὲ τρίτος πύργος ἡ Μαριάμμη, τοῦτο γὰρ ἡ βασιλὶς ἐκαλεῖτο, μέχρι μὲν εἴκοσι πηχῶν ναστὸς ἦν, εἴκοσι δὲ πήχεις εἰς εὖρος διέβαινε καὶ μῆκος ἴσον. Πολυτελεστέραν 37 δὲ καὶ ποικιλωτέραν τῶν ἄλλων τὴν οἴκησιν εἶχεν ἐπάνω· τοῦ βασιλέως οἰκεῖον ὑπολαβόντος, τὸν ἀπὸ γυναικὸς ὀνομασθέντα κεκοσμῆσθαι πλέον, ἢ τοὺς ἀπ' ἀνδρῶν, ὥσπερ ἐκείνους τοῦ τῆς γυναικὸς ὀχυρωτέρους. Τούτου τὸ πᾶν ὕψος πεντήκοντα καὶ πέντε πηχῶν ἦν.

4. Τηλικοῦτοι δὲ ὄντες οἱ τρεῖς τὸ μέγεθος, πολὺ μεί- 38 ζονες ἐφαίνοντο διὰ τὸν τόπον· αὐτό τε γὰρ τὸ ἀρχαῖον τεῖχος, ἐν ᾧ ἦσαν, ἐφ' ὑψηλῷ λόφῳ δεδόμητο, καὶ τοῦ λόφου καθάπερ κορυφή τις ὑψηλοτέρα προανεῖχεν εἰς τριάκοντα πήχεις, ὑπὲρ ἣν οἱ πύργοι κείμενοι πολὺ δή τι τοῦ μετεώρου 39 προσελάμβανον. Θαυμάσιον δὲ καὶ τῶν λίθων ἦν τὸ μέγεθος· οὐ γὰρ ἐξ εἰκαίας χερμάδος, οὐδὲ φορητῶν ἀνθρώποις πετρῶν συνειστήκεσαν, λευκὴ δὲ μάρμαρος ἐτμήθη· καὶ τὸ 40 μὲν μῆκος ἑκάστης πηχῶν ἦν εἴκοσι, δέκα δὲ εὖρος, καὶ βάθος πέντε. Συνήνωντο δ' ἐπ' ἀλλήλοις, ὡς δοκεῖν ἕκαστον πύργον μίαν εἶναι πέτραν ἀναπεφυκυῖαν, ἔπειτα δὲ περιεξέσθαι χερσὶ τεχνιτῶν εἰς σχῆμα καὶ γωνίας· οὕτως οὐδαμόθεν ἡ συνάφεια τῆς ἁρμονίας διεφαίνετο. Κειμένοις δὲ πρὸς ἄρκ- 41 τον αὐτοῖς ἔνδοθεν ἡ τοῦ βασιλέως αὐλὴ προσέζευκτο, παντὸς

πύργος τε ἕτερος L. καὶ δὴ βαλανεῖον L. 35 τύρσεσιν ἢ περὶ αὐτοῦ κεκοσ. P. Πηχῶν δ' ἦν τὸ ex cor. T. παρεώκει τὸ κατὰ P. μείζων T. 36 Μαριάμνη N.T. πηχῶν μὲν εἴκοσι tr. L. πήχεις εὖρος E. 37 γυναικὸς ἰσχυροτέρους P. πεντήκοντα ἑνέα πηχῶν L. 38 αὐτῷ τε γὰρ P. ἐν ὑψηλῷ L. ὑφ' ὑψηλῷ P. προσανεῖχεν M. 40 ἑκάστη πηχῶν εἴκοσι· εὖρος δὲ δέκα L. ἀναπεφυκυῖαν ἐπὶ τὰ περιξ ἔχεσθαι L.

λόγου κρείσσων· οὔτε γὰρ πολυτελείας, οὔτε κατασκευῆς τινος ἔλιπεν ὑπερβολή, ἀλλὰ τετείχιστο μὲν ἅπασα τριά-
41 κοντα πήχεις τὸ ὕψος κύκλῳ κατ' ἴσον διάστημα, κεκοσμημένοις δὲ πύργοις διείληπτο, ἀνδρῶσί τε μεγίστοις, καὶ εἰς ξενῶνας ἑκατοντακλίνους· ἐν οἷς ἀδιήγητος μὲν ἡ ποικιλία τῶν
43 λίθων ἦν· συνῆκτο γὰρ πολὺς ὁ πανταχοῦ σπάνιος. Θαυμασταὶ δ' ὀροφαὶ, μήκει τε δοκῶν καὶ λαμπρότητι προκοσμημάτων. Οἴκων δὲ πλῆθος, καὶ διαφοραὶ σχημάτων περὶ τούτους μυρίαι· πᾶσί γε μὴν ἀποσκευαὶ πλήρεις, καὶ τὰ πλείω
44 τῶν ἐν ἑκάστοις κειμένων ἐξ ἀργύρου τε καὶ χρυσοῦ. Περίστοα δὲ δι' ἀλλήλων ἐν κύκλῳ πολλὰ, καὶ στύλοι πρὸς ἑκάστῳ διάφοροι. Τά γε μὴν τούτων ὕπαιθρα πανταχοῦ
45 χλοερά· καὶ ποικίλαι μὲν ὗλαι, μακροὶ δὲ δι' αὐτῶν περίπατοι, καὶ περὶ τούτους εὔριποι βαθεῖς δεξαμεναί τε πολλαχοῦ χαλκουργημάτων περίπλεοι, δι' ὧν τὸ ὕδωρ ἐξεχεῖτο, καὶ πολ-
46 λοὶ περὶ τὰ νάματα πύργοι πελειάδων ἡμέρων. Ἀλλὰ γὰρ οὔθ' ἑρμηνεῦσαι δυνατὸν ἀξίως τὰ βασίλεια, καὶ φέρει βάσανον ἡ μνήμη, τὰς τοῦ λῃστρικοῦ πυρὸς δαπάνας ἀναφέρουσα· οὐ γὰρ ταῦτα Ῥωμαῖοι κατέφλεξαν, ἀλλ' ὑπὸ τῶν ἔνδον
47 ἐπιβούλων, ὡς προειρήκαμεν, ἐν ἀρχῇ τῆς ἀποστάσεως. Καὶ ἀπὸ μὲν τῆς Ἀντωνίας ἤρξατο τὸ πῦρ, μετέβη δ' ἐπὶ τὰ βασίλεια, καὶ τῶν τριῶν πύργων τὰς στέγας ἐπενεμήθη.

CAP. V.

1 1. Τὸ δὲ ἱερὸν ἵδρυτο μὲν, ὥσπερ ἔφην, ἐπὶ λόφου καρτεροῦ· κατ' ἀρχὰς δὲ μόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐ-
2 τοῦ τῷ τε ναῷ καὶ τῷ βωμῷ. Τὰ γὰρ πέριξ ἀπόκρημνος

41 ἔλειπεν N.P.T. ὑπερβολὴν M.N.T. μὲν πᾶσα L. καθ' ὅσον διάστημα L. 42 κεκοσμημ. πύργοις L. et ex ras. T. πύργοις δ' ἀνδρῶσι L. ξενεῶνας L. ἑκατονταπεντακλίνους L E. 43 δ' ἂν ὀροφαὶ ma. rec. adj. T. καὶ διαφορὰ L. μυρία L. μύριοι P πᾶσαί γε μὴν L. πλήρεις· καταπλείω τῶν L. 44 Περίστωα L.M. τά τε μὴν L. πάντα χλοερά P. 45 περὶ τούτοις N. εὔριπποι M. βαθεῖς καὶ δεξ. τε N. τε πανταχοῦ χαλκ. L. πελιάδων P. 46 Ἀλλὰ οὔθ' M. ἀποστάσεως ἀπὸ τῆς L. ἀποστ. κατεφλέχθησαν· καὶ ἀπὸ μὲν τῆς M. 1 ἔφην, ὑπὸ λόφου L. τῷ ἀνωτάτω P. 2 Τὰ δὲ πέριξ L.

ἦν καὶ κατάντης· τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸν ναὸν ἔκτισε, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, ἐτείθη στοὰ τῷ χώματι· καὶ κατά γε τὰ λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. Τοῖς δὲ ἑξῆς αἰῶσιν, ἀεί τι τοῦ λαοῦ προσχωννύντος, ἀνισούμενος ὁ λόφος ηὐρύνετο. Διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος, τοσοῦτον προσέλαβον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. Τειχίσαντες δὲ ἐκ ῥίζης τριχῇ κύκλῳ τὸν λόφον, καὶ μεῖζον ἐλπίδος ἐκτενήσαντες ἔργον, — εἰς ὃ μακροὶ μὲν ἐξανηλώθησαν αἰῶνες αὐτοῖς, καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες, οὓς ἀνεπίμπλασαν οἱ παρὰ τῆς οἰκουμένης δασμοὶ πεμπόμενοι τῷ θεῷ, — τούς τε ἄνω περιβόλους, καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. Τούτου τὸ ταπεινότατον ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηχῶν, κατὰ δέ τινας τόπους ἐκ πλείονος. Οὐ μέντοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων· ἐπὶ πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας, ἀνισοῦν βουλόμενοι τοὺς στενωποὺς τοῦ ἄστεως. Πέτραι δὲ τεσσαρακονταπήχεις τὸ μέγεθος ἦσαν τοῦ δομήματος· ἥ τε γὰρ δαψίλεια τῶν χρημάτων, καὶ ἡ τοῦ λαοῦ φιλοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπισθὲν ἔξειν πέρας ἐπιμονῇ καὶ χρόνοις ἦν ἀνύσιμον.

2. Ἦν δὲ ἄξια τῶν τοιούτων θεμελίων καὶ τὰ ὑπὲρ αὐτῶν ἔργα· εἰσὶ γὰρ αἱ στοαὶ πᾶσαι. κίονες δὲ αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ἑρμήνευσαν, μονόλιθοι λευκοτάτης μαρμάρου· κεφάλαια δὲ φαντάσματα ὠρύφοντο. Τούτων ἡ μὲν φυτικὴ πολυτέλεια, καὶ τὸ ἐξεστὸν, καὶ τὸ ἁρμόνιον

τοῦ βασιλέως L. ἐκτειχ. εἶτ' ἐτέθη L.E. μέρη γυμνὸς ὁ ναὸς ἦν. 3 προσελάμβανον ὅσον M.N.P. ὕστερον deest N. 4 τειχήσαντες P. ἐκ ῥίζης desunt L.M.N. adjecta sunt. κύκλωθεν τὸν P. ἐξανηλώθησαν M. ἀνεπίπλασαν M. ὁ καὶ τὸ κατὰ τὸ τοῦτο ταπεινότατον P. ἀνετειχίσατο M. στεος T. τοῦ δωμήματος ἦσαν P. ἐπὶ μονῇ καὶ L.M.N.P.E. 8 τῶν M.N.P.T. κεφάνους τε φατ. L. πολυτ. κατὰ τὸ εὔξ. L.



παρεῖχε θεωρίαν ἀξιόλογον· οὐδενὶ δὲ ἔξωθεν οὔτε ζωγρα-
10 φίας οὔτε γλυφίδος ἔργῳ προσηγλάϊστο. Καὶ πλατεῖαι
μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις· ὁ δὲ πᾶς κύκλος αὐτῶν εἰς
ἓξ σταδίους συνεμετρεῖτο περιλαμβανομένης καὶ τῆς Ἀντω-
11 νίας. Τὸ δὲ ὕπαιθρον ἅπαν πεποίκιλτο παντοδαπῶν λίθων
κατεστρωμένον. Διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱε-
ρὸν δρύφακτος περιβέβλητο λίθινος, τρίπηχυς μὲν ὕψος,
12 πάνυ δὲ χαριέντως διειργασμένος· ἐν αὐτῷ δ' εἱστήκεσαν ἐξ
ἴσου διαστήματος στῆλαι, τὸν τῆς ἁγνείας προσημαίνουσαι
νόμον, αἱ μὲν Ἑλληνικοῖς, αἱ δὲ Ῥωμαϊκοῖς γράμμασι, μὴ
δεῖν ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι· τὸ γὰρ δεύτερον
13 ἱερὸν ἅγιον ἐκαλεῖτο. Καὶ τεσσαρεσκαίδεκα μὲν βαθμοῖς ἦν
ἀναβατὸν ἀπὸ τοῦ πρώτου, τετράγωνον δὲ ἄνω καὶ τείχει
περιπεφραγμένον ἰδίῳ· τούτου τὸ μὲν ἔξωθεν ὕψος, καίπερ
τεσσαράκοντα πηχῶν ὑπάρχον, ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο,
14 τὸ δὲ ἔνδον εἴκοσι καὶ πέντε πηχῶν ἦν· πρὸς γὰρ ὑψηλοτέρῳ
δεδομημένου βαθμοῖς, οὐκέτι ἦν ἅπαν εἴσω καταφανὲς κα-
λυπτόμενον ὑπὸ τοῦ λόφου. Μετὰ δὲ τοὺς δεκατέσσαρας
βαθμοὺς τὸ μέχρι τοῦ τείχους διάστημα πηχῶν ἦν δέκα, πᾶν
15 ἰσόπεδον. Ἔνθεν ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον
ἐπὶ τὰς πύλας, αἱ ἀπὸ μὲν ἄρκτου καὶ μεσημβρίας ὀκτὼ,
καθ' ἑκάτερον τέσσαρες, δύο δ' ἦσαν ἐξ ἀνατολῆς κατ' ἀνάγ-
16 κην. Διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς
γυναιξὶν ἰδί[illegible] θρησκείαν χώρου, ἔδει δευτέραν εἶναι πύ-
[illegible] πρώτης ἀντικρυς. Καὶ ἐκ τῶν
[illegible] πύλη, καὶ μία βόρειος, δι'

P. 10 μὲν καὶ ἐπὶ τριάκ. L.
11 τούτου πραττόντων ἐπὶ L.
12 αὐτῷ διεστήκεσαν L. νό-
μασι deest N. et T. sed in
M.N.P. παρεῖναι L. ἅγιον
καὶ ὑπὲρ τεσσ. P. ἑπτα-
τοῖς βαθμοῖς M.N.T. Mox
πάλιν ἄλλοι ἑπτακαίδεκα
καθ' ἕνα τε. P.

ἧς εἰς τὴν γυναικωνῖτιν εἰσῆγον· κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξῆν παρελθεῖν γυναιξὶν, ἀλλ᾽ οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα. Ἀνεῖτό γε μὴν ταῖς τε ἐπιχωρίοις 18
καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. Τὸ δὲ πρὸς δύσιν μέρος οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. Αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ 19
τοῦ τείχους, ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζοφυλακίων, σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν· ἦσαν δὲ ἁπλαῖ, καὶ πλὴν τοῦ μεγέθους τῶν κάτω κατ᾽ οὐδὲν ἀπελείποντο.

3. Τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ κεκα- 20
λυμμέναι πανταχόθεν ἦσαν, ὁμοίως δὲ αἵ τε παραστάδες καὶ τὰ ὑπέρθυρα· μία δὲ ἡ ἔξωθεν τοῦ νεὼ Κορινθίου χαλκοῦ, πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περιχρύσους ὑπεράγουσα. Καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ 21
ὕψος ἑκάστης, καὶ τὸ πλάτος ἦν πεντεκαίδεκα· μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυνόμενοι παρ᾽ ἑκάτερον τριάκοντα πήχεις ἐξέδρας εἶχον εὖρός τε καὶ μῆκος πυργοειδεῖς, ὑψηλαὶ δὲ ὑπὲρ τεσσαράκοντα πήχεις. Δύο δ᾽ ἀνεῖχον ἑκάστην 22
κίονες, δώδεκα πηχῶν τὴν περιοχὴν ἔχοντες. Καὶ τῶν μὲν ἄλλων ἴσον ἦν τὸ μέγεθος· ἡ δὲ ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύ- 23
λης ἀντικρὺ, πολὺ μείζων· πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάτασιν, τεσσαράκοντα πήχεις τὰς θύρας εἶχε, καὶ τὸν κόσμον πολυτελέστερον, ἐπὶ δαψιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ· τοῦτον δὲ ταῖς ἐννέα πύλαις ἐπέχεεν ὁ Τιβερίου 24
πατὴρ Ἀλέξανδρος. Βαθμοὶ δὲ δεκαπέντε πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον·

παρελθεῖν οὐκ ἐξὴν tr. L. τὴν ἐφ᾽ ἑτέραν ὑπερβ. L. 18 τοῖς τ᾽ ἐπιχωρ. καὶ τοῖς M.N. ἐδεδώμητο P. 19 γαζοφυλακείων L.N. ἁπλαῖ καὶ ἁπλέτου μεγ. M.N. 20 ὁμοίως τε παρασ. M.N.T.E. ὁμοίως τε αἱ π. P. δὴ ἔξωθεν L. ἔξωθεν τῷ N. 21 τριάκοντα τριῶν πηχῶν L. τὸ ὕψος ἑκάστη L. ἑκάστης τὸ ὕψος M. ἐξέδρας εἶχεν L. 23 ἀνάτασιν, sed in marg. cod. ma. ἀνάστασιν T. ἀνάστασιν L.M.N.P.E. ἀργύρου καὶ M. 24 τοῦτο δὲ ταῖς T.E. Τιβερείου L.

τῶν γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι.

25 4. Αὐτὸς δ' ὁ ναὸς, κατὰ μέσον κείμενος, τὸ ἅγιον ἱερὸν, δώδεκα βαθμοῖς ἦν ἀναβατός· καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε καὶ εὖρος ἴσον, ἀνὰ πήχεις ἑκατὸν, κατόπιν δὲ τεσ-
26 σαράκοντα πήχεσι στενότερος· ἔμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ' ἑκάτερον εἰκοσιπήχεις διέβαινον. Ἡ πρώτη δὲ αὐτοῦ πύλη, πηχῶν ἑβδομήκοντα τὸ ὕψος οὖσα, καὶ εὖρος εἴκοσι καὶ
27 πέντε, θύρας οὐκ εἶχε· τοῦ γὰρ οὐρανοῦ τὸ ἀφανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε· κεχρύσωτο δὲ τὰ μέτωπα πάντα, καὶ δι' αὐτῆς ὅ τε πρῶτος οἶκος ἔσωθεν ἅπας κατεφαίνετο, μέγιστος ὢν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα
28 χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. Τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου, μόνος ὁ πρῶτος οἶκος προέκειτο, καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπὶ ἐνενήκοντα πήχεις, μηκυνόμενος
29 δὲ ἐπὶ πεντήκοντα, καὶ διαβαίνων ἐπὶ εἴκοσιν. Ἡ δὲ διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μὲν, ὡς ἔφην, πᾶσα, καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος· εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους,
30 ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. Ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου, ταπεινοτέρα τῆς ἔξωθεν ὄψεως ἡ ἔνδον ἦν, καὶ θύρας εἶχε χρυσᾶς πεντηκονταπέντε πηχῶν τὸ ὕψος,
31 εὖρος δ' ἑκκαίδεκα. Πρὸ δὲ τούτων ἰσόμηκες καταπέτασμα, πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου, καὶ βύσσου, κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κράσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα
32 τῶν ὅλων· ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δὲ ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ

βραχύτεραι L. 25 ἦν ἄβατος M.N.P.T. εὖρος ἴσος ἀνὰ M.N.T. εὖρος εἴσω ἀνὰ P. πήχεις στενότ. L. 26 ὥσπερ ὁμοίως παρ' L. εἰκοσιπέντε L. καὶ τὸ ἀδιακλ. L. καὶ διάκλειστον T. 27 μέτωπα καὶ L. 28 ναοῦ δὲ tr. L. εἴσω διαστέγου M. προσέκειτο L. 29 καὶ ὁ λίθινος ὁ περὶ L. καὶ ὅλος περὶ E. αὐτὴν τεῖχος E. ὑπὲρ ἑαυτῆς L. κατεκρέμοντο N.P.T. 30 διαστέγου M. ὄψεως ἡ ἔνδον desunt L.M.N. et pri. ma. T. πεντήκοντα πηχ. P. εὖρος δὲ δεκαέξ. L. 31 θαυμαστῶς εἰργ. P. ἐξειργασμένος M. 32 τῷ κόκκῳ ex cor. T. τῇ ὑακίνθῳ P.

τὴν θάλασσαν· τῶν μὲν ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν 33
ἀναδίδωσιν ἡ γῆ, τὴν δὲ ἡ θάλασσα. Κατεγέγραπτο δὲ ὁ πέπλος πᾶσαν τὴν οὐράνιον θεωρίαν, πλὴν τῶν ζωδίων.

5. Παριόντας δ' εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέ- 34
χετο. Τούτου τοίνυν τὸ μὲν ὕψος ἐξήκοντα πηχῶν, καὶ τὸ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. Τὸ δὲ ἐξηκον- 35
τάπηχυ πάλιν διήρητο· καὶ τὸ μὲν πρῶτον μέρος, ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις, εἶχεν ἐν αὐτῷ τρία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις ἔργα, λυχνίαν, τράπεζαν, θυμιατήριον. Ἐνέφαινον δὲ οἱ μὲν ἑπτὰ λύχνοι τοὺς 36
πλανήτας· τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διήρηντο τῆς λυχνίας. Οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα, τόν τε ζωδιακὸν κύκλον, καὶ τὸν ἐνιαυτόν. Τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαί- 37
δεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο, τῆς τ' ἀοικήτου καὶ οἰκουμένης ἐσήμαινεν, ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. Τὸ δ' ἐνδοτάτω μέρος εἴκοσι μὲν ἦν πηχῶν· διείργετο 38
δὲ ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. Ἔκειτο δὲ οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. Περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω 39
ναοῦ, δι' ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοί, καὶ παρ' ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. Τὸ δὲ ὑπερῷον μέρος, τούτους μὲν οὐκ ἔτ' εἶχε τοὺς οἴκους, παρόσον ἦν καὶ στενότερον, ὑψηλότερον δ' ἐπὶ τεσσαράκοντα πήχεις, καὶ 40
λιτότερον τοῦ κάτω· συνάγεται γὰρ οὕτω πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

6. Τὸ δ' ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτε εἰς ψυχῆς, 41
οὔτε εἰς ὀμμάτων ἔκπληξιν ἀπέλιπε· πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν, ὑπὸ τὰς πρώτας ἀνατολὰς

τῆς χροίας sec. ma. T. 33 τὴν δὲ θάλασσα L. ἅπασαν P. πλὴν ζωδίων M.N.P.T. 34 Παριόντος δὲ L.M. εἴκοσι τεσσάρων δὲ πηχῶν L. 35 ἐξηκοντάπηχυν L. τὸ πρῶτον L. 36 τοσοῦτο γὰρ M. γὰρ ἐπ' αὐτῆς L. τὸν ζωδιακὸν P. ζωδιακὸν, καὶ M. 37 ἀνεπίμπλατο, καὶ τῆς L.N.P.T. τῆς ἀοικήτου M.N.T. 38 πηχῶν ἦν tr. P. 39 στενώτερον ex cor. T. 40 ὑψηλὸν δ' ἐπὶ L. 41 εἰς ψυχὴν P. ἀπέλειπε L.M.N.T.

πυρωδεστάτην ἀπέπαλλεν αὐγήν, καὶ τῶν βιαζομένων ἰδεῖν
42 τὰς ὄψεις ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεψε. Τοῖς γε μὴν εἰσαφικνουμένοις ξένοις πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο· καὶ γὰρ καθὰ μὴ κεχρύσωτο λευκότατος ἦν. Κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχε τεθηγμένους, ὡς
43 μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. Τῶν δὲ ἐν αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν, ὕψος πέντε, εὖρος δὲ ἕξ. Πρὸ αὐτοῦ δὲ ὁ βωμὸς πεντεκαίδεκα μὲν ὕψος ἦν πηχῶν, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον,
44 ἀνὰ πεντήκοντα πήχεις. Τετράγωνος ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας ἐπ' αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο. Κατεσκευάσθη δ' ἄνευ σιδή-
45 ρου, καὶ οὐδέποτε ἔψαυεν αὐτοῦ σίδηρος. Περιέστεφε δὲ τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ χάριεν γείσιον, ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον ἀπὸ τῶν
46 ἱερέων. Γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη διείργετο, γυναικῶν δὲ ἐμμήνοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπομεν ὅρον. Ἀνδρῶν δὲ οἱ μὴ κατὰ πᾶν ἠγνευκότες εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ μὴ καθαρεύοντες εἴργοντο.
47 7. Τῶν δὲ ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλειτούργουν, παρῆσαν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ γείσίου, καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε μὴν ἐσθήσεσιν ἰδιωτικαῖς ἐχρῶντο· τὴν γὰρ ἱερὰν ὁ λειτουρ-
48 γῶν ἠμφιέννυτο μόνος. Ἐπὶ δὲ τὸ θυσιαστήριον, καὶ τὸν ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων ἄμωμοι, βύσσον μὲν ἀμπεχό-

ἀπέλαμπεν αὐγὴν L. 42 μολύνοιντο M. 43 μῆκός τε πέντε L. 44 Τετράγωνος δ' ἵδρ. E. κερατοειδὴς N. ἔψαυσεν M. 45 Περιέστεφε τὸν P. εὔλιθόν τι χάριεν L. εὔλ. τε καὶ χάρ. M. ὅσον καὶ πηχυαῖον L. ὁ διεῖργεν διεῖργεν sic N. 46 Γονορρίοις L. γονορύοις P. λεπροῖς ἦν πόλις P. ὅλη εἶχεν τὸ διεῖργον, γυν. L. ὅλη τὸ διείργον, γυν. N.T. ὅλη τὸ διεῖρ. τὸ δ' ἱερὸν γυν. P. ἐξῆν δι' ὃν L. προείπαμεν N.P. μὴ καθάπαν P. ἱερέων δὲ πάλιν L. 47 ὅσοι διαπηρώσεις οὐκ L. γειτείου L. ἐσθήτεσιν P. ἐσθέσιν L.

ἦν καὶ κατάντης· τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸν ναὸν ἔκτισε, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, ἐπετίθη στοὰ τῷ χώματι· καὶ κατά γε τὰ λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. Τοῖς δὲ ἑξῆς αἰῶσιν, ἀεί τι τοῦ λαοῦ προσχωννύντος, 3 ἀνισούμενος ὁ λόφος ηὐρύνετο. Διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος, τοσοῦτον προσέλαβον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. Τειχίσαντες δὲ ἐκ 4 ῥίζης τριχῇ κύκλῳ τὸν λόφον, καὶ μεῖζον ἐλπίδος ἐκπονήσαντες ἔργον, — εἰς ὃ μακροὶ μὲν ἐξανηλώθησαν αἰῶνες αὐτοῖς, καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες, οὓς ἀνεπίμπλασαν οἱ παρὰ τῆς οἰκουμένης δασμοὶ πεμπόμενοι τῷ θεῷ, — τούς τε ἄνω περιβόλους, καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. Τούτου τὸ 5 ταπεινότατον ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηχῶν, κατὰ δέ τινας τόπους ἐκ πλείονος. Οὐ μέντοι πᾶν τὸ βάθος ἐφαί- 6 νετο τῶν θεμελίων· ἐπὶ πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας, ἀνισοῦν βουλόμενοι τοὺς στενωποὺς τοῦ ἄστεως. Πέτραι δὲ τεσσαρακονταπήχεις τὸ μέγεθος ἦσαν τοῦ δομήματος· ἥ τε 7 γὰρ δαψίλεια τῶν χρημάτων, καὶ ἡ τοῦ λαοῦ φιλοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπισθὲν ἔξειν πέρας ἐπιμονῇ καὶ χρόνοις ἦν ἀνύσιμον.

2. Ἦν δὲ ἄξια τῶν τοιούτων θεμελίων καὶ τὰ ὑπὲρ αὐτῶν 8 ἔργα· διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι, κίονες δὲ αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ὑφεστήκεσαν, μονόλιθοι λευκοτάτης μαρμάρου, κεδρίνοις δὲ φατνώμασιν ὠρόφοντο. Τούτων ἡ 9 μὲν φυσικὴ πολυτέλεια, καὶ τὸ εὔξεστον, καὶ τὸ ἁρμόνιον

τοῦ βασιλέως L. ἐκτειχ. εἶτ' ἐτέθη L.E. μία στοὰ τῷ L.P.E. 3 προσελάμβανον ὅσον M.N.P. ὕστερον deest N. παντὸς ἱερὸς περίβ. L. 4 τειχήσαντες P. ἐκ ῥίζης desunt L.M.N. et T. sed in hoc rec. ma. adjecta sunt. κύκλωθεν τὸν P. ἐξαναλώθησαν P. ἐνεπίμπλασαν L. ἀνεπίπλασαν M. 5 καὶ τὸ κατὰ τὸ M. Τοῦτο τὸ ταπεινότερον L. τοῦτο ταπεινότατον P. ἀνετειχίσατο M. τόπους καὶ πλείονος L. 6 ἄστεος T. τοῦ δωμήματος ἦσαν P. 7 δαψιλία N. καὶ τοῦ λαοῦ N.P. ἐπὶ μονῇ καὶ L.M.N.P.E. 8 τῶν τηλικούτων θεμ. L.P. ἐφεστήκεσαν M.N.P.T. κεδρίνοις τε φατ. L. ὠρόφωντο L.M.T. 9 ἡ φυσικὴ L. πολυτ. κατὰ τὸ εὔξ. L.

παρεῖχε θεωρίαν ἀξιόλογον· οὐδενὶ δὲ ἔξωθεν οὔτε ζωγρα-
10 φίας οὔτε γλυφίδος ἔργῳ προσηγλάϊστο. Καὶ πλατεῖαι
μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις· ὁ δὲ πᾶς κύκλος αὐτῶν εἰς
ἓξ σταδίους συνεμετρεῖτο περιλαμβανομένης καὶ τῆς Ἀντω-
11 νίας. Τὸ δὲ ὕπαιθρον ἅπαν πεποίκιλτο παντοδαπῶν λίθων
κατεστρωμένον. Διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱε-
ρὸν δρύφακτος περιβέβλητο λίθινος, τρίπηχυς μὲν ὕψος,
12 πάνυ δὲ χαριέντως διειργασμένος· ἐν αὐτῷ δ' εἱστήκεσαν ἐξ
ἴσου διαστήματος στῆλαι, τὸν τῆς ἁγνείας προσημαίνουσαι
νόμον, αἱ μὲν Ἑλληνικοῖς, αἱ δὲ Ῥωμαϊκοῖς γράμμασι, μὴ
δεῖν ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι· τὸ γὰρ δεύτερον
13 ἱερὸν ἅγιον ἐκαλεῖτο. Καὶ τεσσαρεσκαίδεκα μὲν βαθμοῖς ἦν
ἀναβατὸν ἀπὸ τοῦ πρώτου, τετράγωνον δὲ ἄνω καὶ τείχει
περιπεφραγμένον ἰδίῳ· τούτου τὸ μὲν ἔξωθεν ὕψος, καίπερ
τεσσαράκοντα πηχῶν ὑπάρχον, ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο,
14 τὸ δὲ ἔνδον εἴκοσι καὶ πέντε πηχῶν ἦν· πρὸς γὰρ ὑψηλοτέρῳ
δεδομημένου βαθμοῖς, οὐκέτι ἦν ἅπαν εἴσω καταφανὲς κα-
λυπτόμενον ὑπὸ τοῦ λόφου. Μετὰ δὲ τοὺς δεκατέσσαρας
βαθμοὺς τὸ μέχρι τοῦ τείχους διάστημα πηχῶν ἦν δέκα, πᾶν
15 ἰσόπεδον. Ἔνθεν ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον
ἐπὶ τὰς πύλας, αἱ ἀπὸ μὲν ἄρκτου καὶ μεσημβρίας ὀκτώ,
καθ' ἑκάτερον τέσσαρες, δύο δ' ἦσαν ἐξ ἀνατολῆς κατ'-ανάγ-
16 κην. Διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς
γυναιξὶν ἰδίου πρὸς θρησκείαν χώρου, ἔδει δευτέραν εἶναι πύ-
17 λην· τέτμητο δὲ αὕτη τῆς πρώτης ἄντικρυς. Καὶ ἐκ τῶν
ἄλλων κλιμάτων μία μεσημβρινὴ πύλη, καὶ μία βόρειος, δι'

οὐδενὶ τ' ἔξωθεν L. ἔξωθεν οὕτως ζωγ. P. 10 μὲν καὶ ἐπὶ τριάκ. L. Ἀντωνίας· καὶ τὸ L. κατεστρωμμένον P. 11 τούτου πραττόντων ἐπὶ L. τρίπηχυς ὕψος L. τριπήχης μὲν ὑ. N. 12 αὐτῷ διεστήκεσαν L. νόμον in textu, sed in marg. τύπον L. γράμμασι deest N. et T. sed in huj. marg. adj. est. γράμ. μηδένα ἀλλόφ. M.N.P. παρεῖναι L. ἅγιον καλεῖται L. 13 τεσσαρισκαίδεκα P. ὕψος καὶ ὑπὲρ τεσσ. P. ὑπάρχων P. 14 ὑψηλοτέροις ex cor. T. δεδομ. τοῖς βαθμοῖς M.N.T. δεδ. τοῦ βαθμοῦ P. 15 πάλιν ἔνδεκα κλίμακες L. πάλιν ἄλλοι ἑνδεκάβαθμοι κλ. P. et in marg. T. καθ' ἕτερον τέσσαρες L. καθ' ἕτερον δὲ τέσ. P. ἀνατολῆς δ' ἀνάγκης L. 17 ἄλλων δὲ κλιμάτων L.P.

ἧς εἰς τὴν γυναικωνῖτιν εἰσῆγον· κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξὴν παρελθεῖν γυναιξὶν, ἀλλ' οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα. Ἀνεῖτό γε μὴν ταῖς τε ἐπιχωρίοις 18 καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. Τὸ δὲ πρὸς δύσιν μέρος οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. Αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ 19 τοῦ τείχους, ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζοφυλακίων, σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν· ἦσαν δὲ ἁπλαῖ, καὶ πλὴν τοῦ μεγέθους τῶν κάτω κατ' οὐδὲν ἀπελείποντο.

3. Τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ κεκα- 20 λυμμέναι πανταχόθεν ἦσαν, ὁμοίως δὲ αἵ τε παραστάδες καὶ τὰ ὑπέρθυρα· μία δὲ ἡ ἔξωθεν τοῦ νεὼ Κορινθίου χαλκοῦ, πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περιχρύσους ὑπεράγουσα. Καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ 21 ὕψος ἑκάστης, καὶ τὸ πλάτος ἦν πεντεκαίδεκα· μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυνόμενοι παρ' ἑκάτερον τριάκοντα πήχεις ἐξέδρας εἶχον εὖρός τε καὶ μῆκος πυργοειδεῖς, ὑψηλαὶ δὲ ὑπὲρ τεσσαράκοντα πήχεις. Δύο δ' ἀνεῖχον ἑκάστην 22 κίονες, δώδεκα πηχῶν τὴν περιοχὴν ἔχοντες. Καὶ τῶν μὲν ἄλλων ἴσον ἦν τὸ μέγεθος· ἡ δὲ ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ, πολὺ μείζων· πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν 23 ἀνάτασιν, τεσσαράκοντα πήχεις τὰς θύρας εἶχε, καὶ τὸν κόσμον πολυτελέστερον, ἐπὶ δαψιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ· τοῦτον δὲ ταῖς ἐννέα πύλαις ἐπέχεεν ὁ Τιβερίου 24 πατὴρ Ἀλέξανδρος. Βαθμοὶ δὲ δεκαπέντε πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον·

παρελθεῖν οὐκ ἐξὴν tr. L. τὴν ἐφ' ἑτέραν ὑπερβ. L. 18 τοῖς τ' ἐπιχωρ. καὶ τοῖς M.N. ἐδεδώμητο P. 19 γαζοφυλακείων L.N. ἁπλαῖ καὶ ἁπλέτου μεγ. M.N. 20 ὁμοίως τε παρασ. M.N.T.E. ὁμοίως τε αἱ π. P. δὴ ἔξωθεν L. ἔξωθεν τῷ N. 21 τριάκοντα τριῶν πηχῶν L. τὸ ὕψος ἑκάστη L. ἑκάστης τὸ ὕψος M. ἐξέδρας εἶχεν L. 23 ἀνάτασιν, sed in marg. ead. ma. ἀνάστασιν T. ἀνάστασιν L.M.N.P.E. ἀργύρου καὶ M. 24 τοῦτο δὲ ταῖς T.E. Τιβερείου L.

τῶν γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι.

25 4. Αὐτὸς δ' ὁ ναὸς, κατὰ μέσον κείμενος, τὸ ἅγιον ἱερὸν, δώδεκα βαθμοῖς ἦν ἀναβατός· καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε καὶ εὖρος ἴσον, ἀνὰ πήχεις ἑκατὸν, κατόπιν δὲ τεσ-
26 σαράκοντα πήχεσι στενότερος· ἔμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ' ἑκάτερον εἰκοσιπήχεις διέβαινον. Ἡ πρώτη δὲ αὐτοῦ πύλη, πηχῶν ἑβδομήκοντα τὸ ὕψος οὖσα, καὶ εὖρος εἴκοσι καὶ
27 πέντε, θύρας οὐκ εἶχε· τοῦ γὰρ οὐρανοῦ τὸ ἀφανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε· κεχρύσωτο δὲ τὰ μέτωπα πάντα, καὶ δι' αὐτῆς ὅ τε πρῶτος οἶκος ἔσωθεν ἅπας κατεφαίνετο, μέγιστος ὤν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα
28 χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. Τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου, μόνος ὁ πρῶτος οἶκος προέκειτο, καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπὶ ἐνενήκοντα πήχεις, μηκυνόμενος
29 δὲ ἐπὶ πεντήκοντα, καὶ διαβαίνων ἐπὶ εἴκοσιν. Ἡ δὲ διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μὲν, ὡς ἔφην, πᾶσα, καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος· εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους,
30 ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. Ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου, ταπεινοτέρα τῆς ἔξωθεν ὄψεως ἡ ἔνδον ἦν, καὶ θύρας εἶχε χρυσᾶς πεντηκονταπέντε πηχῶν τὸ ὕψος,
31 εὖρος δ' ἑκκαίδεκα. Πρὸ δὲ τούτων ἰσόμηκες καταπέτασμα, πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου, καὶ βύσσου, κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κράσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα
32 τῶν ὅλων· ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δὲ ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ

βραχύτεραι L. 25 ἦν ἄβατος M.N.P.T. εὖρος ἴσος ἀνὰ M.N.T. εὖρος εἴσω ἀνὰ P. πήχεις στενότ. L. 26 ὥσπερ ὁμοίως παρ' L. εἰκοσιπέντε L. καὶ τὸ ἀδιακλ. L. καὶ διάκλειστον T. 27 μέτωπα καὶ L. 28 ναοῦ δὲ tr. L. εἴσω διαστέγου M. προσέκειτο L. 29 καὶ ὁ λίθινος ὁ περὶ L. καὶ ὅλος περὶ E. αὐτὴν τεῖχος E. ὑπὲρ ἑαυτῆς L. κατεκρέμοντο N.P.T. 30 διαστέγου M. ὄψεως ἡ ἔνδον desunt L.M.N. et pri. ma. T. πεντήκοντα πηχ. P. εὖρος δὲ δεκαέξ. L. 31 θαυμαστῶς εἰργ. P. ἐξειργασμένος M. 32 τῷ κόκκῳ ex cor. T. τῇ ὑακίνθῳ P.

τὴν θάλασσαν· τῶν μὲν ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν 33
ἀναδίδωσιν ἡ γῆ, τὴν δὲ ἡ θάλασσα. Κατεγέγραπτο δὲ ὁ πέπλος πᾶσαν τὴν οὐράνιον θεωρίαν, πλὴν τῶν ζωδίων.

5. Παριόντας δ' εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέ- 34
χετο. Τούτου τοίνυν τὸ μὲν ὕψος ἐξήκοντα πηχῶν, καὶ τὸ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. Τὸ δὲ ἐξηκον- 35
τάπηχυ πάλιν διήρητο· καὶ τὸ μὲν πρῶτον μέρος, ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις, εἶχεν ἐν αὐτῷ τρία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις ἔργα, λυχνίαν, τράπεζαν, θυμιατήριον. Ἐνέφαινον δὲ οἱ μὲν ἑπτὰ λύχνοι τοὺς 36
πλανήτας· τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διήρηντο τῆς λυχνίας. Οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα, τόν τε ζωδιακὸν κύκλον, καὶ τὸν ἐνιαυτόν. Τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαί- 37
δεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο, τῆς τ' ἀοικήτου καὶ οἰκουμένης ἐσήμαινεν, ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. Τὸ δ' ἐνδοτάτω μέρος εἴκοσι μὲν ἦν πηχῶν· διείργετο 38
δὲ ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. Ἔκειτο δὲ οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. Περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω 39
ναοῦ, δι' ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοί, καὶ παρ' ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. Τὸ δὲ ὑπερῷον μέρος, τούτους μὲν οὐκ ἔτ' εἶχε τοὺς οἴκους, παρόσον ἦν καὶ στενότερον, ὑψηλότερον δ' ἐπὶ τεσσαράκοντα πήχεις, καὶ 40
λιτότερον τοῦ κάτω· συνάγεται γὰρ οὕτω πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

6. Τὸ δ' ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτε εἰς ψυχῆς, 41
οὔτε εἰς ὀμμάτων ἔκπληξιν ἀπέλιπε· πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν, ὑπὸ τὰς πρώτας ἀνατολὰς

τῆς χροίας sec. ma. T. 33 τὴν δὲ θάλασσα L. ἅπασαν P. πλὴν ζωδίων M.N.P.T. 34 Παριόντος δὲ L.M. εἴκοσι τεσσάρων δὲ πηχῶν L. 35 ἑξηκοντάπηχυν L. τὸ πρῶτον L. 36 τοσοῦτο γὰρ M. γὰρ ἐπ' αὐτῆς L. τὸν ζωδιακὸν P. ζωδιακὸν, καὶ M. 37 ἀνεπίμπλατο, καὶ τῆς L.N.P.T. τῆς ἀοικήτου M.N.T. 38 πηχῶν ἦν tr. P. 39 στενώτερον ex cor. T. 40 ὑψηλὸν δ' ἐπὶ L. 41 εἰς ψυχὴν P. ἀπέλειπε L.M.N.T.

πυρωδεστάτην ἀπέπαλλεν αὐγήν, καὶ τῶν βιαζομένων ἰδεῖν
42 τὰς ὄψεις ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεψε. Τοῖς γε μὴν
εἰσαφικνουμένοις ξένοις πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει
κατεφαίνετο· καὶ γὰρ καθὰ μὴ κεχρύσωτο λευκότατος ἦν.
Κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχε τεθηγμένους, ὡς
43 μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. Τῶν δὲ ἐν
αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν,
ὕψος πέντε, εὖρος δὲ ἓξ. Πρὸ αὐτοῦ δὲ ὁ βωμὸς πεντεκαί-
δεκα μὲν ὕψος ἦν πηχῶν, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον,
44 ἀνὰ πεντήκοντα πήχεις. Τετράγωνος ἵδρυτο, κερατοειδεῖς
προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας ἐπ' αὐτὸν ἄνοδος
ἠρέμα προσάντης ὑπτίαστο. Κατεσκευάσθη δ' ἄνευ σιδή-
45 ρου, καὶ οὐδέποτε ἔψαυεν αὐτοῦ σίδηρος. Περιέστεφε δὲ
τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ χάριεν γείσιον,
ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον ἀπὸ τῶν
46 ἱερέων. Γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη διείρ-
γετο, γυναικῶν δὲ ἐμμήνοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύ-
ταις οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπομεν ὅρον. Ἀνδρῶν δὲ οἱ
μὴ κατὰ πᾶν ἠγνευκότες εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν
ἱερέων πάλιν οἱ μὴ καθαρεύοντες εἴργοντο.
47 7. Τῶν δὲ ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλει-
τούργουν, παρῆσαν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ
γείσιου, καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε
μὴν ἐσθήσεσιν ἰδιωτικαῖς ἐχρῶντο· τὴν γὰρ ἱερὰν ὁ λειτουρ-
48 γῶν ἠμφιέννυτο μόνος. Ἐπὶ δὲ τὸ θυσιαστήριον, καὶ τὸν
ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων ἄμωμοι, βύσσον μὲν ἀμπεχό-

ἀπέλαμπεν αὐγὴν L. 42 μολύνοιντο M. 43 μῆκός τε πέντε L. 44 Τετράγωνος δ' ἵδρ. E. κερατοειδὴς N. ἔψαυσεν M. 45 Περιέστεφε τὸν P. εὔλιθόν τι χάριεν L. εὔλ. τε καὶ χάρ. M. ὅσον καὶ πηχυαῖον L. ὁ διηγεῖρεν sic N. διεῖργεν 46 Γονορρίοις L. γονορύοις P. λεπροῖς ἦν πόλις P. ὅλη εἶχεν τὸ διεῖργον, γυν. L. ὅλη τὸ διεῖργον, γυν. N.T. ὅλη τὸ διεῖρ. τὸ δ' ἱερὸν γυν. P. ἐξῆν δι' ὃν L. προείπαμεν N.P. μὴ καθάπαν P. ἱερέων δὲ πάλιν L. 47 ὅσοι διαπηρώσεις οὐκ L. γειτείου L. ἐσθήτεσιν P. ἐσθέσιν L.

μενοι, μάλιστα δ' ἀπὸ ἀκράτου νήφοντες, δέει τῆς θρησκείας, ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ. Ὁ δὲ ἀρχιερεὺς 49
ἀνῄει μὲν σὺν αὐτοῖς, ἀλλ' οὐκ ἀεί, ταῖς δ' ἑβδομάσι καὶ νου-
μηνίαις, καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις πάνδημος ἀγο-
μένη δι' ἔτους. Ἐλειτούργει δὲ, τοὺς μηροὺς μὲν ἄχρις αἰ- 50
δοίου διαζώσματι καλύπτων, λινοῦν τε ὑποδύτην ἔνδοθεν λαμ-
βάνων, καὶ ποδῆρες καθύπερθεν ὑακίνθινον ἔνδυμα στρογγύ-
λον θυσανωτὸν ἔργον. Τῶν δὲ θυσάνων ἀπήρτηντο κώδωνες 51
χρύσεοι, καὶ ῥοαὶ παράλληλοι, βροντῆς μὲν οἱ κώδωνες,
ἀστραπῆς δὲ αἱ ῥοαὶ σημεῖον. Ἡ δὲ τὸ ἔνδυμα τῷ στέρνῳ 52
προσηλοῦσα ταινία, πέντε διηνθισμένη ζώναις πεποίκιλτο,
χρυσοῦ τε καὶ πορφύρας καὶ κόκκου, πρὸς δὲ βύσσου καὶ
ὑακίνθου, δι' ὧν, ἔφαμεν, καὶ τὰ τοῦ ναοῦ καταπετάσματα
συνυφάνθαι. Τούτοις δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ 53
πλείων χρυσὸς ἦν· σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν.
Δύο δὲ αὐτὴν ἐνεπόρπουν ἀσπιδίσκαι χρυσαῖ, κατεκέκλειντο δ'
ἐν ταύταις κάλλιστοί τε καὶ μέγιστοι σαρδώνυχες, τοὺς ἐπω-
νύμους τῶν τοῦ ἔθνους φυλῶν ἐπιγεγραμμέναι. Κατὰ δὲ 54
θάτερον ἄλλοι προσήρτηντο λίθοι δώδεκα, κατὰ τρεῖς εἰς
τέσσαρα μέρη διηρημένοι, σάρδιον, τόπαζος, σμάραγδος, ἄν-
θραξ, ἴασπις, σάπφειρος, ἀχάτης, ἀμέθυστος, λιγύριον, ὄνυξ,
βήρυλλος, χρυσόλιθος· ὧν ἐφ' ἑκάστου πάλιν εἷς τῶν ἐπωνύ-
μων ἐγέγραπτο. Τὴν δὲ κεφαλὴν βυσσίνη μὲν ἔσκεπε τιάρα, 55
κατέστεπτο δ' ὑακίνθῳ· περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος,

48 νήφοντες ἀεὶ δέει P. et in marg. T. μή τι παραβαίναι L. ἐν deest P. 49 ἀνείη μὲν L.P. ἀνίει N. κἂν ἤ τις L.P. πανήγυρις ἢ πάνδημος L.P. 50 μηροὺς μέχρις αἰδ. P. διαζώσμασι M. λινοῦ τε P.E. καὶ ποδήρη· καὶ καθύπ. P. ἔργον deest L.P. 51 ἀπήρτηνται L. ῥοαὶ M. et sic infra. παράλληλαι P. παράλ. καὶ βροντῆς M. 52 Ἦν δὲ τὸ ἔνδ. L.P. προσειλοῦσα pri. ma. T. τενία πέντε N.P. ὑακινθίνου L. 53 ἐπωμίδα κρεμαμένην L.M. ἐπωμ. κεκραμένην T. πλείω χρύσος N.P. σχῆμα μὲν ἐπενδύτου L. ἐνεπόρπων P. κατεκέκλιντο N. σαρδόνυχες P. 54 Κατὰ δὲ τὸν ἕτερον L. τοπάζιον L. ἰάσπις ὄνυξ σάπφ. M. σάπφιρος N. ἀμέθυσος L.T. λιγύριον, βήρυλλος M.

ἔκτυπα φέρων τὰ ἱερὰ γράμματα· ταῦτα δέ ἐστι φωνήεντα
56 τέσσαρα. Ταύτην μὲν οὖν τὴν ἐσθῆτα οὐκ ἐφόρει τὸν ἄλ-
λον χρόνον, λιτοτέραν δ' ἀνελάμβανεν, ὁπότε δὲ εἰσίοι εἰς τὸ
ἄδυτον· εἰσήει δ' ἅπαξ κατ' ἐνιαυτὸν μόνος, ἐν ᾗ νηστεύειν
57 ἔθος ἡμέρᾳ πάντας τῷ θεῷ. Καὶ τὰ μὲν περὶ τῆς πόλεως
καὶ τοῦ ναοῦ, τῶν τ' ἐπὶ τούτοις ἐθῶν καὶ νόμων, αὖθις ἀκρι-
βέστερον ἐροῦμεν· οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται
λόγος.

58 8. Ἡ δὲ Ἀντωνία κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο τοῦ
πρώτου ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν, καὶ τῆς πρὸς ἄρκτον.
Δεδόμητο δ' ὑπὲρ πέτρας πεντηκονταπήχους μὲν ὕψος, περι-
κρήμνου δὲ πάσης· ἔργον δὲ ἦν Ἡρώδου βασιλέως, ἐν ᾧ μά-
59 λιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. Πρῶτον μὲν γὰρ
ἐκ ῥίζης ἡ πέτρα πλαξὶ κεκάλυπτο λείαις λίθων, εἴς τε κάλ-
λος, καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ προσβαίνειν καὶ κατιέναι πει-
60 ρώμενος. Ἔπειτα πρὸ τῆς τοῦ πύργου δομήσεως τριῶν πη-
χῶν τεῖχος ἦν, ἐνδοτέρω δὲ τούτου τὸ πᾶν διάστημα τῆς Ἀν-
61 τωνίας ἐπὶ τεσσαράκοντα πήχεις ἠγείρετο. Τὸ δὲ ἔνδον
βασιλείων εἶχε χώραν καὶ διάθεσιν· μεμέριστο γὰρ εἰς πᾶ-
σαν οἴκων ἰδέαν τε καὶ χρῆσιν, περίστοά τε καὶ βαλανεῖα καὶ
στρατοπέδων αὐλὰς πλατείας, ὡς τῷ μὲν πάντα ἔχειν τὰ
χρειώδη πόλις εἶναι δοκεῖν, τῇ πολυτελείᾳ δὲ βασίλειον.
62 Πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα, κατὰ γωνίαν τέσσαρσιν
ἑτέροις διείληπτο πύργοις· ὧν οἱ μὲν ἄλλοι πεντήκοντα τὸ
ὕψος, ὁ δὲ ἐπὶ τῇ μεσημβρινῇ καὶ κατ' ἀνατολὴν γωνίᾳ κεί-
μενος ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ' αὐτοῦ τὸ

55 ἐκτύπωμα φέρων M.P.E. 56 οὐκ ἐφόρει τὴν ἐσθῆτα tr. L. ἐφόρει χρόνιον, λιτ. P. εἰσήοι εἰς P. εἰσίει δὲ μόνος κατ' ἐν. ἅπαξ L. ἡμέρᾳ ἔθος tr. L. 57 τῶν τε περὶ τοῦτον ἐθ. L. τῶν ἐπὶ τούτοις ἐθ. P. αὐτῶν περιλείπεται L. 58 Δεδώμητο P. ὕψους sed pri. ma. ὕψος P. Ἡρ. τοῦ βασιλέως P. et sec. ma. T. 59 Πρῶτον μὲν ἐκ E. πλαξὶν ἐκέκαλ. M. κεκάλυπτο πλαξὶ tr. N.T. ὁ προσβῆναι L. ᾗ κατιέναι P. μεμέριστο δὲ εἰς N.P.Γ. εἰδέαν τε P. περίστωά T. αὐλαῖς πλατείαις ἵνα L.N.P.T. πλατείας, εἰ μὲν sic M. πλ. ὡς τὸ μὲν P. πόλεις εἶναι N. T.E. δοκεῖ M. δοκοίη L. 62 πύργοις· ὡς οἱ L.

ἱερόν. Καθὰ δὲ συνῆπτο ταῖς τοῦ ἱεροῦ στοαῖς, εἰς ἀμφο- 63
τέρας εἶχε καταβάσεις· δι' ὧν κατιόντες οἱ φρουροὶ, — καθῆ-
στο γὰρ ἀεὶ ἐπ' αὐτῆς τάγμα Ῥωμαίων — καὶ διϊστάμενοι
περὶ τὰς στοὰς μετὰ τῶν ὅπλων, ἐν ταῖς ἑορταῖς τὸν δῆμον,
ὡς μή τι νεωτερισθείη, παρεφύλαττον· φρούριον γὰρ ἐπέ- 64
κειτο τῇ πόλει μὲν τὸ ἱερὸν, τῷ ἱερῷ δὲ ἡ Ἀντωνία. Κατὰ
δὲ ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν, καὶ τῆς ἄνω πόλεως
ἴδιον φρούριον ἦν τὰ Ἡρώδου βασίλεια. Ἡ Βεζεθὰ δὲ λό-
φος διῃρητο μὲν, ὡς ἔφην, ἀπὸ τῆς Ἀντωνίας, πάντων δὲ 65
ὑψηλότατος ὢν μέρει τῆς καινῆς πόλεως προσφκιστο, καὶ
μόνος τῷ ἱερῷ κατ' ἄρκτον ἐπεσκότει. Περὶ μὲν δὴ τῆς πό-
λεως, καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἕκαστα προ-
τεθειμένος, ἐπὶ τοῦ παρόντος ἀποχρώντως εἴρηκα.

CAP. VI.

1. Τὸ μάχιμον δ' ἐν αὐτῇ καὶ στασιάζον πλῆθος περὶ Σί- 1
μωνα μὲν μύριοι ἦσαν, δίχα τῶν Ἰδουμαίων, πεντήκοντα δ'
ἡγεμόνες τῶν μυρίων, ἐφ' οἷς οὗτος κύριος τῶν ὅλων. Ἰδου- 2
μαῖοι δὲ αὐτῷ συντελοῦντες εἰς πεντακισχιλίους, ἄρχοντας
εἶχον δέκα· τούτων προέχειν ἐδόκουν ὅ τε τοῦ Σωσᾶ Ἰάκω-
βος, καὶ Σίμων υἱὸς Καθλᾶ. Ἰωάννης δὲ τὸ ἱερὸν κατει- 3
ληφὼς ἑξακισχιλίους ὁπλίτας εἶχεν ὑφ' ἡγεμόνας εἴκοσι.
Προσεγένοντο δὲ αὐτῷ τότε καὶ οἱ ζηλωταὶ, παυσάμενοι τοῦ
διαφέρεσθαι, δισχίλιοι μὲν ὄντες καὶ τετρακόσιοι, χρώμενοι δ'
ἄρχοντι τῷ καὶ πρότερον Ἐλεαζάρῳ, καὶ Σίμωνι τῷ Ἀρι-
νοῦ. Πολεμούντων δὲ τούτων, ὡς ἔφαμεν, ἆθλον ὁ δῆμος ἦν 4
ἑκατέρων, καὶ τὸ μὴ συναδικοῦν τοῦ λαοῦ μέρος ὑπ' ἀμφοῖν

63 Καθάπερ δὲ L.M. συνῆπτε ταῖς P. ὧν κατήεσαν οἱ φρ. L.P. et ex cor. T. ἀεὶ deest P. 64 ἄνω δὲ πόλεως L.P. Βησσαθὴ L. Βεζαθὰ P. ὡς ἔφην διῃρητο μὲν tr. L. ἀπὸ τῆς Ἀντ. ὡς ἔφην tr. M. 65 μόνος τὸ ἱέρον P. et ex cor. T. ἐπεσκόπει L.N. ἐσκόπει M. μὲν τῆς L. προτιθέμενος L. παρόντος ἀπόχρη. P. 1 ἦσαν μύριοι tr. L. 2 αὐτῷ συνελθόντες εἰς P. δέκα· οἱ τούτων M. Σίμων ὁ παῖς Κατθία L. 3 τῷ τοῦ Ἀρινοῦ L. τοῦ καὶ Ἀρειανοῦ M. τοῦ Ἀρειανοῦ N. et T. sed in huj. marg. Ἀρινοῦ. τὸ τοῦ Ἀριανοῦ P. τοῦ Ἀρινοῦ E. 4 Πολεμούντων δὲ τούτων desunt M. ἑκατέρω L.

διηρπάζετο. Κατείχε δὲ ὁ μὲν Σίμων τήν τε ἄνω πόλιν καὶ τὸ μέγα τεῖχος ἄχρι τοῦ Κεδρῶνος, τοῦ τε ἀρχαίου τείχους ὅσον ἀπὸ τῆς Σιλωᾶς ἀνακάμπτον εἰς ἀνατολὴν, ὃ μέχρι τῆς Μονοβάζου κατέβαινεν αὐλῆς, — βασιλεὺς δὲ οὗτος ἦν τῶν ὑπὲρ Εὐφράτην Ἀδιαβηνῶν· — κατεῖχε δὲ καὶ τὴν πηγὴν, καὶ τὴν Ἄκραν, — αὕτη δὲ ἦν ἡ κάτω πόλις, — καὶ τὰ μέχρι τῶν Ἑλένης βασιλείων, τῆς τοῦ Μονοβάζου μητρός. Ὁ δὲ Ἰωάννης τό τε ἱερὸν καὶ τὰ πέριξ ἐπ' οὐκ ὀλίγον, τόν τε Ὀφλᾶν καὶ τὴν Κεδρῶνα καλουμένην φάραγγα. Τὸ μεταξὺ δὲ τούτων ἐμπρήσαντες, τῷ πρὸς ἀλλήλους πολέμῳ χώραν ἀνεῖσαν· οὐδὲ γὰρ πρὸς τοῖς τείχεσιν ἐστρατοπεδευμένων Ῥωμαίων ἔνδον ἡ στάσις ἠρέμει. Βραχὺ δὲ πρὸς τὴν πρώτην ὑπονήψαντες ἐκδρομὴν ἀνενόσουν, καὶ κατὰ σφᾶς πάλιν διαστάντες ἐμάχοντο, κατά τε εὐχὴν πάντα τοῖς πολιορκοῦσιν ἔπραττον. Οὔτε γοῦν αὐτοί τι χεῖρον ὑπὸ Ῥωμαίων ἔπαθον, ὧν ἀλλήλους ἔδρασαν, οὔτε μετὰ τούτους ἡ πόλις ἐπειράθη καινοτέρου πάθους. Ἀλλ' ἡ μὲν χαλεπώτερόν τι πρὸ τοῦ πεσεῖν ἠτύχησεν, οἱ δὲ ἑλόντες αὐτὴν κατώρθωσάν τι μεῖζον. Φημὶ γὰρ, ὡς τὴν μὲν πόλιν ἡ στάσις, Ῥωμαῖοι δὲ εἷλον τὴν στάσιν, ἥπερ ἦν πολὺ τῶν τειχῶν ὀχυρωτέρα· καὶ τὸ μὲν σκυθρωπὸν τοῖς οἰκείοις, τὸ δίκαιον δ' ἄν τις εὐλόγως Ῥωμαίοις προσγράφοι. Νοείτω δ' ὅπη τοῖς πράγμασιν ἕκαστος ἄγεται.

2. Τῶν γε μὴν ἔνδον οὕτω διακειμένων, ὁ Τίτος μετ' ἐπιλέκτων ἱππέων περιϊὼν ἔξωθεν, ᾗ προσβάλλοι τοῖς τείχεσι κατεσκέπτετο. Ἀπορουμένῳ δὲ πάντοθεν — οὔτε γὰρ κατὰ

Σιλωὰμ ex cor. T. ἀνακάμπτων P. ὃ deest ex ras. T. βασιλεὺς οὗτός ἐστιν τῶν L. πηγὴν τῆς ἄκρας L. π. καὶ τῆς ἄκρας N. π. καὶ τὰς ἄκρας P. πόλις — τὰ P. τῶν τῆς Ἑλένης E. Ἑλένης μνημείων βασιλείων L. τῆς Μονοβάζου M. τὸ ἱερὸν L. τόν τε ὁπλᾶν P. φάραγγα τὴν μεταξὺ L. πολέμῳ τὴν χώραν ἀνῆσαν L. στρατοπεδευμένων P. πρώτην ὑπόνοιαν ἐκνίψαντες ἐκδρ. L. ἐμάχοντο, τὰ κατ' εὐχήν τε πάντα L.P. ἔπαθον, ὡς ἀλλήλ. L. κενοτέρου πάθους L. κατόρθωσαν P. τειχῶν ἰσχυροτέρα L. Ῥωμαίοις εὐλόγως tr. L. ἱππέων deest L. περὶ ὧν M. πῶς προσβάλλοι L. ᾗ προσβάλλει T.

τὰς φάραγγας ἦν που προσιτὸν, καὶ κατὰ θάτερα τὸ πρῶτον τεῖχος ἐφαίνετο τῶν ὀργάνων στερεώτερον — ἐδόκει κατὰ 12
τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβαλεῖν· ταύτῃ γὰρ τό τε πρῶτον ἦν ἔρυμα χθαμαλώτερον, καὶ τὸ δεύτερον οὐ συνῆπτεν, ἀμεληθέντων καθ' ἃ μὴ λίαν ἡ καινὴ πόλις συνῴκιστο τειχίζειν· ἀλλ' ἐπὶ τὸ τρίτον ἦν εὐπέτεια, δι' οὗ τὴν 13
ἄνω πόλιν, καὶ διὰ τῆς Ἀντωνίας τὸ ἱερὸν αἱρήσειν ἐπενόει. Ἐν δὲ τούτῳ περιιόντος αὐτοῦ τοξεύεταί τις τῶν φίλων, 14
ὀνόματι Νικάνωρ, κατὰ τὸν λαιὸν ὦμον, ἔγγιον μετὰ τοῦ Ἰωσήπου προσελθών, καὶ πειρώμενος εἰρηνικὰ τοῖς ἐπὶ τοῦ τείχους, οὐ γὰρ ἄγνωστος ἦν, διαλέγεσθαι. Διὰ τοῦτο τὰς 15
ὁρμὰς αὐτῶν ἐπιγνοὺς Καῖσαρ, εἰ μηδὲ τῶν ἐπὶ σωτηρίᾳ προσιόντων ἀπέχοιντο, παροξύνεται πρὸς τὴν πολιορκίαν, ἅμα τε τοῖς τάγμασιν δηοῦν τὰ πρὸ τῆς πόλεως ἠφίει, καὶ συμφέροντας ἐκέλευσε τὴν ὕλην ἐγείρειν χώματα. Τριχῇ δὲ 16
διατάξας τὴν στρατιὰν πρὸς τὰ ἔργα, μέσους ἵστησι τῶν χωμάτων τούς τε ἀκοντιστὰς καὶ τοξότας, καὶ πρὸ τούτων τοὺς ὀξυβελεῖς καὶ καταπέλτας καὶ τὰς λιθοβόλους μηχανὰς, ὡς τάς τε ἐκδρομὰς εἴργοι τῶν πολεμίων ἐπὶ τὰ ἔργα καὶ τοὺς ἀπὸ τοῦ τείχους κωλύειν πειρωμένους. Κοπτομένων δὲ 17
τῶν δένδρων, τὰ προάστεια μὲν ἐν τάχει γεγύμνωτο· συμφερομένων δὲ ἐπὶ τὰ χώματα τῶν ξύλων, καὶ τῆς στρατιᾶς ἁπάσης ἐπὶ τὸ ἔργον ὡρμημένης, οὐδὲ τὰ παρὰ τῶν Ἰουδαίων ἠρέμει. Τὸν μὲν οὖν δῆμον, ἐν ἁρπαγαῖς ὄντα καὶ φόνοις, 18
συνέβαινε τότε θαρρεῖν· ἀναπνεύσειν τε γὰρ περισπωμένων πρὸς τοὺς ἔξωθεν ὑπελάμβανον, καὶ λήψεσθαι παρὰ τῶν αἰτίων αὐτοὶ δίκας, εἰ Ῥωμαῖοι περιγένοιντο.

3. Ἰωάννης δὲ, καίτοι χωρεῖν ἐπὶ τοὺς ἔξω πολεμίους τῶν 19
περὶ αὐτὸν ὡρμημένων, δέει τοῦ Σίμωνος ἔμενεν. Οὐ μὴν ὁ

ἦν προσιτὸν L.P. θάτερον L.M. 12 προσβάλλειν L. 13 τρίτον ἡνεπάτει, sic P. 14 ὄνομα Νικάνωρ L.P. κατὰ τὸν δεξιὸν ὦμον M. 15 Διὰ τούτου N.P. πρὸς πολιορκίαν L. ἅμα τε σὺν τοῖς τάγ. L.M.N. ἅμα τε συντάγμασιν P.E. ἐφῆει καὶ συμφοροῦντας L. ἠφ. καὶ συμφύροντας P. 17 συμφορουμένων L. στρατιᾶς πάσης L. 19 ἔξωθεν πολεμίους P.

Σίμων ἠρέμει, καὶ γὰρ ἦν ἔγγιον τῇ πολιορκίᾳ· τὰ δὲ ἀφετήρια διΐστησιν ἐπὶ τοῦ τείχους, ὅσα Κέστιόν τε ἀφῄρηντο πρότερον, καὶ τὴν ἐπὶ τῆς Ἀντωνίας φρουρὰν ἑλόντες ἔλα-
20 βον. Ἀλλὰ τούτων μὲν τοῖς πολλοῖς ἀχρεῖος ἡ κτῆσις ἦν δι' ἀπειρίαν, ὀλίγοι δὲ, ὑπὸ τῶν αὐτομόλων διδαχθέντες, ἐχρῶντο κακῶς τοῖς ὀργάνοις· χερμάσι δὲ καὶ τόξοις τοὺς χωννύντας ἔβαλλον ἀπὸ τοῦ τείχους, καὶ κατὰ συντάξεις ἐκ-
21 τρέχοντες αὐτοῖς συνεπλέκοντο. Τοῖς δ' ἐργαζομένοις ἦν ἀπὸ μὲν τῶν βελῶν ἡ σκέπη γέρρα χαρακωμάτων ὑπερτεταμένα, τὰ δ' ἀφετήρια πρὸς τοὺς ἐκθέοντας. Θαυμαστὰ δὲ
22 πᾶσι μὲν κατεσκεύαστο τοῖς τάγμασι· διαφόρως δὲ τῷ δεκάτῳ βιαιότεροί τε ὀξυβελεῖς, καὶ μείζονα λιθοβόλα, δι' ὧν οὐ μόνον τὰς ἐκδρομὰς, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῦ τείχους ἀνέ-
23 τρεπον. Ταλαντιαῖοι μὲν γὰρ ἦσαν οἱ βαλλόμενοι πέτροι, δύο δὲ καὶ πλεῖον ἀπῄεσαν σταδίους· ἡ πληγὴ δὲ οὐ τοῖς προεντυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους ἦν
24 ἀνυπόστατος. Οἵ γε μὴν Ἰουδαῖοι τὸ πρῶτον ἐφυλάττοντο τὴν πέτραν, λευκὴ γὰρ ἦν, ὥστε μὴ τῷ ῥοίζῳ σημαίνεσθαι
25 μόνῳ, ἀλλὰ καὶ τῇ λαμπρότητι προορᾶσθαι. Σκοποὶ οὖν αὐτοῖς ἐπὶ τῶν πύργων καθεζόμενοι προεμήνυον, ὁπότε σχασθείη τὸ ὄργανον, καὶ ἡ πέτρα φέροιτο, τῇ πατρίῳ γλώσσῃ βοῶντες, 'ὁ υἱὸς ἔρχεται.' Διΐσταντο δὲ καθ' οὓς ἤει, καὶ
26 προκατεκλίνοντο, Συνέβαινε δὲ φυλαττομένων ἄπρακτον διεκπίπτειν τὴν πέτραν. Ἀντεπινοοῦσι δὲ Ῥωμαῖοι μελαίνειν αὐτήν· τότε γὰρ οὐκ ἔθ' ὁμοίως προορωμένης εὐστόχουν,

ἦν ἐγγίζων L. ἦν ἐγγίων N.T. ἦν ἐτιὼν P. ἀφήρηντο τὸ πρότερον L. ὅλιγον δὲ M.N. ὀλίγων δὲ P. 20 ὑπὸ τῶν πολεμίων αὐτομ. M.N.T. τόξοις καὶ τοῖς ὀργάνοις τοὺς χων. L. 21 ἦν deest L.N.P.T. γέρρα τῶν χωμάτων L. et ex cor. T. γ. τῶν χαρακωμ. P. 22 διαφορωτέρῳ δὲ L. τῷ δωδεκάτῳ M. βιαιότεροι δὲ L. μείζω λιθ. L. οὐ μόνας τὰς L. ἐπὶ τείχους E. 23 Ταλαντ. μέν γε ἦσαν M.N. ταλ. γε μὴν ἦσαν L. ταλ. μὲν ἦσαν E. αἱ βαλλόμεναι πέτραι L.P. πλεῖον ἦεσαν P. προσεντυχοῦσι N.P.T. 24 ἦν ὡς μήτε τῷ M.N.E. 25 ὅπη σχασθ. L. ὁπόταν σχ. P.E. οὗτος ἔρχεται L. ὁ ἰὸς ἔρχ. E. προκατεκλίνοντο N. 26 Καὶ συνέβαινε φυλ. P. ὁμοίως ὡς προορω. L.

καὶ πολλοὺς ἅμα μιᾷ βολῇ διέφθειραν. Ἀλλ' οὐδὲ κακού- 27
μενοι μετ' ἀδείας παρεῖχον Ῥωμαίοις ἐγείρειν τὰ χώματα, πάσῃ δ' ἐπινοίᾳ καὶ τόλμῃ χρώμενοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εἶργον.

4. Τῶν δ' ἔργων συντετελεσμένων, μολιβδίδι μὲν καὶ 28
λίνῳ διαμετροῦσιν οἱ τέκτονες τὸ διάστημα πρὸς τὸ τεῖχος, ἀπὸ τῶν χωμάτων ῥίψαντες· οὐ γὰρ ἐνῆν ἄλλως ἄνωθεν βαλλομένοις. Εὑρόντες δ' ἐξικνεῖσθαι δυναμένας τὰς ἑλεπόλεις προσῆγον· καὶ Τίτος ἐγγυτέρω τὰ ἀφετήρια διαστή- 29
σας, ὡς μὴ τοὺς κριοὺς εἶργοιεν ἀπὸ τοῦ τείχους, ἐκέλευσε τύπτειν. Τριχόθεν δ' ἐξαισίου κτύπου περιηχήσαντος αἰφνιδίως τὴν πόλιν, κραυγή τε παρὰ τῶν ἔνδον ἤρθη, καὶ τοῖς στασιασταῖς ἴσον ἐμπίπτει δέος. Κοινὸν δ' ἑκάτεροι τὸν 30
κίνδυνον ἰδόντες, κοινὴν ἐπενόουν ἤδη ποιεῖσθαι καὶ τὴν ἄμυναν. Διαβοώντων δὲ πρὸς ἀλλήλους τῶν διαφόρων, 'ὡς πάντα πράττοιεν ὑπὲρ τῶν πολεμίων, δέον, εἰ καὶ μὴ διηνεκῆ δίδωσιν αὐτοῖς ὁμόνοιαν ὁ θεὸς, ἐν γοῦν τῷ παρόντι τὴν πρὸς 31
ἀλλήλους φιλονεικίαν ὑπερθεμένους κατὰ Ῥωμαίων συνελθεῖν,' κηρύσσει μὲν ἄδειαν ὁ Σίμων τοῖς ἀπὸ τοῦ ἱεροῦ παρελθεῖν ἐπὶ τὸ τεῖχος, ἐπιτρέπει δὲ καίπερ ἀπιστῶν ὁ Ἰωάννης. Οἱ 32
δὲ τοῦ μίσους καὶ τῶν ἰδίων διαφορῶν λαβόντες ἀμνηστίαν, ἓν σῶμα γίνονται· καὶ τὸ μὲν τεῖχος περισχόντες ἀπ' αὐτοῦ πυρά τε παμπληθῆ κατὰ τῶν μηχανημάτων ἐνίεσαν, καὶ τοὺς ἐπιβρίθοντας τὰς ἑλεπόλεις ἀδιαλείπτως ἔβαλλον. Οἱ τολ- 33
μηρότεροι δὲ κατὰ στίφη προπηδῶντες τὰ γέρρα τῶν μηχανημάτων ἐσπάραττον, καὶ τοῖς ἐπ' αὐτῶν προσπίπτοντες, ἐπιστήμῃ μὲν ὀλίγα, τόλμῃ δὲ τὰ πλείω περιεγένοντο.

βολῇ μιᾷ tr. P. διέφθειρον L.M.N.P. 27 Ἄλλως δὲ κακούμενοι L. 28 μολιβίδι L.N.P.T. μολίβδι M. διεμέτρουν οἱ L. διάστημα τὸ πρὸς L. et ex cor. T. 29 κραυγὴ παρὰ L. τῶν ἔνδοθεν M. 30 κίνδυνον εἰδότες, κ. P. πράττοιεν ὑπὸ τῶν L. διηνεκεῖ P. ὁμόνοιαν αὐτοῖς tr. L. 31 ὑπερθεμένους, κατὰ κοινὸν δ' ἑκάτεροι τὸν κίνδυνον ἰδόντες Ῥωμαίων συνελθεῖν L. παρελθεῖν βουλομένοις ἐπὶ τὸ M. 32 τῶν οἰκείων διαφορῶν L. πυράν τε L.T. παμπληθεῖ P. ἴσαν P. τοὺς ἐπάγοντας τὰς ἑλ. L. 33 τολμηρότατοι E. κατὰ στίφος L. τὰ γέρα P. μὲν ἐπ' ὀλίγα E. περιεγίνοντο L.N.P.

34 Προσεβοήθει δὲ τοῖς πονοῦσιν αὐτὸς ἀεὶ Τίτος, καὶ παρ' ἑκάτερον τῶν ὀργάνων τούς τε ἱππέας καὶ τοὺς τοξότας διαστήσας, εἶργε μὲν τοὺς τὸ πῦρ ἐπιφέροντας, ἀνέστελλε δὲ τοὺς ἀπὸ τῶν πύργων βάλλοντας, ἐνεργοὺς δὲ ἐποίει τὰς
35 ἐλεπόλεις. Οὐ μὴν ταῖς πληγαῖς ὑπήκουε τὸ τεῖχος, εἰ μὴ καθόσον ὁ τοῦ πεντεκαιδεκάτου τάγματος κριὸς γωνίαν διεκίνησε πύργου. Τὸ δὲ τεῖχος ἀκέραιον ἦν· οὐδὲ γὰρ εὐθέως συνεκινδύνευε τῷ πύργῳ προέχοντι πολὺ, καὶ μὴ δυναμένῳ συναπορρῆξαί τι ῥᾳδίως τοῦ περιβόλου.

36 5. Παυσάμενοι δὲ τῶν ἐκδρομῶν πρὸς ὀλίγον, καὶ τοὺς Ῥωμαίους ἐπιτηρήσαντες ἐσκεδασμένους ἐπὶ τὰ ἔργα καὶ κατὰ τὰ στρατόπεδα, καμάτῳ γὰρ ἀναχωρῆσαι καὶ δέει τοὺς
37 Ἰουδαίους ἠξίουν, ἐκθέουσι κατὰ τὸν Ἱππικὸν πύργον διὰ πύλης ἀφανοῦς πάντες, πῦρ τε τοῖς ἔργοις ἐπιφέροντες, καὶ μέχρι τῶν ἐρυμάτων ἐπὶ τοὺς Ῥωμαίους προελθεῖν ὡρμημέ-
38 νοι. Πρὸς δὲ τὴν κραυγὴν αὐτῶν οἵ τε πλησίον συνίσταντο ταχέως, καὶ οἱ πόρρωθεν συνέθεον. Ἔφθανε δὲ ἡ Ἰουδαίων τόλμα τὴν Ῥωμαίων εὐταξίαν, καὶ τοὺς προεντυχόντας τρε-
39 ψάμενοι προσέκειντο καὶ τοῖς συλλεγομένοις. Δεινὴ δὲ περὶ τὰς μηχανὰς συμπίπτει μάχη, τῶν μὲν ὑποπιμπράναι, τῶν δὲ κωλύειν βιαζομένων. Κραυγή τε παρ' ἀμφοτέρων ἀσήμαντος ἦν, καὶ πολλοὶ τῶν προαγωνιζομένων ἔπιπτον.
40 Ἰουδαῖοι δὲ ὑπερεῖχον ἀπονοίᾳ, καὶ τῶν ἔργων ἥπτετο τὸ πῦρ, καταφλεγῆναί τ' ἂν ἐκινδύνευσε πάντα μετὰ τῶν ὀργάνων, εἰ μὴ τῶν ἀπ' Ἀλεξανδρείας ἐπιλέκτων ἀντέστησαν οἱ
41 πολλοί, παρὰ τὴν σφετέραν ὑπόληψιν ἀνδρισάμενοι, — καὶ γὰρ τῶν ἐνδοξοτέρων διήνεγκαν κατὰ ταύτην τὴν μάχην, — μέχρι Καῖσαρ τοὺς τῶν ἱππέων δυνατωτάτους ἀναλαβὼν, ἐμ-
42 βάλλει τοῖς πολεμίοις. Καὶ δώδεκα μὲν αὐτὸς τῶν προμά-

34 ἱππεῖς καὶ τοξότας L. ἀνέστελε δὲ καὶ τοὺς M. 35 καθόσον τοῦ N. 36 ἐσκεδασ. περὶ τὰ L. ἔργα κατὰ τὰ L. ἔργα καὶ τὰ M. 37 προσελθεῖν M.N.T.E. 38 δὲ Ἰουδαίων L. τοὺς προεντυγχάνοντας P. et ex cor. T. τοῖς προεντυγχάνουσι M.N.E. προσέκειντο τοῖς L. 40 ἐκινδύνευσαν πάντα L. ἐκινδύνευε πάντα M. τῶν ἐπ' Ἀλεξ. T. ἀνέστησαν οἱ L. 41 δυνατωτάτους τῶν ἱππέων tr. L. 42 μὲν αὐτοῖς τῶν L.

χων ἀναιρεῖ· πρὸς δὲ τὸ τούτων πάθος ἐκκλίναντος τοῦ λοι-
ποῦ πλήθους, ἐπόμενος συνελαύνει πάντας εἰς τὴν πόλιν, καὶ
ἐκ τοῦ πυρὸς διασώζει τὰ ἔργα. Συνέβη δ' ἐν ταύτῃ τῇ 43
μάχῃ καὶ ζωγρηθῆναί τινα τῶν Ἰουδαίων, ὃν ὁ Τίτος ἀνα-
σταυρῶσαι πρὸ τοῦ τείχους ἐκέλευσεν, εἴ τι πρὸς τὴν ὄψιν
ἐνδοῖεν οἱ λοιποὶ καταπλαγέντες. Μετὰ δὲ τὴν ἀναχώρη- 44
σιν καὶ Ἰωάννης ὁ τῶν Ἰδουμαίων ἡγεμών, πρὸ τοῦ τείχους
γνωρίμῳ τινὶ στρατιώτῃ διαλεγόμενος, ὑπό τινος τῶν Ἀρά-
βων κατὰ τοῦ στέρνου τοξεύεται, καὶ παραχρῆμα θνήσκει, 45
μέγιστον τοῖς τε Ἰουδαίοις πένθος, καὶ λύπην τοῖς στασια-
σταῖς ἀπολιπών· καὶ γὰρ κατά τε χεῖρα καὶ συνέσει διάση-
μος ἦν.

CAP. VII.

1. Τῇ δ' ἐπιούσῃ νυκτὶ ταραχὴ καὶ τοῖς Ῥωμαίοις ἐμπίπ- 1
τει παράλογος. Τοῦ γὰρ Τίτου πύργους τρεῖς κατασκευ-
άσαι κελεύσαντος πεντηκονταπήχεις, ἵν' ἑκάστου χώματος
ἐπιστήσας ἀπὸ τούτων τοὺς ἐπὶ τοῦ τείχους τρέποιτο, συνέβη
πεσεῖν αὐτομάτως ἕνα μέσης νυκτός. Μεγίστου δ' ἀρθέντος 2
ψόφου, δέος ἐμπίπτει τῷ στρατῷ, καὶ τοὺς πολεμίους ἐπι-
χειρεῖν σφίσι δόξαντες ἐπὶ τὰ ὅπλα πάντες ἔθεον. Ταραχὴ 3
δὲ τῶν ταγμάτων καὶ θόρυβος ἦν· καὶ τὸ συμβὰν οὐδενὸς
εἰπεῖν ἔχοντος, ἐπὶ πλεῖστον ἀποδυρόμενοι διεφέροντο, μηδε-
νός τε φαινομένου πολεμίου δι' ἀλλήλων ἐπτοοῦντο, καὶ τὸ
σύνθημα μετὰ σπουδῆς ἕκαστος τὸν πλησίον ἐπηρώτα, καθά-
περ Ἰουδαίων ἐμβεβηκότων εἰς τὰ στρατόπεδα. Πανικῷ τε 4
δείματι κυκλουμένοις παρεῴκεσαν, ἄχρι μαθὼν τὸ συμβὰν
Τίτος διαγγέλλειν ἐκέλευσε πᾶσι· καὶ μόλις ἐπαύσαντο τῆς
ταραχῆς.

2. Ἰουδαίους γε μὴν πρὸς τὰ λοιπὰ καρτερῶς ἀντέχοντας 5

ἐκκλίνοντος L. διασώζεται L. 44 τῶν Ἰουδαίων ἡγεμὼν L.N.T. πρὸς τοῦ τείχους M. γνωρίμῳ στρατιώτῃ L.N.T. 45 Ἰδουμαίοις πένθος L. ἀπολειπὼν P. κατὰ χεῖρα L. καὶ σύνεσιν L.E. εὔσημος ἦν L. 1 τρέποιντο L. συνέβη ἕνα πεσεῖν E. συνέβη δὲ π σὶν sic L. αὐτομ. διὰ μέσης L. αὐτομ. ἀνὰ μέσης T.E. 2 πολεμίους σφίσιν L. 3 μηδενὸς δὲ φαιν. P. Ἰουδαίων ἐμβεβληκότων L. 4 Πλανικῷ τε M.

ἐκάκωσαν οἱ πύργοι· καὶ γὰρ τῶν ὀργάνων τοῖς κουφοτέροις ἀπ' αὐτῶν ἐβάλλοντο, καὶ τοῖς ἀκοντισταῖς, καὶ τοξόταις, 6 καὶ λιθοβόλοις. Οὔτε δὲ τούτων αὐτοὶ διὰ τὸ ὕψος ἐφικνοῦντο, καὶ τοὺς πύργους ἦν ἀμήχανον ἐλεῖν, μήτε ἀνατραπῆναι ῥᾳδίως διὰ τὸ βρίθος, μήτ' ἐμπρησθῆναι διὰ τὸν σίδηρον 7 δυναμένους, ᾧ κατεκαλύπτοντο. Τρεπόμενοι δ' ἐξωτέρω βέλους οὐκ ἔτ' ἐκώλυον τῶν κριῶν τὰς ἐμβολὰς, οἳ ἀδιαλείπτως 8 παίοντες ἤνυον κατ' ὀλίγον. Ἤδη δὲ τῷ Νίκωνι τοῦ τείχους ἐνδιδόντος — αὐτοὶ γὰρ τοῦτο Ἰουδαῖοι τὴν μεγίστην ἐκάλεσαν Ῥωμαίων ἐλέπολιν, ἀπὸ τοῦ πάντα νικᾶν — ἀπέκαμνον μὲν πάλαι πρός τε τὰς μάχας καὶ τὰς φυλακὰς πόρ- 9 ρωθεν τῆς πόλεως διαννυκτερεύοντες, ἄλλως δ' ὑπὸ ῥᾳστώνης, καὶ τοῦ βουλεύεσθαι πάντα κακῶς, περιττὸν αὐτοῖς δόξαν φυλάττειν τὸ τεῖχος, ἑτέρων μετ' αὐτὸ λειπομένων δύο, μα- 10 λακισθέντες ἀνεχώρουν οἱ πολλοί. Καὶ τῶν Ῥωμαίων ἐπιβάντων, καθὰ παρέρρηξεν ὁ Νίκων, καταλιπόντες τὰς φυλακὰς πάντες εἰς τὸ δεύτερον τεῖχος ἀναφεύγουσιι. Οἱ δὲ ὑπερβάντες, τὰς πύλας ἀνοίξαντες, πᾶσαν εἰσδέχονται τὴν 11 στρατιάν. Καὶ Ῥωμαῖοι μὲν οὕτω τοῦ πρώτου τείχους πεντεκαιδεκάτῃ κρατήσαντες ἡμέρᾳ, ἑβδόμῃ δ' ἦν Ἀρτεμισίου μηνὸς, αὐτοῦ τε πολὺ κατασκάπτουσι καὶ τὰ προσάρκτια τῆς πόλεως, ἃ καὶ πρότερον Κέστιος.

12 3. Μεταστρατοπεδεύεται δὲ Τίτος εἴσω, κατὰ τὴν Ἀσσυρίων παρεμβολὴν καλουμένην, ἐπισχὼν πᾶν τὸ μεταξὺ μέχρι τοῦ Κεδρῶνος, ἀπὸ δὲ τοῦ δευτέρου τείχους ὅσον ἐξωτέρω 13 βέλους εἶναι· προσβολὰς δ' εὐθέως ἐποιεῖτο. Μερισθέντες δὲ οἱ Ἰουδαῖοι καρτερῶς ἀπημύναντο τοῦ τείχους· οἱ μὲν

6 ἀφικνοῦντο L. ἐφικνεῖντο M. διὰ τὸ βάρος, μήτ' P. 7 ἀδιαλίπτως πταίοντες N. 8 Νίκονι P. γὰρ οὕτω Ἰουδαῖοι ex cor. T. καὶ φυλακὰς L. 9 τοῦ βουλεύσασθαι πάντα L. κακῶς καὶ περισσὸν L. φυλάττειν deest N.P.T. 10 καθ' ὅπερ ἔρρηξεν L.P.T. καθάπερ ἔρρηξεν N. ὁ Νίκων desunt L. καταλείποντες P. εἰς τὸ ἐνδότερον τ. P. τὴν στρατείαν P. 11 τείχους κρατοῦσιν ἡμέρᾳ πεντεκαιδεκάτῃ· ἦν δ' ἑβδόμη Ἀρτεμησίου L. Ἀρτεμησίου P 12 Μεταστρατ. Τίτος P. 13 Καὶ μερισθέντες δὲ Ἰουδ. L. ἐμμερισθέντες δὲ οἱ Ἰουδ. P. ἀπημύνοντο T.

περὶ τὸν Ἰωάννην ἀπό τε τῆς Ἀντωνίας καὶ τῆς προσαρκτίου στοᾶς τοῦ ἱεροῦ, καὶ πρὸ τῶν Ἀλεξάνδρου τοῦ βασιλέως μνημείων μαχόμενοι, τὸ δὲ τοῦ Σίμωνος τάγμα, τὴν παρὰ τὸ 14
Ἰωάννου μνημεῖον ἐμβολὴν διαλαβόντες, ἐφράξαντο μέχρι πύλης, καθ' ἣν τὸ ὕδωρ ἐπὶ τὸν Ἱππικὸν πύργον εἰσῆκτο. Προπηδῶντες δὲ πολλάκις ἐκ τῶν πυλῶν συστάδην ἐπολε- 15
μουν, καὶ συνδιωχθέντες ἀπὸ τοῦ τείχους· κατὰ μὲν τὰς συμπλοκὰς ἡττῶντο, τῆς Ῥωμαίων ἐπιστήμης ὄντες ἄπειροι, περιῆσαν δὲ ταῖς τειχομαχίαις. Καὶ τοὺς μὲν ἰσχὺς μετ' ἐμ- 16
πειρίας παρεκρότει· Ἰουδαίους δὲ τόλμα δέει τρεφομένη, καὶ τὸ φύσει καρτερικὸν ἐν συμφοραῖς. Προσῆν δ' ἐλπὶς ἔτι σωτηρίας, ἣ καὶ Ῥωμαίοις τοῦ ταχέως κρατήσειν. Οὐδε- 17
τέρων δὲ ἥπτετο κόπος, ἀλλὰ προσβολαὶ καὶ τειχομαχίαι, καὶ κατὰ λόχους ἐκδρομαὶ συνεχεῖς δι' ὅλης ἡμέρας ἦσαν· οὐδέ ἐστιν ἥτις ἰδέα μάχης ἀπελείπετο. Νὺξ δ' ἀνέπαυε μό- 18
λις ἕωθεν ἀρχομένους· ἦν δὲ ἄϋπνος ἀμφοτέροις ἡ νὺξ, καὶ χαλεπωτέρα τῆς ἡμέρας, δέει τῶν μὲν ὅσον οὔπω καταληφθήσεσθαι τὸ τεῖχος, τῶν δὲ ἐπιθήσεσθαι Ἰουδαίους τοῖς στρατοπέδοις. Ἔν τε τοῖς ὅπλοις ἑκάτεροι διανυκτερεύοντες, 19
ὑπὸ τὰς πρώτας αὐγὰς ἕτοιμοι πρὸς μάχην ἦσαν. Καὶ παρὰ μὲν Ἰουδαίοις ἔρις ἦν, ὅστις προκινδυνεύσας χαρίσαιτο τοῖς ἡγεμόσι· μάλιστα δὲ τοῦ Σίμωνος αἰδὼς ἦν καὶ δέος, οὕτω τε 20
προσεῖχεν ἕκαστος αὐτῷ τῶν ὑποτεταγμένων, ὡς καὶ πρὸς αὐτοχειρίαν ἑτοιμότατος εἶναι κελεύσαντος. Ῥωμαίοις δὲ 21
ἐπ' ἀνδρείαν ἦν προτροπὴ, τοῦ τε κρατεῖν ἔθος, καὶ ἥττης

ἀπὸ τῆς L. καὶ τῶν Ἀλεξ. M.N.T. βασιλέως αὐτῶν μνημείων M.N. βασ. αὐτῶν μνημείου P. 14 Ἰωάννου τοῦ ἀρχιερέως μνημ. M.N.T. ἐμβολὴν deest N. et T. sed in huj. marg. adscrip. est. 15 Προπηδῶντές τε δὴ πολ. M.N.P.T. συνδιωχθέντες ἐπὶ τοῦ E. τείχους καὶ μὲν E. ὄντες deest L.N. et T. sed in huj. marg. adscrip. est. ἄπειρον L. δ' ἐν ταῖς τειχ. P. 16 μετ' ἰσχύος ἐμπειρία P. ἐπὶ συμφοραῖς P. προσῆν ἐλπίδι σωτηρίας L. 17 ἐνδρομαὶ N. οὐδ' ἔστιν εἴτις εἰδία P. ἀμφοτέροις, καὶ χαλ. L.P. 18 τὸ τάχος, τῶν δὲ L.P. 19 κατὰ τὰς πρώτας P. 20 ἑτοιμότατον M.N.T.E. 21 ἀνδρίαν M.T. et sic infra. τό τε τοῦ κρατεῖν L. καὶ ἥτις ἀήθεια M.

ἀήθεια, συνεχεῖς τε στρατεῖαι, καὶ διηνεκεῖς μελέται, καὶ μέγεθος ἡγεμονίας· πρὸ δὲ πάντων Τίτος, ἀεὶ πᾶσι πανταχοῦ
22 παρατυγχάνων· τότε γὰρ μαλακισθῆναι, παρόντος καὶ συναγωνιζομένου Καίσαρος, δεινὸν ἐδόκει, καὶ τῷ καλῶς ἀγωνισαμένῳ μάρτυς αὐτὸς ὁ καὶ τιμήσων παρῆν· κέρδος δ' ἦν ἤδη
23 καὶ τὸ γνωσθῆναι Καίσαρι γενναῖον ὄντα. Διὰ τοῦτο πολλοὶ τῆς κατὰ σφᾶς ἰσχύος ἀμείνους τῇ προθυμίᾳ διεφάνησαν. Παραταξαμένων γοῦν κατὰ ταύτας τὰς ἡμέρας τῶν Ἰουδαίων πρὸ τοῦ τείχους καρτερῷ στίφει, καὶ διακοντιζομένων ἔτι
24 πόρρωθεν τῶν ταγμάτων ἑκατέρων. Λογγῖνός τις τῶν ἱππέων, ἐξαλλόμενος τῆς Ῥωμαϊκῆς τάξεως, ἐμπηδᾷ μέσῃ τῇ
25 τῶν Ἰουδαίων φάλαγγι. Καὶ διασκεδασθέντων πρὸς τὴν ἐμβολὴν δύο τοὺς γενναιοτάτους ἀναιρεῖ, τὸν μὲν κατὰ στόμα πλήξας ὑπαντιάσαντα, τὸν δ' ἀναστάσας ἐκ τοῦ προτέρου τὸ δόρυ κατὰ πλευρὰν διαπείρει τραπόμενον, ἐκ μέσων τε τῶν
26 πολεμίων πρῶτος εἰς τοὺς σφετέρους ἔδραμεν. Ὁ μὲν οὖν δι' ἀρετὴν ἐπίσημος ἦν, ζηλωταὶ δὲ τῆς ἀνδρείας ἐγίνοντο πολλοί. Καὶ Ἰουδαῖοι μὲν ἀμελοῦντες τοῦ παθεῖν, τὸ διαθεῖναι μόνον ἐσκόπουν. Ὅ τε θάνατος αὐτοῖς ἐδόκει κουφότατος, εἰ μετὰ τοῦ κτεῖναί τινα τῶν πολεμίων προσπέσοι.
27 Τίτος δὲ τῆς τῶν στρατιωτῶν ἀσφαλείας οὐχ ἧττον τοῦ κρατεῖν προενόει, καὶ τὴν μὲν ἀπερίσκεπτον ὁρμὴν ἀπόνοιαν λέγων, μόνην δ' ἀρετὴν τὴν μετὰ προνοίας καὶ τοῦ μηδὲν τὸν δρῶντα παθεῖν, ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἐκέλευσεν ἀνδρίζεσθαι.

28 4. Προσάγει δ' αὐτὸς τοῦ βορείου τείχους τῷ μέσῳ πύργῳ τὴν ἐλέπολιν, ἐν ᾧ τῶν Ἰουδαίων τις ἀνὴρ γόης, ὄνομα Κάστωρ, ἑλόχα μεθ' ὁμοίων δέκα, τῶν λοιπῶν φυγόν-

συνεχής τε στρατεία M. συνεχής τε στρατία N.T. συνεχεῖς τε στρατία P. 22 τῶν κάλως ἀγωνισαμένων E. τῷ καλῶς ἀγωνιζομένῳ L. τὸ κάλως ἀγωνισαμένῳ P. παρῆν· καρπὸς δ' N. et T. sed in huj. marg. καιρὸς. παρῆν καὶ καρπὸς δ' M. 24 τῆς τάξεως τῆς Ῥωμαϊκῆς L. ἐμπηδᾷ τῇ μέσῃ E. 25 διασκεδ. τῶν ἐμβολῶν P. 26 Καὶ οἱ Ἰουδαῖοι E. τοῦ παρελθεῖν τὸ διαθεῖναι M. ὅτι θάνατος L. εἰ καὶ μετὰ τοῦ E. 27 καὶ τὸ μηδὲν τὸν L.

των διὰ τοὺς τοξότας. Οὗτοι μέχρι μέν τινος ὑποπεπτη- 29
χότες τοῖς θωρακίοις ἠρέμουν, σαλευομένου δὲ τοῦ πύργου
διανίστανται· καὶ προτείνας ὁ Κάστωρ τὰς χεῖρας, ὡς ἱκε-
τεύων δῆθεν, ἐκάλει τὸν Καίσαρα, καὶ τῇ φωνῇ κατοικτιζόμε-
νος ἐλεῆσαι σφᾶς παρεκάλει. Πιστεύσας δ' ἐξ ἁπλότητος ὁ 30
Τίτος, καὶ μετανοεῖν ἤδη τοὺς Ἰουδαίους ἐλπίσας, ἐπέχει μὲν
τοῦ κριοῦ τὴν ἐμβολὴν, κωλύει τε τοξεύειν τοὺς ἱκέτας· λέγειν
δ' ἐκέλευσεν, ὅ τι βούλεται, τῷ Κάστορι. Τοῦ δὲ εἰπόντος 31
'ἐπὶ δεξιᾷ καταβῆναι θέλειν,' ὁ Τίτος 'συνήδεσθαι μὲν αὐτῷ
τῆς εὐβουλίας ἔφη, συνήδεσθαι δὲ, εἰ πάντες ἤδη τὰ αὐτὰ
φρονοῦσι· καὶ τῇ πόλει διδόναι γε πίστιν ἑτοίμως.' Τῶν 32
δέκα δὲ οἱ πέντε μὲν αὐτῷ συνυπεκρίνοντο τὴν ἱκετηρίαν· οἱ
λοιποὶ δὲ 'οὐκ ἄν ποτε δουλεύσειν Ῥωμαίοις ἐβόων, παρὸν
ἐλευθέρους ἀποθανεῖν.' Καὶ μέχρι πολλοῦ διαφερομένων, 33
ἐτρίβετο μὲν ἡ προσβολή. Πέμπων δὲ ὁ Κάστωρ πρὸς
τὸν Σίμωνα, σχολῇ βουλεύεσθαι περὶ τῶν ἐπειγόντων ἔλε-
γεν, ὡς οὐκ ἐπ' ὀλίγον αὐτὸς διαπαίζοι τὴν Ῥωμαίων ἀρχήν.
Ἅμα δὲ ταῦτα πέμπων, καταφανὴς ἦν καὶ τοὺς ἀπειθοῦντας 34
ἐπὶ τὴν δεξιὰν παρακαλῶν· οἱ δὲ ὥσπερ ἀγανακτοῦντες, ὑπὲρ
τὰ θωράκια διῄρουν τε τὰ ξίφη γυμνὰ, καὶ τοὺς θώρακας αὐ-
τῶν πλήξαντες, ὡς ἀπεσφαγμένοι κατέπεσον. Θάμβος δὲ 35
τὸν Τίτον καὶ τοὺς περὶ αὐτὸν εἰσῄει τοῦ τῶν ἀνδρῶν παρα-
στήματος, καὶ μὴ δυνάμενοι κάτωθεν ἀκριβῶς τὸ γεγενημέ-
νον ἰδεῖν, ἐθαύμαζόν τε τῆς εὐτολμίας αὐτοὺς, καὶ τοῦ πάθους
ἠλέουν. Τοξεύει δέ τις ἐν τούτῳ παρὰ τὴν ῥῖνα τὸν Κά- 36
στορα, καὶ ἐκεῖνος εὐθέως ἀνασπάσας τὸ βέλος ἐπεδείκνυ τῷ
Τίτῳ, καὶ ὡς οὐ δίκαια πάσχων κατεμέμφετο. Πρὸς δὲ τὸν 37
βαλόντα σχετλιάσας Καῖσαρ, ἔπεμπε παρεστῶτα τὸν Ἰώση-
πον δοῦναι τῷ Κάστορι δεξιάν. Ἀλλ' ὁ μὲν 'οὔτ' αὐτὸς

29 Οὗτοι δὲ μέχρι L. ὑπεπτηχότες L.N.T. ἠρέμουν, λυομένου δὲ M. N.P.T. 30 δ' ὡς ἐξ ἁπλότητος L. κωλύει δὲ τοξ. L. ἐκέλευεν M. 31 εὐβουλείας N. πάντες ταῦτα ἤδη M.N.P.T. φρονῶσι N. διδόναι τε πίστιν L. γε διδόναι π. P. 32 Τῶν δὲ δέκα P. μὲν αὐτῶν συνυπ. L. δουλεύειν L. 33 διαπαίζει L. διαπέζοι P. Ῥωμ. ὁρμήν. Ἅμα L. 34 θώρακας ἑαυτῶν L. 36 πάσχων ἐμέμφετο L. 37 Ἀλλ' οὔτε ὁ αὐτὸς ἔφη L.

ἔφη προσελεύσεσθαι, φρονεῖν γὰρ οὐδὲν ὑγιὲς τοὺς δεομέ-
38 νους,' καὶ τοὺς ὡρμημένους τῶν φίλων κατέσχεν. Αἰνείας δέ τις τῶν αὐτομόλων, 'αὐτὸς ἔφη προσελεύσεσθαι.' Καὶ τοῦ Κάστορος καλοῦντος, ὅπως δέξαιτό τις καὶ τὸ ἀργύριον, ὃ φέρει μετ' αὐτοῦ, σπουδαιότερον ὁ Αἰνείας διαπετάσας τὸν
39 κόλπον προσέδραμεν. Ἀράμενος δὲ ὁ Κάστωρ πέτραν ἐπαφίησιν αὐτῷ, καὶ τούτου μὲν διήμαρτε φυλαξαμένου, τιτρώ-
40 σκει δὲ στρατιώτην ἕτερον προσελθόντα. Συννοήσας δὲ Καῖσαρ τὴν ἀπάτην, πρὸς βλάβης μὲν ἔγνω τὸν ἐν πολέμοις ἔλεον· τὸ γὰρ ἀπηνέστερον ἧττον ὑποπίπτειν τῷ πανούργῳ. Τὰς δ' ἐμβολὰς τῆς ἐλεπόλεως ὀργῇ τῆς χλεύης ἐποιεῖτο
41 δυνατωτέρας· ὑποδιδόντα δὲ τὸν πύργον ἐμπιπρᾶσιν οἱ περὶ τὸν Κάστορα, καὶ διὰ τῆς φλογὸς εἰς τὴν ὑπ' αὐτῷ κρυπτὴν ἁλλόμενοι, πάλιν δόξαν ἀνδρείας Ῥωμαίοις παρέσχον, ὡς ῥίψαντες σφᾶς αὐτοὺς εἰς τὸ πῦρ.

CAP. VIII.

1 1. Αἱρεῖ δὲ Καῖσαρ ταύτῃ τὸ τεῖχος ἡμέρᾳ πέμπτῃ μετὰ τὸ πρῶτον, καὶ τῶν Ἰουδαίων φυγόντων ἀπ' αὐτοῦ, παρέρχεται μετὰ χιλίων ὁπλιτῶν ἔνδον, καὶ τῶν περὶ αὐτὸν ἐπιλέκτων, καθὸ καὶ τῆς Καινῆς πόλεως ἐριοπώλιά τε ἦν καὶ χαλκεῖα, καὶ ἱματίων ἀγορά, πρὸς δὲ τὸ τεῖχος πλάγιοι κατέτει-
2 νον οἱ στενωποί. Εἰ μὲν οὖν ἢ τοῦ τείχους πλέον εὐθέως διέλυσεν, ἢ πολέμου νόμῳ παρελθὼν ἐπόρθει τὸ ληφθέν, οὐκ
3 ἄν, οἶμαί, τις ἐμίγη βλάβη τῷ κράτει· νῦν δὲ Ἰουδαίους μὲν ἐλπίσας δυσωπήσειν ἐξὸν κακοῦν τὸ μὴ θέλειν, πρὸς ἀναχώρησιν εὐμαρῆ τὴν εἰσβολὴν οὐκ ἐπλάτυνεν· οὐ γὰρ ἐπιβου-

38 τῶν εὐτόλμων αὐτὸς M. προελεύσεσθαι P. Κάστορος προσκαλοῦντος L. ὃ φέροι L.N.T. μεθ' ἑαυτοῦ L. μεθ' αὑτοῦ P. 39 ἕτερον στρατιώτην tr. L. 40 Τὰς ἐμβολὰς M.N. 41 ὑποδιδόντα τε τὸν M.N. τὴν ἐπ' αὐτῷ M.N.T. 1 Εἶλε δὲ Καίσαρ L. Καίσαρ τὸ τεῖχος M. Hic unus deest quaternio in Cod. N. et saltum facimus ad Cap. 11. §. 21. in verba Αὐτὸς μὲν οὖν. ἔνδον ὁπλιτῶν tr. M.P.T. αὐτὸν ὁπλιτῶν ἐπιλέκτων P. ἐριοπώλιά M. ἐριοπώλειά T. πρὸς τὸ τεῖχος P. 2 εὐθέως πλέον tr. P. 3 κακοῦν μὴ θέλειν L. κακοῦν τῷ μὴ θέλειν P.T. πρὸς δὲ τὴν ἀναχώρ. M. πρὸς δ' ἀναχ. L.P.T.E.

λεύσειν οὓς εὐεργετεῖν ὑπελάμβανεν. Παρελθὼν γοῦν οὔτε 4
κτείνειν τινὰ τῶν καταλαμβανομένων ἐπέτρεψεν, οὔθ' ὑπο-
πιμπράναι τὰς οἰκίας· ἀλλ' ἅμα μὲν τοῖς στασιασταῖς εἰ βού-
λοιντο μάχεσθαι δίχα τῆς τοῦ δήμου βλάβης, ἄδειαν ἐδίδου,
τῷ δήμῳ δὲ τὰς κτήσεις ὑπισχνεῖτο δώσειν· περὶ πλείστου 5
γὰρ ἐποιεῖτο σῶσαι τὴν μὲν πόλιν ἑαυτῷ, τὸν δὲ ναὸν τῇ
πόλει. Τὸν μὲν οὖν λαὸν ἕτοιμον εἶχεν εἰς ἃ προέτρεπε
καὶ πάλαι· τοῖς μαχίμοις δὲ ἐδόκει τὸ φιλάνθρωπον ἀσθένεια,
καὶ τὸν Τίτον ἀδυναμίᾳ τοῦ τὴν ἄλλην πόλιν ἑλεῖν ταῦτα
προτείνειν ὑπελάμβανον. Διαπειλοῦντες δὲ τοῖς δημόταις 6
θάνατον, εἰ περὶ παραδόσεως μνησθείη τις αὐτῶν, καὶ τοὺς
παραφθεγγομένους εἰρήνην ἀποσφάττοντες, ἐπιτίθενται καὶ
τοῖς εἰσελθοῦσι Ῥωμαίων, οἱ μὲν κατὰ τοὺς στενωποὺς ὑπαν- 7
τιάσαντες, οἱ δὲ ἀπὸ τῶν οἰκιῶν, ἄλλοι δ' ἔξω τοῦ τείχους
κατὰ τὰς ἄνω προπηδήσαντες πύλας· πρὸς οὓς ταραχθέντες
οἱ φρουροὶ τοῦ τείχους, καθαλλόμενοι τῶν πύργων ἀνεχώ-
ρουν εἰς τὰ στρατόπεδα. Κραυγὴ δ' ἦν τῶν μὲν εἴσω πάντο- 8
θεν πολεμίοις κεκυκλωμένων, τῶν δ' ἔξωθεν περὶ τοῖς ἀπολει-
φθεῖσι δεδοικότων. Πληθύνοντες δὲ ἀεὶ οἱ Ἰουδαῖοι, καὶ 9
πολλὰ πλεονεκτοῦντες κατ' ἐμπειρίαν τῶν στενωπῶν, ἐτί-
τρωσκόν τε πολλοὺς, καὶ προσπίπτοντες ἐξώθουν. Οἱ δὲ
κατ' ἀνάγκην τὸ πλέον ἀντεῖχον· οὐ γὰρ ἦν ἀθρόους διαφυ-
γεῖν διὰ στενοῦ τοῦ τείχους. Δοκοῦσί τ' ἂν κατακοπῆναι 10
πάντες οἱ παρελθόντες, μὴ προσαμύναντος τοῦ Τίτου. Δια-
στήσας γὰρ ἐπ' ἄκροις τοῖς στενωποῖς τοὺς τοξότας, καὶ
κατὰ τὸν μάλιστα πληθύνοντα σταθεὶς αὐτὸς, ἀνέστελλε τοῖς
βέλεσι τοὺς πολεμίους, καὶ σὺν αὐτῷ Δομίτιος Σαβῖνος, ἀνὴρ 11

4 ἀλλὰ τοῖς μὲν στασιασταῖς P. ἅμα τοῖς μὲν στ. L.T. ἅμα μὲν τοῖς στ. M. ἄδειαν ἐξόδου ἐδίδου τῷ L. ἄδειαν ἔξειν τῷ P. ἄδειαν ἐξόδου τῷ T. 5 περὶ πολλοστοῦ γὰρ L. πόλιν αὐτῷ M.P.T.E. προυτείνειν L. 6 Διαπειλοῦσι δὲ τοῖς M. μνησθῆ τις L. ἐπιτίθενται τοὺς στενωποὺς desunt quæ interjacent omnia M. 8 τῶν εἴσω πάντοθεν L. ἀποληφθεῖσι M.T. sed uterque ex cor. 9 δ' ἀεὶ Ἰουδαῖοι P. δὲ Ἰουδαῖοι L. ἐμπειρίαν προσπίπτοντες desunt cetera M. ἀντέσχον L. ἀθρόους φυγεῖν L. 10 Δοκοῦσι δ' ἂν E. πληθύοντα L.P.E. 11 Δομέτιος P.

ἀγαθὸς καὶ κατὰ ταύτην φανεὶς τὴν μάχην. Παρέμεινε δὲ συνεχῶς τοξεύων Καῖσαρ, καὶ τοὺς Ἰουδαίους κωλύων παρελθεῖν, μέχρι πάντες ἀνεχώρησαν οἱ στρατιῶται.

12 2. Ῥωμαῖοι μὲν οὕτω κρατήσαντες τοῦ δευτέρου τείχους ἐξεώθησαν· τῶν δ' ἀνὰ τὸ ἄστυ μαχίμων ἐπῄρθη τὰ φρονήματα, καὶ μετέωροι πρὸς τὴν εὐπραγίαν ἦσαν, οὔτ' ἂν Ῥωμαίους εἰς τὴν πόλιν τολμήσειν ἔτι παρελθεῖν, οὔτ' ἂν αὐτοὶ
13 παρελθόντες ἡττηθήσεσθαι δοκοῦντες. Ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ θεὸς, καὶ οὔτε τὴν Ῥωμαίων ἰσχὺν ὅσῳ πλείων κατελείπετο τῆς ἐξελασθείσης
14 ἔβλεπον, οὔτε τὸν ὑφέρποντα λιμὸν αὐτοῖς· ἔτι γὰρ παρῆν ἐσθίειν ἐκ τῶν δημοσίων κακῶν, καὶ τὸ τῆς πόλεως αἷμα πίνειν. Ἔνδεια δὲ τοὺς ἀγαθοὺς ἐπεῖχε πάλαι, καὶ σπάνει τῶν
15 ἐπιτηδείων διελύοντο πολλοί. Τὴν δὲ τοῦ λαοῦ φθορὰν ἑαυτῶν οἱ στασιασταὶ κουφισμὸν ὑπελάμβανον· μόνους γὰρ ἠξίουν σώζεσθαι τοὺς μὴ ζητοῦντας εἰρήνην, καὶ κατὰ Ῥωμαίων ζῆν προῃρημένους, τὸ δ' ἐναντίον πλῆθος ὥσπερ βάρ-
16 βαρον ἥδοντο δαπανώμενον. Τοιοῦτοι μὲν δὴ πρὸς τοὺς ἔνδον ἦσαν· Ῥωμαίους δὲ πάλιν τῆς εἰσόδου πειρωμένους ἐκώλυον φραξάμενοι, καὶ τὸ καταρριφθὲν ἀντιτειχίσαντες τοῖς
17 σώμασι. Τρισὶ μὲν ἀντέσχον ἡμέραις καρτερῶς ἀμυνόμενοι, τῇ τετάρτῃ δὲ προσβάλλοντα γενναίως Τίτον οὐκ ἤνεγκαν,
18 ἀλλὰ βιασθέντες ᾗ καὶ πρότερον ἀναφεύγουσιν. Ὁ δὲ πάλιν τοῦ τείχους κρατήσας, τὸ προσάρκτιον μὲν εὐθέως κατέρριψε πᾶν· ἐπὶ δὲ τοῦ κατὰ μεσημβρίαν φρουροὺς τοῖς πύργοις ἐγκαταστήσας, τῷ τρίτῳ προσβάλλειν ἐπενόει.

Καίσαρ τοὺς L. 12 τείχους ἐξώσθησαν L. Ῥωμ. ἐτὶ παρελ. εἰς τὴν πόλ. τολμήσειν tr. L. ἡττήσεσθαι L. 13 ὅσῳ πλείω L.M.P.E. ἐξελαθείσης M. 14 ἐπιτηδείων ἤδη διελ. L.E. 15 τοὺς μὴ ζηλοῦντας εἰρ. L. κατὰ τῶν Ῥωμ. L. τοῦ δ' ἐναντίου πλήθους E. ὥσπερ ὑπὸ βαρβάρων βάρος ἥδοντο N. et pri. ma. T. sed in hoc sec. ma. erasa sunt ὑπὸ et βάρος. Habet E. ὥσπερ ὑπερβάλλοντος βάρους ἥδοντο. δαπανωμένων L.M.P.T.E. 16 καὶ τὸ ῥιφὲν ἀντιτειχ. L. 17 Τρισὶν ἡμέραις ἄντεσχον καρτερῶς L. προσβαλόντα L.M.P. 18 φρουρὰς τοῖς P.T. τοὺς φρουροὺς τοῖς L.

CAP. IX.

1. Δόξαν δ' ἐπανιέναι πρὸς ὀλίγον τὴν πολιορκίαν, καὶ [1]
διωρίαν βουλῆς τοῖς στασιασταῖς παρασχεῖν, εἴ τι πρὸς τὴν
καθαίρεσιν ἐνδοῖεν τοῦ δευτέρου τείχους, ἢ καὶ τὸν λιμὸν ὑπο-
δείσαντες, — οὐ γὰρ εἰς πολὺ τὰς ἀρπαγὰς αὐτοῖς ἐξαρκέσειν,
— εἰς δέον κατεχρῆτο τὴν ἄνεσιν· ἐνστάσης γὰρ τῆς προθε- [2]
σμίας, καθ' ἣν ἔδει διαδοῦναι τοῖς στρατιώταις τροφὰς, ἐν
ἀπόπτῳ τοῖς πολεμίοις ἐκέλευσε τοὺς ἡγεμόνας ἐκτάξαντας
τὴν δύναμιν ἀπαριθμεῖν ἑκάστῳ τὸ ἀργύριον. Οἱ δὲ, ὥσπερ [3]
ἔθος, ἀποκαλύψαντες τὰ ὅπλα θήκαις ἐσκεπασμένα τέως,
κατάφρακτοι προσήεσαν, καὶ τοὺς ἵππους ἄγοντες οἱ ἱππεῖς
κεκοσμημένους. Ἐπὶ πλεῖστον δὲ τὰ πρὸ τῆς πόλεως ἀρ- [4]
γύρῳ καὶ χρυσῷ περιελάμπετο, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν
οὔτε τοῖς σφετέροις ἐπιτερπέστερον, οὔτε τοῖς πολεμίοις
παρέστη φοβερώτερον. Κατεπλήσθη γὰρ ἀφορώντων τό [5]
τε ἀρχαῖον τεῖχος ἅπαν, καὶ τοῦ ἱεροῦ τὸ βόρειον κλίμα, τάς
τε οἰκίας μεστὰς ἦν προκυπτόντων ὑπεριδεῖν, καὶ τῆς πόλεως
οὐδὲν, ὃ μὴ κεκάλυπτο πλήθει, διεφαίνετο. Κατάπληξις δὲ [6]
δεινὴ καὶ τοῖς τολμηροτάτοις ἐνέπεσε, τήν τε δύναμιν ἐπὶ
ταὐτὸ πᾶσαν ὁρῶσι, καὶ τὸ κάλλος τῶν ὅπλων, καὶ τὴν εὐ-
ταξίαν τῶν ἀνδρῶν. Δοκοῦσί τ' ἄν μοι πρὸς ἐκείνην οἱ [7]
στασιασταὶ μεταβαλέσθαι τὴν ὄψιν, εἰ μὴ δι' ὑπερβολὴν ὧν
τὸν δῆμον ἔδρασαν κακῶν, συγγνώμην παρὰ Ῥωμαίοις ἀπήλ-
πιζον. Ἀποκειμένου δὲ τοῦ μετὰ κολάσεως, εἰ παύσαιντο, [8]
πολὺ κρείττονα τὸν ἐν πολέμῳ θάνατον ἡγοῦντο. Καὶ τὸ
χρεὼν δ' ἐκράτει τούς τε ἀναιτίους τοῖς αἰτίοις συναπολέ-
σθαι, καὶ τῇ στάσει τὴν πόλιν.

[1] Δόξαν δὲ παρεῖναι M. δόξαν δὲ πᾶν εἶναι P. δόξαν δ' ἐπανεῖναι T. καὶ διορίαν P. στασιασ. παρέσχεν P. καὶ τὸν δῆμον ὑποδ. T. αὐτοῖς ἀρκέσειν L. [2] τοῖς στρατιώταις ἔδει tr. L. ἔδει δοῦναι M.P.T. ἐκτάξαντας deest M. [3] προήεσαν T. [4] τὰ πρὸς τῆς E. [5] Κατεπλήχθη γὰρ L. μεστὰς εἶναι προκυπ. L. προκυπτόντων ἰδεῖν P. καὶ τοῖς πόλεως M. [6] ταὐτὸ πᾶσιν ὁρῶσι L.P. [7] μεταβάλλεσθαι L. δῆμον ἔδρασεν L. [8] εἰ μὴ παύσαιντο L.

9 2. Τέσσαρσι μὲν οὖν ἡμέραις οἱ Ῥωμαῖοι καθ' ἕκαστον τάγμα διετέλεσαν τὰς τροφὰς κομιζόμενοι· τῇ πέμπτῃ δὲ ὡς οὐδὲν ἀπήνυτα παρὰ τῶν Ἰουδαίων εἰρηνικὸν, διχῇ διελὼν τὰ τάγματα Τίτος ἤρχετο χωμάτων, κατά τε τὴν Ἀντω-
10 νίαν καὶ τὸ τοῦ Ἰωάννου μνημεῖον· ταύτῃ μὲν τὴν ἄνω πόλιν αἱρήσειν ἐπινοῶν, τὸ δὲ ἱερὸν κατὰ τὴν Ἀντωνίαν· τούτου γὰρ μὴ ληφθέντος, οὐδὲ τὸ ἄστυ κατέχειν ἀκίνδυνον ἦν. Πρὸς ἑκατέρῳ δὴ μέρει δύο ἠγείρετο χώματα, καθ' ἓν ἑκάστου
11 τάγματος. Καὶ τοὺς μὲν παρὰ τὸ μνημεῖον ἐργαζομένους οἵ τε Ἰδουμαῖοι καὶ τὸ μετὰ τοῦ Σίμωνος ὁπλιτικὸν εἶργον ἐπεκθέοντες, τοὺς δὲ πρὸ τῆς Ἀντωνίας οἱ περὶ τὸν Ἰωάννην
12 καὶ τὸ τῶν ζηλωτῶν πλῆθος. Ἐπλεονέκτουν δὲ οὐ κατὰ χεῖρα μόνον ἀφ' ὑψηλοτέρων μαχόμενοι, καὶ τοῖς ὀργάνοις δ' ἤδη χρῆσθαι μεμαθηκότες· ἡ γὰρ καθ' ἡμέραν τριβὴ κατὰ
13 μικρὸν ἔθρεψε τὴν ἐμπειρίαν. Εἶχον δ' ὀξυβελεῖς μὲν τριακοσίους, τεσσαράκοντα δὲ τῶν λιθοβόλων, δι' ὧν τὰ χώματα τοῖς Ῥωμαίοις ἐποίουν δυσεργότερα. Τίτος δὲ σώζεσθαί τε τὴν πόλιν καὶ ἀπόλλυσθαι εἰδὼς ἑαυτῷ, ἅμα καὶ τῇ πολιορκίᾳ προσέκειτο, καὶ τοῦ παραινεῖν Ἰουδαίοις μετάνοιαν οὐκ
14 ἠμέλει. Τοῖς δὲ ἔργοις ἀνέμισγε συμβουλίαν, καὶ πολλάκις γινώσκων ἀνυστικώτερον ὅπλων τὸν λόγον, αὐτούς τε σώζεσθαι παρεκάλει παραδόντας τὴν πόλιν ἤδη παρειλημμένην, καὶ τὸν Ἰώσηπον καθίει τῇ πατρίῳ γλώσσῃ διαλέγεσθαι, τάχα ἐνδοῦναι πρὸς ὁμόφυλον δοκῶν αὐτούς.

15 3. Οὗτος περιὼν τὸ τεῖχος, καὶ πειρώμενος ἐξωτέρω βέλους εἶναι καὶ ἐν ἐπηκόῳ, πολλὰ κατηντιβόλει, ‘φείσασθαι μὲν ἑαυτῶν καὶ τοῦ δήμου, φείσασθαι δὲ καὶ τῆς πατρίδος καὶ τοῦ ἱεροῦ, μηδὲ γενέσθαι πρὸς ταῦτα τῶν ἀλλοφύλων

9 διχῇ deest E. κατὰ τὴν Ἀντ. P. καὶ τοῦ Ἰωάννου L. 10 ἀκίνδυνον ἦν κατέχειν tr. L. ἑκατέρῳ δὲ μέρει P. et ex cor. T. χώματα ἠγείρετο tr. P. 11 δὲ πρὸς τῆς Ἀντ. M. Ἰωάνην P. 12 δ' οὐ κατὰ χεῖρα desunt L. δ' οἱ κατὰ χεῖρα M. 13 ἐποίει δυσέργαστα P. καὶ ἀπόλλυσθαι τὴν πόλιν tr. L. 14 πολλάκις γινωσκομένων ἀντ. L. αὐτοῖς τε σώζ. L.T. παραδιδόντας τὴν L. δοκῶν αὐτοῖς L. 15 Οὗτος περιὼν P. μὲν αὐτῶν P.T. φείσασθαι δὲ τῆς L.T. ἀλλοφύλων ἀναισθητοτέρους. L.

ἀπαθεστέρους. Ῥωμαίους μέν γε τοὺς μὴ μετέχοντας ἐν- 16
τρέπεσθαι τὰ τῶν πολεμίων ἅγια, καὶ μέχρι νῦν τὰς χεῖρας
ἐπέχειν· τοὺς δ' ἐντραφέντας αὐτοῖς, καὶ ἂν περισωθῇ μόνους
ἔξοντας, ὡρμῆσθαι πρὸς ἀπώλειαν αὐτῶν. Ἡ μὴν τὰ καρ- 17
τερώτερα μὲν αὐτῶν ὁρᾶν τείχη πεπτωκότα, λειπόμενον δὲ
τὸ τῶν ἐαλωκότων ἀσθενέστερον· γινώσκειν δὲ τὴν Ῥωμαίων
ἰσχὺν ἀνυπόστατον, καὶ τὸ δουλεύειν τούτοις οὐκ ἀπείραστον
αὐτοῖς. Εἰ γὰρ δὴ καὶ πολεμεῖν ὑπὲρ ἐλευθερίας καλὸν, 18
χρῆναι τὸ πρῶτον· τὸ δ' ἅπαξ ὑποπεσόντας, καὶ μακροῖς
εἴξαντας χρόνοις, ἔπειτα ἀποσείεσθαι τὸν ζυγὸν, δυσθανα-
τώντων οὐ φιλελευθέρων εἶναι. Δεῖ μέντοι καὶ δεσπότας 19
ἀδοξεῖν ταπεινοτέρους, οὐχ οἷς ὑπὸ χεῖρα τὰ πάντα. Τί
γὰρ Ῥωμαίους διαπεφευγέναι, πλὴν εἰ μή τι διὰ θάλπος ἢ
κρύος ἄχρηστον; Μεταβῆναι δὲ πρὸς αὐτοὺς πάντοθεν τὴν 20
τύχην, καὶ κατὰ ἔθνος τὸν θεὸν ἐμπεριάγοντα τὴν ἀρχὴν
νῦν ἐπὶ τῆς Ἰταλίας εἶναι. Νόμον γε μὴν ὡρίσθαι καὶ
παρὰ θηρσὶν ἰσχυρότατον καὶ παρὰ ἀνθρώποις, εἴκειν τοῖς
δυνατωτέροις, καὶ τὸ κρατεῖν παρ' οἷς ἀκμὴ τῶν ὅπλων
εἶναι. Διὰ τοῦτο καὶ τοὺς προγόνους αὐτῶν, πολὺ καὶ 21
ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν, ἔτι δὲ καὶ ταῖς ἄλλαις
ἀφορμαῖς ἀμείνους ὄντας, εἴξαι Ῥωμαίοις· οὐκ ἂν, εἰ μὴ 22
τὸν θεὸν ἥδεσαν σὺν αὐτοῖς, τοῦθ' ὑπομείναντας. Αὐτοὺς
δὲ τίνι καὶ πεποιθότας ἀντέχειν, ἐαλωκυίας μὲν ἐκ πλείστου
τῆς πόλεως μέρους, τῶν δ' ἔνδον, εἰ καὶ τὰ τείχη παρέμενεν,
ἁλώσεως χεῖρον διακειμένων; Οὐ γὰρ λανθάνειν Ῥωμαίους 23
τὸν ἐν τῇ πόλει λιμὸν, ᾧ νῦν μὲν τὸν δῆμον, μετ' οὐ πολὺ δὲ

16 μὲν γὰρ τοὺς μὴ L. μετασχόντας P. χεῖρας ἀντέχοντας ἀπειλεῖν· τοὺς δ' ἐντραφέντας αὐτοῖς καὶ περισωθησομένους ἔξοντας L. ἀπώλειαν αὐτῶν ὁρᾶν τείχη desunt quæ interjacent M. 17 ἐαλοκότων P. ἀπείρατον L. et ex cor. T. 18 Εἰ γὰρ δεῖ πολ. L.M. δυσθανατούντων P. et ex cor. T. 19 δεσπότας ἀποδείξειν ταπειν. L. ὑπὸ χεῖρα πάντα M. ὑποχείρια πάντα P.T. 20 Μεταβῆναι γὰρ πρὸς M.P.T. θεὸν περιάγοντα L.M. τὴν Ἰταλίαν θεῖναι· νόμον M. ἰσχυρότατον ὡρίσθαι καὶ παρὰ θηρσὶν tr. L. 21 καὶ πολὺ tr. E. πολὺ deest M.P.T. ὄντας ἀμείνους tr. L. 22 ἥδεισαν σὺν L. ὑπομείναντα M. εἰ κατὰ τείχη M.

διαφθαρήσεσθαι καὶ τοὺς μαχίμους. Εἰ γὰρ δὴ καὶ παύσαιντο Ῥωμαῖοι τῆς πολιορκίας, μηδὲ ἐπεισπίπτοιεν τῇ πόλει ξιφήρεις, αὐτοῖς γε τὸν ἄμαχον πόλεμον ἔνδον παρακαθῆσθαι καθ' ἑκάστην ὥραν τρεφόμενον, εἰ μὴ καὶ πρὸς τὸν λιμὸν ἆραι τὰ ὅπλα, καὶ μάχεσθαι δύναιντο, μόνοι τε καὶ παθῶν ἐπικρατεῖν.' Προσετίθει δὲ, 'ὡς καλὸν πρὸ ἀνηκέστου συμφορᾶς μεταβαλέσθαι, καὶ πρὸς τὸ σωτήριον, ἕως ἔξεστι, ῥέψαι· καὶ γὰρ οὐδὲ μνησικακήσειν αὐτοῖς Ῥωμαίους τῶν γεγενημένων, εἰ μὴ μέχρι τέλους ἀπαυθαδίσαιντο· φύσει τε γὰρ ἐν τῷ κρατεῖν ἡμέρους εἶναι, καὶ πρὸ τῶν θυμῶν θήσεσθαι τὸ συμφέρον· τοῦτο δ' εἶναι μήτε τὴν πόλιν ἀνδρῶν κενὴν, μήτε τὴν χώραν ἔρημον ἔχειν. Διὸ καὶ νῦν Καίσαρα βούλεσθαι δεξιὰν αὐτοῖς παρασχεῖν· οὐ γὰρ ἂν σῶσαί τινα βίᾳ λαβὼν τὴν πόλιν, καὶ μάλιστα μηδ' ἐν ἐσχάταις συμφοραῖς ὑπακουσάντων παρακαλοῦντι. Τοῦ γε μὴν ταχέως τὸ τρίτον τεῖχος ἁλώσεσθαι τὰ προεαλωκότα πίστιν εἶναι· καὶ ἂν ἄρρηκτον δὲ ᾖ τὸ ἔρυμα, τὸν λιμὸν ὑπὲρ Ῥωμαίων αὐτοῖς μάχεσθαι.'

4. Ταῦτα τὸν Ἰώσηπον παραινοῦντα πολλοὶ μὲν ἔσκωπτον ἀπὸ τοῦ τείχους, πολλοὶ δ' ἐβλασφήμουν, ἔνιοι δὲ ἔβαλλον. Ὁ δὲ, ὡς ταῖς φαναραῖς οὐκ ἔπειθε συμβουλίαις, ἐπὶ τὰς ὁμοφύλους μετέβαινεν ἱστορίας, "Ὦ δείλαιοι, καὶ τῶν ἰδίων ἀμνήμονες συμμάχων, ὅπλοις καὶ χερσὶ πολεμεῖτε Ῥωμαίοις; Τίνα γὰρ ἄλλον οὕτως ἐνικήσαμεν; Πότε δὲ οὐ θεὸς ὁ κτίσας ἂν ἀδικῶνται Ἰουδαίων ἔκδικος; Οὐκ ἐπιστραφέντες ὄψεσθε, πόθεν ὁρμώμενοι μάχεσθε, καὶ πηλίκον ἐμιάνατε σύμμαχον; Οὐκ ἀναμνήσεσθε πατέρων ἔργα δαιμόνια,

24 μηδ' ἐπιπίπτοιεν M.P. αὐτοῖς δὲ τὸν L. ἄμαχον πολέμιον M. μάχεσθαι δύνανται P. μόνοι, καὶ M. 25 μεταβάλλεσθαι L. ἀπαυθαδιάσαιντο M.T.E. 26 ἡμέρους εἶναι, μήτε τὴν πόλιν desunt quæ interjacent omnia L. θυμῶν θύσεσθαι τὸ M. ἔρημον τὴν χώραν tr. L. 27 βίᾳ λαβόντα τὴν P. 29 οὐ μετέπειθε συμβ. 30 ὦ δείλαιοι, βοῶν, καὶ L.M. ἄδειλοι, βοῶν, καὶ P. συμμάχων συμφορῶν, ὅπλοις L. πολεμεῖται L.P. κτίσας κἂν ἀδικ. P. 31 πόθεν ὡρμημένοι L. καὶ τηλικοῦτον ἐμιάνατε L. ἀναμνήσεσθαι L.

καὶ τὸν ἅγιον τόνδε χῶρον ἡλίκους ἡμῖν πάλαι πολέμους καθεῖλεν; Ἐγὼ μὲν φρίττω τὰ ἔργα τοῦ θεοῦ λέγων εἰς 32
ἀναξίους ἀκοάς. Ἀκούετε δὲ ὅμως, ἵνα γνῶτε μὴ μόνον Ῥω-
μαίοις πολεμοῦντες, ἀλλὰ καὶ τῷ θεῷ. Βασιλεὺς ὁ τότε 33
Νεχαὼς Αἰγυπτίων, ὁ δ' αὐτὸς ἐκαλεῖτο καὶ Φαραώ, μυρίᾳ
χειρὶ καταβὰς, ἥρπασε Σάρραν βασιλίδα, τοῦ γένους ἡμῶν
τὴν μητέρα. Τί οὖν ὁ ταύτης ἀνὴρ Ἀβράαμος, προπάτωρ
δὲ ἡμέτερος; Ἆρα τὸν ὑβριστὴν ἠμύνατο τοῖς ὅπλοις, καί- 34
τοι ὀκτωκαίδεκα μὲν καὶ τριακοσίους ὑπάρχους ἔχων, δύναμιν
δ' ὑφ' ἑκάστῳ τούτων ἄπειρον· ἢ αὐτοὺς μὲν ἐρημίαν ἠγή- 35
σατο μὴ συμπαρόντος θεοῦ, καθαρὰς δ' ἀνατείνας τὰς χεῖρας
εἰς ὃν νῦν ἐμιάνατε χῶρον ὑμεῖς, τὸν ἀνίκητον αὐτῷ βοηθὸν
ἐστρατολόγησεν; Οὐ μετὰ μίαν ἐσπέραν ἄχραντος μὲν ἡ
βασίλισσα ἀνεπέμφθη πρὸς τὸν ἄνδρα· προσκυνῶν δὲ τὸν 36
ὑφ' ὑμῶν αἱμαχθέντα χῶρον ὁμοφύλῳ φόνῳ, καὶ τρέμων ἀπὸ
τῶν ἐν νυκτὶ φαντασμάτων, ἔφευγεν ὁ Αἰγύπτιος, ἀργύρῳ
δὲ καὶ χρυσῷ τοὺς θεοφιλεῖς Ἑβραίους ἐδωρεῖτο; Σιγῶ ἢ 37
εἶπω τὴν εἰς Αἴγυπτον μετοικίαν τῶν πατέρων, οἳ τυραννού-
μενοι καὶ βασιλεῦσιν ἀλλοφύλοις ὑποπεπτωκότες τετρακο-
σίοις ἔτεσι, παρὸν ὅπλοις ἀμύνεσθαι καὶ χερσὶ, σφᾶς αὐτοὺς
ἐπέτρεψαν τῷ θεῷ; Τίς οὐκ οἶδε τὴν ἐκ παντὸς θηρίου κατα- 38
πλησθεῖσαν Αἴγυπτον, καὶ πάσῃ φθαρεῖσαν νόσῳ, τὴν ἄκαρ-
πον γῆν, τὸν ἐπιλείποντα Νεῖλον, τὰς ἐπαλλήλους δέκα πλη-
γὰς, τοὺς διὰ ταῦτα μετὰ φρουρᾶς προπεμπομένους πατέρας
ἡμῶν, ἀναιμάκτους, ἀκινδύνους, οὓς ὁ θεὸς ἑαυτῷ νεωκόρους
ἦγεν; Ἀλλὰ τὴν ὑπ' Ἀσσυρίων ἁρπαγεῖσαν ἁγίαν ἡμῖν 39

ἡλίκους ὑμῖν M.T. πάλαι πολεμίους E. 33 τὴν μητέρα τοῦ γένους ἡμῶν tr. L.P.T. Τί δ' οὖν ὁ L. Τίς οὖν ὁ M. Ἀβραὰμ M.P.T. 34 ἠμύνετο L. ὀκτωκαίδεκά γε μὴν L. ὑφ' ἑκάστου T.E. ἐφ' ἑκάστῳ L. 35 ἢ αὐτὸς μὲν ἠρεμήσειν ἡγήσατο L. ἄχραντος μὲν αὐτῷ ἡ L.P. 36 νυκτὶ φασμάτων L. Ἑβραίους deest L. 37 Σιγῶ ἢ desunt L.P. ἀμύνασθαι M.T.E. καὶ χερσὶ τὴν ὠμότητα σφᾶς L. 38 τὴν παντὸς M. et pri. ma. T. sed in hoc sup. lin. adjectum est ἐκ. νόσῳ τίνα καρπὸν, τὸν ἐπιλ. P. ἐπιλιπόντα L. φρουρᾶς πεμπομένους M. οἵους ὁ θεὸς M. 39 τὴν ὑπὸ Σύρων καὶ Ἀζωτίων ἁρπαγ. L. τὴν ὑπὸ Σύρων ἁρπαγ. P. ἡμῖν ἁγίαν tr. L. ἁγίαν ἡμῶν P.

λάρνακα οὐκ ἐστέναξε μὲν ἡ Παλαιστίνη καὶ Δαγὼν τὸ ξόανον, ἐστέναξε δὲ πᾶν τὸ τῶν ἁρπασαμένων ἔθνος, σηπόμενοι δὲ τὰ κρυπτὰ τοῦ σώματος, καὶ δι' αὐτῶν τὰ σπλάγχνα μετὰ τῶν σιτίων καταφέροντες, χερσὶ ταῖς λῃϊσαμέναις ἀνε-
40 κόμισαν, κυμβάλων καὶ τυμπάνων ἦχῳ, καὶ πᾶσι μειλικτηρίοις ἱλασκόμενοι τὸ ἅγιον; Θεὸς ἦν ὁ ταῦτα πατράσιν ἡμετέροις στρατηγῶν, ὅτι τὰς χεῖρας καὶ τὰ ὅπλα παρέντες, αὐτῷ
41 κρῖναι τὸ ἔργον ἐπέτρεψαν. Βασιλεὺς Ἀσσυρίων Σεναχήριβος, ὅτε πᾶσαν τὴν Ἀσίαν ἐπισυρόμενος τήνδε περιεστρατοπεδεύσατο τὴν πόλιν, ἆρα χερσὶν ἀνθρωπίναις ἔπεσεν;
42 Οὐχ αἱ μὲν ἀπὸ τῶν ὅπλων ἠρεμοῦσαι ἐν προσευχαῖς ἦσαν, ἄγγελος δὲ τοῦ θεοῦ μιᾷ νυκτὶ τὴν ἄπειρον στρατιὰν ἐλυμήνατο, καὶ μεθ' ἡμέραν ἀναστὰς ὁ Ἀσσύριος, ὀκτωκαίδεκα μυ-
43 ριάδας ἐπὶ πεντακισχιλίοις νεκρῶν εὗρε, μετὰ δὲ τῶν καταλειπομένων ἀνόπλους καὶ μὴ διώκοντας Ἑβραίους ἔφυγεν; Ἴστε δὲ καὶ τὴν ἐν Βαβυλῶνι δουλείαν, ἔνθα μετανάστης ὢν ὁ λαὸς ἔτεσιν ἑβδομήκοντα οὐ πρότερον εἰς ἐλευθερίαν ἀνεχαί-
44 τισεν, ἢ Κῦρον τοῦτο χαρίσασθαι τῷ θεῷ. Προεπέμφθησαν γοῦν ὑπ' αὐτοῦ, καὶ πάλιν τὸν αὐτῶν σύμμαχον ἐνεωκόρουν. Καθόλου δ' εἰπεῖν, οὐκ ἔστιν ὅ τι κατώρθωσαν οἱ πατέρες ἡμῶν τοῖς ὅπλοις, ἢ δίχα τούτων διήμαρτον ἐπιτρέ-
45 ψαντες τῷ θεῷ. Μένοντες μέν γε κατὰ χώραν ἐνίκων, ὡς ἐδόκει τῷ κριτῇ, μαχόμενοι δὲ ἔπταισαν ἀεί. Τοῦτο μέν, ἡνίκα βασιλεὺς Βαβυλωνίων ἐπολιόρκει ταύτην τὴν πόλιν, συμβαλὼν Σεδεκίας ὁ ἡμέτερος βασιλεὺς παρὰ τὰς Ἱερεμίου
46 προφητείας, αὐτός τε ἑάλω, καὶ τὸ ἄστυ μετὰ τοῦ ναοῦ κατασκαπτόμενον εἶδε· καίτοι πόσῳ μετριώτερος ὁ μὲν βα-

τῶν ἁρπαζομένων E. λῃϊσαμέναις ἕνα ἐκόμισαν M. δῃσαμέναις ἀνεκ. P. 40 τυμπάνων καὶ κυμβάλων tr. L. 41 Βασιλεὺς δ' Ἀσ. L. et sec. ma. T. Σεναχηρεὶμ L.M.T. Σενναχηρεὶμ P. 42 πεντακισχιλίους νεκροὺς L. πεντακισχιλίους νεκρῶν P.E. et pr. ma. T. 43 ἀνόπλους τε καὶ L. ἔφευγεν M. Ἴστε καὶ L.P.T. ὁ λαὸς ὢν tr. M.P.T. λαὸς ὡς ἑβδομ. ἔτεσιν L. 44 Προυπέμφθεισαν P. τὸν ἐν αὐτῷ σύμμαχον L. τῷ αὐτῶν συμμάχῳ P. οὐκ ἔστιν εἰπεῖν tr. M.E. 46 κατασκαπτ. ἴδε P. μετριότερος P.

σιλεὺς ἐκεῖνος τῶν ὑμετέρων ἡγεμόνων ἦν, ὁ δὲ ὑπ' αὐτῷ λαὸς ὑμῶν. Βοῶντα γοῦν τὸν Ἱερεμίαν, ὡς ἀπέχθοιντο μὲν τῷ 47
θεῷ διὰ τὰς εἰς αὐτὸν πλημμελείας, ἀλώσοιντο δὲ, εἰ μὴ παραδοῖεν τὴν πόλιν, οὔθ' ὁ βασιλεὺς οὔθ' ὁ δῆμος ἀνεῖλεν. Ἀλλ' ὑμεῖς — ἵνα ἐάσω τὰ ἔνδον, οὐ γὰρ ἐρμηνεῦσαι δυναίμην 48
τὰς παρανομίας ὑμῶν ἀξίως — ἐμὲ τὸν παρακαλοῦντα πρὸς σωτηρίαν ὑμᾶς βλασφημεῖτε, καὶ βάλλετε, παροξυνόμενοι πρὸς τὰς ὑπομνήσεις τῶν ἁμαρτημάτων, καὶ μηδὲ τοὺς λόγους φέροντες, ὧν τὰ ἔργα δρᾶτε καθ' ἡμέραν. Τοῦτο δὲ, 49
ἡνίκα, Ἀντιόχου τοῦ κληθέντος Ἐπιφανοῦς προσκαθεζομένου τῇ πόλει, πολλὰ πρὸς τὸ θεῖον ἐξυβρικότος, οἱ πρόγονοι μετὰ τῶν ὅπλων προῆλθον, αὐτοὶ μὲν ἀπεσφάγησαν ἐν τῇ μάχῃ, διηρπάγη δὲ τὸ ἄστυ τοῖς πολεμίοις, ἠρημώθη δ' ἔτη τρία καὶ μῆνας ἓξ τὸ ἅγιον. Καὶ τί δεῖ τὰ ἄλλα λέγειν; 50
Ἀλλὰ Ῥωμαίους τίς ἐστρατολόγησε κατὰ τοῦ ἔθνους; Οὐχ ἡ τῶν ἐπιχωρίων ἀσέβεια; Πόθεν δ' ἠρξάμεθα δουλείας; Ἆρ' οὐχὶ ἐκ στάσεως τῶν προγόνων, ὅτε ἡ Ἀριστοβούλου 51
καὶ Ὑρκανοῦ μανία, καὶ ἡ πρὸς ἀλλήλους ἔρις Πομπήϊον ἐπήγαγε τῇ πόλει, καὶ Ῥωμαίοις ὑπέταξεν ὁ θεὸς τοὺς οὐκ ἀξίους ἐλευθερίας; Τρισὶ γοῦν μησὶ πολιορκηθέντες ἑαυτοὺς 52
παρέδοσαν, οὔτε ἁμαρτόντες εἰς τὰ ἅγια καὶ τοὺς νόμους, ἡλίκα ὑμεῖς, καὶ πολὺ μείζοσιν ἀφορμαῖς πρὸς τὸν πόλεμον χρώμενοι. Τὸ δὲ Ἀντιγόνου τέλος τοῦ Ἀριστοβούλου 53
παιδὸς οὐκ ἴσμεν, οὗ βασιλεύοντος ὁ θεὸς ἀλώσει πάλιν τὸν λαὸν ἥλαυνε πλημμελοῦντα; Καὶ Ἡρώδης μὲν ὁ Ἀντιπά- 54
τρου Σόσσιον, Σόσσιος δὲ Ῥωμαίων στρατιὰν ἤγαγε· περισχεθέντες δ' ἐπὶ μῆνας ἓξ ἐπολιορκοῦντο, μέχρι δίκας τῶν ἁμαρτιῶν δόντες ἑάλωσαν, καὶ διηρπάγη τοῖς πολεμίοις ἡ

ἡμετέρων M. 47 ὡς ἀπεχθάνοιντο M.E. 49 τοῦ ἐπικληθέντος L. ἐξυβρικότες L. διηρπάγει δὲ τὸ P. διηρπάγη δὲ καὶ τὸ E. δὲ ἐπὶ ἔτη τρία L. 50 πόθεν ἠρξάμεθα L. 51 ἀπ' ἐκστάσεως P. καὶ πρὸς ἀλλήλους M. et pri. ma. T. ἐπέταξε τὴν πόλιν ὁ θεὸς τοὺς ἀναξίους L. 52 Τρισὶ γὰρ μησὶ L. οὐχὶ ἁμαρτόντες L. οὔθ' ἁμαρτῶντες P. 54 Σόσ-σιον E. et sic constanter. Ῥωμαίων στρατηγίαν L. περιχεθέντες M.

55 πόλις. Οὕτως οὐδέποτε τῷ ἔθνει τὰ ὅπλα δέδοται· τῷ δὲ πολεμεῖσθαι καὶ τὸ ἁλώσεσθαι πάντως πρόσεστι. Δεῖ γὰρ, οἶμαι, τοὺς χωρίον ἅγιον νεμομένους ἐπιτρέπειν πάντα τῷ θεῷ δικάζειν, καὶ καταφρονεῖν τότε χειρὸς ἀνθρωπίνης, ὅτε
56 αὐτοὶ πείθουσι τὸν ἄνω δικαστήν. Ὑμῖν δὲ τί τῶν εὐλογηθέντων ὑπὸ τοῦ νομοθέτου πέπρακται; Τί δὲ τῶν ὑπ' ἐκείνου κατηραμένων παραλέλειπται; Πόσῳ δὲ ἐστὲ τῶν τάχιον
57 ἁλόντων ἀσεβέστεροι; Οὐ τὰ κρυπτὰ μὲν τῶν ἁμαρτημάτων ἠδοξήκατε, κλοπὰς λέγω καὶ ἐνέδρας καὶ μοιχείας· ἁρπαγαῖς δ' ἐρίζετε καὶ φόνοις, καὶ ξένας καινοτομεῖτε κακίας
58 ὁδούς. Ἐκδοχεῖον δὲ πάντων τὸ ἱερὸν γέγονε, καὶ χερσὶν ἐμφυλίοις ὁ θεῖος μεμίανται χῶρος, ὃν καὶ Ῥωμαῖοι πόρρωθεν προσεκύνουν, πολλὰ τῶν ἰδίων ἐθῶν παραλύοντες εἰς τὸν
59 ἡμέτερον νόμον. Εἶτα ἐπὶ τούτοις τὸν ἀσεβηθέντα σύμμαχον προσδοκᾶτε; Πάνυ γοῦν ἐστὲ δίκαιοι ἱκέται, καὶ χερσὶ
60 καθαραῖς τὸν βοηθὸν ὑμῶν παρακαλεῖτε. Τοιαύταις ὁ βασιλεὺς ἡμῶν ἱκέτευσεν ἐπὶ τὸν Ἀσσύριον, ὅτε τὸν μέγαν ἐκεῖνον στρατὸν μιᾷ νυκτὶ κατέστρωσεν ὁ θεός. Ὅμοια δὲ τῷ Ἀσσυρίῳ Ῥωμαῖοι δρῶσιν, ἵνα καὶ ἄμυναν ὑμεῖς ὁμοίαν ἐλπί-
61 σητε; Οὐχ ὁ μὲν χρήματα παρὰ τοῦ βασιλέως ὑμῶν λαβὼν ἐφ' ᾧ μὴ πορθήσῃ τὴν πόλιν, κατέβη παρὰ τοὺς ὅρκους ἐμπρῆσαι τὸν ναόν; Ῥωμαῖοι δὲ τὸν συνήθη δασμὸν αἰτοῦσιν,
62 ὃν οἱ πατέρες ἡμῶν τοῖς ἐκείνων πατράσι παρέσχον· καὶ τούτου τυχόντες οὔτε πορθοῦσι τὴν πόλιν, οὔτε ψαύουσι τῶν ἁγίων· διδόασι δὲ ὑμῖν τὰ ἄλλα γενεάς τε ἐλευθέρας, καὶ κτήσεις τὰς ἑαυτῶν νέμεσθαι, καὶ τοὺς ἱεροὺς νόμους σώζουσι·
63 μανία δὴ τὸν θεὸν προσδοκᾶν ἐπὶ δικαίοις, οἷος ἐπ' ἀδίκοις

55 τὸ δὲ πολεμεῖσθαι P. τοὺς χῶρον ἱερὸν νεμ. L. νεμωμένους P. ὅταν αὐτοὶ L. πείθωσι L.P.E. et pri. ma. T. 56 κατηραμένων ὑπολελειπται L. Πόσα δ' ἐστὲ L. 58 τὸ ἅγιον ἱερὸν L. χερσὶν ὁμοφύλοις L. ἐθῶν καὶ νόμων παραλ. M. ἐθῶν παραλ. καὶ νόμων P.T. εἰς τὸν ὑμέτερον παραλ. νόμον tr. L. εἰς τὸν ἡμέτερον νόμον desunt omnia P.T. 59 πάνυ οὖν ἐστὲ ἱκέται δίκαιοι P. 60 βασιλεὺς ὑμῶν L.T. ἐπὶ τῶν Ἀσσυρίων ex cor. T. στρατὸν ἐκεῖνον tr. M. ὅμοια δὲ τῶν Ἀσυρίων M. 61 βασιλέως ἡμῶν L.M.T. πορθήσειν ex cor. T. 63 δικαίοις, οἷς ἐπ' M.

ἐφάνη. Καὶ παραχρῆμα δ' ἀμύνειν οἶδεν, ὅταν δέῃ· τοὺς γοῦν Ἀσσυρίους κατὰ νύκτα τὴν πρώτην παραστρατοπεδευσαμένους ἔκλασεν· ὥστε, εἰ καὶ τὴν ἡμετέραν γενεὰν ἐλευ- 64
θερίας, ἣ Ῥωμαίους κολάσεως ἀξίους ἔκρινε, καὶ ἂν παραχρῆμα καθάπερ τοῖς Ἀσσυρίοις ἐνέσκηψεν, ὅτε τοῦ ἔθνους ἥπτετο Πομπήϊος, ὅτε μετ' αὐτὸν ἀνῄει Σόσσιος, ὅτε Οὐεσπασιανὸς ἐπόρθει τὴν Γαλιλαίαν, τὰ τελευταῖα νῦν, ὅτε ἤγγιζε Τίτος τῇ πόλει. Καίτοι Μάγνος μὲν, καὶ Σόσσιος 65
πρὸς τῷ μηδὲν παθεῖν, καὶ ἀνὰ κράτος ἔλαβον τὴν πόλιν, Οὐεσπασιανὸς δ' ἐκ τοῦ πρὸς ἡμᾶς πολέμου καὶ βασιλείας ἤρξατο. Τίτῳ μὲν γὰρ καὶ πηγαὶ πλουσιώτεραι ῥέουσιν, αἱ ξηρανθεῖσαι πρότερον ὑμῖν· πρὸ γοῦν τῆς αὐτοῦ παρουσίας 66
τήν τε Σιλωὰμ ἐπιλιποῦσαν ἴστε, καὶ τὰς ἔξω τοῦ ἄστεος ἁπάσας, ὥστε πρὸς ἀμφορεῖς ὠνεῖσθαι τὸ ὕδωρ· τὸ δὲ νῦν οὕτω πληθύνουσι τοῖς πολεμίοις ὑμῶν, ὡς μὴ μόνον αὐτοῖς καὶ κτήνεσιν, ἀλλὰ καὶ κήποις διαρκεῖν. Τό γε μὴν τέρας 67
τοῦτο πεπείρασθε καὶ πρότερον ἐφ' ἁλώσει τῆς πόλεως γεγενημένον, ὅθ' ὁ προειρημένος Βαβυλώνιος ἐπεστράτευσεν, ὃς τήν τε πόλιν ἑλὼν ἐνέπρησε καὶ τὸν ναὸν, οὐδὲν οἶμαι τῶν τότε ἠσεβηκότων τηλικοῦτον, ἡλίκα ὑμεῖς· ὥστε ἔγωγε πε- 68
φευγέναι μὲν ἐκ τῶν ἁγίων οἶμαι τὸν θεὸν, ἑστάναι δὲ παρ' οἷς πολεμεῖτε νῦν. Ἀλλ' ἀνὴρ μὲν ἀγαθὸς οἰκίαν ἀσελγῆ φεύξεται, καὶ τοὺς ἐν αὐτῇ στυγήσει· τὸν δὲ θεὸν ἔτι πεί- 69
θεσθε τοῖς ὑμετέροις κακοῖς παραμένειν, ὃς τά τε κρυπτὰ πάντα ἐφορᾷ, καὶ τῶν σιγωμένων ἀκούει; Τί δὲ σιγᾶται παρ' ὑμῖν, ἢ τί κρύπτεται, τί δ' οὐχὶ καὶ τοῖς ἐχθροῖς φανερὸν γέγονε; Πομπεύετε γὰρ παρανομοῦντες, καὶ καθ' ἡμέ- 70
ραν ἐρίζετε, τίς χείρων γένηται, τῆς ἀδικίας ὥσπερ ἀρετῆς

καταστρατοπεδευσαμ. L. ἐκόλασεν· ὥστε M.T. 64 αὐτὸν ἀνίει M. αὐτὸν ἀνείη P. 65 πρὸς τὸ μηδὲν L.M.E. καὶ κατακράτος L. 66 ἐπιλείπουσαν L.P. καὶ τὰς πρὸ τοῦ M.P.T. πρὸς ἀμφοτέραις L. πρὸς ἀμφορέας P. πληθύουσι L.P.T.E. 67 πεπείρασται P. 68 ἐγὼ πεφευγ. L.P. οἶμαι τὸ θεῖον, M.P.T. οἷς πολεμεῖται P. 69 τὸν θεὸν δ' ἔτι L. ἐφορᾷ πάντα tr. L. τῶν σιγομένων P. Τί δὲ σιγᾶτε M.

ἐπίδειξιν ποιούμενοι. Καταλείπεται δὲ ὅμως ἔτι σωτηρίας
ὁδὸς, ἐὰν θέλητε, καὶ τὸ θεῖον εὐδιάλλακτον ἐξομολογουμέ-
71 νοις καὶ μετανοοῦσιν. Ὦ σιδήρειοι, ῥίψατε τὰς πανοπλίας,
λάβετε ἤδη κατερειπομένης αἰδῶ πατρίδος, ἐπιστράφητε, καὶ
θεάσασθε τὸ κάλλος ἧς προδίδοτε, οἷον ἄστυ, οἷον ἱερὸν,
72 ὅσων ἐθνῶν δῶρα. Ἐπὶ ταῦτα τίς ὁδηγεῖ φλόγας; Ταῦτα
τίς μηκέτι εἶναι θέλει; Καὶ τί σώζεσθαι τούτων ἀξιώτερον;
Ἄτεγκτοι καὶ λίθων ἀπαθέστεροι. Καὶ εἰ μὴ ταῦτα γνη-
σίοις ὄμμασι βλέπετε, γενεὰς γοῦν ὑμετέρας οἰκτείρατε, καὶ
πρὸ ὀφθαλμῶν ἑκάστῳ γενέσθω τέκνα καὶ γυνὴ καὶ γονεῖς,
73 οὓς ἀναλώσει μετὰ μικρὸν ἢ λιμὸς ἢ πόλεμος. Οἶδα, ὅτι μοι
συγκινδυνεύει μήτηρ καὶ γυνὴ καὶ γένος οὐκ ἄσημον, καὶ
πάλαι λαμπρὸς οἶκος, καὶ τάχα δοκῶ διὰ ταῦτα συμβου-
λεύειν. Ἀποκτείνατε αὐτοὺς, λάβετε μισθὸν τῆς ἑαυτῶν
σωτηρίας τὸ ἐμὸν αἷμα· καὶ ἐγὼ θνήσκειν ἕτοιμος, εἰ μετ'
ἐμὲ σωφρονεῖν μέλλετε."

CAP. X.

1 1. Τοιαῦτα τοῦ Ἰωσήπου μετὰ δακρύων ἐμβοῶντος, οἱ στα-
σιασταὶ μὲν οὔτε ἐνέδοσαν, οὔτε ἀσφαλῆ τὴν μεταβολὴν
2 ἔκρινον· ὁ δὲ δῆμος ἐκινήθη πρὸς αὐτομολίαν. Καὶ οἱ μὲν
τὰς κτήσεις ἐλαχίστου πωλοῦντες, οἱ δὲ τὰ πολυτελέστερα
τῶν κειμηλίων, τοὺς μὲν χρυσοὺς, ὡς μὴ φωραθεῖεν ὑπὸ τῶν
λῃστῶν, κατέπινον, ἔπειτα πρὸς τοὺς Ῥωμαίους διαδιδρά-
3 σκοντες, ὁπότε κατενέγκαιεν, εὐπόρουν πρὸς ἃ δέοιντο. Δι-
φίει γὰρ τοὺς πολλοὺς ὁ Τίτος εἰς τὴν χώραν, ὅπου βού-
λοιτο ἕκαστος· καὶ τοῦτο αὐτοὺς μᾶλλον πρὸς αὐτομολίαν
παρεκάλει, τῶν μὲν εἴσω κακῶν στερησομένους, μὴ δουλεύσον-
4 τας δὲ Ῥωμαίοις. Οἱ δὲ περὶ τὸν Ἰωάννην καὶ τὸν Σίμωνα
περιεφύλαττον τὰς τούτων ἐξόδους πλέον, ἢ τὰς Ῥωμαίων

70 δ' ἔτι ὁμοίως σωτη. L. σωτηρίας ἐλπὶς, ἐὰν L. 71 σιδήρεοι L. κατερειπωμένης P. κατερειπωμένης T. ἠρειπομένης M. ἄστυ καὶ οἷον L. φλόγα P. et ex ras. T. 72 εἶναι θελήσει ex cor. T. ἄτεγκτοί γε καὶ L. ἀναλώσει κατὰ μικρὸν P.E. 1 ἔκριναν L. 3 χώραν, ὅποι P. βούλοιντο L. τοῦτο αὐτὸ μᾶλλον L.M.T. πρὸς τὸ αὐτομολεῖν L. προσαυτομολεῖν P. μὴ δουλεύοντας L. 4 περιεφύλαττον P.

εἰσόδους, καὶ σκιάν τις ὑπονοίας παρασχὼν μόνον εὐθέως ἀπεσφάττετο.

2. Τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν πρὸς ἀπώλειαν ἴσον ἦν· προφάσει γὰρ αὐτομολίας ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. Τῷ λιμῷ δὲ ἡ ἀπόνοια τῶν στασιαστῶν συνήκμαζεν, καὶ καθ' ἡμέραν ἀμφότερα προσεξεκαίετο τὰ δεινά. Φανερὸς μὲν γὰρ οὐδαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ διηρεύνων τὰς οἰκίας· ἔπειθ' εὑρόντες μὲν ὡς ἀρνησαμένους ἠκίζοντο, μὴ εὑρόντες δὲ ὡς ἐπιμελέστερον κρύψαντας ἐβασάνιζον. Τεκμήριον δὲ τοῦ τε ἔχειν καὶ μὴ τὰ σώματα τῶν ἀθλίων· ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖν τροφῆς ἐδόκουν, οἱ τηκόμενοι δὲ ἤδη παρωδεύοντο· καὶ κτείνειν ἄλογον ἐδόκει τοὺς ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα. Πολλοὶ δὲ λάθρα τὰς κτήσεις ἑνὸς ἀντηλλάξαντο μέτρου πυρῶν μέν, εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι κριθῆς· ἔπειτα κατακλείοντες ἑαυτοὺς εἰς τὰ μυχαίτατα τῶν οἰκιῶν, τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον τὸν σῖτον ἤσθιον, οἱ δὲ ἔπεσσον, ὡς ἥ τε ἀνάγκη καὶ τὸ δέος παρῄνει. Καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο, τοῦ δὲ πυρὸς ἐφέλκοντες ἔτ' ὠμὰ τὰ σιτία διήρπαζον.

3. Ἐλεεινὴ δ' ἦν ἡ τροφή, καὶ δακρύων ἄξιος ἡ θέα, τῶν μὲν δυνατωτέρων πλεονεκτούντων, τῶν δὲ ἀσθενῶν ὀδυρομένων. Πάντων μὲν δὴ παθῶν ὑπερίσταται λιμὸς, οὐδὲν δὲ οὕτως ἀπόλλυσιν, ὡς αἰδώ· τὸ γὰρ ἄλλως ἐντροπῆς ἄξιον, ἐν τούτῳ καταφρονεῖται. Γυναῖκες γοῦν ἀνδρῶν, καὶ παῖδες πατέρων, καὶ —τὸ οἰκτρότατον— μητέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς· καὶ τῶν φιλτάτων ἐν χερσὶ μαραινομένων, οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι

καὶ ὁ σκιὰν L. 5 ἀνήρητό τις L.P. δὲ ἀπόνοια M. et pri. ma. T. 6 μὲν γε οὐδαμοῦ L. 7 ἀθλίων· οἱ μὲν γὰρ ἔτι L. τοῖς ὑπ' ἐνδ. τεθνηξομένους P. 8 ἀντικατηλλάξαντο L. ἀντιλλάξαντο P. πυρὸν P. ἐτύγχανον ὄντες L. ἔπειτα κλείοντες T. 9 τινὲς δὲ ὑπ' L. ἐφελκοντος M.T. τὰ σιτήρια διήρπ. M. 10 ὡς αἰδὼς L.M.P. τὸ γοῦν ἄλλως M. τὸ γὰρ ἄλλοσε T. ἐν τοῦτο P. 11 Γυναῖκες γὰρ ἀνδρῶν T.

12 σταλαγμούς. Τοιαῦτα δ' ἐσθίοντες, ὅμως οὐ διελάνθανον· πανταχοῦ δ' ἐφίσταντο οἱ στασιασταὶ καὶ τούτων ταῖς ἁρπαγαῖς. Ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, σημεῖον ἦν τοῦτο, τοὺς ἔνδον προσφέρεσθαι τροφήν· εὐθέως δ' ἐξαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ τῶν
13 φαρύγγων ἀναθλίβοντες τὰς ἀκόλους ἀνέφερον. Ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ κόμας ἐσπαράττοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερσίν. Οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπαίροντες τὰ παιδία τῶν
14 ψωμῶν ἐκκρεμάμενα, κατέσειον εἰς ἔδαφος. Τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν, καὶ προκαταπιοῦσι τὸ ἁρπαγησόμενον, ὡς ἀδικηθέντες ἦσαν ὠμότεροι. Δεινὰς δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς ἔρευναν τροφῆς, ὀρόβοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δ'
15 ὀξείαις ἀναπείροντες τὰς ἕδρας. Τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου, καὶ ἵνα μηνύσῃ
16 δράκα μίαν κεκρυμμένων ἀλφίτων. Οἱ βασανισταὶ δ' οὐκ ἐπείνων, — καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετ' ἀνάγκης, — γυμνάζοντες δὲ τὴν ἀπόνοιαν, καὶ προπαρασκευάζοντες αὐ-
17 τοῖς εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. Τοῖς δ' ἐπὶ τὴν Ῥωμαίων φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων συλλογὴν ἀγρίων καὶ πόας ὑπαντῶντες, ὅτε ἤδη διαπεφευγέναι τοὺς πολεμίους
18 ἐδόκουν, ἀφήρπαζον τὰ κομισθέντα· καὶ πολλάκις ἱκετευόντων, καὶ τὸ φρικτὸν ἐπικαλουμένων ὄνομα τοῦ θεοῦ, μεταδοῦναί τι μέρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν μετέδοσαν. Ἀγαπητὸν δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι σεσυλημένον.

19 4. Οἱ μὲν δὴ ταπεινότεροι τοιαῦτα πρὸς τῶν δορυφόρων

12 πανταχοῦ δ' οὖν ἐφίστ. E. οἱ στασιασταὶ desunt L.T. τούτων ἅρπαγες. Ὁπότε ex cor. T. 12 τροφῆς P.E et pri. ma. T. εὐθέως δὲ ῥήξαντες L. τῶν φαρύγων L.M. 13 καὶ κόμης ἐσπ. L.P. οἶκτος ἢ πολιᾶς M. 14 τὴν ἐκδρομὴν L. Δεινῶν δὲ βασάνων L. ὀρόβοις ἐμφ. L. 15 κεκρυμμένην L. 16 οὐκ ἐπίνον P. προσπαρασκευάζοντες L. τὰς ἐξ ἡμέρας L. 17 Τοῖς δὲ τὴν P. καὶ πόας desunt P. 18 τὸ καὶ μὴ προσαπ. L. τὸ μὴ προσαπ. M.

ἔπασχον, οἱ δὲ ἐν ἀξιώματι καὶ πλούτῳ πρὸς τοὺς τυράννους ἀνήγοντο. Τούτων οἱ μὲν ἐπιβουλὰς ψευδεῖς ἐγκαλούμενοι διεφθείροντο, οἱ δὲ ὡς προδιδοῖεν Ῥωμαίοις τὴν πόλιν· τὸ δὲ 20 ἑτοιμότατον ἦν μηνυτής τις ὑποβλητὸς, ὡς αὐτομολεῖν διεγνωκότων. Ὁ δὲ ὑπὸ Σίμωνος γυμνωθεὶς πρὸς Ἰωάννην ἀνεπέμπετο, καὶ τῶν ὑπὸ Ἰωάννου σεσυλημένων ὁ Σίμων μετελάμβανεν· ἀντιπροέπινον δ' ἀλλήλοις τὸ αἷμα τῶν δημοτῶν, 21 καὶ τὰ πτώματα τῶν ἀθλίων διεμερίζοντο. Καὶ τοῦ μὲν κρατεῖν στάσις ἦν ἐν ἀμφοτέροις· τῶν δὲ ἀσεβημάτων ὁμόνοια. Καὶ γὰρ ὁ μὴ μεταδοὺς ἐκ τῶν ἀλλοτρίων κακῶν θα- 22 τέρῳ, μονοτρόπως ἐδόκει πονηρός· καὶ ὁ μὴ μεταλαβὼν, ὡς ἀγαθοῦ τινος ἤλγει τὸν νοσφισμὸν τῆς ὠμότητος.

5. Καθέκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν 23 ἀδύνατον· συνελόντα δ' εἰπεῖν, μήτε πόλιν ἄλλην τοιαῦτα πεπονθέναι, μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κακίας γονιμωτέραν· οἵ γε τελευταῖον καὶ τὸ γένος ἐφαύλιζον τῶν Ἑβραίων, ὡς ἧττον ἀσεβεῖς δοκοῖεν πρὸς ἀλλοτρίους. Ἐξωμολογή- 24 σαντο δὲ, ὅπερ ἦσαν, εἶναι δοῦλοι, καὶ σύγκλυδες, καὶ νόθα τοῦ ἔθνους φθάρματα. Τὴν μέν γε πόλιν ἀνέτρεψαν αὐτοί· Ῥωμαίους δὲ ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι σκυθρωπῷ κατορθώματι, καὶ μόνον οὐχ εἵλκυσαν ἐπὶ τὸν ναὸν βραδύνον τὸ πῦρ. Ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες 25 οὔτε ἤλγησαν, οὔτε ἐδάκρυσαν, ἀλλὰ ταῦτα τὰ πάθη παρὰ Ῥωμαίοις εὑρέθη. Καὶ ταῦτα μὲν κατὰ χώραν ὕστερον μετὰ ἀποδείξεως τῶν πραγμάτων ἐροῦμεν.

CAP. XI.

1. Τίτῳ δὲ τὰ μὲν χώματα προέκοπτε, καίτοι πολλὰ κακου- 1 μένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν. Πέμψας δὲ αὐτὸς

19 ψευδεῖς ἐπικαλούμενοι M.T. 20 τις deest L.P. ὑπὸ τοῦ Σίμωνος M. ἐπέμπετο L. καὶ τὸν ὑπὸ Ἰω. σεσυλημένον ex cor. T. 21 καὶ τὰ κτήματα τῶν L. τοῦ μὲν κρατεῖν L.M.P.E. 22 ὁ μὴ μεταδιδοὺς M. 24 ἐξομολογήσαντο P. δοῦλοι, σύγκλυδες P.E. ἀνέτρεψαν οἱ πολλοὶ sed in marg. ead. ma. αὐτοί. L. μονονουχὶ L. βραδύνον ἐπὶ τὸν ναὸν tr. L. 25 καιομένου P. παρὰ Ῥωμαίους P.T.E.

μοῖραν τῶν ἱππέων ἐκέλευσε τοὺς κατὰ τὰς φάραγγας ἐπὶ
2 συγκομιδῇ τροφῆς ἐξιόντας ἐνεδρεύειν. Ἦσαν δέ τινες μὲν
καὶ τῶν μαχίμων, οὐκ ἔτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ δὲ
πλέον ἐκ τοῦ δήμου πένητες, οὓς αὐτομολεῖν ἀπέτρεπε τὸ
3 περὶ τῶν οἰκείων δέος· οὔτε γὰρ λήσεσθαι τοὺς στασιαστὰς
ἤλπιζον μετὰ γυναικῶν καὶ παιδίων διαδιδράσκοντες, καὶ κα-
ταλιπεῖν ταῦτα τοῖς λῃσταῖς οὐχ ὑπέμενον ὑπὲρ αὐτῶν
4 σφαγησόμενα. Τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς
ἐποίει· καὶ κατελείπετο λανθάνοντας εἰς τοὺς πολεμίους ἁλί-
σκεσθαι. Λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο δέει τῆς
5 κολάσεως, καὶ μετὰ μάχην ἱκετεύειν ἄωρον ἐδόκει. Μαστι-
γούμενοι δὴ καὶ προβασανιζόμενοι τοῦ θανάτου πᾶσαν αἰ-
6 κίαν, ἀνεσταυροῦντο τοῦ τείχους ἀντικρύ. Τίτῳ μὲν οὖν
οἰκτρὸν τὸ πάθος κατεφαίνετο, πεντακοσίων ἑκάστης ἡμέρας,
ἔστι δ' ὅτε καὶ πλειόνων ἁλισκομένων· οὔτε δὲ τοὺς βίᾳ λη-
φθέντας ἀφεῖναι ἀσφαλὲς, καὶ φυλάττειν τοσούτους φρου-
7 ρὰν τῶν φυλαξάντων ἑώρα· τό γε μὴν πλέον οὐκ ἐκώλυε,
τάχ' ἂν ἐνδοῦναι πρὸς τὴν ὄψιν ἐλπίσας αὐτοὺς, εἰ μὴ παρα-
8 δοῖεν, ὅμοια πεισομένους. Προσήλουν δὲ οἱ στρατιῶται δι'
ὀργὴν καὶ μῖσος τοὺς ἁλόντας, ἄλλον ἄλλῳ σχήματι πρὸς
χλεύην, καὶ διὰ τὸ πλῆθος χώρα τε ἐνέλειπε τοῖς σταυροῖς,
καὶ σταυροὶ τοῖς σώμασιν.

9 2. Οἱ στασιασταὶ δὲ τοσοῦτον ἀπεδέησαν τοῦ μεταβα-
λέσθαι πρὸς τὸ πάθος, ὥστε καὶ τὸ ἐναντίον αὐτοὶ σοφίσα-
σθαι πρὸς τὸ λοιπὸν πλῆθος. Σύροντες γὰρ τοὺς τῶν αὐτο-
μόλων οἰκείους ἐπὶ τὸ τεῖχος, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ
10 πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύ-

1 ἐπὶ συγκομιδὴν L. 2 τινες καὶ τῶν L.P.T. ἔτι ἀρκούμενοι L. 3 καὶ παίδων L. καταλείπειν P. καταλ. πάντα τοῖς L. 4 λανθ. τοὺς πολεμίους P. λανθ. ὡς πολεμ. ex cor. T. δέει τῆς κολάσεως desunt P.T. 5 Μαστιγούμενοί τε καὶ L. 6 ἔστιν δὲ καὶ ὅτε L. ἀσφαλὲς ἀφεῖναι tr. L. 7 τό τε μὴν L. ταχείαν ἐνδοῦναι L. τάχα δ' ἂν ἐνδ. M.E. et pri. ma. T. 8 ἄλλον deest L. ἐνελείπετο τοῖς M.E. ἐνέλιπε ex cor. T. 9 ἐπεδέησαν L. αὐτοὺς σοφίσασθαι M. αὐτοῖς σοφ. E. ἐπὶ πίστην P.

γοντες ἐπεδείκνυσαν, καὶ τοὺς κεκρατημένους ἱκέτας ἔλεγον οὐκ αἰχμαλώτους. Τοῦτο πολλοὺς τῶν αὐτομολεῖν ὡρμη- 11
μένων, μέχρι τὸ ἀληθὲς ἐγνώσθη, κατέσχεν εἴσω· ἔνιοι δὲ καὶ παραχρῆμα διέδρασαν, ὡς ἐπὶ βέβαιον τιμωρίαν, ἀνάπαυσιν ἡγούμενοι τὸν ἐκ τῶν πολεμίων θάνατον ἐν λιμοῦ συγκρίσει. Πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας Τίτος τῶν 12
ἁλωκότων, ὡς μὴ δοκοῖεν αὐτόμολοι, καὶ πιστεύοιντο διὰ τὴν συμφοράν, εἰσέπεμψε πρὸς τὸν Ἰωάννην καὶ τὸν Σίμωνα, 'νῦν γε ἤδη παύσασθαι παραινῶν, καὶ μὴ πρὸς ἀναίρε- 13
σιν τῆς πόλεως αὐτὸν βιάζεσθαι, κερδῆσαι δ' ἐκ τῆς ἐν ὑστάτοις μεταμελείας τάς τε αὐτῶν ψυχὰς, καὶ τηλικαύτην πατρίδα, καὶ ναὸν ἀκοινώνητον ἄλλοις.' Περιιὼν δὲ τὰ χώματα 14
τοὺς ἐργαζομένους ἅμα κατήπειγεν, ὡς οὐκ εἰς μακρὰν ἀκολουθήσων ἔργοις τῷ λόγῳ. Πρὸς ταῦτα αὐτόν τε ἐβλασφήμουν ἀπὸ τοῦ τείχους Καίσαρα, καὶ τὸν πατέρα αὐτοῦ, καὶ 'τοῦ μὲν θανάτου καταφρονεῖν ἐβόων, ἠρῆσθαι γὰρ αὐτὸν πρὸ δουλείας καλῶς· ἐργάσασθαι δὲ ὅσα ἂν δύνωνται 15
κακὰ Ῥωμαίους, ἕως ἐμπνέωσι, πατρίδος δ' οὐ μέλειν τοῖς, ὡς αὐτός φησιν, ἀπολουμένοις, καὶ ναοῦ ἀμείνω τούτου τῷ θεῷ τὸν κόσμον εἶναι. Σωθήσεσθαί γε μὴν καὶ τοῦτον ὑπὸ 16
τοῦ κατοικοῦντος, ὃν καὶ αὐτοὶ σύμμαχον ἔχοντες πᾶσαν χλευάζειν ἀπειλὴν ὑστεροῦσαν ἔργων· τὸ γὰρ τέλος εἶναι τοῦ θεοῦ.' Τοιαῦτα ταῖς λοιδορίαις ἀναμίσγοντες ἐκεκράγεσαν.

3. Ἐν δὲ τούτῳ καὶ ὁ Ἐπιφανὴς Ἀντίοχος παρῆν, ἄλ- 17
λους τε ὁπλίτας συχνοὺς ἔχων, καὶ περὶ αὐτὸν στίφος Μακεδόνων καλούμενον, ἡλικας πάντας, ὑψηλοὺς, ὀλίγον ὑπὲρ ἀν-

11 κατέσχεν· εἰσὶ δ' οἱ καὶ L.P. διέδραν ex ras. T. ἐπὶ βεβαίαν L. τὸν Σίμωνα καὶ τὸν Ἰωάννην tr. M.P.T. 13 κερδῆσαι ἐκ L. 14 Περιῶν δὲ Τίτος τὰ P. ὡς οὐκέτι εἰς L. ἀκολουθήσειν P.T.E. τὸν λόγον ex cor. T. Πρὸς αὐτόν τε M. τὸν Καίσαρα L. εἰρῆσθαι γὰρ P. 15 οὐ μέλλειν T. μέλειν, τῆς εἰς αὐτὸς P. φησιν, ἀποκαλουμένοις, L. φ. ἀπολουμένης P. ναοῦ πυρπολουμένου ἀμείνω L. ν. ἀπολουμένου ἀμ. M.P.T. 16 Σωθήσεσθαί τε μὴν M. χλευάσειν P. ἐκεκράγεισαν L. 17 ἡλικας, ὑψηλοὺς πάντας tr. L. ἡλικίᾳ πάντας ὑψ. M.

τίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένους τε καὶ πε-
18 παιδευμένους, ὅθεν δὴ καὶ τὴν ἐπίκλησιν εἶχον, ὑστεροῦντες οἱ πολλοὶ τοῦ γένους. Εὐδαιμονῆσαι γὰρ μάλιστα τῶν ὑπὸ Ῥωμαίοις βασιλέων τὸν Κομμαγηνὸν συνέβη, πρὶν γεύσα-
19 σθαι μεταβολῆς. Ἀπέφηνε δὲ καὶ ἐκεῖνος ἐπὶ γήρως, ὡς οὐδένα χρὴ λέγειν πρὸ θανάτου μακάριον. Ἀλλ' ὅ γε παῖς ἀκμάζοντος αὐτοῦ τηνικαῦτα παρὼν 'θαυμάζειν ἔφασκε, τί
20 δήποτε Ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει.' Πολεμιστὴς δέ τις αὐτὸς ἦν, καὶ φύσει παράβολος, κατά τε τὴν ἀλκὴν τοσοῦτος, ὡς ὀλίγῳ τὴν τόλμαν διαμαρτάνειν. Μειδιάσαντος δὲ τοῦ Τίτου, καὶ 'κοινὸς ὁ πόνος' εἰπόντος, ὡς εἶχεν ὥρμησεν ὁ Ἀντίοχος μετὰ τῶν Μακεδόνων πρὸς τὸ
21 τεῖχος. Αὐτὸς μὲν οὖν διά τε ἰσχὺν καὶ κατ' ἐμπειρίαν ἐφυλάττετο τὰ τῶν Ἰουδαίων βέλη, τοξεύων εἰς αὐτούς· τὰ
22 μειράκια δὲ αὐτῷ συνετρίβη πάντα, πλὴν ὀλίγων. Διὰ γὰρ αἰδῶ τῆς ὑποσχέσεως προσεφιλονείκει μαχόμενα, καὶ τέλος ἀνεχώρουν τραυματίαι πολλοὶ, συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς Μακεδόσιν, εἰ μέλλοιεν κρατεῖν, δέοι τῆς Ἀλεξάνδρου τύχης.

23 4. Τοῖς δὲ Ῥωμαίοις, ἀρξαμένοις δωδεκάτῃ μηνὸς Ἀρτεμισίου, συνετελέσθη τὰ χώματα μόλις ἐννάτῃ καὶ εἰκάδι, ταῖς
24 δεκαεπτὰ συνεχῶς πονουμένων ἡμέραις· μέγιστα γὰρ ἐχώσθη τὰ τέσσαρα, καὶ θάτερον μὲν τὸ ἐπὶ τὴν Ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη κατὰ μέσον τῆς Στρουθίου κα-
25 λουμένης κολυμβήθρας· τὸ δὲ ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος ὅσον εἰς πήχεις εἴκοσι. Τῷ δεκάτῳ δὲ τάγματι,

18 ὅθεν καὶ τὴν L.P.T. εὐδαιμονῆσαι δὲ μάλ. L. εὐδ. γὰρ δὴ μάλ. P. ὑπὸ Ῥωμαίους L. Κομαγηνὸν P. 19 προσεῖναι τῷ τείχει L. 20 κατά γε τὴν M. ὡς ὀλιγωτάτης τόλμας διαλανθάνειν L. ὡς ὀλιγοτάτης τόλμης διαμαρτάνειν P. ὁ Ἀντίοχος ὥρμησεν tr. L. ἐπὶ τὸ τεῖχος μετὰ τῶν Μακεδόνων M. 21 Αὐτὸς μὲν οὖν Hic denuo incipit Codex N. μειράκια δ' αὐτῶν συν. L. 22 κρατεῖν, δεῖ τῆς L.P. et ex cor. T. κρατεῖν διὰ τῆς M.N. 23 ἀρχομένοις M. δωδεκάτῳ E. δωδεκάτῃ ἡμέρᾳ L. Ἀρτεμησίου L.P. Ἀρτεμ. μηνὸς tr. L. ἐνάτῃ L.M.P. ταῖς δέ γε ἑπτὰ P. ταῖς δεκεπτὰ T. 24 τὸ ὑπὸ τὴν Ἀντ. ex cor. T. κατὰ τὸ μέσον L. τῆς τοῦ στρουθίου καλ. L. τῆς τοῦ θείου καλ. M.N.P.T. 25 ὅσον ἐπὶ πήχεις L. τῷ δωδεκάτῳ δὲ P.

διέχοντι πολὺ τούτων, κατὰ βόρειον κλίμα τὸ ἔργον ἦν καὶ κολυμβήθραν Ἀμύγδαλον προσαγορευομένην. Τούτου δὲ 26
τὸ πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν ἔχου κατὰ τὸ τοῦ ἀρχιερέως μνημεῖον. Προσαγομένων δ' ἤδη τῶν ὀργάνων, ὁ μὲν Ἰωάννης ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων, καὶ διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους ἀνακρήμνησι τὰ ἔργα· πίσσῃ δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην 27
ὕλην εἰσκομίσας ἐνίησι πῦρ, καὶ τῶν σταυρῶν ὑποκαέντων ἥ τε διώρυξ ἐνέδωκεν ἀθρόα, καὶ μετὰ μεγίστου ψόφου κατεσείσθη τὰ χώματα εἰς αὐτήν. Τὸ μὲν οὖν πρῶτον μετὰ τοῦ 28
κονιορτοῦ καπνὸς ἠγείρετο βαθύς, πνιγομένου τῷ πτώματι τοῦ πυρός· τῆς δὲ θλιβούσης ὕλης διαβιβρωσκομένης ἤδη φανερὰ φλὸξ ἐρρήγνυτο. Καὶ τοῖς Ῥωμαίοις ἔκπληξις μὲν 29
πρὸς τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς τὴν ἐπίνοιαν ἐμπίπτει. Καὶ κρατήσειν οἰομένοις ἤδη τὸ συμβὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα· τὸ δὲ ἀμύνειν ἀχρεῖον ἐδόκει πρὸς τὸ πῦρ, 30
καὶ εἰ σβεσθείη, τῶν χωμάτων καταποθέντων.

5. Μετὰ δὲ ἡμέρας δύο καὶ τοῖς ἄλλοις ἐπιτίθενται χώμα- 31
σιν οἱ περὶ τὸν Σίμωνα· καὶ γὰρ δὴ προσαγαγόντες ταύτῃ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι, διέσειον ἤδη τὸ τεῖχος. Τεφθαῖος 32
δέ τις ἀπὸ Γαρσὶς πόλεως τῆς Γαλιλαίας, καὶ Μεγάσσαρος τῶν βασιλικῶν Μαριάμμης θεράπων, μεθ' ὧν Ἀδιαβηνός τις υἱὸς Ναβαταίου, τὸ ὄνομα κληθεὶς ἀπὸ τῆς τύχης Χαγείρας, ὅπερ σημαίνει χωλὸς, ἁρπάσαντες λαμπάδας, προσεπήδησαν ἐπὶ τὰς μηχανάς. Τούτων τῶν ἀνδρῶν οὔτε τολμηρότεροι 33
κατὰ τόνδε τὸν πόλεμον ἐκ τῆς πόλεως ἐφάνησαν, οὔτε φοβερώτεροι· καθάπερ γὰρ εἰς φίλους ἐκτρέχοντες οὐ πολεμίων

26 τὸ πέμπτον καὶ δέκατον L. πηχῶν ἔχουσιν, κατὰ L. π. ἔχον κατὰ M.E. π. ἔχουσα κατὰ P. ἤδη αὐτῶν, ὁ μὲν P. χωμάτων διάστημα, καὶ διαλ. E. ἀνακρίμνησι L.N. 27 διακεχρησμένην M. 28 τῷ πταίσματι τοῦ πυρός P.E. et pri. ma. T. φλὸξ ἐγίνετο· καὶ L. 31 ἤδη deest P. 32 Τεφθέος P. Τευθαῖος ex cor. T. ἀπὸ Γαρὶς πόλ. L.P. ἀπὸ γὰρ σῆς π. M. Μαγάσσαρος L. Μασσάγαρος P. τύχης καὶ ἀγήρας L. τύχης καὶ ἀγείρας M.N.T. προεπήδησαν P. 33 οὐδὲ φοβερώτεροι M.N.T. οὐδὲ φοβερότεροι P.

34 στίφος οὔτε ἔδεισαν, οὔτε ἐμέλλησαν, οὔτε ἀπέστησαν, ἀλλὰ διὰ μέσων ἐνθροοῦντες τῶν ἐχθρῶν ὑφῆψαν τὰς μηχανάς. Βαλλόμενοι δὲ, καὶ τοῖς ξίφεσιν ἀνωθούμενοι πάντοθεν, οὐ πρότερον ἐκ τοῦ κινδύνου μετεκινήθησαν, ἢ δράξασθαι τῶν ὀργάνων τὸ
35 πῦρ. Αἰρομένης δ' ἤδη τῆς φλογὸς, Ῥωμαῖοι μὲν ἀπὸ τῶν στρατοπέδων συνθέοντες ἐβοήθουν· Ἰουδαῖοι δὲ ἐκ τοῦ τείχους ἐκώλυον, καὶ τοῖς σβεννύειν πειρωμένοις συνεπλέκοντο,
36 κατὰ μηδὲν τῶν ἰδίων φειδόμενοι σωμάτων. Καὶ οἱ μὲν εἶλκον ἐκ τοῦ πυρὸς τὰς ἑλεπόλεις, τῶν ὑπὲρ αὐτὰς γέρρων φλεγομένων· οἱ δὲ Ἰουδαῖοι καὶ διὰ τῆς φλογὸς ἀντελαμβάνοντο, καὶ τοῦ σιδήρου ζέοντος δρασσόμενοι τοὺς κριοὺς οὐ
37 μεθίεσαν. Διέβαινε δ' ἀπὸ τούτων ἐπὶ τὰ χώματα τὸ πῦρ, καὶ τοὺς ἀμύνοντας προσελάμβανεν. Ἐν τούτῳ δὲ οἱ μὲν Ῥωμαῖοι κυκλούμενοι τῇ φλογὶ, καὶ τὴν σωτηρίαν τῶν ἔργων
38 ἀπογνόντες, ἀνεχώρουν ἐπὶ τὰ στρατόπεδα. Ἰουδαῖοι δὲ προσέκειντο πλείους ἀεὶ γινόμενοι, τῶν ἔνδοθεν προσβοηθούντων, καὶ τῷ κρατεῖν τεθαρρηκότες ἀταμιεύτοις ἐχρῶντο ταῖς ὁρμαῖς· προσελθόντες δὲ μέχρι τῶν ἐρυμάτων, ἤδη συν-
39 επλέκοντο τοῖς φρουροῖς. Τάξις δ' ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη πρὸ τοῦ στρατοπέδου μετὰ τῶν ὅπλων, καὶ δεινὸς ἐπ' αὐτῇ Ῥωμαίων νόμος, τὸν ὑποχωρήσαντα καθ' ἣν δήποτ' οὖν
40 αἰτίαν θνήσκειν. Οὗτοι, τοῦ μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες, ἵστανται· καὶ πρὸς τὴν τούτων ἀνάγ-
41 κην πολλοὶ τῶν τραπέντων ἐπεστράφησαν αἰδούμενοι· διαθέντες δὲ καὶ τοὺς ὀξυβελεῖς ἐπὶ τοῦ τείχους εἶργον τὸ προσγινόμενον πλῆθος ἐκ τῆς πόλεως, οὐδὲν εἰς ἀσφάλειαν ἢ
42 φυλακὴν τῶν σωμάτων προνοουμένους. Συνεπλέκοντο γὰρ

οὔτε ἔδεισαν desunt P. οὔτε ἀπέστησαν desunt L. 34 μέσων ἐνθορόντες τῶν L.P. μ. ἐκθέοντες τῶν M. ἐκθοροῦντες E. ἐκθορόντες ex ras. T. ἐνθορῶντες N. τοῖς ξίφεσι, καὶ tr. P. 36 ἐκ τοῦ πυρὸς desunt M.T. γέρρων ἐκ τοῦ πυρὸς φλεγ. M.N.P.T. 37 προελάμβανεν M.P. T.E. οἱ Ῥωμαῖοι P. 38 ταῖς ὀργαῖς· προσελθ. P. 39 Τάξις ἐστὶν L.N.P.T. μετὰ τῶν ὅπλων desunt N.P.T. ἐπ' αὐτὴν P. ὑποχωρήσοντα M. 40 ἀπεστράφησαν L. 41 προνοούμενοι P. et ex cor. T.

οἱ Ἰουδαῖοι τοῖς προστυχοῦσι, καὶ ταῖς αἰχμαῖς ἀφυλάκτως ἐμπίπτοντες, αὐτοῖς τοῖς σώμασι τοὺς ἐχθροὺς ἔπαιον. Οὔτε δὲ ἔργοις αὐτοὶ πλέον, ἢ τῷ θαρρεῖν περιῆσαν· καὶ Ῥωμαῖοι τῇ τόλμῃ πλέον εἶκον, ἢ τῷ κακοῦσθαι.

6. Παρῆν δ' ἤδη Τίτος ἀπὸ τῆς Ἀντωνίας, ὅπου κεχώ- 43
ριστο, κατασκεπτόμενος τόπον ἄλλοις χώμασι· καὶ πολλὰ τοὺς στρατιώτας φαυλίσας, εἰ κρατοῦντες τῶν πολεμίων τειχῶν κινδυνεύουσι τοῖς ἰδίοις, καὶ πολιορκουμένων ὑπομένουσιν αὐτοὶ τύχην, ὥσπερ ἐκ δεσμωτηρίου καθ' αὑτῶν Ἰουδαίους 44
ἀνέντες, περιῄει μετὰ τῶν ἐπιλέκτων κατὰ πλευρὰ τοὺς πολεμίους αὐτός. Οἱ δὲ κατὰ στόμα παιόμενοι, καὶ πρὸς τοῦτον ἐπιστραφέντες ἐκαρτέρουν. Μιγείσης δὲ τῆς παρατά- 45
ξεως, ὁ μὲν κονιορτὸς τῶν ὀμμάτων, ἡ κραυγὴ δὲ τῶν ἀκοῶν ἐπεκράτει, καὶ οὐδετέρῳ παρῆν ἔτι τεκμήρασθαι τὸ ἐχθρὸν, ἢ τὸ φίλον. Ἰουδαίων δὲ οὐ τοσοῦτον ἔτι κατ' ἀλκὴν, ὅσον 46
ἀπογνώσει σωτηρίας, παραμενόντων, καὶ Ῥωμαίους ἐτόνωσεν αἰδὼς δόξης τε καὶ τῶν ὅπλων, καὶ προκινδυνεύοντος Καίσαρος· ὥστε μοι δοκοῦσι τὰ τελευταῖα δι' ὑπερβολὴν θυμῶν 47
καὶ ἂν ὅλον ἁρπάσαι τὸ τῶν Ἰουδαίων πλῆθος, εἰ μὴ τὴν ῥοπὴν τῆς παρατάξεως φθάσαντες ἀνεχώρησαν εἰς τὴν πόλιν. Διεφθαρμένων δὲ τῶν χωμάτων, Ῥωμαῖοι μὲν ἦσαν ἐν ἀθυμί- 48
αις, τὸν μακρὸν κάματον ἐπὶ μιᾶς ὥρας ἀπολέσαντες· καὶ πολλοὶ μὲν ταῖς συνήθεσι μηχαναῖς ἀπήλπιζον ἁλώσεσθαι τὴν πόλιν.

CAP. XII.

1. Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο· καὶ τοῖς μὲν 1
θερμοτέροις ἐδόκει πᾶσαν προσάγοντα τὴν δύναμιν ἀποπει-

42 καὶ ταῖς ἀκμαῖς M.P.T. καὶ τ. ἀχμαῖς N. αὐτοῖς σώμασι M.N.P.T. οὔτε γὰρ ἔργοις T.E. πλέον εἶχον ἢ τοῦ κακ. P. 43 καὶ πολλοὺς τοὺς M. κινδυν. τοῖς Ἰουδαίοις, καὶ P. 44 καθ' ἑαυτῶν L. κατὰ πλευρὰν τοῖς πολεμίοις M. 45 τὸν ἐχθρὸν ἢ L.M. ἢ τὸν φίλον L.M. ἢ τὸ φίλιον P. 46 ἀπόγνωσις L. δόξης καὶ L. 47 θυμῶν καὶ ἁρπάσαι P. θυ. καὶ ὅλον ἁρπάσαι N.T. ἀνεχώρουν εἰς L. 48 μιᾶς ἡμέρας ἀπολ. M. ταῖς τε συνήθεσι L. 1 πᾶσαν ἐδόκει tr. L.N.P.T. προσαγάγοντα τὴν L.T. προσφέρειν τὴν M.P. ἀποπειρᾶσθαί τε M.N.P.

ῥᾶσθαι τοῦ τείχους βίᾳ· μέχρι μὲν γὰρ νῦν κατασπάσματι Ἰουδαίους τῆς στρατιᾶς συμπεπλέχθαι, προσιόντων δὲ ἀθρόων οὐδὲ τὴν ἔφοδον οἴσειν, καταχωσθήσεσθαι γὰρ ὑπὸ τῶν βελῶν.' Τῶν δὲ ἀσφαλεστέρων οἱ μὲν καὶ 'τὰ χώματα ποιεῖν 3 πάλιν,' οἱ δὲ καὶ 'δίχα τούτων προσκαθέζεσθαι, μόνον παραφυλάττοντας τάς τε ἐξόδους αὐτῶν καὶ τὰς εἰσκομιδὰς τῶν ἐπιτηδείων παρήνουν, καὶ τῷ λιμῷ καταλιπεῖν τὴν πόλιν, μηδὲ 4 συμπλέκεσθαι κατὰ χεῖρα τοῖς πολεμίοις· ἄμαχον γὰρ εἶναι τὴν ἀπόγνωσιν, οἷς εὐχὴ μὲν τῷ σιδήρῳ πεσεῖν, ἀπόκειται δὲ 5 καὶ δίχα τούτου πάθος χαλεπώτερον.' Αὐτῷ δὲ 'τὸ μὲν ἀργεῖν καθόλου μετὰ τοσαύτης δυνάμεως οὐκ ἐδόκει πρέπειν, καὶ τὸ μάχεσθαι περιττὸν πρὸς ἀλλήλων φθαρησομένοις· βάλλεσθαι δὲ χώματα δύσεργον ἀπέφαινεν ὕλης ἀπορίᾳ, καὶ 6 τὸ παραφυλάττειν τὰς ἐξόδους δυσεργότερον. Κυκλώσασθαί τε γὰρ τῇ στρατιᾷ τὴν πόλιν διὰ τὸ μέγεθος καὶ δυσχωρίαν οὐκ εὐμαρὲς εἶναι, καὶ σφαλερὸν ἄλλως πρὸς τὰς 7 ἐπιθέσεις. Τῶν δὲ φανερῶν φυλαττομένων, ἀφανεῖς ἐπινοεῖσθαι Ἰουδαίοις ὁδοὺς κατά τε ἀνάγκην καὶ δι' ἐμπειρίαν· εἰ δέ τι λάθρα παρεισκομισθήσοιτο τριβὴν ἔσεσθαι πλείω τῇ 8 πολιορκίᾳ. Δεδιέναι τε, μὴ τὴν δόξαν τοῦ κατορθώματος αὐτῷ τὸ μῆκος ἐλαττώσῃ τοῦ χρόνου· τούτῳ μὲν γὰρ εἶναι 9 πᾶν ἀνύσιμον, πρὸς δὲ τῆς εὐκλείας τὸ τάχος. Δεῖν γε μὴν εἰ καὶ τῷ τάχει μετ' ἀσφαλείας βούλοιτο χρήσεσθαι, περιτειχίζειν ὅλην τὴν πόλιν· μόνως γὰρ οὕτως ἂν πάσας ἀποφράξαι τὰς ἐξόδους, καὶ Ἰουδαίους ἢ πρὸς ἅπαντα ἀπογνόν-

κατάσπασμα Ἰουδαίοις L.E. κατὰ σφάλμα Ἰουδαίοις sed σφάλμα ex cor. T. τῆς στρατιᾶς desunt P. τῇ στρατιᾷ T. 2 καταχωσθείσαις γὰρ P. παρακαθέζεσθαι N.P.T. 3 καὶ λιμῷ L. λιμῷ καταλαβεῖν τὴν L. λ. ἐκλείπειν τὴν P. 4 εὐχὴ μὲν τὸ σι. ex cor. T. τούτου τὸ πάθος L. 5 Αὐτῷ δὲ τῷ μὲν P. καθόλου δὲ μετὰ N. φθαρησομένους L.N. ἀπέφαινον L. 6 Κυκλώσασθαι γὰρ L. διὰ μέγεθος M.N.T. 7 καὶ κατ' ἐμπειρίαν L. παρεισκομισθείη L. et ex cor. T. παρεισκ. τὸ τριβήσεσθαι δέοι πλείω L. ἔσεσθαι πλείονα τῇ P. 8 Δεδιέναι γε μὴν τὴν L. αὐτὸ τὸ μῆκος P. ἐλαττώσει L. πρὸ δὲ τῆς, sed in marg. πρὸς δὲ τῇ εὐκλείᾳ T. 9 Δεῖν μέν γε εἰ M.T.E. βούλοιντο L.E. χρήσασθαι L.P.T.E. ἂν οὕτως tr. L.T. ἀποφράξασθαι L. πρὸς ἅπαντας L.

σας τὴν σωτηρίαν παραδώσειν τὴν πόλιν, ἢ λιμώττοντας χειρωθήσεσθαι ῥᾳδίως· οὐδὲ γὰρ ἠρεμήσειν αὐτὸν ἄλλως, ἀλλὰ καὶ τῶν χωμάτων ἐπιμελήσεσθαι πάλιν, χρώμενον τοῖς κωλύουσιν ἀτονωτέροις. Εἰ δέ τῳ μέγα δοκεῖ καὶ δυσήνυτον τὸ ἔργον, χρῆναι σκοπεῖν, ὡς οὔτε Ῥωμαίοις τι μικρὸν ἐνεργεῖν πρέπει, καὶ δίχα πόνου κατορθοῦν τι τῶν μεγάλων οὐδενὶ ῥᾴδιον, ἀλλ' ἢ θεῷ μόνῳ.' [10]

2. Τούτοις πείσας τοὺς ἡγεμόνας, διανέμειν ἐκέλευσε τὰς δυνάμεις ἐπὶ τὸ ἔργον. Ὁρμὴ δέ τις ἐμπίπτει δαιμόνιος τοῖς στρατιώταις· καὶ μερισαμένων τὸν περίβολον οὐ μόνον τῶν ταγμάτων ἦν ἔρις, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς τάξεων πρὸς ἀλλήλας· καὶ στρατιώτης μὲν δεκαδάρχην, δεκαδάρχης δὲ ἑκατοντάρχην, οὗτος δὲ ἐσπούδαζεν ἀρέσασθαι χιλίαρχον, τῶν δὲ χιλιάρχων ἐπὶ τοὺς ἡγεμόνας ἔτεινεν ἡ φιλοτιμία, καὶ τῶν ἡγεμόνων τὴν ἄμιλλαν ἐβράβευε Καῖσαρ. Περιιὼν γὰρ αὐτὸς ἑκάστης ἡμέρας πολλάκις, ἐπεσκόπει τὸ ἔργον. Ἀρξάμενος δὲ ἀπὸ τῆς Ἀσσυρίων παρεμβολῆς, καθ' ἣν αὐτὸς ἐστρατοπεδεύετο, ἐπὶ τὴν κατωτέρω Καινόπολιν ἦγε τὸ τεῖχος, ἔνθεν διὰ τοῦ Κεδρῶνος ἐπὶ τὸ Ἐλαιῶν ὄρος· εἶτα ἀνακάμπτων κατὰ μεσημβρίαν περιλαμβάνει τὸ ὄρος ἄχρι τῆς Περιστερεῶνος καλουμένης πέτρας, τόν τε ἐξῆς λόφον, ὃς ἐπίκειται τῇ κατὰ τὴν Σιλωὰμ φάραγγι. Καὶ ἐκεῖθεν ἐκκλίνας πρὸς δύσιν, εἰς τὴν τῆς Πηγῆς κατῄει φάραγγα. Μεθ' ἣν ἀναβαίνων κατὰ τὸ Ἀνάνου τοῦ ἀρχιερέως μνημεῖον, καὶ διαλαβὼν τὸ ὄρος, ἔνθα Πομπηΐος ἐστρατοπεδεύσατο, πρὸς κλίμα βόρειον ἐπέστρεφε, καὶ προελθὼν μέχρι κώμης τινὸς, Ἐρεβίνθων οἶκος καλεῖται, καὶ μετ' ἐκείνην τὸ Ἡρώδου μνημεῖον [11] [12] [13] [14] [15] [16]

τῆς σωτηρίας M. 10 αὐτοὺς ἄλλως M.P.T. χρώμενος L.P. χρωμένους ex cor. T. δίχα πόνων L. μεγάλων οὐδὲ θεῷ ῥᾳδίον. L. ῥᾴδιον, ἢ θεῷ μόνῳ. Τούτοις M. ῥάδιον. Τούτοις P. 11 τὰς δυνάμεις ἐκέλευσεν tr. L. μόνον προστάγματος ἦν L.M.N. μ. πρὸς τάγματα ἦν E. τῶν ἐν ἑαυτοῖς L. τῶν ἐν αὐταῖς P. 12 δεκάρχην, δεκάρχης M. ἑκατοντάρχῃ L. χιλιάρχῳ L.P. 13 πολλάκις ἐσκόπει L. ἐστρατοπεδεύσατο M.N.P.T. τὴν κατωτέραν L. 14 ἀνακάμπτων περὶ μεσ. L. ὄρος μέχρι τῆς L. ἐπίκειται Σιλωὰμ φάραγγι P. 16 καὶ προσελθὼν N.

περισχὼν κατ' ἀνατολὴν τῷ ἰδίῳ στρατοπέδῳ συνῆπτεν, ὅθεν
17 ἤρξατο. Τὸ μὲν οὖν τεῖχος ἐνὸς δέοντος τεσσαράκοντα στα-
δίων ἦν, ἔξωθεν δὲ αὐτῷ προσφκοδομήθη τρισκαίδεκα φρού-
18 ρια, καὶ τούτων οἱ κύκλοι δέκα συνηριθμοῦντο σταδίων. Τρισὶ
δ' ὠκοδομήθη τὸ πᾶν ἡμέραις· ὡς τὸ μὲν ἔργον μηνῶν εἶναι
ἄξιον, τὸ δὲ τάχος ἡττῆσθαι πίστεως. Περικλείσας δὲ τῷ
τείχει τὴν πόλιν, καὶ δύναμιν τοῖς φρουρίοις ἐγκαταστήσας,
19 τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιιὼν αὐτὸς ἐπεσκέ-
πτετο, τὴν δευτέραν δὲ ἐπέτρεψεν Ἀλεξάνδρῳ, τὴν τρίτην δὲ
ἔλαχον οἱ τῶν ταγμάτων ἡγεμόνες. Διεκληροῦντο δὲ οἱ
φύλακες τοὺς ὕπνους, καὶ δι' ὅλης νυκτὸς περιήεσαν κατὰ διά-
στημα τῶν φρουρίων.

20 3. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας
ἐλπὶς, καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς
τὸν δῆμον ἐπεβόσκετο. Καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναι-
κῶν καὶ βρεφῶν λελυμένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν·
21 παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς
ἀγορὰς ἀνειλοῦντο, καὶ κατέπιπτον, ὅπη τινὰ τὸ πάθος
22 καταλαμβάνοι. Θάπτειν δὲ τοὺς προσήκοντας οὔτε ἴσχυον
οἱ κάμνοντες, καὶ τὸ διεντονοῦν ὤκνει διὰ τὸ πλῆθος τῶν
23 νεκρῶν, καὶ τὸ κατὰ σφᾶς ἄδηλον. Πολλοὶ γοῦν τοῖς ὑπ'
αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δ' ἐπὶ τὰς θήκας,
πρὶν ἐπιστῆναι τὸ χρεών, προῆλθον· οὔτε δὲ θρῆνος ἐν ταῖς
συμφοραῖς, οὔτ' ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ
24 πάθη· ξηροῖς γὰρ τοῖς ὄμμασι, καὶ σεσηρόσι τοῖς στόμασιν
οἱ δυσθανατοῦντες ἐφεώρων τοὺς φθάσαντας ἀναπαύσασθαι.
Βαθεῖα δὲ τὴν πόλιν περιεῖχε σιγὴ, καὶ νὺξ θανάτου γέμουσα,

ὅθεν περ ἤρξατο E. 17 δ' αὐτοῦ προσωκ. L. 18 ὥστε τὸ πᾶν μὲν L. μηνῶν ἄξιον P. τὸ τάχος δ' ἡτ. L.N.P.T. ἡττᾶσθαι P. τῷ τάχει τὴν πόλιν T. 19 ἀπεσκέπτετο E. φύλακες τὴν νύκτα καὶ M. κατὰ διαστήματα M.N.P. 20 βαθύνας αὐτῶν ὁ λ. P. ἐπεπλήρωτο L. 22 Θάπτειν τε τοὺς M.T. διά τε πλῆθος L. καὶ διὰ τὸ κατὰ L. 23 Πολλοὶ οὖν τοῖς L. πολλοὶ γὰρ τοῖς E. οὔτε θρῆνος N. 24 Ξηροῖς δὲ τοῖς L.M.N.T. καὶ σεσηπόσι L.M.N. δυσθανόντες ἐπαιώρουν τοὺς L. ἀναπαύσεσθαι P. περιεῖχεν τὴν πόλιν tr. P. σιγὴ περιεῖχεν L.

καὶ τούτων οἱ λῃσταὶ χαλεπώτεροι. Τυμβωρυχοῦντες γοῦν 25
τὰς οἰκίας ἐσύλων τοὺς νεκροὺς, καὶ τὰ κατακαλύμματα τῶν
σωμάτων περισπῶντες, μετὰ γέλωτος ἐξήεσαν. Τάς τε
αἰχμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασι, καί τινας τῶν
ἐρριμμένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πείρᾳ τοῦ σιδήρου· τοὺς 26
δὲ ἱκετεύοντας χρῆσαι σφίσι δεξιὰν καὶ ξίφος, τῷ λιμῷ κατέ-
λιπον ὑπερηφανοῦντες. Καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενί-
σας εἰς τὸν ναὸν ἀφεώρα τοὺς στασιαστὰς ζῶντας ἀπολι-
πών. Οἱ δὲ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ τοὺς 27
νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες· ἔπειθ' ὡς
οὐ διήρκουν, ἀπὸ τῶν τειχῶν ἐρρίπτουν εἰς τὰς φάραγγας.

4. Περιιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλησμένας 28
τῶν νεκρῶν, καὶ βαθὺν ἰχῶρα μυδώντων τὸν ὑπορρέοντα τῶν
σωμάτων, ἐστέναξέ τε, καὶ τὰς χεῖρας ἀνατείνας, κατεμαρτύ-
ρετο τὸν θεὸν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ. Τὰ μὲν δὴ κατὰ 29
τὴν πόλιν εἶχεν οὕτω. Ῥωμαῖοι δὲ, μηδενὸς ἔτι τῶν στα-
σιαστῶν ἐκτρέχοντος, ἤδη γὰρ καὶ τούτων ἀθυμία καὶ λιμὸς
ἐφήπτετο, ἐπ' εὐθυμίας ἦσαν, σίτου τε ἀφθονίαν καὶ τῶν ἄλ-
λων ἐπιτηδείων ἐκ τῆς Συρίας, καὶ τῶν πλησίον ἐπαρχιῶν
ἔχοντες· ἱστάμενοι δὲ πολλοὶ τοῦ τείχους πλησίον, καὶ πολὺ 30
πλῆθος τῶν ἐδωδίμων ἐπιδεικνύμενοι, τῷ κατὰ σφᾶς κόρῳ τὸν
λιμὸν τῶν πολεμίων ἐξέκαιον. Πρὸς δὲ τὸ πάθος τῶν στα- 31
σιαστῶν μηδὲν ἐνδιδόντων, Τίτος, οἰκτείρων τὰ λείψανα τοῦ
δήμου, καὶ σπουδάζων τὸ γοῦν περιὸν ἐξαρπάσαι, πάλιν ἤρ-
χετο χωμάτων, χαλεπῶς αὐτῷ τῆς ὕλης πoριζομένης. Ἡ 32
μὲν γὰρ περὶ τὴν πόλιν πᾶσα τοῖς προτέροις ἔργοις ἐκέ-

25 Τυμβωρ. γὰρ τὰς E. . καὶ τὰ κάμματα ex ras. L. καὶ τὰ καλύμματα M.P. et ex ras. T. ἐξίεσαν M. τάς τε ἀκμὰς τῶν L.E. ἐρριμένων P. 26 κατέλειπον L.N.P.T. ἀτενὶς εἰς τὸν pri. ma. ἀτενὲς εἰς τὸν sec. T. 27 ὀσμὴν μὴ φέροντες L. ἔρριπτον L.P. εἰς φάραγγας N. 28 πεπληρωμένας τῶν L. μυδόντων τὸν ὑπορέοντα P. σωμάτων στενάξας τε M. N.T. κατεμαρτύρατο N.P.T. αὐτοῦ. Ῥωμαῖοι δὲ desunt quæ interjacent M. 29 οὕτως εἶχεν L. ἐφήπτετο. ἀεὶ δὲ οἱ Ῥωμαῖοι προσευθυμίαις ἦσαν L. ἐπ' εὐθυμίας M. ἀφθονία καὶ L. τῶν ἄλλων ἐπαρχιῶν L. 31 ὕλης κομιζομένης. P.

κοπτο, συνεφόρουν δ' ἄλλην ἀπ' ἐνενήκοντα σταδίων οἱ στρατιῶται, καὶ πρὸς μόνης ὕψουν τῆς Ἀντωνίας κατὰ μέρη τέσσαρα πολὺ μείζονα τῶν προτέρων χώματα. Περιϊὼν δὲ ὁ Καῖσαρ τὰ τάγματα, καὶ κατεπείγων τὸ ἔργον, ἐπεδείκνυ τοῖς λησταῖς, ὡς ἐν χερσὶν εἴησαν αὐτοῦ. Μόνοις δ' ἐκείνοις ἄρα κακῶν ἀπολώλει μεταμέλεια· καὶ τὰς ψυχὰς χωρίσαντες ἀπὸ τῶν σωμάτων, ἀμφοτέροις ὡς ἀλλοτρίοις ἐχρῶντο. Οὔτε γὰρ πάθος αὐτῶν ἡμέρου τὴν ψυχὴν, οὔτε ἀλγηδὼν ἥπτετο τοῦ σώματος· οἵ γε καὶ νεκρὸν τὸν δῆμον ὥσπερ κύνες ἐσπάραττον, καὶ τὰ δεσμωτήρια τῶν ἀρρώστων ἐνεπίμπλασαν.

CAP. XIII.

1. Σίμων γοῦν οὐδὲ Ματθίαν, δι' ὃν κατέσχε τὴν πόλιν, ἀβασάνιστον ἀνεῖλε. Βοηθοῦ παῖς ἦν οὗτος ἐκ τῶν ἀρχιερέων, ἐν τοῖς μάλιστα τῷ δήμῳ πιστὸς καὶ τίμιος· ὃς, ὑπὸ τοῖς ζηλωταῖς κακουμένου τοῦ πλήθους, οἷς ἤδη καὶ Ἰωάννης προσῆν, πείθει τὸν δῆμον εἰσαφεῖναι τὸν Σίμωνα βοηθὸν, οὐδὲν οὔτε προσυνθέμενος, οὔτε προσδοκήσας φαῦλον ἐξ αὐτοῦ. Παρελθὼν δ' ἐκεῖνος, ὡς ἐκράτησε τῆς πόλεως, ἐχθρὸν ἐν ἴσῳ τοῖς ἄλλοις ἡγεῖτο καὶ τὸν ὑπὲρ αὐτοῦ σύμβουλον, ὡς ἂν ἐξ ἁπλότητος γεγενημένον. Ἀχθέντα δὲ τηνικαῦτα, καὶ κατηγορούμενον τὰ Ῥωμαίων φρονεῖν, κατακρίνει μὲν θανάτῳ, μηδὲ ἀπολογίας ἀξιώσας, σὺν τρισὶν υἱοῖς· ὁ γὰρ τέταρτος ἔφθη διαδρὰς πρὸς Τίτον. Ἱκετεύοντα δ' ἀναιρεθῆναι πρὸ τῶν τέκνων, καὶ ταύτην αἰτούμενον τὴν χάριν ἀνθ' ὧν ἀνοίξειεν αὐτῷ τὴν πόλιν, τελευταῖον ἀνελεῖν ἐκέλευσεν. Ὁ μὲν οὖν ἐν ὄψει φονευθεῖσιν ἐναπεσφάγη τοῖς παισὶν, ἄντικρυς Ῥωμαίων προαχθείς, — οὕτω γὰρ ὁ Σίμων Ἀνάνῳ τῷ Βαμάδου προσέταξεν, ὃς ἦν ὠμότατος αὐτῷ τῶν δορυφόρων, —

32 τέσσαρα πολλῷ L. προτέρων χωμάτων. M. 33 ἐπεδείκνυτο τοῖς L. 34 ἦμερον τῆς ψυχῆς L.M.N.T.E. οἱ δὲ καὶ νεκρὸν T. 1 τίμιος· οὗτος ὑπὸ L. 3 πόλεως ἐν ἐχθρὸν ἐν P. 4 τὰ τῶν Ῥωμ. P. 6 οὖν ὄψει L. φονευθεὶς L.M.N.P.T. ἐπεσφάγη L. ἐν ἀπεσφάγη M. ἄντικρυς τῶν Ῥωμ. E. τῷ Γαμαδάτου L. τῷ Βαμάδα M.N. τῷ Βαγαδάτου P.

ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ πρὸς οὓς ἐξελθεῖν εἵλετο· θάπτειν δὲ ἀπεῖπε τὰ σώματα. Μετὰ τούτους ἑ- 7
ρεύς τις Ἀνανίας υἱὸς Μασαμβάλου τῶν ἐπισήμων, καὶ ὁ γραμματεὺς τῆς βουλῆς Ἀριστεύς, γένος ἐξ Ἀμμαοῦς, καὶ σὺν τούτοις πεντεκαίδεκα τῶν ἀπὸ τοῦ δήμου λαμπρῶν ἀναιροῦνται. Τὸν δὲ τοῦ Ἰωσήπου πατέρα συγκλείσαντες ἐφύ- 8
λαττον, κηρύττουσι δὲ μηδένα τῶν κατὰ τὴν πόλιν μήτε συνομιλεῖν, μήτε ἐπὶ τὸ αὐτὸ συναθροίζεσθαι, δέει προδοσίας, καὶ τοὺς συνολοφυρομένους πρὸ ἐξετάσεως ἀνήρουν.

2. Ταῦτα ὁρῶν Ἰούδης τις υἱὸς Ἰούδου, τῶν ὑπάρχων τοῦ 9
Σίμωνος εἷς ὤν, καὶ πεπιστευμένος ὑπ' αὐτοῦ πύργον φυλάττειν, τάχα μέν τι καὶ οἰκτῳ τῶν ὠμῶς ἀπολλυμένων, τὸ δὲ πλέον ἑαυτοῦ προνοίᾳ, συγκαλέσας τοὺς πιστοτάτους τῶν 10
ὑπ' αὐτῷ δέκα, "Μέχρι τίνος ἀνθέξομεν," ἔφη, "τοῖς κακοῖς; Ἢ τίνας σωτηρίας ἔχομεν ἐλπίδας πιστοὶ πονηρῷ μένοντες; Οὐχ ὁ μὲν λιμὸς ἤδη καθ' ἡμῶν, Ῥωμαῖοι δὲ παρὰ μικρὸν 11
ἔνδον, Σίμων δὲ καὶ πρὸς εὐεργέτας ἄπιστος, καὶ δέος μὲν ἤδη παρ' αὐτῷ κολάσεως, ἡ δὲ παρὰ Ῥωμαίοις δεξιὰ βέβαιος; Φέρε, παραδόντες τὸ τεῖχος σώσωμεν ἑαυτοὺς καὶ τὴν πόλιν. 12
Πείσεται δὲ οὐδὲν δεινὸν Σίμων, ἐὰν ἀπεγνωκὼς ἑαυτοῦ τάχιον δῷ δίκην." Τούτοις τῶν δέκα πεισθέντων, ὑπὸ τὴν ἕω 13
τοὺς λοιποὺς τῶν ὑποτεταγμένων ἄλλον ἀλλαχόσε διέπεμπεν, ὡς μὴ φωραθείη τι τῶν βεβουλευμένων· αὐτὸς δὲ περὶ τρίτην ὥραν ἀπὸ τοῦ πύργου τοὺς Ῥωμαίους ἐκάλει. Τῶν 14
δὲ οἱ μὲν ὑπερηφάνουν, οἱ δ' ἠπίστουν, οἱ πολλοὶ δ' ὤκνουν ὡς μετὰ μικρὸν ἀκινδύνως ληψόμενοι τὴν πόλιν. Ἐν ὅσῳ 15
δὲ Τίτος μεθ' ὁπλιτῶν παρῄει πρὸς τὸ τεῖχος, ἔφθη γνοὺς ὁ

εἵλατο N. θάπτειν τε ἀπεῖπε M.N.P.T. 7 υἱὸς Μασβάλου M.N. P.T. Ἀριστεῖος, γένος M. τούτοις δεκαπέντε L. 8 μήτε ἐπὶ τούτῳ συνα. P. 9 τάχα μέν τοι καὶ P. 10 τῶν ὑπ' αὐτοῦ M.P.T.E. ἢ τίνα σω. ἐ. ἐλπίδα L.P. πιστοὶ πονηρῶν μέν. P.T.E. 11 ἤδη καὶ παρ' L. παρ' αὐτὸν κολ. P. παρ' αὐτοῦ κολ. E. κολ. εἰ δὲ καὶ παρὰ L. 12 τό τε τεῖχος P. πήσεται δὲ L.N. δεινὸν ὁ Σίμων L. ἑαυτὸν δῷ δίκην omisso τάχιον P. 13 ἄλλων ἀλλαχόσε L.M.E. ἐκάλει τοὺς Ῥωμαίους tr. E. 14 οἱ δὲ διηπίστουν L. οἱ δὲ πολλοὶ ὤκν. M. 15 παρίει πρὸς M.

Σίμων, καὶ μετὰ τάχους τόν τε πύργον προκαταλαμβάνει, καὶ τοὺς ἄνδρας συλλαβὼν ἐν ὄψει τῶν Ῥωμαίων ἀναιρεῖ, καὶ πρὸ τοῦ τείχους λωβησάμενος ἔρριψε τὰ σώματα.

16 3. Καὶ ἐν τούτῳ περιϊὼν Ἰώσηπος, οὐ γὰρ ἀνίει παρακαλῶν, βάλλεται τὴν κεφαλὴν λίθῳ, καὶ παραχρῆμα πίπτει καρωθείς. Ἐκδρομὴ δ' ἐπὶ τῷ πτώματι τῶν Ἰουδαίων γίνεται· καὶ ἂν ἔφθη συρεὶς εἰς τὴν πόλιν, εἰ μὴ ταχέως Καῖσαρ
17 ἔπεμψε τοὺς ὑπερασπίζοντας. Μαχομένων δὲ τούτων, ὁ Ἰώσηπος μὲν αἴρεται, βραχὺ τῶν πραττομένων ἐπαΐων. Οἱ στασιασταὶ δὲ, ὡς ἀνελόντες ὃν ἐπεθύμουν μάλιστα, μετὰ
18 χαρᾶς ἀνεβόων. Διαγγέλλεται δὲ εἰς τὴν πόλιν, καὶ τὸ καταλειπόμενον πλῆθος ἐπέσχεν ἀθυμία, πεπεισμένους οἴχε-
19 σθαι τῷ ὄντι, δι' ὃν αὐτομολεῖν ἐθάρρουν. Ἀκούσασα δὲ ἡ τοῦ Ἰωσήπου μήτηρ ἐν τῷ δεσμωτηρίῳ, τεθνάναι τὸν υἱὸν, πρὸς μὲν τοὺς φύλακας ἀπὸ Ἰωταπάτων τοῦτ' ἔφη πεπεῖ-
20 σθαι, καὶ γὰρ οὐδὲ ζῶντος ἀπολαύειν· ἰδίᾳ δ' ὀλοφυρομένη, πρὸς τὰς θεραπαινίδας τοῦτον εἰληφέναι τῆς εὐτεκνίας ἔλεγε καρπὸν, τόμη δὲ θάψαι τὸν υἱὸν, ὑφ' οὗ ταφήσεσθαι προσεδόκησεν. Ἀλλὰ γὰρ οὔτε ταύτην ἐπὶ πλέον ὠδύνα τὸ
21 ψεῦδος, οὔτε τοὺς λῃστὰς ἔθαλπε· ταχέως γὰρ ἐκ τῆς πληγῆς ἀνήνεγκεν ὁ Ἰώσηπος, καὶ προελθὼν, τοὺς μὲν οὐκ εἰς μακρὰν, ἐβόα, δίκας αὐτῷ δώσειν τοῦ τραύματος· τὸν δὲ δῆμον πάλιν ἐπὶ πίστιν προεκαλεῖτο. Θάρσος δὲ τῷ λαῷ, καὶ τοῖς στασιασταῖς ἔκπληξις ἐμπίπτει πρὸς τὴν ὄψιν αὐτοῦ.

22 4. Τῶν δὲ αὐτομόλων οἱ μὲν ὑπ' ἀνάγκης ἀπὸ τοῦ τείχους ἐπήδων ταχέως· οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχῃ μετὰ χερμά-
23 δων, ἔπειτα πρὸς τοὺς Ῥωμαίους ἔφευγον. Συνείπετο

ἄνδρας συλλαμβάνων P. 16 οὐ γὰρ ἀνήει καὶ παρ. L. οὐ γὰρ ἀνείη παρ. P. οὐ γὰρ ἀνήει παρ. N.T. ἐπὶ τὸ πτῶμα τῶν L.P. τοὺς ὑπερασπείσοντας M. 17 βραχύ τι τῶν P. ἀνελόντα ὃν N. 18 Διαγγέλλεταί τε εἰς N.T. διαγ. τε πρὸς P. καταλειπόμενον δὲ L. καταλιπόμενον P. 20 τοῦτο εἰληφέναι L. ἔλεγε deest L. οὐδὲ ταύτην P. πλέον ὠδίνατο τὸ E. πλ. ὠδούνα τὸ N. 21 καὶ προσελθὼν L.M. ἐπὶ πίστιν πάλιν tr. N.P.T. ἐπὶ πίστιν πάλαι M. 22 ἐπήδων εὐθέως· οἱ L. ἐπήδουν ταχ. οἱ P. ἐπὶ μάχην L.

δὲ τούτοις τύχη τῶν εἴσω χαλεπωτέρα, καὶ τοῦ παρὰ σφίσι λιμοῦ συντονώτερον εὕρισκον πρὸς ὄλεθρον τὸν παρὰ Ῥωμαίοις κόρον. Παρεγίνοντο μὲν γὰρ ἀπὸ τῆς ἐνδείας πεφυσημένοι, 24 καὶ ὥσπερ ὑδρωπιῶντες, ἔπειτα ἀθρόως κενοῖς ὑπερεμπιπλάμενοι τοῖς σώμασιν ἐρρήγνυντο, πλὴν τῶν δι' ἐμπειρίαν ταμιευσαμένων τὰς ὀρέξεις, καὶ κατ' ὀλίγον προσθέντων τροφὴν ἀπειθισμένῳ τῷ σώματι φέρειν. Καὶ τοὺς οὕτω δὲ σω- 25 ζομένους ἑτέρα πληγὴ μετελάμβανε. Τῶν γὰρ παρὰ τοῖς Σύροις τις αὐτομόλων φωρᾶται τῶν τῆς γαστρὸς λυμάτων χρυσοὺς ἐκλέγων· καταπίνοντες δὲ, ὡς ἔφαμεν, αὐτοὺς προῆ- 26 εσαν, ἐπειδὴ ἀνηρεύνων πάντας οἱ στασιασταὶ, καὶ πολὺ πλῆθος ἦν ἐν τῇ πόλει χρυσοῦ· δώδεκα γοῦν Ἀττικῶν ὠνοῦντο τὰ πρότερον ἰσχύοντα πέντε καὶ εἴκοσιν. Ἀλλά τοι τῆς 27 ἐπινοίας ἐλεγχθείσης δι' ἑνὸς, ἀναπίμπλαται μὲν φήμη εἰς τὰ στρατόπεδα, ὡς μεστοὶ χρυσίου παρεῖεν οἱ αὐτόμολοι, τὸ δὲ τῶν Ἀράβων πλῆθος καὶ οἱ Σύροι τοὺς ἱκέτας ἀνατέμνοντες, ἠρεύνων τὰς γαστέρας· καὶ τούτου τοῦ πάθους οὐδὲν ἔμοιγε 28 δοκεῖ συμβῆναι Ἰουδαίοις χαλεπώτερον. Μιᾷ γοῦν ἀνεσχίσθησαν νυκτὶ πρὸς δισχιλίους.

5. Καὶ γνοὺς τὴν παρανομίαν Τίτος, ὀλίγου μὲν ἐδέησε 29 τὸ ἱππικὸν περιστήσας κατακοντίσαι τοὺς αἰτίους, εἰ μὴ πολὺ πλῆθος ἐνείχετο, καὶ τῶν ἀνῃρημένων πολλαπλασίους ἦσαν οἱ κολασθησόμενοι. Συγκαλέσας δὲ τούς τε τῶν συμ- 30 μάχων ἡγεμόνας καὶ τοὺς τῶν ταγμάτων — συνδιεβάλλοντο γὰρ καὶ τῶν στρατιωτῶν τινες, — πρὸς ἑκατέρους ἀγανακτῶν ἔλεγεν, 'εἰ τῶν μὲν σὺν αὐτῷ στρατευομένων τινὲς τοιαῦτα 31 δρῶσι κέρδους ἕνεκεν ἀδήλου, μηδὲ τὰ ὅπλα σφῶν αὐτῶν αἰ-

23 δ' ἐν τούτοις L. συντομώτερον L. τὸν πρὸς Ῥωμαίους L. 24 ὑδροπιῶντες P. ἀθρόως καινῶς L. ὑπεμπιπλάμενοι P. δι' ἐμπειρίας L. ἀπηθισμένῳ L. ἀπειθισμένων P. 25 αὐτομόλων τις tr. L. 26 ἐπεὶ δὲ ἀνηρεύνων T. Ἀττικὰ ὠνοῦντο N.T. ὠν. πρότερον ἰσχύοντας L.P. ὠν. πρό. ἰσχύοντα T. 27 ἀναπίμπλησι μὲν φήμη L. παρεῖεν αὐτόμολοι M.N.P.T. ἠραύνων τὰς N. 28 πάθους ἔμοιγε L. δοκεῖν M.N.T. 29 πλῆθος ἐνήχετο L. 30 τοὺς τῶν συμ. M.N.P.T. 31 τῶν μὲν αὐτῷ L.M.E. et pri. ma. T.

32 δούμενοι πεποιημένα ἐξ ἀργύρου τε καὶ χρυσοῦ;' Τοῖς δὲ
Ἄραψι καὶ τοῖς Σύροις, 'εἰ πρῶτον μὲν ἐν ἀλλοτρίῳ πολέμῳ
τοῖς πάθεσιν αὐτεξουσίως χρῶνται, ἔπειτα τῇ περὶ φόνους
ὠμότητι καὶ τῷ πρὸς Ἰουδαίους μίσει Ῥωμαίους ἐπιγρά-
33 φουσι; Καὶ γὰρ νῦν ἐνίους αὐτῶν τῶν στρατιωτῶν συναπο-
λαύειν τῆς κακοδοξίας.' Τούτοις μὲν οὖν διηπείλησε θά-
νατον, εἴ τις εὑρεθείη πάλιν τὸ αὐτὸ τολμῶν, τοῖς δὲ ἀπὸ
τῶν ταγμάτων ἐπέστελλεν ἐρευνήσοντας τοὺς ὑπόπτους ἀνά-
34 γειν ἐπ' αὐτόν. Κατεφρόνει δὲ, ὡς ἔοικε, φιλοχρηματία
πάσης κολάσεως, καὶ δεινὸς ἐμπέφυκεν ἀνθρώποις τοῦ κερδαί-
νειν ἔρως, οὐδέν τε οὕτω πάθος, ὡς πλεονεξία, παραβάλλεται.
35 Ἡ ταῦτα μὲν ἄλλως καὶ μέτρον ἔχει καὶ φόβοις ὑποτάσσε-
ται· θεὸς δὲ ἦν ὁ τοῦ λαοῦ παντὸς κατακρίνας, καὶ πᾶσαν
αὐτοῖς σωτηρίας ὁδὸν εἰς ἀπώλειαν ἀποστρέφων. Ὁ γοῦν
μετὰ ἀπειλῆς ἀπεῖπεν ὁ Καῖσαρ, λάθρα κατὰ τῶν αὐτομό-
36 μων ἐτολμᾶτο. Καὶ τοὺς διαδιδράσκοντας, πρὶν πᾶσιν
ὀφθῆναι, προαπαντῶντες ἔσφαττον οἱ βάρβαροι. Περισκο-
πούμενοι δὲ, μή τις ἐπίδοι Ῥωμαίων, ἀνέσχιζον, καὶ ἐκ τῶν
37 σπλάγχνων τὸ μιαρὸν κέρδος εἵλκον. Ὀλίγοις δ' ἐνευρί-
σκετο, καὶ τοὺς πολλοὺς παρανήλισκεν ἐλπὶς μόνη. Τοῦτο
μὲν δὴ τὸ πάθος πολλοὺς τῶν αὐτομόλων ἐπανήγαγεν.
38 6. Ἰωάννης δὲ ὡς ἐπέλιπον αἱ ἁρπαγαὶ παρὰ τοῦ δήμου,
πρὸς ἱεροσυλίαν ἐτρέπετο. Καὶ πολλὰ μὲν τῶν ἀναθημά-
των κατεχώννευεν ἐκ τοῦ ναοῦ, πολλὰ δὲ τῶν πρὸς τὰς λει-
τουργίας ἀναγκαίων σκεύη, κρατῆράς τε καὶ πίνακας καὶ τρα-
39 πέζας. Ἀπέσχετο δὲ οὐδὲ τῶν ὑπὸ τοῦ Σεβαστοῦ καὶ τῆς
γυναικὸς αὐτοῦ πεμφθέντων ἀκρατοφόρων· οἱ μὲν γὰρ Ῥω-

πεποιημένα ἀργυρίου τε καὶ χρυσίου L. ἐξ deest P. 32 καὶ Σύροις P. 33 ἐνίους αὐτῷ τῶν E. τὸ αὐτὸ μολῶν τοῖς L. ἐρευνήσαντας L. ἀναγάγειν L. 34 οὐδὲν δὲ οὕτω M.T.E. πάθος πλεονεξίᾳ L.N.P. 36 μή τις ἐπίδῃ P. μή τις ἐπείδοι N. 37 παρανήλισκεν Hinc incipit membrana recentior Sæc. XV. conscripta L. 38 ὡς ἐπέλειπον N.P. πολλὰ τῶν ἀν. L. πολλὰ μὲν ἐκ τῶν ἀ. M.P.T.E. κατεχώννυεν τοῦ M. N.E. κατέχων ἐκ τοῦ P. κρατῆρας καὶ P. 39 οἱ μέν γε Ῥω. L.N. P.T

μαίων βασιλεῖς ἐτίμησάν τε καὶ προσεκόσμησαν τὸ ἱερὸν ἀεί. Τότε δὲ ὁ Ἰουδαῖος καὶ τὰ τῶν ἀλλοφύλων κατέσπα· πρὸς 40 δὲ τοὺς συνόντας ἔλεγεν, ὡς 'δεῖ μετὰ ἀδείας καταχρήσασθαι τοῖς θείοις ὑπὲρ τοῦ θείου, καὶ τοὺς τῷ ναῷ στρατευομένους ἐξ αὐτοῦ τρέφεσθαι.' Διὰ τοῦτο καὶ τὸν ἱερὸν οἶνον καὶ τὸ 41 ἔλαιον, ὃ τοῖς ὁλοκαυτώμασιν οἱ ἱερεῖς ἐφύλαττον ἐπιχεῖν, ἐκκενώσας, ἦν δ' ἐν τῷ ἐνδοτέρῳ ἱερῷ, διένειμε τῷ πλήθει, καὶ ἐκεῖνοι δίχα φρίκης πλέον τοῦ ἵν ἠλείφοντο, καὶ ἔπινον ἐξ αὐτῶν. Οὐκ ἂν ὑποστειλαίμην εἰπεῖν, ἃ μοι κελεύει τὸ πάθος· 42 οἶμαι, Ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἀλιτηρίους, ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος, ἢ κατακλυσθῆναι τὴν πόλιν, ἢ τοὺς τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν. Τῇ γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ λαὸς συναπώλετο.

7. Καὶ τί δεῖ κατὰ μέρος ἐκδιηγεῖσθαι τὰς συμφοράς; 43 Ἀλλὰ πρὸς Τίτον ἐν ταύταις ταῖς ἡμέραις Μανναῖος ὁ Λαζάρου φυγών, διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης, ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας ἕνδεκα νεκρῶν ἐπὶ πεντακισχιλίοις ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ' ἧς αὐτοῖς ἡμέρας παρεστρατο- 44 πεδεύσατο, τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνός, ἄχρι Πανέμου νουμηνίας. Τοῦτο δὲ ἦν πλῆθος ἀπόρων· καὶ οὐδὲ αὐτὸς ἐφεστὼς, ἀλλὰ δημοσίᾳ μισθὸν διδοὺς ἐξ ἀνάγκης ἠρίθμει. Τοὺς δὲ λοιποὺς οἱ προσήκοντες ἔθαπτον· ταφὴ δ' ἦν τὸ 45 προκομίσαντας ἐκ τοῦ ἄστεος ῥίψαι. Μετὰ δὲ τοῦτον διαδράντες πολλοὶ τῶν ἐπισήμων, τὰς πάσας τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον, μυριάδας ἑξήκοντα διὰ τῶν πυλῶν ἐκριφῆναι· τῶν δὲ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. Μηκέτι 46 δὲ εὐτονούντων τοὺς πτωχοὺς ἐκφέρειν, ἔλεγον συσσωρεύοντας

καὶ προσεκόμισαν τὸ P. 40 Ἰουδαῖος κατὰ τῶν L. 41 ἐφύλαττον ἐπεῖχεν P. τῷ ἔνδον ἱερῷ P. διένειμεν οὖν τῷ L.P. διένειμε νῦν τῷ N. πλέον τοῦ ἵν desunt P. ἐξ αὐτοῦ. Οὐκ L. 42 ὑπεστειλαίμην P. καταποθῆναι ὑπὸ P. 43 ἐν αὐταῖς ταῖς P. Μαννέος P. ἔλεγεν ἐκκομίσθαι L. πεντακισχ. καὶ ὀκτακ. N.T. 44 τεσσαρασκαιδ. M. νεομενίας N. πλῆθος ἄπειρον· καὶ E. 45 μετὰ δὲ τοῦτο L. ἐπισήμων, πάσας P. ἀπήγγελον L. et ex cor. M. 46 ἄλλων ἀνεξερεύνητον P.

47 εἰς τοὺς μεγίστους οἴκους τὰ πτώματα ἀποκλείειν. Καὶ τοῦ μὲν σίτου τὸ μέτρον πραθῆναι ταλάντου. Μετὰ ταῦτα δὲ, ὡς οὐδὲ ποηλογεῖν ἔτι οἷόν τε ἦν, περιτειχισθείσης τῆς πό-
48 λεως, προελθεῖν τινας εἰς τοσοῦτον ἀνάγκης, ὥστε τὰς ἀμά-ρας ἐρευνῶντας, καὶ παλαιὸν ὄνθον βοῶν, προσφέρεσθαι τὰ ἐκ τούτων σκύβαλα, καὶ τὸ μηδὲ ὄψει φορητὸν πάλαι τότε
49 γενέσθαι τροφήν. Ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες ἠλέησαν· οἱ στασιασταὶ δὲ καὶ βλέποντες οὐ μετενόουν, ἀλλ' ἠνείχοντο μέχρις αὐτῶν προελθεῖν· πεπήρωντο γὰρ ὑπὸ τοῦ χρεών, ὃ τῇ τε πόλει καὶ αὐτοῖς ἤδη παρῆν.

πτώματα κλείειν L. 47 προσέλθειν N. 48 ἐραυνῶντας N. σκύβαλλα T. 49 προσέλθειν N. ὑπὸ τοῦ χρεὼν Hic finem habet membrana suppleta L.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ ς'.

ARGUMENTUM LIB. VI.

1. Ὡς τῇ Ἀντωνίᾳ προσβάλλουσιν οἱ Ῥωμαῖοι. 2. Τίτος κατασκάψαι προστάσσει τὴν Ἀντωνίαν. 3. Περὶ Ἰουδαίων δόλου, ᾧ πολλοὺς Ῥωμαίων ἐνέπρησαν. Ἄλλη τοῦ λιμοῦ ἔκφρασις. 4. Ὁ ναὸς ἐνεπρήσθη, ἄκοντος Τίτου. 5. Ἡ τῶν Ἰουδαίων ἐκ τοῦ ναοῦ καιομένου ταλαιπωρία. 6. Ὡς Ῥωμαῖοι, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν, Τίτον εὐφημίαις ἐγέραιρον οἷα Τίτος ἔλεξεν πρὸς τοὺς Ἰουδαίους ἱκετεύοντας τυχεῖν σωτηρίας. 7. Ὡς τῆς ἄνω πόλεως ἐγκρατὴς γίνεται Καῖσαρ. 8. Ὅπως Τίτος ἐγκρατὴς τῆς ὅλης πόλεως ἐγέγονεν. 9. Οἷα Καῖσαρ εἴσω παρελθὼν προσέταξε. 10. Σύντομος τῶν Ἱεροσολύμων ἱστορία.

CAP. I.

1. Τὰ μὲν οὖν τῶν Ἱεροσολύμων πάθη προέκοπτε καθ' 1
ἡμέραν ἐπὶ τὸ χεῖρον, τῶν τε στασιαστῶν μᾶλλον παρο-
ξυνομένων ἐν ταῖς συμφοραῖς, καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον
ἤδη καὶ ἐκείνους νεμομένου. Τό γε μὴν πλῆθος τῶν σεσω- 2
ρευμένων ἀνὰ τὴν πόλιν πτωμάτων ὄψει τε φρικῶδες ἦν, καὶ
λοιμώδη προσέβαλλεν ὀσμὴν, πρός τε τὰς ἐκδρομὰς ἐμπόδιον
τοῖς μαχομένοις. Ὥσπερ γὰρ διὰ παρατάξεως φόνῳ μυρίῳ 3
γεγυμνασμένους, χωροῦντας ἔδει τὰ σώματα πατεῖν· οἱ δὲ
ἐπιβαίνοντες οὔτε ἔφριττον, οὔτε ἠλέουν, οὔτε κληδόνα κακὴν

1 τῶν στασιαστῶν M.N.P.T. παροξυνομένων ταῖς L. 2 λοιμώδει προσέβαλεν L. 3 γεγυμνασμένης M.N.T. οἱ δ' ἐπιβάντες L.

σφῶν αὐτῶν ὑπελάμβανον τὴν εἰς τοὺς κατοιχομένους ὕβριν·
4 πεφυρμένοι δ' ὁμοφύλῳ φόνῳ τὰς δεξιὰς, ἐπὶ τὸν πρὸς τοὺς
ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες, ἔμοιγε δοκεῖ, τὸ
θεῖον εἰς βραδύτητα τῆς ἐπ' αὐτοῖς κολάσεως· οὐ γὰρ ἐλπίδι
νίκης ὁ πόλεμος, ἤδη δὲ ἀπογνώσει σωτηρίας ἐθρασύνετο.
5 Ῥωμαῖοι δὲ, καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν
ταλαιπωρούμενοι, τὰ χώματα διήγειραν μιᾷ καὶ εἴκοσιν ἡμέ-
ραις, κείραντες, ὡς προείρηται, τὴν περὶ τὸ ἄστυ χώραν ἐπ'
6 ἐνενήκοντα σταδίους ἐν κύκλῳ πᾶσαν. Ἦν δὲ ἐλεεινὴ καὶ τῆς
γῆς ἡ θέα· τὰ γὰρ πάλαι δένδρεσι καὶ παραδείσοις κεκοσμη-
μένα, τότε πανταχόθεν ἠρήμωτο καὶ περικέκοπτο τὴν ὕλην·
οὐδείς τε τὴν πάλαι Ἰουδαίαν καὶ τὰ περικαλλῆ προάστεια
7 τῆς πόλεως ἑωρακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων
ἐρημίαν, οὐκ ὠλοφύρατο, καὶ κατεστέναξε τὴν μεταβολὴν
παρ' ὅσον γένοιτο· πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ
κάλλους ὁ πόλεμος, καὶ οὐκ ἄν τις ἐξαπίνης ἐπιστὰς τῶν
προεγνωκότων ἐγνώρισε τὸν τόπον, ἀλλὰ παρὼν ἐζήτει τὴν
πόλιν.

8 2. Ῥωμαίοις δὲ καὶ Ἰουδαίοις τὸ τέλος τῶν χωμάτων ἴσην
ἐνεποίει δέους ἀρχήν. Οἱ μὲν γὰρ, εἰ μὴ καὶ ταῦτα καύσειαν,
ἁλώσεσθαι τὴν πόλιν προσεδόκων· Ῥωμαῖοι δὲ οὐκ ἂν ἔτι
9 αἱρήσειν, καὶ ἐκείνων διαφθαρέντων. Ὕλης τε γὰρ ἦν ἀπο-
ρία, καὶ τῶν μὲν πόνων ἤδη τὸ σῶμα, τῶν δ' ἐπαλλήλων
10 πταισμάτων αἱ ψυχαὶ τοῖς στρατιώταις ἐλείποντο. Τάς
γε μὴν κατὰ τὴν πόλιν συμφορὰς Ῥωμαίοις πλέον εἶναι
συνέβαινε πρὸς ἀθυμίας, ἢ τοῖς ἐν αὐτῇ· παρὰ γὰρ τὰ τηλι-
καῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακωτέροις,
11 ἀλλ' ἐθραύοντο πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων ταῖς

κατοιχουμένους M. 4 πεφυρμένω L. πρὸς ἀλλοφύλους M. δο-
κεῖν, τὸ L. τῆς ἐπ' αὐτοὺς L. ἐλπίδι νικήσας ὁ M. ἀπόγνωσις σωτ. L.
5 διήγειραν εἴκοσι μίαν ἡμέραν κ. L. σταδίους κύκλῳ L. 6 Ἦν δὲ πᾶσα
ἐλεεινὴ M.N.T. περικέκοπτο L. ἑωρακὼς ἔπειτα L. 7 ἐρημίαν ἀλ-
λόφυλος οὐκ L. ὠλοφύρετο L. 8 ἴσην deest N.T. ἴσην μὲν
ἐποίει L. 9 γάρ τε tr. T.E. ἀλλήλων αἱ ψυχαὶ L. 10 Τάς τε
μὴν L. 11 τῶν χωμάτων L. ταῖς ἐπιβολαῖς L.

ἐπιβουλαῖς, τῶν δὲ ὀργάνων στερρότητι τοῦ τείχους, τῆς δὲ κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι. Τὸ δὲ μέγιστον, στάσεώς τε, καὶ λιμοῦ καὶ 12
πολέμου, καὶ τοσούτων κακῶν εὑρίσκοντες ἐπάνω τὸ παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχοντας, ὑπελάμβανον τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμὰς, ἀνάλωτον δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι. Τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ 13
χρωμένους, τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους; Οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων ἐποιοῦντο τὰς φυλακάς.

3. Οἱ δὲ περὶ τὸν Ἰωάννην κατὰ τὴν Ἀντωνίαν ἅμα καὶ 14
πρὸς τὸ μέλλον, εἰ καταρριφθείη τὸ τεῖχος, ἠσφαλίζοντο, καὶ πρὶν ἐπιστῆναι τοὺς κριοὺς ἐπέθεντο τοῖς ἔργοις. Οὐ 15
μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως· ἀλλὰ προελθόντες μετὰ λαμπάδων, πρὶν ἐγγίσαι τοῖς χώμασι, ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. Πρῶτον μὲν γὰρ οὐδὲ ὁμονοεῖν ἡ σκέψις 16
αὐτῶν ἐδόκει, κατὰ μέρος ἐκπηδώντων, καὶ ἐκ διαλειμμάτων, καὶ μεμελλημένως μετὰ δέους, καθόλου τε εἰπεῖν, οὐκ Ἰουδαϊκῶς· τὰ γὰρ ἴδια τοῦ ἔθνους ὑστέρητο ἅμα τόλμα, καὶ ὁρμὴ, 17
καὶ δρόμος ὁμοῦ πάντων, καὶ τὸ μηδὲ πταίοντας ἀναστρέφειν. Ἀτονώτεροι δὲ ἑαυτῶν προελθόντες, καὶ τοὺς Ῥωμαίους εὗρον ἐρρωμενέστερον τοῦ συνήθους παρατεταγμένους· τοῖς μέν γε σώμασι καὶ ταῖς πανοπλίαις οὕτως ἐφράξαντο 18
τὰ χώματα πάντοθεν, ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν παράδυσιν· τὴν δὲ ψυχὴν ἐτόνωσαν ἕκαστος, μὴ μετακινηθῆναι τῆς τάξεως πρὸ θανάτου. Πρὸς γὰρ τῷ πάσας αὐτῶν 19

κατὰ χεῖραν P. 12 καὶ πολέμου desunt N.T. ὑπελάμβανόν τε τῶν L.M.P.E. et pri. ma. T. ἀμάχους τὰς L. 13 Τῇ γὰρ ἂν μὴ P. οὖν πρὸς ἐρρωμενεστέρας ταῦτα L. ἐποιοῦντο τὰς φ. τῶν χωμάτων tr. L. 14 ἅμα deest P. 15 ἀλλὰ καὶ προσελθόντες L. ἀλλὰ προσελθόντες N.P. 16 αὐτῶν ἐώκει L.P. καὶ διαμεμελημένων μετὰ L. καὶ μεμελειμένως μετὰ M. 17 ὑστέρει τὸ ἅμα P. ἅμα ἡ τόλμα L.M.N.P.T. καὶ ἡ ὁρμὴ P. μηδὲ παίοντας L. Ἀνώτεροι δὲ ἑαυτῶν L. 18 τὰ σώματα πάντοθεν L. τὰ σώματα πανταχόθεν P. καταλείπειν P. παρείσδυσιν L. ἐτόνωσεν L. τῆς παρατάξεως L. 19 Πρὸς γὰρ τὸ π. L.M.P.E. αὐτῶν κόπτεσθαι L.

ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ καὶ ἐκεῖνα καταφλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδὼς, εἰ πάντα κρατήσειαν, πανουργία μὲν ἀρετῆς, ἀπόνοια δὲ ὅπλων, πλῆθος δὲ
20 ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. Ἅμα δέ τι καὶ τὰ ἀφετήρια συνήργει τῶν προπηδώντων ἐφικνούμενα, καὶ πεσών τις τῷ μεθ' ἑαυτὸν ἐμπόδιον ἦν, ὅ τε κίνδυνος τοῦ πρόσω χωρεῖν
21 ἐποίει μαλακωτέρους. Τῶν δ' ἐνδοτέρω βέλους ὑποδραμόντων, οἱ μὲν, πρὶν εἰς χεῖρας ἐλθεῖν, τὴν εὐταξίαν καὶ τὸ πυκνωμα τῶν πολεμίων καταπλαγέντες, οἱ δὲ νυττόμενοι τοῖς ξυστοῖς ἐπαλινδρόμουν· καὶ τέλος ἀλλήλους κακίζοντες εἰς
22 δειλίαν, ἀνεχώρουν ἄπρακτοι. Νουμηνίᾳ Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν. Ἀναχωρησάντων δὲ τῶν Ἰουδαίων προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλεπόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας, καὶ πυρὶ καὶ σιδήρῳ, καὶ παντὶ τῷ χορηγου-
23 μένῳ Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει. Καίπερ γὰρ πολὺ τῷ τείχει πεποιθότες, καὶ τῶν ὀργάνων καταφρονοῦντες, ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. Οἱ δὲ τὴν σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμβάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους, καὶ σαθροὺς
24 ἐλπίσαντες εἶναι τοὺς θεμελίους, ἀντεφιλονείκουν. Οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον· ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι, καὶ πρὸς μηδένα τῶν καθύπερθεν κινδύνων ἐνδιδόντες, ἐνερ-
25 γοὺς παρεῖχον τὰς ἑλεπόλεις. Ὡς δ' ἦσαν ἐλάττους, καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων, χερσὶ καὶ μοχλοῖς ὑπώρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες ἐξέσεισαν.
26 Ἀνέπαυσε δὲ νὺξ ἑκατέρους, καὶ ἐν ταύτῃ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σεσαλευμένον, καθ' ὃ τοῖς προτέροις ἐπιβουλεύων χώ-

κρατήσειν L. 20 Ἅμα δὲ καὶ L. Ἅμα δ' ἔτι καὶ M.N.T. Ἅμα δὲ τἀφ. P. προπηδόντων P. τῷ μεθαυτὸν sic P. τοῦ προσχωρεῖν L. τοῦ μὴ προσχωρεῖν M. τοῦ μὴ πρόσω χ. N.T. 21 ἀλλήλους καταικίζοντες L. 22 δὲ Ἰουδαίων L. σιδήρῳ καταπαντὶ τῷ L. 23 Οἱ δὲ τῶν Ῥωμαίων πρὸς τὴν σπουδὴν P. 24 ἐκδιδόντες M. 25 ὑπόρυττον P. 26 καὶ καθ' ὃ τοῖς L.N.P.T.

μασιν ὁ Ἰωάννης ὑπώρυξεν, ἐνδούσης τῆς διώρυχος, ἐξαπίνης κατερείπεται.

4. Τούτου συμβάντος παραδόξως, ἑκατέροις διετέθη τὰ 27
φρονήματα. Ἰουδαίους μὲν γὰρ, οὓς ἀθυμεῖν εἰκὸς ἦν τῷ παρ' ἐλπίδα γενέσθαι τὸ πτῶμα, καὶ μὴ προησφαλίσθαι πρὸς αὐτὸ, θαρρεῖν ὡς μενούσης συνέβαινε τῆς Ἀντωνίας· Ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα χαρὰν ἐπὶ τῷ καταρρι- 28
φθέντι ταχέως ἔσβεσεν ὄψις ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδομήκεσαν. Εὐμαρεστέρα μέν γε 29
τῆς πρότερον ἡ προσβολὴ κατεφαίνετο. Τότε γὰρ ἀναβῆ- 30
ναι διὰ τῶν καταρριφθέντων ῥᾴον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν τε πολλῷ τῆς Ἀντωνίας, καὶ ταχέως τῷ προσκαιρον εἶναι λύειν ὑπελάμβανον. Οὐ μὴν ἐτόλμα τις ἀναβῆναι· προὔπτος γὰρ τοῖς ἀρξαμένοις ἦν ἀπώλεια.

5. Νομίζων δὲ ὁ Τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν πο- 31
λεμούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς καὶ τὰς ὑποσχέσεις πολλάκις μὲν λήθην ἐργάζεσθαι τῶν κινδύνων, ἔστι δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγαγὼν ἐπὶ ταὐτὸ τοὺς ἀλκίμους, ἐπειρᾶτο τῶν ἀνδρῶν, "Ὦ συστρα- 32
τιῶται," λέγων, "τὸ μὲν παρακελεύειν ἐπὶ τὰ μὴ φέροντα κίνδυνον αὐτόθεν τοῖς παρακελευομένοις ἀκλεὲς, ἀμέλει δὲ καὶ τῷ παρακελεύοντι φέρει κατάγνωσιν ἀνανδρίας. Δεῖ δὲ, οἶ- 33
μαι, προτροπῆς εἰς μόνα τὰ σφαλερὰ τῶν πραγμάτων, ὡς ἐκεῖνά γε καθ' αὑτοὺς πράττειν ἄξιον. Ὥστε ἔγωγε τὸ μὲν ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος ἄνοδον αὐτὸς ὑμῖν προτίθημι· τὸ δὲ ὅτι μάλιστα προσήκει μάχεσθαι τοῖς δυσκό- 34

ἐνδούσης δὲ τῆς διόρυχος P. κατέρριπται M.N. κατερίπεται T. 27 ἑκατέροις διηγέρθη τὰ N.T. τὸ φρόνημα T. οὓς deest L. ἀθυμεῖν μὲν εἰκὸς L. ἦν τὸ μὴ παρ' ἐλπίδα P. καὶ προησφαλίσθαι L. 28 δὲ τὴν L. ἀντωκοδόμησαν L.M. 29 γε μὴν τῆς L. 30 γὰρ ἂν ἀναβῆναι L. καταρριφέντων M. ῥάδιον L. τὸ πρόσκαιρον P. εἶναι λύσιν L. 31 τὰς προτροπὰς M. ἐνεργάζεσθαι L.P.T. 32 τὸ μὲν παρακαλεῖν L. τοῖς παρακαλουμένοις L. ἀκλεῆ M. ἀκλεεῖ N. καὶ τῷ παρακαλοῦντι L. καὶ τὸ παρακελεύοντι P. 33 πραγμάτων εἰς ἐκεῖνα N. ἔγωγε καὶ τὸ L.

λοις τοὺς ἀρετῆς ἐφιεμένους, καὶ ὅτι καλὸν ἐν εὐκλείᾳ τε-
λευτὴ, καὶ ὡς οὐκ ἄκαρπον ἔσται τοῖς καταρξαμένοις τὸ γεν-
35 ναῖον, διέξειμι. Πρῶτον μὲν οὖν ὑμῖν γενέσθω προτροπὴ,
τὸ τινὰς ἴσως ἀποτρέπον, ἡ Ἰουδαίων μακροθυμία, καὶ τὸ
36 καρτερικὸν ἐν οἷς κακοπαθοῦσιν· αἰσχρὸν γὰρ, Ῥωμαίους τε
ὄντας καὶ στρατιώτας ἐμοὺς, καὶ διδακτὸν μὲν ἐν εἰρήνῃ τὸ
πολεμεῖν, ἔθιμον δ' ἐν πολέμῳ τὸ κρατεῖν ἔχοντας, ἡττᾶσθαι
κατὰ χεῖρα Ἰουδαίων, ἢ κατὰ ψυχὴν, καὶ ταῦτα πρὸς τέλει
37 τῆς νίκης καὶ συνεργουμένους ὑπὸ τοῦ θεοῦ. Τὰ μὲν γὰρ
ἡμέτερα πταίσματα τῆς Ἰουδαίων ἐστὶν ἀπονοίας, τὰ δ' ἐκεί-
νων πάθη ταῖς τε ὑμετέραις ἀρεταῖς καὶ ταῖς τοῦ θεοῦ συνερ-
38 γίαις αὔξεται· στάσις γὰρ καὶ λιμὸς, καὶ πολιορκία, καὶ δίχα
μηχανημάτων πίπτοντα τείχη, τί ἂν ἄλλο ἢ θεοῦ μὲν εἴη μῆ-
νις ἐκείνοις, βοήθεια δ' ἡμετέρα; Τὸ τοίνυν μὴ μόνον ἐλατ-
τοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν θείαν συμμαχίαν προδιδόναι,
39 πρὸς ἡμῶν οὐκ ἂν εἴη. Πῶς δ' οὐκ αἰσχρὸν, Ἰουδαίους μὲν,
οἷς πολλὴν αἰσχύνην οὐ φέρει τὸ λείπεσθαι μαθοῦσι δουλεύ-
ειν, ὑπὲρ τοῦ μηκέτι τοῦτο πάσχειν θανάτου καταφρονεῖν, καὶ
πολλάκις εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρατή-
40 σειν, ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρείας· ἡμᾶς δὲ τοὺς γῆς
ὀλίγου δεῖν ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ τὸ μὴ
νικᾶν ὄνειδος, μηδὲ ἅπαξ εἰς τοὺς πολεμίους παραβάλλεσθαι,
περιμένειν δὲ τὸν λιμὸν κατ' αὐτῶν καὶ τὴν τύχην ἀργοὺς
41 καθεζομένους μετὰ τοιούτων ὅπλων, καὶ ταῦτα δι' ὀλίγου τοῦ
παραβόλου τὸ πᾶν κατορθῶσαι δυναμένους; Ἀναβάντες
42 γοῦν ἐπὶ τὴν Ἀντωνίαν, ἔχομεν τὴν πόλιν. Καὶ γὰρ ἂν
γίνηταί τις ἔτι πρὸς τοὺς ἔνδον, ὅπερ οὐκ οἶομαι, μάχη, τό
γε κατὰ κορυφὴν εἶναι, καὶ ταῖς ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν

35 μὲν οὖν ὑμῶν L.T. μὲν οὖν ὑμᾶς N. 36 πρὸς τῷ τέλει P. 37 Τὰ γὰρ ἡμέτερα M.N.P. ταῖς ὑμετέραις P. 38 πολιορκία, δίχα L. πρὸς ὑμῶν οὐκ ἂν P.E. 39 Ἰουδαίοις μὲν M.N. οὐ πολ. αἰσχ. φέρει L. πολ. αἰσχ. φέρει om. οὐ P. ἀλλὰ δαψιλὴν L. 40 ὑμᾶς δὲ τοὺς L.N. δεῖν πάσης L. παραβαλέσθαι P. τὸ περιμένειν L. 42 ἂν γένηταί τις M. ἔνδον ὅπη οὐκ M. οἶομαι διαμάχη L. οἶμαι μάχη P. τό τε κατὰ L.

πολεμίων, ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. Καὶ 43
ἔγωγε, τὸ μὲν ὑμνεῖν ἄρτι τὴν ἐν πολέμῳ τελευτὴν, καὶ τὴν
ἐπὶ τοῖς ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν παραλείπω, ἐπαρα-
σαίμην δ' ἂν τοῖς ἄλλως ἔχουσι τὸν κατ' εἰρήνην ἐκ νόσου
θάνατον, οἷς μετὰ τοῦ σώματος καὶ ἡ ψυχὴ τάφῳ κατακρίνε-
ται. Τίς γὰρ οὐκ οἶδε τῶν ἀγαθῶν ἀνδρῶν, ὅτι τὰς μὲν ἐν 44
παρατάξει ψυχὰς, σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας, τὸ κα-
θαρώτατον στοιχεῖον αἰθὴρ ξενοδοχῶν ἄστροις ἐγκαθιδρύει,
δαίμονες δ' ἀγαθοὶ, καὶ ἥρωες εὐμενεῖς, ἰδίοις ἐκγόνοις ἐμφανί-
ζονται· τὰς δ' ἐν νοσοῦσι τοῖς σώμασι συντακείσας, καὶ ἂν τὰ 45
μάλιστα κηλίδων ἢ μιασμάτων ὦσι καθαραὶ, νὺξ ὑπόγειος
ἀφανίζει, καὶ λήθη βαθεῖα δέχεται, λαμβανούσας ἅμα τοῦ τε
βίου καὶ τῶν σωμάτων, ἔτι δὲ τῆς μνήμης περιγραφήν; Εἰ 46
δὲ κέκλωσται μὲν ἀνθρώποις ἀναγκαία τελευτὴ, κουφότερος
δ' εἰς αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς
μὴ διδόναι ταῖς χρείαις, ὃ τῷ χρεὼν ἀποδώσομεν; Καὶ ταῦτα 47
μὲν, ὡς οὐ δυναμένων σωθῆναι τῶν ἐπιχειρησόντων, διεξῆλθον.
Ἔνεστι δὲ σώζεσθαι τοῖς ἀνδριζομένοις καὶ ἐκ τῶν σφαλε-
ρωτάτων. Πρῶτον μὲν γὰρ τὸ καταρριφθὲν εὐεπίβατον, 48
ἔπειτα πᾶν τὸ οἰκοδομηθὲν εὐδιάλυτον· ὑμεῖς τε πλείους,
θαρσήσαντες ἐπὶ τὴν πρᾶξιν, ἀλλήλοις προτροπὴ καὶ βοή-
θεια γίνεσθε, καὶ τοῖς πολεμίοις τὸ ὑμέτερον παράστημα
ταχέως κλάσει τὰ φρονήματα. Καὶ τάχα ἂν ὑμῖν ἀναί- 49
μακτον τὸ κατόρθωμα γένοιτο, μόνον καταρξαμένοις. Ἀνα-
βαίνοντας μὲν γὰρ κωλύειν πειράσονται κατὰ τὸ εἰκὸς, λα-
θόντας δὲ καὶ βιασαμένους ἅπαξ οὐκ ἂν ὑποσταῖεν ἔτι, καὶ
ἂν ὀλίγοι φθάσητε· τὸν δὲ καταρξάμενον αἰσχυνοίμην ἂν εἰ 50

43 ἐν τῷ πολέμῳ L. παραλίπω M. παραλίπων P. et ex cor. T. ἐπαρασαίμην ἂν L.N.P. et ex cor. T. κατ' εἰρήνης M. 44 καθαρώτατον P. 45 νὺξ ὕποπτος ἀφανίζει L. λαμβάνουσα δ' ἅμα L. λαμβάνουσά τε ἅμα P.E. περιγραφὴν ἤδη· κέκλωσται L. 46 κουφοτέρων M.N. αὐτὴν ὁ σίδηρος νόσου πάσης M. διδόναι ταῖς ἀξίαις ᾧ τὸ χρεὼν L. 47 τῶν ἐπιχειρησάντων L. 48 τὸ καταρριφὲν M. τάχεως κλάση L. ταχ. κατακλίσει M. 49 τάχα ἡμῖν L. τάχα ἂν ἡμῖν M.N.T. καταρξομένοις N. ἀναβαίνοντας γὰρ N.T. 50 αἰσχυνοίμην εἰ μὴ P.

μὴ ποιήσαιμι ζηλωτὸν ἐν ταῖς ἐπικαρπίαις· καὶ ὁ μὲν ζῶν
ἄρξει τῶν νῦν ὁμοίων, μακάρια δ' ἀκολουθήσει καὶ τοῖς πε-
σοῦσι τὰ ἀριστεῖα."
51 6. Τοιαῦτα τοῦ Τίτου διεξιόντος, τὸ μὲν ἄλλο πλῆθος
ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος· τῶν δ' ἐν ταῖς σπείραις
στρατευομένων Σαβῖνος τὸ ὄνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ
52 καὶ κατὰ χεῖρα καὶ κατὰ ψυχὴν ἄριστος ἐφάνη, καίτοι προϊ-
δών ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐ δίκαιον εἶ-
ναι στρατιώτην ἔδοξε· μέλας μὲν γὰρ ἦν τὴν χρόαν, ἰσχνὸς,
τὴν σάρκα πεπιλημένος, ἀλλ' ἐνῴκει τις ἡρωϊκὴ ψυχὴ λεπτῷ
53 σώματι, καὶ πολὺ τῆς ἰδίας ἀλκῆς στενοτέρῳ. Πρῶτος γοῦν
ἀναστὰς, "Ἐπιδίδωμί σοι, Καῖσαρ," ἔφη, "προθύμως ἐμαυ-
τόν. Πρῶτος ἀναβαίνω τὸ τεῖχος· καὶ εὔχομαι μὲν μοῦ τῇ
54 τε ἰσχύϊ καὶ τῇ γνώμῃ τὴν σὴν ἀκολουθῆσαι τύχην. Εἰ δὲ
νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με, μὴ πταίσαντα παρ' ἐλπί-
δας, ἀλλ' ὑπὲρ σοῦ κρίσει τὸν θάνατον ἡρημένον." Ταῦτα
εἰπὼν καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν ὑπὲρ τῆς κεφα-
55 λῆς προανατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐχώρει
πρὸς τὸ τεῖχος, μάλιστα περὶ ὥραν τῆς ἡμέρας ἕκτην. Εἵ-
ποντο δὲ αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς ἀν-
56 δρείας γενόμενοι. Προῆγε δὲ πολὺ πάντας ὁ ἀνὴρ ὁρμῇ
τινι δαιμονίῳ χρώμενος. Οἱ φρουροὶ δ' ἀπὸ τοῦ τείχους
κατηκόντιζόν τε αὐτοὺς, καὶ βέλεσι πάντοθεν ἀπείροις ἔβαλ-
λον, καὶ πέτρας ἐξαισίους κατεκύλιον, αἳ ἐκ τῶν μὲν ἕνδεκα
57 παρέσυραν ἑνίους. Ὁ δὲ Σαβῖνος ἁπάντων τοῖς ἀφιεμένοις,
καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν, οὐ πρότερον ἐπέσχε τὴν
ὁρμὴν, ἢ γενέσθαι τε ἐπ' ἄκρῳ, καὶ τρέψασθαι τοὺς πολε-

ποιησαίμην L. μακαριστὰ δ' ἀκ. L.P. ἀρίστια N. 51 Τίτου διεξελθόντος L. σπείραις τις στρατευ. L. ἀπὸ τῆς Συρ. N. ἀνὴρ κατὰ χεῖρα P. 52 ἀπό τε τῆς L. ἀπὸ τῆς T. ἕξεως οὐδ' εἰκαῖον L. τὴν χροίαν P. καὶ τὴν χρόαν M. ἀλκῆς γενναιοτέρῳ. L.P. ἀλκῆς γενναιοτέρα. N.T. 53 προθύμως ἔφη Καῖσαρ tr. M. τοῦ τείχους· καὶ L. ἀκολουθῆσαι ψυχήν. εἰ N. 54 ἐπιβούλης M.N. μή με πταίσαντα tr. P. μή με πταίσοντα T. μή με πταίοντα N. κεφαλῆς ἀνατείνας P. 55 περὶ ὥραν μάλιστα tr. L. 56 πολὺ πάντων P. 57 γενέσθαι ἐπ' T E.

μίους. Καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰου- 58
δαῖοι, καὶ τὸ παράστημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀνα-
βεβηκέναι δόξαντες ἐτράπησαν. Ἔνθα δὴ καταμέμψαιτ' ἄν 59
τις ὡς φθονερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην, καὶ κωλύουσαν
ἀεὶ τὰ παράδοξα τῶν κατορθωμάτων. Ὁ γοῦν ἀνὴρ οὗτος, 60
ὅτε ἐκράτησε τῆς ἐπιβολῆς, ἐσφάλη, καὶ πταίσας πρός τινα
πέτραν, πρηνὴς ἐπ' αὐτῆς μετὰ μεγίστου ψόφου κατέπεσεν.
Ἐπιστραφέντες δὲ οἱ Ἰουδαῖοι καὶ κατιδόντες μόνον τε αὐ-
τὸν καὶ πεπτωκότα, πάντοθεν ἔβαλλον. Ὁ δ' εἰς γόνυ δια- 61
ναστὰς, καὶ προκαλυψάμενος τὸν θυρεὸν, τὸ μὲν πρῶτον
ἠμύνατο, καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν. Αὖθις δ' 62
ὑπὸ πλήθους τραυμάτων παρῆκε τὴν δεξιὰν, καὶ τέλος, πρὶν
ἀποδοῦναι τὴν ψυχὴν, κατεχώσθη τοῖς βέλεσιν· ἀνὴρ ἄξιος
μὲν ἀμείνονι χρῆσθαι δι' ἀνδρείαν τύχῃ, πεσὼν δὲ τῆς ἐπιβο-
λῆς ἀναλόγως. Τῶν δ' ἄλλων τρεῖς μὲν τοὺς ἤδη πρὸς τοῖς 63
ἄκροις ὄντας συντρίψαντες ἀπέκτειναν τοῖς λίθοις· οἱ δ' ὀκτὼ
τραυματίαι κατασυρέντες ἀνεκομίσθησαν εἰς τὸ στρατόπεδον.
Ταῦτα μὲν οὖν τρίτῃ Πανέμου μηνὸς ἐπράχθη.

7. Μετὰ δὲ ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ τοῖς 64
χώμασι φυλάκων εἴκοσι συνελθόντες, προσκαλοῦνται μὲν τὸν
τοῦ πέμπτου τάγματος σημαιοφόρον, καὶ δύο τινὰς τῶν ἐν
ταῖς ἴλαις ἱππέων, καὶ σαλπιγκτὴν ἕνα. Κατὰ δὲ ὥραν τῆς 65
νυκτὸς ἐννάτην προσβαίνουσι μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων ἐπὶ
τὴν Ἀντωνίαν· ἀποσφάξαντες δὲ τοὺς πρώτους τῶν φρουρῶν
κοιμωμένους κρατοῦσι τοῦ τείχους, καὶ τῷ σαλπιγκτῇ σημαί-
νειν ἐκέλευσαν. Πρὸς ὃ τῶν μὲν ἄλλων φυλάκων ἐξανάστα- 66
σίς τε αἰφνίδιος ἦν καὶ φυγὴ, πρίν τινα τὸ πλῆθος ἐπιδεῖν
τῶν ἐπιβεβηκότων· ὅ τε γὰρ φόβος καὶ ἡ σάλπιγξ φαντα-

60 ἐπιβουλῆς N. πρός τινι πέτρᾳ L.P. et ex cor. T. πρηνὴς ἐπ' αὐ-
τῆς E. πρινὴς ἐπ' αὐτὴν P. 61 εἰς τὸ γόνυ L. ἠμύνετο L. 62 Αὖ-
θις δ' ἀπὸ M.T.E. χρήσασθαι L. 63 μηνὸς Πανέμου tr. L.M.N.
P.T. 64 προσκοιτούντων L. συνελθόντες προσποιοῦνται μὲν P. ση-
μαιαφόρον L.M.N.T. ταῖς εἴλαις N. 65 προβαίνουσι E. 66 ἐξ-
ανάστασις αἰφνίδιος M.N.P.T. πλῆθος ἰδεῖν L.

σίαν αὐτοῖς τοῦ πλῆθος ἀναβεβηκέναι πολεμίων παρεῖχε.
67 Καῖσαρ δὲ τοῦ σημείου κατακούσας, ἐξοπλίζει τήν τε δύναμιν
διὰ τάχους, καὶ μετὰ τῶν ἡγεμόνων πρῶτος ἀναβαίνει τοὺς
68 ἐπιλέκτους ἔχων. Καταφευγόντων δὲ Ἰουδαίων εἰς τὸ ἱερὸν,
καὶ αὐτοὶ διὰ τῆς διώρυχος εἰσέπιπτον, ἣν ὁ Ἰωάννης ὑπὸ τὰ
χώματα τῶν Ῥωμαίων ὑπώρυξε. Καὶ διαστάντες ἀπ' ἀμφο-
τέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ τε Ἰωάννου καὶ
τοῦ Σίμωνος, εἶργον αὐτοὺς, οὐδεμίαν οὔτε ἰσχύος οὔτε προ-
69 θυμίας ἐλλείποντες ὑπερβολήν. Πέρας γὰρ ἀλώσεως ὑπε-
λάμβανον τὸ Ῥωμαίους παρελθεῖν εἰς τὸ ἅγιον, ὃ δὴ καὶ
ἐκεῖνοι τοῦ κρατεῖν ἀρχήν. Συρρήγνυται δὲ περὶ τὰς εἰσό-
δους μάχη καρτερὰ, τῶν μὲν καταλαβέσθαι καὶ τὸ ἱερὸν εἰσ-
βιαζομένων, τῶν δὲ Ἰουδαίων ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν Ἀν-
70 τωνίαν. Καὶ τὰ βέλη μὲν ἦν ἀμφοτέροις ἄχρηστα, καὶ τὰ
δόρατα· σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο, καὶ περὶ τὴν
συμβολὴν ἄκριτον ἦν, ὁποτέρωθεν ἕκαστοι μάχοιντο, πεφυρ-
μένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωρίαν διηλλαγμέ-
νων, τῆς δὲ βοῆς ἀσημάντου προσπιπτούσης διὰ τὸ μέγεθος.
71 Φόνος τε ἦν ἑκατέρωθεν πολὺς, καὶ τῶν πεσόντων τά τε σώ-
ματα καὶ τὰς πανοπλίας πατοῦντες ἔθρανον οἱ μαχόμενοι.
Ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειε ῥέων ὁ πόλεμος, παρακέλευσις
μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων.
72 Οὔτε δὲ αἱ φυγαὶ τόπον εἶχον, οὔθ' αἱ διώξεις, ἀλλ' ἀνώμα-
λοι ῥοπαὶ καὶ μετακλίσεις μεμιγμένης ἐγίνοντο τῆς παρατά-
73 ξεως. Τοῖς δ' ἔμπροσθεν γινομένοις ἢ τοῦ κτείνειν ἢ τοῦ
θνήσκειν ἀνάγκη παρῆν, οὐκ οὔσης ἀναφυγῆς· οἱ γὰρ κατὰ

τοῦ πλήθους ἀναβεβ. L.M.P.E. et pri. ma. T. 67 κατακούσας, καὶ μετὰ τῶν desunt reliqua M. δύναμιν κατὰ τάχος L. ἀναβαίνει ἔχων ἐπιλέκτους. N.P. et pri. ma. T. 68 Καταπεφευγότων δὲ L.P. διώρυγος L. Ἰωάννης ἐπὶ τὰ L.M.N.T. ὑπ' ἀμφοτέρων L. ἐπ' ἀμφοτέρων M.N.P.T. 69 καὶ τὸ ἱερὸν desunt M. ἐκβιαζομένων L. 70 μὲν ἦν ἀμφοτέρων P. μὲν ἀνδρῶν P. διηλλαγμένων deest L. τῆς δὲ βίας ἀσημ. N. τῆς δὲ βοῆς ἐνηλλαγμένης καὶ ἀσημ. L. 71 Φόνος δὲ ἦν L. φόνος ἦν P. συμπατοῦντες ἔθρανον L. et ex adj. T. βρίσειε ῥέπων E. βρίσειεν ῥέον P. 72 ἀλλ' ἀγχώμαλοι L. ἀλλ' ἀγχόμαλοι P. 73 ἢ τοῦ θνήσκειν ἢ τοῦ κνείνειν tr. M.N.T.

νώτου, πρόσω βιαζόμενοι τοὺς σφετέρους παρ' ἀμφοῖν, οὐδὲ τῇ μάχῃ μεταίχμιον κατέλιπον. Πλεονεκτούντων δὲ τῶν 74
Ἰουδαίων τοῖς θυμοῖς τὴν Ῥωμαίων ἐμπειρίαν, καὶ κλινομένης καθάπαν ἤδη τῆς παρατάξεως, ἀπὸ γὰρ ἐννάτης νυκτὸς ὥρας εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν, οἱ μὲν ἀθρόοι, καὶ τὸν τῆς ἁλώσεως κίνδυνον ἔχοντες ἀνδρείας ἐφόδιον, Ῥωμαῖοι δὲ μέρει 75
τῆς δυνάμεως — οὔπω γὰρ ἐπαναβεβήκει τὰ τάγματα, καὶ ἐκείνοις ἐπανεῖχον οἱ μαχόμενοι — τότε κρατεῖν τῆς Ἀντωνίας ἀποχρῆν ἐπὶ τοῦ παρόντος ἐδόκει.

8. Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς Βιθυνίας, 76
οὐκ ἄσημος ὢν ἀνὴρ, ὧν ἐγὼ κατ' ἐκεῖνον ἱστόρησα τὸν πόλεμον, ὅπλων τε ἐμπειρίᾳ, καὶ ἀλκῇ σώματος, καὶ ψυχῆς παραστήματι πάντων ἄριστος, ὁρῶν τοὺς Ῥωμαίους ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους, — παρειστήκει δὲ Τίτῳ κατὰ τὴν 77
Ἀντωνίαν — προπηδᾷ, καὶ νικῶντας ἤδη τοὺς Ἰουδαίους τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρω ἱεροῦ γωνίας. Ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν, οὔτε τὴν τόλμαν ἀνθρωπίνην ὑπολαμβάνοντες. Ὁ δὲ διὰ μέσων τῶν σκεδαννυμένων 78
ἄλλοτε ἄλλῃ διάττων, ἐφόνευε τοὺς καταλαμβανομένους· καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τῷ Καίσαρι θαυμασιώτερον, οὔτε τοῖς ἄλλοις παρέστη φρικωδέστερον. Ἐδιώκετο δ' ἄρα 79
καὶ αὐτὸς ὑπὸ τῆς εἱμαρμένης, ἣν ἀμήχανον διαφυγεῖν θνητὸν ὄντα. Τὰ γὰρ ὑποδήματα πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν ἄλλων στρατιωτῶν ἕκαστος, καὶ κατὰ λιθοστρώτου τρέχων ὑπολισθαίνει. Πεσὼν δὲ ὕπτιος, μετὰ 80
μεγίστου τῆς πανοπλίας ἤχου, τοὺς φεύγοντας ἐπιστρέφει. Καὶ τῶν μὲν ἀπὸ τῆς Ἀντωνίας Ῥωμαίων ἤρθη βοὴ, περὶ τῷ ἀνδρὶ δεισάντων· οἱ δὲ Ἰουδαῖοι περιστάντες αὐτὸν ἀθρόοι,

μεσαίχμιον L.M.N.P.T.E. κατέλειπον L.P. 74 καθάπαξ ἤδη L. 75 δὲ μέρη τῆς L. ἐνάτης ὥρας τῆς νυκτὸς P. γὰρ ἀναβεβήκει L. κἀκείνους ἐπανείχον M. 76 ἀνὴρ, ὃν ἐγὼ L.N.P.E. et pri. ma. T. 77 παρειστήκει δέ τι τῷ κατὰ N. ὑπολαμβάνον. Ὁ δὲ L. 78 ἄλλῃ δι' αὐτῶν ἐφόνευε N. ἄλλο δι' αὐτῶν ἐφ. L. οὔτε Καίσαρι L. 79 πεπαρμένα deest L. σεσωρευμένα habet P. ὑπολισθάνει L.N.T. 80 περὶ τοῦ ἀνδρὸς δεισ. L. περιστάντες αὐτῷ L.

81 τοῖς τε ξυστοῖς, καὶ ταῖς ῥομφαίαις πάντοθεν ἔπαιον. Ὁ δὲ πολὺν μὲν τῷ θυρεῷ σίδηρον ἐξεδέχετο, πολλάκις δ' ἀναστῆναι πειράσας, ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, 82 καὶ κείμενος δὲ ὅμως ἔνυττε τῷ ξίφει πολλούς. Οὐδὲ γὰρ ἀνῃρέθη ταχέως, τῷ τε κράνει καὶ τῷ θώρακι πεφραγμένος πάντα τὰ καίρια πρὸς σφαγὴν, καὶ τὸν αὐχένα συνέλκων, μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν, καὶ μηδενὸς προσ- 83 αμῦναι τολμῶντος, ἐνέδωκε. Δεινὸν δὲ πάθος εἰσῄει Καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου, καὶ ἐν ὄψει τοσούτων φονευομένου· καὶ αὐτὸν μὲν ὁ τόπος διέκλειε τοῦ βοηθεῖν ἐθέλοντα, 84 τοὺς δυναμένους δὲ κατάπληξις. Ἰουλιανὸς μὲν οὖν πολλὰ δυσθανατήσας, καὶ τῶν κτεινάντων ὀλίγους ἀπλῆγας καταλιπὼν, μόλις ἀποσφάττεται, μέγιστον οὐ παρὰ Ῥωμαίοις καὶ Καίσαρι μόνον, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις κλέος καταλι- 85 πών. Ἰουδαῖοι δὲ, καὶ τὸν νεκρὸν ἁρπασάμενοι, πάλιν τοὺς Ῥωμαίους τρέπονται, καὶ κατακλείουσιν εἰς τὴν Ἀντωνίαν. Ἠγωνίσαντο δ' ἐξ αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην 86 Ἀλεξᾶς μέν τις καὶ Γυφθαῖος τοῦ Ἰωάννου τάγματος· ἐκ δὲ τῶν περὶ Σίμωνα Μαλαχίας τε, καὶ ὁ τοῦ Μέρτωνος Ἰούδας, καὶ Σωσᾶ υἱὸς Ἰάκωβος τῶν Ἰδουμαίων ἡγεμὼν, τῶν δὲ ζηλωτῶν ἀδελφοὶ δύο, παῖδες Ἰαείρου Σίμων τε καὶ Ἰούδης.

CAP. II.

1 1. Τίτος δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις κατασκάπτειν προσέταξε τοὺς θεμελίους τῆς Ἀντωνίας, καὶ τῇ δυνάμει 2 πάσῃ ῥᾳδίαν τὴν ἄνοδον εὐτρεπίζειν. Αὐτὸς δὲ τὸν Ἰώσηπον παραστησάμενος, — ἐπέπυστο γὰρ ἐπ' ἐκείνης τῆς ἡμέ-

81 Ὁ δὲ τὸν πολὺν L. et ex cor. T. ἀνετράπη κἀκεῖνος δὲ ὅμως N. P.T. 82 θώρακι περιπεφραγμένος L. τὰ καίρια πάντα tr. L. 83 Καίσαρι L. βοηθεῖν θέλοντα N.P.T. 84 τῶν κτεινόντων P. καταλείπων P. κλέος καταλείπων P. 85 Ἀλεξᾶς μέντοι καὶ M.N. Γυφθαῖος ὄντες τοῦ L. Γυφθέος τοῦ P. 86 ἐκ δὲ τὸν περὶ P. Μαλχίας ex ras. T. τοῦ Μελίτωνος Ἰούδας L. παῖδες Ἀρισίμων τε L.N.P. παῖδες Ἀρὶ Σίμων τε T. 2 πέπυστο L. ἐπέπυστο δὲ ἐπ' N.T.

ρας, Πανέμου δ' ἦν ἑπτακαιδεκάτη, τὸν ἐνδελεχισμὸν καλούμενον, ἀνδρῶν ἀπορίᾳ διαλελοιπέναι τῷ θεῷ, καὶ τὸν δῆμον ἐπὶ τούτῳ δεινῶς ἀθυμεῖν, —λέγειν τῷ Ἰωάννῃ πάλιν ἐκέλευ- 3
σεν ἃ καὶ πρότερον, 'ὡς, εἰ καί τις αὐτὸν ἔρως κακὸς ἔχοι τοῦ μάχεσθαι, προελθόντι μεθ' ὅσων βούλεται πολεμεῖν ἐξείη, δίχα τοῦ συναπολέσθαι τήν τε πόλιν καὶ τὸν ναὸν αὐτῷ. Μηκέτι μέντοι μιαίνειν τὸ ἅγιον, μηδὲ εἰς τὸν θεὸν πλημμε- 4
λεῖν· παρεῖναι δὲ αὐτῷ τὰς ἐπιλελοιπυίας θυσίας ἐκτελεῖν, δι' ὧν ἂν ἐπιλέξηται Ἰουδαίων.' Καὶ ὁ Ἰώσηπος, ὡς ἂν εἴη μὴ 5
τῷ Ἰωάννῃ μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς ἐν ἐπηκόῳ στὰς, τά τε τοῦ Καίσαρος διήγγειλεν Ἑβραΐζων, καὶ πολλὰ προσηντιβόλει, 'φείσασθαι τῆς πατρίδος, καὶ διασκεδάσαι τοῦ ναοῦ γενόμενον ἤδη τὸ πῦρ, τούς τε ἐναγισμοὺς ἀποδιδόναι τῷ θεῷ.' Πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν κατήφεια καὶ 6
σιγή· πολλὰ δὲ ὁ τύραννος λοιδορηθείς τε τῷ Ἰωσήπῳ καὶ καταρασάμενος, τὸ τελευταῖον προσέθηκεν, 'ὡς οὐκ ἄν ποτε δείσειεν ἅλωσιν, θεοῦ γὰρ ὑπάρχειν τὴν πόλιν.' Καὶ ὁ Ἰώ- 7
σηπος πρὸς ταῦτα ἀνέκραγεν, "Πάνυ γοῦν καθαρὰν τῷ θεῷ τετήρηκας αὐτὴν, ἀμίαντον δὲ μένει τὸ ἅγιον. Εἰς ὃν δὲ ἐλπίζεις σύμμαχον, οὐδὲν ἠσέβησας, τὰς δὲ ἐθίμους θυσίας ἀπολαμβάνει. Καὶ ἐὰν μέν σου τις ἀφέληται τὴν καθ' ἡμέραν 8
τροφὴν, ἀσεβέστατε, τοῦτον ἡγήσῃ πολέμιον· αὐτὸν δὲ, ὃν τῆς αἰωνίου θρησκείας ἐστέρησας θεὸν, ἐλπίζεις σύμμαχον ἔχειν ἐν τῷ πολέμῳ; Καὶ Ῥωμαίοις τὰς ἁμαρτίας ἀνατίθης, 9
οἳ μέχρι νῦν κήδονται τῶν ἡμετέρων νόμων, καὶ τὰς ὑπὸ σοῦ διακοπείσας θυσίας ἀποδίδοσθαι τῷ θεῷ βιάζονται; Τίς οὐκ 10
ἂν στενάξειε, καὶ κατολοφύραιτο τῆς παραδόξου μεταβολῆς

ἐνδελεχησμὸν T. λελοιπέναι M. ἐπὶ τούτου δεινὸς P. 3 λέγειν δὲ τῷ N.P. προσελθόντι L. πολεμεῖν ἐξῆν L.P.T. πολ. ἐξήει N. πολ. ἐξίη E. τὴν πόλιν P. ναὸν ἑαυτῷ L. 5 ἂν εἰ μὴ τῷ L.E. στὰς deest P. διήγγελλεν L.N.T. διήγγελεν M. ἀποδοῦναι τῷ L.P. ἐπιδιδόναι τῷ E. 7 καθαρὰν deest M. ὃν τ' ἐλπίζεις L. ὃν δ' ἐλπίζει N. 8 ἀφέλη τὴν L.M.N.T. ἥγησαι L.P. ἀπεστέρησας L. 9 ἀνατιθεὶς L.N.P.T. τῶν ὑμετέρων L. τὰς ἀπὸ σοῦ M. διακοπήσας P. 10 στενάξει καὶ N. στενάξῃ καὶ P.T. κατολοφύρετο P.

τὴν πόλιν, εἴ γε ἀλλόφυλοι μὲν καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπανορθοῦνται, σὺ δὲ ὁ Ἰουδαῖος, ὁ τοῖς νόμοις ἐντρα-
11 φεὶς, καὶ ἐκείνων πρὸς αὐτοὺς γίνῃ χαλεπώτερος; Ἀλλά τοι, Ἰωάννη, καὶ μετανοῆσαι μὲν ἐκ κακῶν οὐκ αἰσχρὸν ἐν ἐσχάτοις, καὶ καλὸν ὑπόδειγμα βουλομένῳ σώζειν τὴν πατρίδα
12 σοι πρόκειται, βασιλεὺς Ἰουδαίων Ἰεχωνίας· ὃς ποτε στρατεύσαντι τῷ Βαβυλωνίῳ δι' αὐτὸν ἑκὼν ἐξέστη, πρὶν ἁλῶναι τῆς πόλεως, καὶ μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἑθελούσιον, ὑπὲρ τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις τὰ ἅγια, καὶ
13 τὸν οἶκον τοῦ θεοῦ περιϊδεῖν φλεγόμενον. Διὰ τοῦτο λόγος τε αὐτὸν πρὸς ἁπάντων Ἰουδαίων ἱερὸς ἀνυμνεῖ, καὶ μνήμη ῥέουσα δι' αἰῶνος ἀεὶ νέα τοῖς ἐπιγινομένοις παραδίδωσιν ἀθάνατον. Καλὸν, ὦ Ἰωάννη, ὑπόδειγμα, καὶ ἂν προσῇ
14 κίνδυνος· ἐγὼ δέ σοι καὶ τὴν ἀπὸ Ῥωμαίων συγγνώμην ἐγγυῶμαι. Μέμνησο δὲ, ὡς ὁμόφυλος ὢν παραινῶ, καὶ Ἰουδαῖος ὢν ἐπαγγέλλομαι· καὶ χρὴ σκοπεῖν, τίς ὁ συμβου-
15 λεύων, καὶ πόθεν. Μὴ γὰρ ἔγωγέ ποτε γενοίμην ζῶν οὕτως αἰχμάλωτος, ἵνα παύσωμαι τοῦ γένους, ἢ τῶν πατρίων ἐπιλάθωμαι. Πάλιν ἀγανακτεῖς, καὶ κέκραγάς μοι λοιδο-
16 ρούμενος· ἀξιῷ γε καὶ χαλεπωτέρων, ὃς ἄντικρυς εἰμαρμένης τι παραινῶ, καὶ τοὺς ὑπὸ τοῦ θεοῦ βιάζομαι κατακρίτους
17 σώζειν. Τίς οὐκ οἶδε τὰς τῶν παλαιῶν προφητῶν ἀναγραφὰς, καὶ τὸν ἐπιρρέποντα τῇ τλήμονι πόλει χρησμὸν, ἤδη ἐνεστῶτα; Τότε γὰρ ἅλωσιν αὐτῆς προεῖπον, ὅταν ὁμοφύ-
18 λου τις ἄρξῃ φόνου. Τῶν ὑμετέρων δὲ πτωμάτων οὐχ ἡ πόλις, καὶ τὸ ἱερὸν δὲ πᾶν πεπλήρωται; Θεὸς ἄρα, θεὸς αὐτὸς ἐπάγει μετὰ Ῥωμαίων καθάρσιον αὐτῷ πῦρ, καὶ τὴν τοσούτων μιασμάτων γέμουσαν πόλιν ἀναρπάζει."

σὺ δὲ Ἰουδαῖος N.E. 11 Ἰεχονίας P. 13 ἱερὸς deest P. ὑμνεῖ M.N.P.T. ἐπιγενομένοις N.T.E. ἐπιγιν. ἐπιδίδωσιν M. 15 οὕτως καὶ αἰχμάλ. L. οὕτος αἰχμάλ. P. 16 ἀξιώς γε καὶ M.E. ὅντι in marg. adscrip. T. τοὺς ὑπὸ θεοῦ P.E. τὸν ἐπιρρέοντα M. τὸν ἐπιλείποντα L. 17 πόλει χρισμὸν P. ἄρξῃ τις M. 18 τῶν δ' ὑμετέρων L. κάθαρσιν αὐτῷ L.N.P. πόλιν ἁρπάζει L.

2. Ταῦτα λέγων ὁ Ἰώσηπος μετ' ὀδυρμοῦ καὶ δακρύων, [19] λυγμῷ τὴν φωνὴν ἀνεκόπη. Καὶ Ῥωμαῖοι μὲν ᾤκτειράν τε τοῦ πάθους, καὶ τῆς προαιρέσεως αὐτὸν ἐθαύμασαν. Οἱ δὲ [20] περὶ τὸν Ἰωάννην παρωξύνοντο μᾶλλον ἐπὶ τοὺς Ῥωμαίους, ἐπιθυμοῦντες ἐγκρατεῖς καὶ ἐκείνου γενέσθαι. Τῶν γε μὴν εὐγενῶν πολλοὺς ἐκίνησεν ὁ λόγος· καὶ τινὲς μέν, ὀρρωδοῦντες [21] τὰς φυλακὰς τῶν στασιαστῶν, κατὰ χώραν ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως κατεγνώκεσαν. Εἰσὶ [22] δὲ οἳ, καιροφυλακήσαντες ἄδειαν ἀναχωρήσεως, πρὸς τοὺς Ῥωμαίους κατέφυγον· ὧν ἦσαν ἀρχιερεῖς μὲν Ἰώσηπός τε καὶ Ἰησοῦς, υἱοὶ δ' ἀρχιερέων, τρεῖς μὲν Ἰσμαήλου τοῦ καρατομηθέντος ἐν Κυρήνῃ, καὶ τοῦ Ματθίου τέσσαρες, καὶ εἷς ἑτέρου Ματθίου παῖς, διαδρὰς μετὰ τὴν πατρὸς ἀπώλειαν, ὃν [23] ὁ τοῦ Γιώρα Σίμων ἀπέκτεινε σὺν τρισὶν υἱοῖς, ὡς προείρηται. Πολλοὶ δὲ καὶ τῶν ἄλλων εὐγενῶν τοῖς ἀρχιερεῦσι συμμετεβάλλοντο. Καῖσαρ δὲ αὐτοὺς τά τε ἄλλα φιλοφρόνως ἐδέ- [24] ξατο, καὶ γινώσκων ἀλλοφύλοις ἤθεσιν ἀηδῆ τὴν διατριβὴν ἕξειν, ἀπέπεμψεν αὐτοὺς εἰς Γόφναν, τέως ἐκεῖ παραινῶν μένειν· ἀποδώσειν γὰρ ἑκάστῳ τὰς κτήσεις κατὰ σχολὴν ἀπὸ [25] τοῦ πολέμου γενόμενος. Οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον μετὰ πάσης ἀσφαλείας ἀνεχώρουν ἄσμενοι. Μὴ φαινομέ- [26] νων δὲ αὐτῶν, διεφήμισαν οἱ στασιασταὶ πάλιν, ὡς ἀποσφαγεῖεν ὑπὸ Ῥωμαίων οἱ αὐτόμολοι, δηλονότι τοὺς λοιποὺς ἀποτρέποντες τῷ φόβῳ διαδιδράσκειν. Ἤνυστο δὲ, ὡς καὶ [27] πρότερον, αὐτοῖς τὸ πανούργημα πρὸς καιρόν· ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ δέους αὐτομολεῖν.

19 ὀδυρμῶν τε καὶ L. ἐνεκόπη L.M.N.P. 20 γενέσθαι κἀκείνου tr. M.N.P.T. 21 ὀρροδοῦντες P. σφῶν αὐτῶν L. 22 Κυρήνῃ καὶ τέσσαρες Ματθαίου καὶ εἷς ἑτέρου Ματ. διαδρὰς L.P. Κυρήνῃ καὶ τέταρτος Ματ. παῖς διαδρὰς M.N.T. 23 τὴν τοῦ πατρὸς P. τοῦ Γήρα L. συμμετεβάλοντο P. 24 ἤθεσιν ἀειδῆ L. Γόφνα M. et sic infra. παραινῶν τέως ἐκεῖ tr. M. 25 πολύχνιον M. 26 διεφήμησαν N.P. λοιποὺς ἀπέτρεπον τῷ M.N. 27 Ἤνυσεν δὲ L. αὐτοῖς ὡς καὶ πρότερον tr. L. πανούργημα πρόσκαιρον M. πανοῦργον πρόσκ. N.P.T.

28 3. Αὖθις δὲ, ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς Γόφνας
Τίτος ἐκέλευσε μετὰ τοῦ Ἰωσήπου περιελθόντας τὸ τεῖχος
ὀφθῆναι τῷ δήμῳ, πλεῖστοι πρὸς τοὺς Ῥωμαίους ἔφευγον.
29 Γινόμενοι δ' ἀθρόοι, καὶ πρὸ τῶν Ῥωμαίων ἱστάμενοι, μετ'
οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστὰς, 'τὸ μὲν πρῶ-
τον, ὅλῃ τοὺς Ῥωμαίους δέξασθαι τῇ πόλει, καὶ τὴν πατρίδα
30 σῶσαι πάλιν· εἰ δὲ μὴ, τοῦ τε ἱεροῦ πάντως ὑπεξελθεῖν, καὶ
ῥύσασθαι τὸν ναὸν αὐτοῖς· οὐ γὰρ ἂν τολμῆσαι Ῥωμαίους
31 μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι τὰ ἅγια.' Τούτοις
μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλάσφημα τοῖς αὐτομό-
λοις ἀντικεκραγότες, ἐπὶ τῶν ἱερῶν πυλῶν τούς τε ὀξυβελεῖς καὶ
32 καταπέλτας καὶ λιθοβόλους μηχανὰς διέστησαν· ὡς τὸ κύκλῳ
μὲν ἱερὸν ἀπὸ πλήθους νεκρῶν προσοικέναι πολυανδρίῳ, τὸν
δὲ ναὸν αὐτὸν φρουρίῳ. Τοῖς δὲ ἁγίοις καὶ ἀβάτοις μετὰ
τῶν ὅπλων εἰσεπήδων, θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων
33 ἔχοντες φόνων· καὶ προέκοψαν εἰς τοσοῦτον παρανομίας,
ὥστε, ἢν ἂν εἰκὸς ἀγανάκτησιν γενέσθαι Ἰουδαίων, εἰ Ῥω-
μαῖοι ταῦτα ἐξυβρίζοιεν εἰς αὐτοὺς, ταύτην εἶναι παρὰ Ῥω-
34 μαίων τότε πρὸς Ἰουδαίους ἀσεβοῦντας εἰς τὰ ἴδια. Τῶν
μέν γε στρατιωτῶν οὐκ ἔστιν ὅστις οὐ μετὰ φρίκης εἰς τὸν
ναὸν ἀφεώρα καὶ προσεκύνει, τούς τε λῃστὰς ἤχετο, πρὶν
ἀνηκέστου πάθους, μετανοῆσαι.

35 4. Τίτος δὲ ὑπερπαθήσας πάλιν ἐξωνείδιζε τοὺς περὶ τὸν
Ἰωάννην, λέγων, "Ἆρ' οὐχ ὑμεῖς, ὦ μιαρώτατοι, τὸν δρύ-
36 φακτον τοῦτον προεβάλεσθε τῶν ἁγίων; Οὐχ ὑμεῖς δὲ τὰς
ἐν αὐτῷ στήλας διεστήσατε, γράμμασιν Ἑλληνικοῖς καὶ ἡμε-
τέροις κεχαραγμένας, ἃ μηδένα τὸ γείσιον ὑπερβαίνειν παρ-

28 ἀπὸ τῆς Γ. Τίτος ἄνδρας tr. L. πρὸς Ῥωμαίους προσέφευγον P. 29 Γενόμενοι δ' ἀθ. P. 30 αὐτοῖς τὸν ναὸν L. οὐ γὰρ αὐτομολῆσαι Ῥωμ. P. 31 καὶ τὰς λιθοβόλους L. 32 ὡς τῷ κύκλῳ P. τὸν δὲ ναὸν αὐτὸν φρουρίῳ desunt in textu, sed in marg. adscripta sunt T. ὁμοφύλου φέροντες φόνου· καὶ L. 33 ὥς τινα εἰκὸς L. ὥσθ' ἢν ἂν εἰκὸς sic P. εἰκὸς ἦν ἀγανάκ. M.N.T. ταῦτ' ἐξύβριζον P. 34 πρὶν ἀνηκ. πάθους ἤχετο tr. L. 35 ἐξωνειδίζετο τοὺς M.N.T. προεβάλλεσθαι sic L. 36 ἐν γράμμασιν L. κεχαραγμένας πρῶτον μηδένα L. κεχ. ἃς μηδένα M.N. παραγγέλλειν L.P.

αγγέλλει; Οὐχ ἡμεῖς δὲ τοὺς ὑπερβάντας ὑμῖν ἀναιρεῖν ἐπε- 37
τρέψαμεν, καὶ ἐὰν Ῥωμαῖός τις ᾖ; Τί οὖν νῦν, ἀλιτήριοι,
καὶ νεκροὺς ἐν αὐτῷ καταπατεῖτε; Τί δὲ τὸν ναὸν αἵματι
ξένῳ καὶ ἐγχωρίῳ φύρετε; Μαρτύρομαι θεοὺς ἐγὼ πατρίους, 38
καὶ εἴ τις ἐφεώρα ποτὲ τόνδε τὸν χῶρον, νῦν μὲν γὰρ οὐκ
οἶομαι, μαρτύρομαι δὲ καὶ στρατιὰν ἐμὴν, καὶ τοὺς παρ' ἐμοὶ
Ἰουδαίους, καὶ ὑμᾶς αὐτούς, ὡς οὐκ ἐγὼ ταῦθ' ὑμᾶς ἀναγκάζω
μιαίνειν· καὶ ἐὰν ἀλλάξητε τῆς παρατάξεως τὸν τόπον, οὔτε 39
προσελεύσεταί τις Ῥωμαίων τοῖς ἁγίοις, οὔτε ἐνυβρίσει·
τηρήσω δὲ τὸν ναὸν ὑμῖν, καὶ μὴ θέλουσι."

5. Ταῦτα τοῦ Ἰωσήπου διαγγέλλοντος ἐκ τοῦ Καίσαρος, 40
οἱ λῃσταὶ καὶ ὁ τύραννος, οὐκ ἀπ' εὐνοίας, ἀλλὰ κατὰ δειλίαν
γίνεσθαι τὰς παρακλήσεις δοκοῦντες, ὑπερηφάνουν. Τίτος 41
δὲ ὡς οὔτε οἶκτον ἑαυτῶν τοὺς ἄνδρας οὔτε φειδὼ τινα τοῦ
ναοῦ ποιουμένους ἑώρα, πάλιν πρὸς πόλεμον ἄκων ἐχώρει.
Πᾶσαν μὲν οὖν τὴν δύναμιν ἐπάγειν αὐτοῖς οὐχ οἷόν τε ἦν, μὴ
χωρουμένην τῷ τόπῳ· τριάκοντα δ' ἐπιλέξας ἀφ' ἑκάστης 42
ἑκατονταρχίας τοὺς ἀρίστους, καὶ τοῖς χιλιάρχοις ἀνὰ χι-
λίους παραδοὺς, τούτων δ' ἐπιτάξας ἡγεμόνα Κερεάλιον, ἐπι-
θέσθαι προσέταξε ταῖς φυλακαῖς περὶ ὥραν τῆς νυκτὸς ἐννά-
την. Ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις, καὶ συγκαταβαίνειν 43
παρεσκευασμένον, οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου
κατέσχον, καὶ τὰ παρὰ τῶν ἡγεμόνων λεγόμενα· 'πλέον γὰρ 44
αὐτὸν ἀνύσειν, ἔφασαν, ἐπὶ τῆς Ἀντωνίας καθεζόμενον, καὶ
τὴν μάχην ἀγωνοθετοῦντα τοῖς στρατιώταις, ἢ εἰ καταβὰς
προκινδυνεύοι· πάντας γὰρ, ὁρῶντος Καίσαρος, ἀγαθοὺς πο-
λεμιστὰς ἔσεσθαι.' Τούτοις πεισθεὶς ὁ Καῖσαρ, 'δι' ἓν 45
τοῦτο τοῖς στρατιώταις ὑπομένειν εἰπὼν, ἵνα κρίνῃ τὰς ἀρε-
τὰς αὐτῶν, καὶ μήτε τῶν ἀγαθῶν τις ἀγέραστος, μήτε τῶν

37 τις εἶ; τί οὖν L.P. 38 καὶ ἤ τις L. στρατιὰν τὴν ἐμὴν L. παρ' ἐμοῦ Ἰουδαίους L. 39 οὔτε προσυβρίσει L. κἂν μὴ θέλουσι L. 41 ἑαυτὸν τοὺς P. οὐδὲ φειδὼ E. τινα deest P. τοῦ ναοῦ desunt M. 42 παραδοὺς ἀναχιλίους L. ἐνάτην τῆς νυκτός L. 45 ὁ Καῖσαρ desunt L. Καῖσαρ sine ὁ P. καὶ διὰ τοῦτο τοῖς L.T. καὶ δι' ἓν τοῦτο τοῖς P. διὰ τοῦτο τοῖς M.N.

46 ἐναντίων ἀτιμώρητος διαλάθῃ, γένηται δ' αὐτόπτης καὶ μάρτυς ἁπάντων, ὁ καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριος,' τοὺς μὲν ἐπὶ τὴν πρᾶξιν ἔπεμπε καθ' ἣν ὥραν καὶ προείρηται, προελθὼν δὲ αὐτὸς εἰς τὸ κάτοπτον ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

47 6. Οὐ μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας εὗρον κοιμωμένους, ὡς ἤλπισαν, ἀλλ' ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο. Πρὸς δὲ τὴν τῶν ἐκκοιτούντων βοὴν ἔνδοθεν
48 οἱ λοιποὶ κατὰ στίφος ἐξέθεον. Τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς ἐξεδέχοντο Ῥωμαῖοι· περιέπιπτον δὲ οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς οἰκείοις ὡς πολεμίοις
49 ἐχρῶντο. Τὴν μὲν γὰρ διὰ βοῆς ἐπίγνωσιν ἡ κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, τὴν δὲ δι' ὀμμάτων ἡ νὺξ ἕκαστον ἀφείλετο, καὶ τυφλώττειν ἄλλως οὓς μὲν οἱ θυμοὶ παρεσκεύαζον, οὓς δὲ οἱ φόβοι· διὰ τοῦτο τὸν προστυχόντα πλήττειν
50 ἦν ἄκριτον. Ῥωμαίους μὲν οὖν συνησπικότας, καὶ κατὰ συντάξεις προπηδῶντας, ἧττον ἔβλαπτεν ἄγνοια· καὶ γὰρ ἦν
51 παρ' ἑκάστῳ μνήμη τοῦ συνθήματος. Ἰουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι, καὶ τάς τε προσβολὰς, καὶ τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι, πολλάκις φαντασίαν παρεῖχον ἀλλήλοις πολεμίων· τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ σκότους
52 ὡς ἐπιόντα Ῥωμαῖον ἐξεδέχετο. Πλείους γοῦν ὑπὸ τῶν ἰδίων, ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως, ἡμέρας γενομένης, ὄψει τὸ λοιπὸν ἡ μάχη διεκρίνετο· καὶ κατὰ φάλαγγα διαστάντες, τοῖς τε βέλεσιν εὐτάκτοις ἐχρῶντο καὶ ταῖς ἀμύ-
53 ναις. Οὐδέτεροι δὲ οὔτ' εἶκον, οὔτ' ἐκοπίων· ἀλλ' οἱ μὲν, ὡς ἐφορῶντος Τίτου, κατ' ἄνδρα καὶ κατὰ συντάξεις ἤριζον

46 γίνηται T. γίνεται N. ὥραν προείρηται L.P. τὸ εὐκάτοπτον P. et sec. ma. T. ἐπὶ τῆς Ἀντωνίας M. 47 κοιμωμένους εὗρον tr. L. ἀναπηδήσαντες μετὰ M.N.T. βοὴν τῶν ἐκκοιτούντων tr. P. Post hæc verba incipiunt duo fol. recentiora T. 48 Τῶν δὴ πρώτων L. ἐχρῶντο· καὶ τὴν μὲν διὰ L. 49 τὴν δι' ὀμμάτων N. τὴν δὲ ὀμμ. E. ἀφείλατο N. ἄριτον ἦν tr. L. 50 μὲν οὐ συνησπικ. L. μὲν συνησπικ. P. προσπηδῶντας T. ἡ ἄγνοια P. 51 ὑποχωρήσεις ἀναίδην L.N. ἐπιόντα Ῥωμαίων P. 52 Πλείστους γοῦν L. τοῖς βέλεσιν L. εὐτάκτως L.M.T. καὶ τοῖς ἀμυνομένοις. Οὐδέτεροι οὔτ' L. 53 ἐφορῶντος Καίσαρος P.

ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην αὐτῷ τὴν ἡμέραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο. Ἰουδαίοις δ' 54 ἐβράβευε τὰς τόλμας ὅ τε περὶ σφῶν αὐτῶν καὶ τοῦ ἱεροῦ φόβος, καὶ ὁ τύραννος ἐφεστὼς, καὶ τοὺς μὲν παρακαλῶν, τοὺς δὲ μαστιγῶν καὶ διεγείρων ἀπειλαῖς. Συνέβαινε δὲ τὸ 55 μὲν πλεῖστον σταδιαίαν εἶναι τὴν μάχην, ἐν ὀλίγῳ δὲ καὶ ταχέως ἀντιστρέφεσθαι τὰς ῥοπάς. Οὐδέτεροι γὰρ οὔτε φυ- 56 γῆς οὔτε διώξεως μῆκος εἶχον· ἀεὶ δὲ πρὸς τὸ συμβαῖνον οἰκεῖος ἀπὸ τῆς Ἀντωνίας ὁ θόρυβος ἦν· θαρρεῖν δὲ καὶ κρατοῦσι τοῖς σφετέροις ἐπεβόων, καὶ μένειν τρεπομένοις. Ἦν 57 δὲ ὥσπερ τι πολέμου θέατρον· οὐδὲν γὰρ οὔτε Τίτον, οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν μάχην. Τὸ δὲ πέ- 58 ρας, ἀρξάμενοι τῆς νυκτὸς ἐννάτης ὥρας ὑπὲρ πέμπτην τῆς ἡμέρας διελύθησαν, ἀφ' οὗπερ ἤρξαντο τόπου τῆς συμβολῆς μηδέτεροι βεβαίως κλίναντες τοὺς ἑτέρους, ἀλλὰ τὴν νίκην μέσην ἐν ἀγχωμάλῳ τῇ παρατάξει καταλιπόντες. Καὶ Ῥω- 59 μαίων μὲν ἐπισήμως ἠγωνίσαντο πολλοί· Ἰουδαίων δ' ἐκ μὲν τῶν περὶ Σίμωνα Ἰούδας ὁ τοῦ Μέρτωνος, καὶ Σίμων ὁ τοῦ Ἰωσίου, τῶν δὲ Ἰδουμαίων Ἰάκωβος καὶ Σίμων, Καθλᾶ μὲν 60 οὗτος παῖς, Σωσᾶ δὲ ὁ Ἰάκωβος, τῶν δὲ μετὰ Ἰωάννου Γυφθαῖος καὶ Ἀλεξᾶς, τῶν δὲ ζηλωτῶν Σίμων υἱὸς Ἰαείρου.

7. Ἐν τούτῳ δὲ ἡ λοιπὴ τῶν Ῥωμαίων δύναμις, ἡμέραις 61 ἑπτὰ καταστρεψαμένη τοὺς τῆς Ἀντωνίας θεμελίους, μέχρι τοῦ ἱεροῦ πλατεῖαν ἄνοδον εὐτρεπίσαντο. Πλησιάσαντα δὲ 62 τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα κατήρχετο χωμάτων· τὸ

ἐκείνην deest L. ἡμέραν ἄρξαι L. 55 σταδαίαν ex ras. T. 56 οὔτε διώξεις M. μῆκος τόπον εἶχον P. οἰκεῖος deest L. οἰκείοις N. P.T. ἦν ὁ θόρυβος tr. L. σφετέροις ἐπιβοώντων L. προτρεπομένοις P. 58 πέμπτης L. τῆς συμβουλῆς M. ἀγχομάλῳ P. τῇ παρατάξει desunt P. καταλείποντες P. 59 Καὶ Ῥωμαῖοι L. ἐπισήμων M. ἐπισήμοι N. ἠγωνίσ. πολλοὶ δὲ καὶ Ἰουδαίων ἐκ μὲν L. Ἰούδης L.M.N. ὁ τοῦ Μαραιώτου L. ὁ τοῦ Μαρεώτου M.N.P.T. ὁ τοῦ Ὠσία L. ὁ τοῦ Ὀσαία M.N.T. ὁ τοῦ Ὀσαίου P. 60 Κατθαία μὲν L. Κατελᾶ μὲν T. Νακατελᾶ μὲν N. Ἀκαβελὰ μὲν P. δὲ Ἰάκωβος P. Γεφθαῖος L.M.N.T. υἱὸς Ἀρεῖ καὶ Ἀλέξας. L. υἱὸς Ἄρει. M.N.T. υἱὸς Ἀρὶ. P. 61 πλατεῖαν ὁδὸν P.

μὲν ἄντικρυς τῆς τοῦ εἴσω ἱεροῦ γωνίας, ἥτις ἦν κατ' ἄρκτον καὶ δύσιν, τὸ δὲ κατὰ τὴν βόρειον ἐξέδραν, ἣ μεταξὺ τῶν δύο
63 πυλῶν ἦν, τῶν δὲ λοιπῶν δύο, θάτερον μὲν κατὰ τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ, τὸ δὲ ἕτερον ἔξω κατὰ τὴν βόρειον. Προέκοπτε μέντοι μετὰ πολλοῦ καμάτου καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα, καὶ τὴν ὕλην ἀφ' ἑκατὸν σταδίων συγκομί-
64 ζουσιν. Ἐκακοῦντο δ' ἔσθ' ὅπη καὶ κατ' ἐπιβουλὰς, αὐτοὶ διὰ περιουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι, καὶ δι' ἀπόγνωσιν ἤδη σωτηρίας χρώμενοι τολμηροτέροις τοῖς Ἰουδαίοις.
65 Τῶν γὰρ ἱππέων τινὲς, ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογὴν, τὸν τῆς κομιδῆς χρόνον ἀνίεσαν βόσκεσθαι τοὺς ἵππους ἀποχαλινοῦντες, οὓς οἱ Ἰουδαῖοι κατὰ στίφος
66 ἐκπηδῶντες ἥρπαζον. Καὶ τούτου συνεχῶς γινομένου, νομίσας Καῖσαρ, ὅπερ ἦν, ἀμελείᾳ τῶν σφετέρων πλέον ἢ τῇ Ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγὰς, ἔγνω σκυθρωπότε-
67 ρον τοὺς λοιποὺς πρὸς φυλακὴν τῶν ἱππέων ἐπιστρέψαι· καὶ κελεύσας ἀπαχθῆναι τὴν ἐπὶ θάνατον τῶν ἀπολεσάντων στρατιωτῶν ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους. Οὐκέτι γὰρ εἴων νέμεσθαι, καθάπερ δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξήεσαν. Οἱ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ, καὶ τὰ χώματα διήγειρον.

68 8. Μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τῆς ἀνόδου πολλοὶ τῶν στασιαστῶν, οἷς ἁρπαγαί τε ἐπέλιπον ἤδη, καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες ταῖς κατὰ τὸ Ἐλαιῶν ὄρος Ῥωμαίων
69 φυλακαῖς ἐπιτίθενται, περὶ ὥραν ἐνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείας ἤδη τοῦ σώματος ὄντων, ῥᾳδίως διεκπεσεῖν. Προαισθόμενοι δὲ τὴν

62 τοῦ ἔσω L. 63 δύο deest L. θάτερον ἐξ οὗ κατὰ τὴν βόρειον. desunt quæ media sunt omnia L. τοῦ ἔξω ἱεροῦ M.T. 64 αὐτοὶ δὲ διὰ L. ἤδη deest L. 65 ξυλίαν P. οὓς Ἰουδαῖοι L. 66 γενομένου M.T. ἔγνω deest L. 67 θανάτῳ τῶν L. θανάτῳ τινὰς τῶν M. N.P.T. στρατιωτῶν ἐν ἀφόβῳ P. αὐτοῖς τὰς χεῖρας ἐξήεσαν L. διήγειραν M.N.P.T.E. 68 αὐτῶν deest M.T. οἷς αἱ ἁρπαγαί P. ἐπέλειπον L.N.P. ἔπειγε P. φυλακαῖς Ῥωμαίων tr. L. 69 ἀδοκήτων ἐπὶ τὰ πρὸς L. θεραπείαν M. ῥᾳδίως διεκπαίειν L.M.N.P.T.

ἔφοδον αὐτῶν οἱ Ῥωμαῖοι, καὶ ταχέως ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες, εἶργον ὑπερπηδᾶν καὶ διακόπτειν τὸ περιτείχισμα βιαζομένους. Γενομένης δὲ καρτερᾶς τῆς συμβο- 70
λῆς, ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη, Ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων, Ἰουδαίων δ' ἀφειδέσι ταῖς ὁρμαῖς καὶ τοῖς θυμοῖς ἀκατασχέτοις. Ἐστρατήγει δὲ τῶν μὲν αἰδὼς, τῶν δὲ ἀνάγκη. Τότε 71
γὰρ ἐξαφεῖναι Ἰουδαίους, ὥσπερ ἄρκυσιν ἐνειλημμένους, Ῥωμαίοις αἴσχιστον ἐδόκει. Καὶ ἐκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον, εἰ βιασάμενοι ῥήξειαν τὸ τεῖχος. Καὶ τῶν ἀπὸ σπεί- 72
ρας τις ἱππέων, Πεδάνιος τὸ ὄνομα, τρεπομένων ἤδη τῶν Ἰουδαίων, καὶ κατὰ τῆς φάραγγος συνωθουμένων, ῥόθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων, νεανίαν στιβαρόν τε ἄλλως τὸ σῶμα, καὶ καθω- 73
πλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ· τοσοῦτον μὲν ἑαυτὸν ἐκτρέχοντος ἐπέκλινε τοῦ ἵππου, τοσοῦτον δ' ἐπεδείξατο τῆς τε δεξιᾶς τὸν τόνον, καὶ τοῦ λοιποῦ σώματος, ἔτι δ' ἐμπειρίας ἱππικῆς. Ὁ μὲν οὖν ὥσπερ τι κειμήλιον ἁρπασάμενος ἦκε 74
φέρων Καίσαρι τὸν αἰχμάλωτον· Τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ ληφθέντα τῆς περὶ τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς ἐν ταῖς περὶ τὸ ἱερὸν διαμάχαις ἦν, καὶ τὰ χώματα κατήπειγεν.

9. Ἐν ᾧ Ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς, ἀεὶ κατ' 75
ὀλίγον κορυφουμένου τοῦ πολέμου καὶ τῷ ναῷ προσέρποντος, καθάπερ σηπομένου σώματος, ἀπέκοπτον τὰ προειλημμένα μέλη, φθάνοντες τὴν εἰς τὸ πρόσω νομήν. Τῆς γὰρ βορείου 76
καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες, ἔπειτα ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. Μετὰ δὲ ἡμέρας δύο, τετάρτῃ 77

τῶν πλησίων T. τὸ ὑπὲρ τὸ τείχισμα L. 70 χρωμένους L. 71 ἐξαφεῖναι τοῦ δέους ὥσπερ L. 72 Παιδάνιος L. ἁρπάζειν N. 73 τῆς δεξιᾶς L. 74 δυνάμεως ἐθαύμασεν, τὸν L. διαμαχίαις L. 75 Ἰουδαῖοι μὲν κακ. L. προειλημμένα μέρη φ. L. φθάνοντες Hic denuo incipit vetus scriptura T. 77 δύο, τετράδι καὶ L.N.P.T.

καὶ εἰκάδι τοῦ προειρημένου μηνὸς, τὴν πλησίον στοὰν ὑποπιμπρᾶσι Ῥωμαῖοι· καὶ μέχρι πεντεκαίδεκα πηχῶν προκό-
78 ψαντος τοῦ πυρὸς, ἀποκόπτουσιν ὁμοίως Ἰουδαῖοι τὴν ὀροφὴν, μήτε καθάπαν ἐξιστάμενοι τῶν ἔργων, καὶ τὸ πρὸς τὴν Ἀντωνίαν συναφὲς αὐτῶν διαιροῦντες· καὶ παρὸν κωλύειν ὑπο-
79 πιμπράντας. Οἱ δὲ πρὸς τὴν ἐμβολὴν τοῦ πυρὸς ἠρεμήσαντες, τὴν νομὴν ἐμέτρησαν αὐτῷ σφίσι χρησίμως. Περὶ μὲν δὴ τὸ ἱερὸν οὐ διέλιπον αἱ συμβολαὶ, συνεχῆς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' ἀλλήλους ὁ πόλεμος.

80 10. Τῶν Ἰουδαίων δέ τις κατὰ ταύτας τὰς ἡμέρας, ἀνὴρ τό τε σῶμα βραχὺς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, γένους τε ἕνεκα καὶ τῶν ἄλλων ἄσημος — Ἰωνάθης ἐκαλεῖτο — προελθὼν
81 κατὰ τὸ τοῦ ἀρχιερέως Ἰωάννου μνημεῖον, ἄλλα τε πολλὰ πρὸς τοὺς Ῥωμαίους ὑπερηφάνως ἐφθέγγετο, καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομαχίαν προεκαλεῖτο. Τῶν δὲ ταύτῃ παρατεταγμένων οἱ πολλοὶ μὲν ὑπερηφάνουν, ἦσαν δὲ οἳ
82 κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν. Ἥπτετό γε μὴν τινῶν καὶ λογισμὸς οὐκ ἀσύνετος, θανατῶντι μὴ συμπλέκεσθαι· τοὺς γὰρ ἀπεγνωκότας τὴν σωτηρίαν τά τ' ἄλλα καὶ τὰς ὁρμὰς ἀτα-
83 μιεύτους ἔχειν, καὶ τὸ θεῖον ἀδυσώπητον· τό τε παραβάλλεσθαι πρὸς οὓς καὶ τὸ νικᾶν οὐ μέγα, καὶ μετ' αἰσχύνης τὸ λειφθῆναι σφαλερὸν, οὐκ ἀνδρείας, ἀλλὰ θρασύτητος εἶναι. Μηδενὸς δ' ἐπιπολὺ προϊόντος, καὶ τοῦ Ἰουδαίου πολλὰ κατακερτομοῦντος αὐτοὺς εἰς δειλίαν — ἀλαζὼν γάρ τις ἦν
84 ἑαυτῷ σφόδρα καὶ τῶν Ῥωμαίων ὑπερήφανος — Πούδης τις ὄνομα, τῶν ἐξ Ἴλης ἱππέων, βδελυξάμενος αὐτοῦ τά τε ῥή-

ὑποπιμπρῶσι M.N. ὑποπιπρῶσι E. 78 Ἀντωνίαν ἀφ' ἑαυτῶν ex ras. et cor. L. διαιροῦντες· διὸ καὶ L.P. ὑποπιμπράντες L.M.N. 79 ἠρεμίσαντες M. νομὴν ἐνόμισαν αὐτοῖς σφίσι M. νομὴν ἐνέμησαν αὐτῷ σφίσι N. et T. sed in huj. marg. ἐμέτρησαν. διέλειπον L.N.P. ἐπ' ἀλλήλοις L. 80 ταύτας ἡμέρας L.P.E. ἀνὴρ τότε τὸ M. γένους εἵνεκα L. γένους ἕνεκα P. κατὰ τὸ ἀρχ. N.T. 82 ἀσύνετος θανατιστῇ μὴ M. σωτηρίαν ἀλλὰ καὶ L.P. εὐδυσώπητον P. 83 παραβάλ. καὶ πρὸς οὓς καὶ L. τὸ ληφθῆναι L.E. Καὶ μηδενὸς ἐπὶ πολὺ προσιόντος L. πολλὰ κερτομοῦντος L. ἦν σφόδρα ἑαυτοῦ L. ἑαυτῷ deest M. ὑπερήφανος, τῶν Ῥω. tr. M. τις Πούδης tr. M. 84 ἐξ εἰλῆς N. τὰ ῥήματα L.

ματα, καὶ τὸ αὔθαδες, εἰκὸς δὲ καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτὸν ἀσκέπτως ἐπαρθῆναι, προτηδᾷ. Καὶ τὰ μὲν ἄλλα περιῆν συμβαλὼν, προεδόθη δὲ ὑπὸ τῆς τύχης. Πε- 85
σόντα γὰρ αὐτὸν ὁ Ἰωνάθης ἀποσφάττει προσδραμὼν, ἔπειτα ἐπιβὰς τῷ νεκρῷ τό τε ξίφος ἡμαγμένον ἀνέσειε καὶ τῇ λαιᾷ τὸν θυρεὸν, ἐπηλάλαξέ τε τῇ στρατιᾷ πολλὰ, καὶ πρὸς τὸν πεσόντα κομπάζων, καὶ τοὺς ὁρῶντας Ῥωμαίους ἐπισκώπτων, 86
ἕως αὐτὸν, ἀνασκιρτῶντα καὶ ματαΐζοντα, Πρίσκος τις ἑκατοντάρχης τοξεύσας διήλασε βέλει. Πρὸς ὃ τῶν τε Ἰουδαίων καὶ τῶν Ῥωμαίων κραυγὴ συνεξήρθη διάφορος. Ὁ δὲ 87
δινηθεὶς ἐκ τῶν ἀλγηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέπεσεν, ὠκυτάτην ἀποφήνας ἐν πολέμῳ τὴν ἐπὶ τοῖς ἀλόγως εὐτυχοῦσι νέμεσιν.

CAP. III.

1. Οἱ δὲ ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τ' οὐκ ἀνίεσαν 1
τοὺς ἐπὶ τῶν χωμάτων στρατιώτας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν, καὶ τοῦ προειρημένου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι δόλον ἐνσκευάζονται τοιόνδε. Τῆς ἐσπερίου στοᾶς τὸ μεταξὺ τῶν 2
δοκῶν καὶ τῆς ὑπ' αὐταῖς ὀροφῆς, ὕλης ἀναπιμπλᾶσιν αὖης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔπειτα ὡς καταπονούμενοι δῆθεν ὑπεχώρουν. Πρὸς ὃ τῶν μὲν ἀσκέπτων πολλοὶ, ταῖς 3
ὁρμαῖς φερόμενοι, προσέκειντο τοῖς ὑποχωροῦσιν, ἐπί τε τὴν στοὰν ἐπήδων προσθέμενοι κλίμακας· οἱ δὲ συνετώτεροι, τὴν 4
ἄλογον τροπὴν τῶν Ἰουδαίων ὑπονοήσαντες, ἔμενον. Κατεπλήσθη μέντοι τῶν ἀναπηδησάντων ἡ στοὰ, καὶ ἐν τούτῳ οἱ Ἰουδαῖοι πᾶσαν ὑποπιμπρᾶσιν αὐτήν. Αἰρομένης δ' ἀφνι- 5
δίως πάντοθεν τῆς φλογὸς, τούς τε ἔξω τοῦ κινδύνου Ῥωμαίους ἔκπληξις ἐπέσχε δεινὴ, καὶ τοὺς περισχεθέντας ἀμηχα-

συμβάλλων L. 85 ἔπειτα ἐπιστὰς τῷ L. 86 ἐπισκόπτων P. μεταΐζοντα L. ματαιάζοντα M. 87 δυνηθεὶς ὑπὸ τῶν L. ἐπὶ τῷ ἀλόγως εὐτυχοῦντι P. 1 μηνὸς εἰκάδι ἑβδόμῃ L. 2 τῆς ὑπ' αὐτῆς L.P.E. ἀπ' αὐτῆς N.T. ἀναπιμπ. στύππης, πρὸς L. πίσσης, ἐπεὶ δ' ὡς L. 3 στοὰν ἀνεπήδων L. 4 τούτῳ Ἰουδαῖοι L. τοῦτο Ἰουδαῖοι P. ὑποπιμπρῶσιν M.N.T.E. 5 τοὺς ἔξω L. τούς τε ἔξωθεν M.

6 νία. Κυκλούμενοι δὲ ὑπὸ τῆς φλογὸς, οἱ μὲν εἰς τὴν πόλιν ὀπίσω κατεκρήμνιζον ἑαυτοὺς, οἱ δ' εἰς τοὺς πολεμίους· πολλοὶ δ' ἐλπίδι σωτηρίας εἰς τοὺς σφετέρους καταπηδῶντες ἐκλῶντο τὰ μέλη, πλείστων δ' ἔφθανε τὰς ὁρμὰς τὸ πῦρ,
7 καί τινες τὴν φλόγα σιδήρῳ. Περιεῖχε δὲ εὐθέως καὶ τοὺς ἄλλως φθειρομένους τὸ πῦρ, ἐπὶ πλεῖστον ἐκφερόμενον. Καίσαρα δὲ καίπερ χαλεπαίνοντα τοῖς ἀπολλυμένοις, ἐπειδὴ δίχα παραγγέλματος ἀναβεβήκεσαν, ὅμως οἶκτος εἰσῄει τῶν
8 ἀνδρῶν, καὶ μηδενὸς προσαμύνειν δυναμένου. Τοῦτο γοῦν παραμύθιον ἦν τοῖς φθειρομένοις, τὸ βλέπειν ὑπὲρ οὗ τις ἠφίει τὴν ψυχὴν ὀδυνώμενον· βοῶν τε γὰρ αὐτοῖς καὶ προπηδῶν, καὶ τοὺς περὶ αὐτὸν ἐκ τῶν ἐνόντων ἐπαμύνειν παρακαλῶν
9 δῆλος ἦν. Τὰς δὲ φωνὰς ἕκαστος καὶ τὴν διάθεσιν ὥσπερ τι λαμπρὸν ἀποφέρων ἐντάφιον, εὔθυμος ἀπέθνησκεν. Ἔνιοί γε μὴν, ἐπὶ τὸν τοῖχον τῆς στοᾶς ὄντα πλατὺν ἀναχωρήσαντες, ἐκ μὲν τοῦ πυρὸς διεσώθησαν, ὑπὸ δὲ τῶν Ἰουδαίων περισχεθέντες ἐπιπολὺ μὲν ἀντέσχον διατιτρωσκόμενοι· τέλος δὲ πάντες ἔπεσον.

10 2. Καὶ τελευταίόν τις αὐτῶν νεανίας, ὀνόματι Λόγγος, ὅλον ἐπικοσμήσας τὸ πάθος, καὶ κατ' ἄνδρα μνήμης ἀξίων
11 ὄντων πάντων τῶν ἀπολωλότων ἄριστος φανείς· ὃν οἱ μὲν Ἰουδαῖοι τῆς τε ἀλκῆς ἀγάμενοι, καὶ ἄλλως ἀνελεῖν ἀσθενοῦντες, καταβῆναι πρὸς αὐτοὺς ἐπὶ δεξιᾷ παρεκάλουν, ὁ δὲ ἀδελφὸς Κορνήλιος ἐκ θατέρου, μὴ καταισχύναι τὸ σφέτε-
12 ρον κλέος, καὶ τὴν Ῥωμαίων στρατιάν· τούτῳ πεισθεὶς, καὶ διαράμενος φανερὸν ἑκατέροις τοῖς τάγμασι τὸ ξίφος, ἑαυτὸν ἀναιρεῖ. Τῶν δὲ τῷ πυρὶ περισχεθέντων, Ἀρτώριός τις

6 ὁρμὰς τὸ πῦρ, ἐπὶ πλεῖστον migravit a primo πῦρ ad alterum M. 7 Καίσαρ δὲ M. καίπερ deest L. ἀναβεβήκασιν L. μηδενὸς κἂν προσαμύνειν L. 8 καὶ τοῖς περὶ L.N.P.T.E. 9 εὐθύμως L. 10 τελευταῖος L.P. αὐτῶν τὶς tr. L. μνήμης ἄξιον πάντων P. ὄντων τῶν ἀπολωλότων L. ὄντων πάντων ἀπολωλ. M. 11 οἱ μὲν οἱ Ἰουδαῖοι M. τῆς ἀλκῆς P. ἀνελεῖν θέλοντες κατ. E. et L. sed in huj. marg. ead. ma. ἀσθενοῦντες. ὁ ἀδελφὸς δὲ T. καταισχύνων τὸ L. 12 Σερτώριός τις M.

πανουργίᾳ διασώζεται. Προσκαλεσάμενος γάρ τινα τῶν 13
συστρατιωτῶν Λούκιον, ᾧ συνεσκήνει, μεγάλῃ τῇ φωνῇ,
"Κληρονόμον," ἔφη, "καταλείπω σε τῶν ἐμαυτοῦ κτημάτων,
εἰ προσελθών με δέξαιο." Τοῦ δὲ ἑτοίμως προσδραμόντος, 14
ὁ μὲν ἐπ' αὐτὸν κατενεχθεὶς ἔζησεν· ὁ δὲ δεξάμενος ὑπὸ τοῦ
βάρους τῷ λιθοστρώτῳ προσαραχθεὶς, παραχρῆμα θνήσκει.
Τοῦτο τὸ πάθος πρὸς καιρὸν μὲν Ῥωμαίοις ἐνεποίησεν ἀθυ- 15
μίαν, πρὸς δὲ τὸ μέλλον ὅμως κατεσκεύασε φυλακτικωτέρους,
καὶ πρὸς τὰς Ἰουδαίων ἁπάτας ὠφέλησεν, ἐν αἷς τὰ πολλὰ
δι' ἄγνοιαν τῶν τόπων καὶ τὸ ἦθος τῶν ἀνδρῶν ἐβλάπτοντο.
Κατεκάη δὲ ἡ στοὰ μέχρι τοῦ Ἰωάννου πύργου, ὃν ἐκεῖνος ἐν 16
τῷ πρὸς Σίμωνα πολέμῳ κατεσκεύασεν, ὑπὲρ τὰς ἐξαγούσας
ὑπὲρ τὸν ξυστὸν πύλας· τὸ δὲ λοιπὸν ἐπὶ διεφθαρμένοις ἤδη
Ἰουδαῖοι τοῖς ἀναβᾶσιν ἀπέκοψαν. Τῇ δὲ ὑστεραίᾳ καὶ 17
Ῥωμαῖοι τὴν βόρειον στοὰν ἐνέπρησαν μέχρι τῆς ἀνατολι-
κῆς ὅλην, ὧν ἡ συνάπτουσα γωνία τῆς Κεδρῶνος καλουμέ-
νης φάραγγος ὑπερδεδόμητο, παρ' ὃ καὶ φοβερὸν ἦν τὸ
βάθος. Καὶ τὰ μὲν περὶ τὸ ἱερὸν ἐν τούτοις ἦν.

3. Τῶν δὲ ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν 18
ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος· ἀδιήγητα δὲ συνέβαινε τὰ
πάθη. Καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφα-
νείη σκιὰ, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι
πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς
ἐφόδια. Πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν· ἀλλὰ 19
καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον
ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον αὐτῷ. Οἱ δὲ ὑπ' 20
ἐνδείας κεχηνότες, ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο·

13 τῶν στρατιωτῶν M.N.T. σε καταλείπω L. καταλίπω σε M. 14 ὁ δεξάμενος δ' ὑπὸ L. 15 Ῥωμαίους ἐνεποίησεν L. ὅμως ἀπαρακλήτους προκατεσκεύασεν L. ὅμως ἀπαρακ. παρεσκεύασεν P. φυλακτικωτέρους καὶ εἰς τὰς L. φυλακτικωτέρους τε πρὸς τὰς P. ἐν οἷς τὰ πολ. L. δι' ἀπόνοιαν τῶν L. 16 λοιπὸν ἐπιδιεφθαρ. L.M.N.P.E. ἤδη Ἰουδαίοις τοῖς L.M.N.T. τοῖς ἀναβαίνουσιν ἀπέκ. P. 17 ὑπερδεδόμητο P. 18 ἔπιπτε πλῆθος L. παρεφάνη σκιὰ L.

καὶ παρεφέροντο, ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον, καὶ ὑπ' ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσπηδῶντες δὶς ἢ
21 τρὶς ὥρᾳ μιᾷ. Πάντα δὲ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζώων πρόσφορα
22 συλλέγοντες ἐσθίειν ὑπέφερον· ζωστήρων γοῦν καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. Τροφὴ δὲ ἦν καὶ χόρτου τισὶ παλαιοῦ σπαράγματα· τὰς γὰρ ἴνας ἔνιοι συλλέγοντες, ἐλά-
23 χιστον σταθμὸν ἐπώλουν Ἀττικῶν τεσσάρων. Καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; Εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον, οἷον μήτε παρ' Ἕλλησι, μήτε παρὰ Βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ' ἀκοῦ-
24 σαι. Καὶ ἔγωγε, μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὐθις ἀνθρώποις, καὶ ἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν
25 κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας· ἄλλως τε καὶ ψυχρὰν ἂν κατεθέμην τῇ πατρίδι χάριν, καθυφέμενος τὸν λόγον οὗ πέπονθε τὰ ἔργα.

26 4. Γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τὸ ὄνομα, πατρὸς Ἐλεαζάρου, κώμης Βηθεζὼβ — σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου — διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα
27 συνεπολιορκεῖτο. Ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν· τὰ δὲ λείψανα τῶν κειμηλίων, καὶ ἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυ-
28 φόροι. Δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν

20 καὶ παρεφαίνοντο· ταῖς τε L. οἴκους εἰσεπήδων L.M.N.T.E. 22 ἐμασσῶντο L.E. χόρτου τι παλαιοῦ L. σπάραγμα· τὰς M.N.P. 23 μήτε βαρβάροις L. 24 Καὶ ἐγὼ δὲ μὴ N.T.E. καὶ ἐῶ δὲ ἵνα μὴ M. παρέλειπον L.N.P. 25 ψυχρὰν καταθείμην M. ψυχρὰν ἂν καταθείμην N.P.T.E. καθυφέμενος—ἔργα desunt P. λόγον ὧν πέπονθε L. 26 Γυνὴ τῶν N.T. Βηθεζουβᾶ, sed in marg. ead. ma. Βαθηζώραν Βαθαχὼρ L. Μαθεχὼρ M. Βαθεχὼρ N.P. Βεθεχὼρ T. ἐπίσημον M.N. Ἱεροσόλυμα φυγοῦσα M. 27 καὶ εἴ τι L.P. 28 Δεινὴ δὴ τὸ E. τὰς ἁρπαγὰς M.

ἠρέθιζεν. Ὡς δ' οὔτε παροξυνόμενός τις οὔτ' ἐλεῶν αὐτὴν 29
ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης ἐπὶ 30
τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον — ἦν δ' αὐτῇ παῖς ὑπομάστιος — ἁρπασαμένη, "Βρέφος," εἶπεν, "ἄθλιον, ἐν πολέμῳ καὶ 31
λιμῷ καὶ στάσει, τίνι σε τηρήσω; Τὰ μὲν παρὰ Ῥωμαίοις, δουλεία, καὶ ἂν ζήσωμεν ἐπ' αὐτοῖς· φθάνει δὲ καὶ δουλείαν ὁ λιμὸς, οἱ στασιασταὶ δ' ἀμφοτέρων χαλεπώτεροι. Ἴθι, 32
γενοῦ μοι τροφὴ, καὶ τοῖς στασιασταῖς ἐρινύς, καὶ τῷ βίῳ μῦθος, ὁ μόνος ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς." Καὶ 33
ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱὸν, ἔπειτ' ὀπτήσασα τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. Εὐθέως δὲ οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσσης 34
σπάσαντες ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθὲν, ἀποσφάξειν αὐτὴν εὐθέως. Ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα 35
καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε. Τοὺς δὲ εὐθέως φρίκη καὶ φρενῶν ἔκστασις ἦρε, καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεσαν. Ἡ δὲ, "Ἐμὸν," ἔφη, "τοῦτο τὸ τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν. Φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα. 36
Μὴ γένησθε μήτε μαλακώτεροι γυναικὸς, μήτε συμπαθέστεροι μητρός. Εἰ δὲ ὑμεῖς εὐσεβεῖς, καὶ τὴν ἐμὴν ἀποστρέ- 37
φεσθε θυσίαν, ἐγὼ μὲν ἥμισυ βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μεινάτω." Μετὰ ταῦτα οἱ μὲν τρέμοντες ἐξῆεσαν, πρὸς ἓν 38
τοῦτο δειλοὶ, καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες. Ἀνεπλήσθη δὲ εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις,

29 οὐδ' ὁ παροξυνόμενος L. τι σιτίου E. πάντοθεν δ' ἄπορον L. ἐχώρει deest P. καὶ λιμοῦ M.N.T. 30 ὑπομάζιος L. ὑπομαζιος sic T. ὑπομάστιος δν ἁρπ. N.P. 31 σε τηρῶ· τὰ L. ἐπ' αὐτούς L.M.N.P.T. 33 λοιπὸν καλύψασα L. 34 κνίσης N.P. 35 καλὴν εἰποῦσα tr. L. ἀπεκάλυψε P. ἐπεπήγεσαν. In marg. ead. ma. ἐξεπλάγησαν. L. 37 Εἰ δὲ καὶ ὑμεῖς E. ἐγὼ μὲν βέβρωκα L.P. ἐγὼ μὲν ἰδοὺ βέβ. M. ἐγὼ μὲν ὑμῖν βέβ. N.T.

καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων, ὡς παρ' αὐτῷ
39 καινοτομηθὲν ἔφριττεν. Σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων, πρὶν ἀκοῦσαι καὶ θεάσασθαι κακὰ τηλικαῦτα.

40 5. Ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. Τῶν δὲ οἱ μὲν ἠπίστουν, οἱ δὲ ᾤκτειραν, τοὺς δὲ πολλοὺς εἰς μῖσος
41 τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν. Καῖσαρ δ' ἀπελογεῖτο καὶ περὶ τούτου τῷ θεῷ, φάσκων, 'παρὰ μὲν αὐτοῦ Ἰουδαίοις εἰρήνην καὶ αὐτονομίαν προτείνεσθαι, καὶ πάντων
42 ἀμνηστίαν τῶν τετολμημένων· τοὺς δὲ ἀντὶ μὲν ὁμονοίας στάσιν, ἀντὶ δὲ εἰρήνης πόλεμον, πρὸ κόρου δὲ καὶ εὐθηνίας λιμὸν αἱρουμένους, ἰδίαις δὲ χερσὶν ἀρξαμένους καίειν τὸ συντηρούμενον ὑφ' ἡμῶν ἱερὸν, αὐτοὺς εἶναι καὶ τοιαύτης τροφῆς
43 ἀξίους. Καλύψειν μέντοι τὸ τῆς τεκνοφαγίας μύσος αὐτῷ τῷ τῆς πατρίδος πτώματι, καὶ οὐ καταλείψειν ἐπὶ τῆς οἰκουμένης ἡλίῳ καθορᾶν πόλιν, ἐν ᾗ μητέρες οὕτω τρέφονται.
44 Προσήκειν μέντοι πρὸ μητέρων πατράσι τὴν τοιαύτην τροφὴν, οἳ καὶ μετὰ τηλικαῦτα πάθη μένουσιν ἐν τοῖς ὅπλοις.' Ταῦθ' ἅμα διεξιὼν ἐνενόει καὶ τὴν ἀπόγνωσιν τῶν ἀνδρῶν· οὐ γὰρ ἂν ἔτι σωφρονῆσαι τοὺς πάντα προπεπονθότας, ἐφ' οἷς εἰκὸς ἦν μεταβαλέσθαι, μὴ παθοῦσιν.

CAP. IV.

1 1. Ἤδη δὲ τῶν δύο ταγμάτων συντετελεκότων τὰ χώματα Λώου μηνὸς ὀγδόῃ, προσάγειν ἐκέλευσε τοὺς κριοὺς
2 κατὰ τὴν ἑσπέριον ἐξέδραν τοῦ ἔσωθεν ἱεροῦ. Πρὸ δὲ τούτων ἓξ ἡμέραις ἀδιαλείπτως ἡ στερροτάτη πασῶν ἐλέπολις, τύπτουσα τὸν τοῖχον, οὐδὲν ἤνυσεν· ἀλλὰ καὶ ταύτης καὶ

38 ὥσπερ αὐτῷ τολμηθὲν L. ὡς παρ' αὐτῷ τολμηθὲν M.P. 39 λιμοττόντων P. 40 ὤκτειρον P. τοὺς δὲ λοιποὺς εἰς L. σφοδρότερον τοῦ ἔθνους tr. L. 41 αὐτοῦ Ἰουδαίους L. αὐτοὺς Ἰουδαίοις N. 42 δέ τοι καὶ L. ὑφ' ὑμῶν ἱερὸν L. αὐτοῖς εἶναι L.P. 43 οἰκουμένης τῷ ἡλίῳ L. 44 Προσήκει L. σωφρονίσαι L.P. προπεπονθότας. Ἤδη desunt media M. 1 προσαγάγειν L. κριοὺς καὶ κατὰ P. τοῦ ἔωθεν ἱεροῦ P. 2 Πρὸς δὲ τούτων M. ἐξ ἡμέρας L.

τῶν ἄλλων τὸ μέγεθος καὶ ἡ ἁρμονία τῶν λίθων ἦν ἀμείνων. Τῆς δὲ βορείου πύλης ὑπώρυττον ἕτεροι τοὺς θεμελίους, καὶ 3
πολλὰ ταλαιπωρήσαντες τοὺς ἔμπροσθεν λίθους ἐξεκύλισαν.
Ἀνείχετο δὲ ὑπὸ τῶν ἐνδοτέρω καὶ διέμενεν ἡ πύλη, μέχρι
τὰς διὰ τῶν ὀργάνων καὶ τῶν μοχλῶν ἐπιχειρήσεις ἀπογνόν-
τες, κλίμακας ταῖς στοαῖς προσέφερον. Οἱ δὲ Ἰουδαῖοι κω- 4
λῦσαι μὲν οὐκ ἔφθασαν, ἀναβᾶσι δὲ συμπεσόντες ἐμάχοντο·
καὶ τοὺς μὲν ἀνωθοῦντες εἰς τὸ ὀπίσω κατεκρήμνιζον, τοὺς δὲ
ὑπαντιάζοντες ἀνῄρουν. Πολλοὺς δὲ τῶν κλιμάκων ἀποβαί- 5
νοντας, πρὶν φράξασθαι τοῖς θυρεοῖς, παίοντες ταῖς ῥομ-
φαίαις ἔφθανον· ἐνίας δὲ γεμούσας ὁπλιτῶν κλίμακας πα-
κλίνοντες ἄνωθεν κατέσειον. Ἦν δὲ οὐκ ὀλίγος καὶ αὐτῶν
φόνος. Οἱ δ' ἀνενέγκαντες τὰς σημαίας περὶ αὐτῶν ἐπολέ- 6
μουν, δεινὴν ἡγούμενοι καὶ πρὸς αἰσχύνης τούτων τὴν ἁρπα-
γήν. Τέλος δὲ καὶ τῶν σημαιῶν οἱ Ἰουδαῖοι κρατοῦσι, καὶ 7
τοὺς ἀναβάντας διαφθείρουσιν· οἱ δὲ λοιποὶ πρὸς τὸ τῶν
ἀπολωλότων πάθος ὀρρωδοῦντες ἀνεχώρουν. Τῶν μὲν οὖν 8
Ῥωμαίων ἄπρακτος οὐδεὶς ἀπέθανε, τῶν δὲ στασιαστῶν οἱ
κατὰ τὰς προτέρας μάχας ἠγωνίσαντο γενναίως καὶ τότε, καὶ
Ἐλεάζαρος ὁ ἀδελφιδοῦς τοῦ τυράννου Σίμωνος. Ὁ δὲ 9
Τίτος ὡς ἑώρα τὴν ἐπὶ τοῖς ἀλλοτρίοις ἱεροῖς φειδὼ πρὸς
βλάβης τοῖς στρατιώταις γινομένην καὶ φόνου, τὰς πύλας
προσέταξεν ὑφάπτειν.

2. Ἐν δὲ τούτῳ πρὸς αὐτὸν αὐτομολοῦσιν Ἀνανός τε ὁ 10
ἀπ' Ἀμμαοῦς, τῶν Σίμωνος δορυφόρων ὁ φονικώτατος, καὶ
Ἀρχέλαος υἱὸς Μαγαδάτου, συγγνώμην ἐλπίσαντες, ἐπειδὴ
κρατούντων Ἰουδαίων ἀπεχώρουν. Τίτος δὲ καὶ τοῦτο παν- 11

ἀμείνω L. 3 ὑπόρυττον P. τοὺς ἔξωθεν λίθους L. ἀνείχοντο δὲ P. et ex cor. T. διέμεινεν L. κλίμακα ταῖς N. 4 ἀναβάσει δὲ L. κατεκρήμνιζον οὓς δὲ L. ὑπαντιάζοντας N. 5 τοὺς θυρεοὺς P. ὁπλιτῶν τὰς κλίμ. P. παρακλίναντες L. 6 ἀνενεγκόντες P. et ex cor. T. καὶ πρὸ αἰσχύνης P. 8 Ἐλεάζ. ἀδελφιδοῦς M.N.T. Ἐλεάζ. ἀδελφιδὸς P. 9 βλάβην P. βλάβῃν sic T. καὶ φόνον P. 10 Ἄνανός τε καὶ Σαπαμμαοῦς L. Ἄναν. τε ὁ ἀφ' Ἀμμαοῦς N.T. Ἄν. τε ὁ Ἀφαμμαοῦς P. Ἀμμαοῦς τοῦ Σίμ. T. Μαγαδδάτου L.M.N.P.T. συγγνώμην αἰτούμενοι, ἐπειδὴ L. ἀνεχώρουν L.M. ὑπεχώρουν P. 11 τοῦτο τὸ πανούρ. L.

ούργημα προεβάλλετο τῶν ἀνδρῶν, καὶ τὴν ἄλλην περὶ τοὺς Ἰουδαίους ὠμότητα πεπυσμένος, ὥρμητο κτείνειν ἑκατέρους, ‘ὑπ’ ἀνάγκης ἦχθαι λέγων αὐτοὺς, οὐκ ἐκ προαιρέσεως παρ-12 εῖναι, καὶ σωτηρίας οὐκ ἀξίους εἶναι τοὺς φλεγομένης ἤδη δι’ αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους.’ Ἐκράτει δὲ ὅμως τοῦ θυμοῦ ἡ πίστις, καὶ ἀφίησι τοὺς ἄνδρας· οὐ μὴν ἐν ἴσῃ μοίρᾳ 13 κατέτασσε τοῖς ἄλλοις. Ἤδη δὲ ταῖς πύλαις οἱ στρατιῶται προσῆγον τὸ πῦρ, καὶ περιτηκόμενος ὁ ἄργυρος διεδίδου ταχέως εἰς τὴν ξυλείαν τὰς φλόγας, ἔνθεν ἀθρόως ἐκφερόμεναι 14 τῶν στοῶν ἐπελαμβάνοντο. Τοῖς δὲ Ἰουδαίοις, ὁρῶσι τὸ πῦρ ἐν κύκλῳ, μετὰ τῶν σωμάτων παρείθησαν αἱ ψυχαὶ, καὶ διὰ τὴν κατάπληξιν ἀμύνειν μὲν ἢ σβεννύειν ὥρμησεν οὐδεὶς, αὐ-15 τόθι δὲ ἑστῶτες ἀφεώρων. Οὐ μὴν πρὸς τὸ δαπανώμενον ἀθυμοῦντες, εἰς γοῦν τὸ λοιπὸν ἐσωφρόνουν· ἀλλ’ ὡς ἤδη καὶ τοῦ ναοῦ καιομένου τοὺς θυμοὺς ἐπὶ Ῥωμαίους ἔθηγον. 16 Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα τὸ πῦρ ἐπεκράτει· κατὰ μέρος γὰρ οὐχ ὁμοῦ πάντοθεν ἴσχυσαν ὑφάψαι τὰς στοάς.

17 3. Τῇ δ’ ἐπιούσῃ Τίτος μέρει τῆς δυνάμεως σβεννύειν τε καὶ παρὰ τὰς πύλας ὁδοποιεῖν εἰς εὐμαρεστέραν τῶν ταγμά-18 των ἄνοδον κελεύσας, αὐτὸς συνῆγε τοὺς ἡγεμόνας. Καὶ συνελθόντων ἐξ τῶν κορυφαιοτάτων, Τιβερίου τε Ἀλεξάνδρου τοῦ πάντων τῶν στρατευμάτων ἐπάρχοντος, καὶ Σέξτου Κερεαλίου τὸ πέμπτον ἄγοντος τάγμα, καὶ Λαρκίου Λεπί-19 δου τὸ δέκατον, καὶ Τίτου Φρυγίου τὸ πεντεκαιδέκατον, πρὸς οἷς Φρόντων ἦν Λιτέρνιος, στρατοπεδάρχης τῶν ἀπ’ Ἀλε-

προυβάλετο L. προβάλλεται P. τοὺς ἰδίους ὠμότητα N.T. ἀπ’ ἀνάγκης M.N. 12 φλεγομένους L. δι’ αὐτοὺς desunt M. ὅμως τὸν θυμὸν L. πίστις· ἀφίησι γοῦν τοὺς L. μοίρᾳ κατέστησε τοῖς L. 13 προσήγαγον οἱ στρατιῶται L. τὴν ξυλίαν L.N.P. τὴν φλόγα P. ἐπελαμβάνετο P. 14 διὰ τὴν κατὰ ψυχὴν ἔκπληξιν ἀμύνειν L. οὐδεὶς, αὐτοὶ δὲ ἑστῶ. L. οὐδεὶς, αὖοι δὲ ἑστῶ. P.E. ἀπεώρων P. 15 ἀθυμοῦντες ἢ εἰς γοῦν M. 16 μὲν τὴν ἡμέραν L. 17 μέρη τῆς P. δυνάμεως ᾧ σβεννύειν τε καὶ τὰ παρὰ L. κελεύσας αὐτοὺς συνῆ. L. 18 Καὶ προσελθόντων L. Τιβερείου τε καὶ Ἀλεξάνδρου L. 19 καὶ Τίτου Φρυγίου τὸ πεντεκαιδέκατον desunt omnia P. Φράντων M. Ἐτέρνιος L.N.T. Λιτέρνιος E. Ἐτέριος P. Λιετέρνιος M.

ξανδρείας δύο ταγμάτων, καὶ Μάρκος Ἀντώνιος Ἰουλιανὸς, ὁ τῆς Ἰουδαίας ἐπίτροπος, καὶ μετὰ τούτους ἐπιτρόπων καὶ 20 χιλιαρχῶν ἀθροισθέντων, βουλὴν περὶ τοῦ ναοῦ προετίθει. Τοῖς μὲν οὖν ἐδόκει 'χρῆσθαι τῷ τοῦ πολέμου νόμῳ· μὴ γὰρ 21 ἄν ποτε Ἰουδαίους παύσασθαι νεωτερίζοντας τοῦ ναοῦ μένοντος, ἐφ' ὃν οἱ πανταχόθεν συλλέγονται.' Τινὲς δὲ παρήνουν 'εἰ μὲν καταλίποιεν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ μηδεὶς ἐπ' αὐτοῦ τὰ ὅπλα θείη, σώζειν· εἰ δὲ πολεμῷεν ἐπιβάντες, καταφλέγειν· φρούριον γὰρ, οὐκέτι ναὸν εἶναι. Καὶ τὸ λοιπὸν 22 ἔσεσθαι τῶν ἀναγκασάντων τὴν ἀσέβειαν, οὐκ αὐτῶν.' Ὁ δὲ Τίτος, 'οὐδ' ἂν ἐπιβάντες ἐπ' αὐτοῦ πολεμῷεν Ἰουδαῖοι, ἔφη, ἀντὶ τῶν ἀνδρῶν ἀμύνεσθαι τὰ ἄψυχα, οὐδὲ καταφλέξειν ποτὲ τηλικοῦτον ἔργον· Ῥωμαίων γὰρ ἔσεσθαι τὴν 23 βλάβην, ὥσπερ καὶ κόσμον τῆς ἡγεμονίας αὐτοῦ μένοντος.' Θαρροῦντες δ' ἤδη προσετίθεντο τῇ γνώμῃ Φρόντων τε καὶ Ἀλέξανδρος καὶ Κερεάλιος. Τότε μὲν οὖν διαλύει τὸ συν- 24 έδριον, καὶ τὰς ἄλλας δυνάμεις διαναπαῦσαι κελεύσας τοῖς ἡγεμόσιν, ὅπως ἐρρωμενέστερον ἐν τῇ παρατάξει χρήσαιντο, τοῖς ἀπὸ τῶν σπειρῶν ἐπιλέκτοις ὁδοποιεῖν διὰ τῶν ἐρειπίων προσέταξεν, καὶ τὸ πῦρ σβεννύειν,

4. Κατ' ἐκείνην μὲν δὴ τὴν ἡμέραν Ἰουδαίων κάματός τε 25 καὶ κατάπληξις ἐκράτησε τὰς ὁρμάς· τῇ δ' ἐπιούσῃ συλλεξάμενοί τε τὴν ἰσχὺν, καὶ ἀναθαρσήσαντες, ἐπεκθέουσι διὰ τῆς ἀνατολικῆς πύλης τοῖς φύλαξι τοῦ ἔξωθεν ἱεροῦ περὶ δευτέραν ὥραν. Οἱ δὲ καρτερῶς μὲν ἐδέξαντο αὐτῶν τὴν ἐμβο- 26

Ἰουλιανὸς τῆς L. Ἰουλ. τέθ' ὁ τῆς M. 20 βουλὴ περὶ N. ναοῦ προυτέθη. M.N. χρήσασθαι τῷ τοῦ L. χρῆσθαι τὸ τοῦ P. 21 μὴ γάρ ποτε L. παύσασθαι Ἰουδαίους tr. L. καταλείποιεν L.N.P. αὐτὸν Ἰουδαῖοι L.P. ἐπ' αὐτῷ τὰ L. ἐπιβάντας M.N.T. 22 τῶν ἀναγκαζόντων L. ἀναγκ. ἀσέβειαν M.N.P.T.E. Ἰουδαῖοι φήσας ἀντὶ N.P.T. Ἰουδαῖοι φήσαντι L. αὐτοῦ μένοντα. L.N.T. 23 Φόρτων τε M. 24 διαναπαῦσαί τε κελ. L. τοῖς τε ἡγεμόσιν L. ὅπως ἐρρωμένοις L. χρήσαιτο L.P. προσέταξε διὰ τῶν ἐρειπίων tr. P. ἐριπίων N. et sic infra. 25 ἐκείνην δὲ τὴν L. Ἰουδαίων deest M.N. τῶν Ἰουδαίων P. τὸν λαὸν sed in marg. ead. ma. τὴν ἰσχὺν L. διεκθέουσι L. φύλαξι τοῖς ἔξωθεν. N. περὶ ὥραν δευτέραν. tr. P.

λὴν, καὶ φραξάμενοι τοῖς θυρεοῖς κατὰ μέτωπον ὥσπερ τεῖχος
27 ἐπύκνωσαν τὴν φάλαγγα. Δῆλοι δὲ ἦσαν οὐκ ἐπὶ πολὺ συμμένοντες, πλήθει τε τῶν ἐκτρεχόντων καὶ θυμοῖς ἡττώμενοι. Φθάσας δὲ τῆς παρατάξεως τὴν ῥοπὴν Καῖσαρ — καθεώρα γὰρ ἀπὸ τῆς Ἀντωνίας — ἐπήμυνε μετὰ τῶν ἐπιλέκ-
28 των ἱππέων. Ἰουδαῖοι δὲ τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλὰ τῶν πρώτων πεσόντων, ἐτράπησαν οἱ πολλοί. Καὶ ὑποχω-
29 ροῦσι μὲν τοῖς Ῥωμαίοις ἐπιστρεφόμενοι προσέκειντο· μεταβαλλομένων δ' ἀνέφευγον πάλιν, ἕως περὶ πέμπτην τῆς ἡμέρας ὥραν οἱ μὲν βιασθέντες εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν.

30 5. Τίτος δ' ἀνεχώρησεν εἰς τὴν Ἀντωνίαν, διεγνωκὼς τῇ ἐπιούσῃ ἡμέρᾳ ὑπὸ τὴν ἕω μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως καὶ τὸν ναὸν περικατασχεῖν. Τοῦ δὲ ἄρα κατεψή-
31 φιστο μὲν τὸ πῦρ ὁ θεὸς πάλαι· παρῆν δὲ ἡ εἱμαρμένη χρόνων περίοδος, ἡμέρᾳ δεκάτῃ Λώου μηνὸς, καθ' ἣν καὶ τὸ πρότερον ὑπὸ τοῦ τῶν Βαβυλωνίων βασιλέως ἐνεπρήσθη. Λαμβάνουσι δὲ αἱ φλόγες ἐκ τῶν οἰκείων τὴν ἀρχὴν καὶ τὴν αἰ-
32 τίαν. Ὑποχωρήσαντος γὰρ τοῦ Τίτου, πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταὶ, πάλιν τοῖς Ῥωμαίοις ἐπιτίθενται, καὶ τῶν τοῦ ναοῦ φρουρῶν γίνεται συμβολὴ πρὸς τοὺς σβεννύντας τὸ πῦρ τοῦ ἔνδοθεν ἱεροῦ, οἳ τρεψάμενοι τοὺς Ἰου-
33 δαίους μέχρι τοῦ ναοῦ παρῆλθον. Ἔνθα δή τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας, οὔτε ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινι χρώμενος, ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφισθεὶς δὲ ὑπὸ στρατιω-

26 τεῖχος ἐκύκλωσαν τὴν L. 27 Δειλοὶ δ' ἦσαν L. δῆλοί τε ἦσαν M. N.T.E. ἡττόμενοι P. καθεώρα δὲ ἀπὸ L. ἐπαμύνει μετὰ L. 29 τὸ ἐνδότερον συνεκλείσθεισαν M. 30 τῆς ἐπιούσης ἡμέρας L. μὲν ὁ θεὸς τὸ πῦρ πάλαι L. ὁ θεὸς πάλαι τὸ πῦρ omisso μὲν P. 31 παρῆν δὲ καὶ εἱμ. L. εἱμαρμένη. In marg. ead. ma. adscripta sunt verba διὰ τοῦ χρίστου T. περιόδοις L.M.N. καὶ πρότερον L.P. τοῦ Βαβυλωνίων L. 32 γὰρ Τίτου L. τοῦ ἔνδον ἱεροῦ L. τοῦ ἔξωθεν ἱεροῦ E. 33 ἀνακουφισθεὶς Hic incipit recentior scriptura et ad usque Cap. 5. §. 9. continuatur T. φλεγομένης φλογὸς ἀνακουφ. P.

του, τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ' ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἰσιτὸν ἦν ἐκ τοῦ βορείου κλίματος. Αἰρομένης 34 δὲ τῆς φλογὸς Ἰουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες, οὔτε ταμιευόμενοι τὴν ἰσχύν, δι' ὃ καὶ φυλακτικοὶ πρότερον ἦσαν οἰχομένου.

6. Δραμὼν δέ τις ἀγγέλλει Τίτῳ· καὶ ἐκεῖνος — ἔτυχε δὲ 35 κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης — ὡς εἶχεν ἀναπηδήσας, ἔθεε πρὸς τὸν ναὸν εἴρξων τὸ πῦρ. Κατόπιν δὲ οἵ 36 τε ἡγεμόνες εἵποντο πάντες, καὶ πτοηθέντα τούτοις ἠκολούθει τὰ τάγματα. Βοὴ δ' ἦν καὶ θόρυβος, ἅτε τηλικαύτης δυνάμεως ἀτάκτως κεκινημένης. Ὁ μὲν οὖν Καῖσαρ τῇ τε 37 βοῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν· οὔτε δὲ βοῶντος ἤκουον, μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι, καὶ τῷ νεύματι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν οἱ δὲ ὀργῇ περισπώμενοι. Τῶν δὲ 38 ταγμάτων εἰσθεόντων οὔτε παραίνεσις οὔτε ἀπειλὴ κατεῖχε τὰς ὁρμάς, ἀλλὰ θυμὸς ἁπάντων ἐστρατήγει· καὶ περὶ τὰς εἰσόδους συνωθούμενοι, πολλοὶ μὲν ὑπ' ἀλλήλων κατεπατοῦντο, πολλοὶ δὲ, θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς ἐρειπίοις τῶν 39 στοῶν ἐμπίπτοντες, ἡττωμένων συμφοραῖς ἐχρῶντο. Πλησίον δὲ τοῦ ναοῦ γινόμενοι, τῶν μὲν τοῦ Καίσαρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς πρὸ αὐτῶν δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο. Τῶν δὲ στασιαστῶν ἀμη- 40 χανία μὲν ἦν ἤδη τοῦ βοηθεῖν· φόνος δὲ πανταχοῦ καὶ τροπή. Τὸ δὲ πλέον ἀπὸ τοῦ δήμου, λαὸς ἀσθενὴς καὶ ἄνοπλος, ὅπου καταληφθείη τις ἀπεσφάττετο. Καὶ περὶ μὲν τὸν 41 βωμὸν πλῆθος ἐσωρεύετο νεκρῶν, κατὰ δὲ τῶν τοῦ βωμοῦ

χρυσῇ θυρίδι tr. L. οἴκους εἰσητητὸν ἦν M. οἰκ. εἰσιτητὸν ἦν T. 34 δι' οὗ καὶ L. δι' οὗ φυλ. P. 35 ἔτυχε κατὰ M.N.T. ἀναπηδήσας δὲ ἔθ. M.N. ἔθει πρὸς L.P. εἶρξον P. 36 πτωηθέντα P. 37 τῇ τε φωνῇ καὶ τῇ L. καὶ τοῖς νεύμασι L.P. ὀργῇ σπώμενοι L. 38 ἀλλ' ὁ θυμὸς L. 39 ἐκπίπτοντες ἡττομένων P. τοῖς παρ' αὐτῶν M.N.T. 40 ἤδη τοῦ προσβοηθεῖν L. καταλειφθείη L.P. 41 περὶ τὸν βωμὸν N. τῶν τοῦ ναοῦ βαθμῶν αἷμα L.

βάθρων αἱμά τε ἔρρει πολὺ, καὶ τὰ τῶν ἄνω φονευομένων σώματα κατωλίσθανε.

42 7. Καῖσαρ δὲ ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν στρατιωτῶν κατασχεῖν οἷός τε ἦν, καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ τῶν ἡγεμόνων ἔνδον ἐθεάσατο τοῦ ναοῦ τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ, πολὺ μὲν τῆς παρὰ τοῖς ἀλλοφύλοις φήμης ἀμείνω, τοῦ δὲ κόμπου καὶ τῆς παρὰ τοῖς οἰκείοις δόξης οὐκ
43 ἐλάττω. Τῆς φλογὸς δ' οὐδέπω διϊκνουμένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν οἴκους νεμομένης, νομίσας, ὅπερ
44 ἦν, ἔτι σώζεσθαι τὸ ἔργον δύνασθαι, προπηδᾷ, καὶ αὐτός τε παρακαλεῖν τοὺς στρατιώτας ἐπειρᾶτο τὸ πῦρ σβεννύειν, καὶ Λιβεράλιον ἑκατοντάρχην τῶν περὶ αὐτὸν λογχοφόρων ξύ-
45 λοις παίοντα τοὺς ἀπειθοῦντας ἐκέλευσεν εἴργειν. Τῶν δὲ καὶ τὴν πρὸς Καίσαρα αἰδὼ, καὶ τὸν ἀπὸ τοῦ κωλύοντος φόβον ἐνίκων οἱ θυμοὶ, καὶ τὸ πρὸς Ἰουδαίους μῖσος, καὶ πολε-
46 μικὴ τις ὁρμὴ λαβροτέρα. Τοὺς δὲ πολλοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπὶς, δόξαν τε ἔχοντας, ὡς τὰ ἔνδον ἅπαντα χρημάτων
47 μεστὰ εἴη, καὶ τὰ πέριξ ὁρῶντας χρυσοῦ πεποιημένα. Φθάνει δέ τις καὶ τῶν εἴσω παρεληλυθότων, ἐκπηδήσαντος τοῦ Καίσαρος πρὸς ἐποχὴν τῶν στρατιωτῶν, πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν τῆς πύλης ἐν σκότῳ, ἐξαπίνης τ' ἔνδοθεν ἐκφα-
48 νείσης φλογὸς, οἵ τε ἡγεμόνες μετὰ τοῦ Καίσαρος ἀνεχώρουν, καὶ τοὺς ἔξωθεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν. Ὁ μὲν οὖν ναὸς οὕτως, ἄκοντος Καίσαρος, ἐμπιπρᾶται.

49 8. Πολλὰ δ' ἄν τις ἐπολοφυράμενος ἔργῳ, πάντων ὧν ὄψει καὶ ἀκοῇ παρειλήφαμεν θαυμασιωτάτῳ, κατασκευῆς τε ἕνεκα καὶ μεγέθους, ἔτι τε τῆς καθ' ἕκαστον πολυτελείας, καὶ τῆς περὶ τὰ ἅγια δόξης, μεγίστην λάβοι παραμυθίαν τὴν

42 ὡς οὐδὲ τὰς L. ἡγεμόνων ἐθεάσατο L. τοῖς εἰκείοις sic T. οὐκ ἔλαττον P. 43 Τῆς δὲ φλογὸς tr. L. ὅπερ ἦν σώζεσθαι P. 44 Λιβεράριον L.M.N.T. 45 Τὸν δὲ κατὰ τὴν M. τῶν δὲ κατὰ τὴν T. πρὸς τὸ Καίσαρα sic P. Ἰουδαίους μύσος καὶ M. 46 δόξαν τε ἔχοντες M. δόξαν ἔχοντας P. χρημάτων μέγιστα εἴη N. ὁρῶντες L. 47 τοὺς τροφέας N. σκότῳ τότε γὰρ ἐξαπίνης L.P. ἐξαπίνης ἔνδοθεν L.P. ἐξαπ. τ' ἔνδον M. 48 ὑφάπτων L. 49 ἔργων πάντων L.N. θαυμασιώτατα L. τῆς περὶ καθ' ἕκαστον L. μεγίστην λάθη M.

εἱμαρμένην, ἄφυκτον οὖσαν, ὥσπερ ἐμψύχοις, οὕτω καὶ ἔρ- 50
γοις καὶ τόποις. Θαυμάσαι δ' ἄν τις ἐν αὐτῇ τῆς περιόδου
τὴν ἀκρίβειαν. Καὶ μῆνα γοῦν, ὡς ἔφην, καὶ ἡμέραν ἐπετή- 51
ρησε τὴν αὐτὴν, ἐν ᾗ πρότερον ὑπὸ Βαβυλωνίων ὁ ναὸς ἐνε-
πρήσθη. Καὶ ἀπὸ μὲν τῆς πρώτης αὐτοῦ κτίσεως, ἣν κατε-
βάλετο Σολομὼν ὁ βασιλεὺς, μέχρι τῆς νῦν ἀναιρέσεως, ἃ 52
γέγονεν ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἔτη συνά-
γεται χίλια ἑκατὸν τριάκοντα, πρὸς δὲ μῆνες ἑπτὰ καὶ πεν-
τεκαίδεκα ἡμέραι. Ἀπὸ δὲ τῆς ὕστερον, ἣν ἔτει δευτέρῳ 53
Κύρου βασιλεύοντος ἐποιήσατο Ἀγγαίοις, ἔτη μέχρι τῆς
ὑπὸ Οὐεσπασιανοῦ ἁλώσεως, τριάκοντα ἐννέα πρὸς ἑξακο-
σίοις, καὶ ἡμέραι τεσσαράκοντα πέντε.

CAP. V.

1. Καιομένου δὲ τοῦ ναοῦ, τῶν μὲν προσπιπτόντων ἦν 1
ἁρπαγὴ, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος. Οὔτε
γὰρ ἡλικίας ἦν ἔλεος, οὔτ' ἐντροπὴ σεμνότητος· ἀλλὰ καὶ 2
παιδία καὶ γέροντες, καὶ βέβηλοι καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο,
καὶ πᾶν γένος ἐπεξῄει περισχὼν ὁ πόλεμος, ὁμοῦ τούς τε
ἱκετεύοντας καὶ τοὺς ἀμυνομένους. Συνήχει δὲ ἡ φλὸξ ἐπὶ 3
πλεῖστον ἐκφερομένη τοῖς τῶν πιπτόντων στεναγμοῖς· καὶ
διὰ μὲν τὸ ὕψος τοῦ λόφου, καὶ τὸ τοῦ φλεγομένου μέγε-
θος ἔργου, πᾶσαν ἄν τις ἔδοξε καίεσθαι τὴν πόλιν. Τῆς 4
δὲ βοῆς ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν ἢ μεῖζον ἢ φοβε-
ρώτερον· τῶν τε γὰρ Ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν
συμφερομένων, καὶ τῶν στασιαστῶν πυρὶ καὶ σιδήρῳ κεκυ-
κλωμένων κραυγὴ, τοῦ τε ἀπολῃφθέντος ἄνω λαοῦ τροπή τε
μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους, καὶ πρὸς τὸ πάθος οἰμω-

50 Θαυμάσειε L. 51 ἡμέραν ἐτήρησεν L.P. ναὸς κατεφλέγη. L. πρώτης κτίσεως E. 52 γέγονεν ἐν ἔτει L. Οὐεσ. βασιλείας ἔτη L. πρὸς δὲ καὶ μῆνες L. ἑπτὰ καὶ δεκαπέντε ἡμ. L. 53 μέχρι τῆς Οὐεσπ. M. καὶ ἡμέραις τεσσαρ. P. 1 Οὔτε δὲ L.N. Καὶ οὔτε P. ἦν ἡλικίας tr. L. 2 περιεχὼν ὁ πόλ. M.N.T. καὶ ἀμυνομένους M.N.T.E. 3 πλεῖστον εἰσφερομένη M.N.T. πᾶσάν τις L. 4 δύναται τἂν T. τοῦ τε ἀπολειφθέντος L.M.T.E. τροπὴ μετ' L.M.

5 γαί. Συνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου τὸ κατὰ τὴν πόλιν πλῆθος· ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι καὶ μεμυκότες, ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν 6 εὐτόνησαν. Συνήχει δὲ ἥ τε Περαία, καὶ τὰ πέριξ ὄρη, βαρυτέραν ποιοῦντα τὴν ὁρμήν. Ἦν δὲ τοῦ θορύβου τὰ πάθη 7 φοβερώτερα. Τὸν μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε βράττεσθαι, πάντοθεν τοῦ πυρὸς καταγέμοντα· δαψιλέστερον δὲ τὸ αἷμα τοῦ πυρὸς εἶναι, καὶ τῶν φονευόντων 8 πλείους τοὺς φονευομένους· οὐδαμοῦ γὰρ ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ σωροῖς ἐπεμβαίνοντες οἱ στρατιῶται σω- 9 μάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον. Τὸ μὲν οὖν λῃστρικὸν πλῆθος ὡσάμενοι τοὺς Ῥωμαίους, μόλις εἰς τὸ ἔξω διεκπίπτουσιν ἱεροῦ, καὶ ἐκεῖθεν εἰς τὴν πόλιν. Τοῦ δημοτικοῦ δὲ 10 τὸ λειφθὲν ἐπὶ τὴν ἔξω στοὰν κατέφυγε. Τῶν δὲ ἱερέων τινὲς τὸ μὲν πρῶτον ἀπὸ τοῦ ναοῦ τούς τε ὀβελοὺς, καὶ τὰς ἕδρας αὐτῶν μολίβδου πεποιημένας ἀνασπῶντες, εἰς τοὺς Ῥω- 11 μαίους ἠφίεσαν. Αὖθις δὲ ὡς οὔτ' ἤνυόν τι, καὶ τὸ πῦρ ἐπ' αὐτοὺς ἀνερρήγνυτο, ἐπὶ τὸν τοῖχον ἀναχωρήσαντες, ὄντα 12 ὀκτάπηχυν τὸ εὖρος, ἔμενον. Δύο γε μὴν τῶν ἐπισήμων, παρὸν σωθῆναι πρὸς Ῥωμαίους μεταστᾶσιν, ἢ διακαρτερεῖν πρὸς τὴν μετὰ τῶν ἄλλων τύχην, ἑαυτοὺς ἔρριψαν εἰς τὸ πῦρ, καὶ τῷ ναῷ συγκατεφλέγησαν, Μήϊρός τε υἱὸς Βελγᾶ, καὶ Ἰώσηπος Δαλαίου.

13 2. Ῥωμαῖοι δὲ, μάταιον τὴν ἐπὶ τοῖς πέριξ φειδὼ κρίναντες, τοῦ ναοῦ φλεγομένου, πάντα συνεπίμπρασαν, τά τε λείψανα τῶν στοῶν, καὶ τὰς πύλας, πλὴν δύο, τῆς μὲν ἐκ τῶν ἀνατολικῶν, τῆς δὲ ἐκ μεσημβρίας, καὶ ταύτας ὕστερον

5 Συνεβόων δὲ τοῖς L. συνεβόα δὲ ἐπὶ τοῖς τοῦ M. 7 βράττεσθαι deest M. διάττεσθαι N. διαβράττεσθαι, sed in marg. διάττεσθαι T. 8 διεφαίνετο ἐκ τῶν L.E. σωροῖς ἐπιβαίνοντες P. 9 τὴν πόλιν Hic denuo incipit vetus scriptura T. τὸ ληφθὲν ἐπὶ P. 10 τὸ πρῶτον L. μολίβου N.P. μολλίβῳ L. 11 πῦρ ἐπ' αὐτοῖς L. τοῖχον χωρήσαντες M. 12 φίψαντες εἰς τὸ L. Μηίρός τε L. 13 συνεμπίμπρασαν N.T. πύλας αὐτῶν πλὴν L. τῆς δὲ μεσημβρινῆς M.N.P.T. καὶ ταύτης ὕστερον M.

κατέσκαψαν. Ἔκαιον δὲ καὶ τὰ γαζοφυλάκια, ἐν οἷς ἄπει- 14
ρον μὲν χρημάτων πλῆθος, ἄπειροι δὲ ἐσθῆτες, καὶ ἄλλα κει-
μήλια, συνελόντι δ' εἰπεῖν, πᾶς ὁ Ἰουδαίων σεσώρευτο πλοῦ-
τος, ἀνεσκευασμένων ἐκεῖ τῶν οἴκων τῶν εὐπόρων. Ἦκον δὲ 15
καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ· καταφεύγει δ'
ἐπ' αὐτὴν ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία, καὶ σύμμικτος
ὄχλος πλεῖστος εἰς ἑξακισχιλίους. Πρὶν δὲ Καίσαρα κρῖναί 16
τι περὶ αὐτῶν ἢ κελεῦσαι τοὺς ἡγεμόνας, φερόμενοι τοῖς
θυμοῖς οἱ στρατιῶται, τὴν στοὰν ὑφάπτουσι. Καὶ συνέβη 17
τοὺς μὲν ῥιπτοῦντας αὐτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι,
τοὺς δ' ἐν αὐτῇ. Περιεσώθη δ' ἐκ τοσούτων οὐδείς. Τού- 18
τοις αἴτιος τῆς ἀπωλείας ψευδοπροφήτης τις κατέστη, κατ'
ἐκείνην κηρύξας τὴν ἡμέραν τοῖς ἐπὶ τῆς πόλεως, ὡς 'ὁ θεὸς
ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύει, δεξομένους τὰ σημεῖα τῆς
σωτηρίας.' Πολλοὶ δὲ ἦσαν ἐγκάθετοι παρὰ τῶν τυράννων 19
τότε πρὸς τὸν δῆμον προφῆται, προσμένειν τὴν ἀπὸ τοῦ
θεοῦ βοήθειαν καταγγέλλοντες, ὡς ἧττον αὐτομολοῖεν, καὶ
τοὺς ἐπάνω δέους καὶ φυλακῆς γινομένους ἐλπὶς παρακροτοίη.
Πείθεται δὲ ταχέως ἄνθρωπος ἐν συμφοραῖς· ὅταν δὲ δὴ καὶ 20
τῶν κατεχόντων δεινῶν ἀπαλλαγὴν ὁ ἐξαπατῶν ὑπογράφῃ,
τόθ' ὁ πάσχων ὅλος γίνεται τῆς ἐλπίδος.

3. Τὸν γοῦν ἄθλιον δῆμον οἱ μὲν ἀπατεῶνες, καὶ κατα- 21
ψευδόμενοι τοῦ θεοῦ τηνικαῦτα παρέπειθον· τοῖς δὲ ἐναργέσι,
καὶ προσημαίνουσι τὴν μέλλουσαν ἐρημίαν τέρασιν οὔτε
προσεῖχον οὔτε ἐπίστευον, ἀλλ' ὡς ἐμβεβροντημένοι, καὶ μήτ' 22
ὄμματα μήτε ψυχὴν ἔχοντες τῶν τοῦ θεοῦ κηρυγμάτων παρ-
ήκουσαν. Τοῦτο μὲν ὅτε ὑπὲρ τὴν πόλιν ἄστρον ἕστη ῥομ-
φαίᾳ παραπλήσιον, καὶ παρατείνας ἐπ' ἐνιαυτὸν κομήτης·
τοῦτο δὲ ἡνίκα πρὸ τῆς ἀποστάσεως καὶ τοῦ πρὸς τὸν πόλε- 23

14 γαζοφυλακεῖα N. ἀνασκευασαμένων L.E. ἐκεῖ τοὺς οἴκους L.P.E. 15 στοὰν τὴν ἔξωθεν P. πλεῖστος deest N.P.T. πλῆθος L. 16 ἢ κελεύσειν L. ὑφάπτουσι. συνέβη δὲ L. 18 τὴν ἡμέραν κηρύξας tr. L. 19 παρακρατοίη N.T. παρακρατῴη M.E. παρακρατῶν L. 20 Πείθεται δ' εὐθέως ἄνθ. E. δὲ ἤδη καὶ L. 22 Τοῦτο μὲν οὖν ὑπὲρ L. καὶ παράτιναν N. κομήτης P. 23 τοῦ πρὸ τὸν πόλ. T.

μον κινήματος, ἀθροιζομένου τοῦ λαοῦ πρὸς τὴν τῶν Ἀζύμων ἑορτὴν — ὀγδόῃ δ' ἦν Ξανθικοῦ μηνὸς — κατὰ νυκτὸς ἐννάτην
24 ὥραν τοσοῦτον φῶς περιέλαμψε τὸν βωμὸν καὶ τὸν ναὸν, ὡς δοκεῖν ἡμέραν εἶναι λαμπράν, καὶ τοῦτο παρέτεινεν ἐφ' ἡμίσειαν ὥραν· ὃ τοῖς μὲν ἀπείροις ἀγαθὸν ἐδόκει, τοῖς δ' ἱερο-
25 γραμματεῦσι, πρὸ τῶν ἀποβεβηκότων εὐθέως ἐκρίθη. Καὶ κατὰ τὴν αὐτὴν ἑορτὴν βοῦς μὲν, ἀχθεῖσα ὑπό του πρὸς τὴν θυσίαν, ἔτεκεν ἄρνα ἐν τῷ ἱερῷ μέσῳ. Ἡ δὲ ἀνατολικὴ
26 πύλη τοῦ ἐνδοτέρου, χαλκῆ μὲν οὖσα καὶ στιβαρωτάτη, κλειομένη δὲ περὶ δείλην μόλις ὑπ' ἀνδρῶν εἴκοσι, καὶ μοχλοῖς μὲν ἐπερειδομένη σιδηροδέτοις, καταπήγας δ' ἔχουσα βαθυτάτους, εἰς τὸν οὐδὸν ὄντα διηνεκοῦς λίθου καθιεμένους, ὤφθη κατὰ
27 νυκτὸς ὥραν ἕκτην αὐτομάτως ἠνεῳγμένη. Δραμόντες δὲ οἱ τοῦ ἱεροῦ φύλακες, ἤγγειλαν τῷ στρατηγῷ· καὶ ἐκεῖνος ἀναβὰς, μόλις αὐτὴν ἴσχυσε κλεῖσαι. Πάλιν τοῦτο τοῖς μὲν ἰδιώταις κάλλιστον ἐδόκει τέρας· ἀνοῖξαι γὰρ τὸν θεὸν αὐτοῖς
28 τὴν τῶν ἀγαθῶν πύλην· οἱ λόγιοι δὲ λυομένην αὐτομάτως τοῦ ναοῦ τὴν ἀσφάλειαν ἐνενόουν, καὶ πολεμίοις δῶρον ἀνοίγεσθαι τὴν πύλην, δηλωτικόν τ' ἐρημίας ἀπέφαινον ἐν ἑαυτοῖς
29 τὸ σημεῖον. Μετὰ δὲ τὴν ἑορτὴν ἡμέραις ὕστερον οὐ πολλαῖς, μιᾷ καὶ εἰκάδι Ἀρτεμισίου μηνὸς, φάσμα τι δαιμόνιον
30 ὤφθη μεῖζον πίστεως. Τερατεία δ' ἂν ἔδοξεν οἶμαι τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασαμένοις ἱστόρητο, καὶ
31 τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν ἄξια. Πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν ἅρματα καὶ φάλαγγες ἔνοπλοι διάττουσαι τῶν νεφῶν, καὶ κυκλούμε-

ἑορτὴν, ἡ δὲ ἦν L. ὥραν ἐνάτην tr. L. τὸν ναὸν καὶ τὸν βωμὸν tr. L. 24 πρὸς τῶν ἀποβ. M.N.E. μὲν ἀναχθεῖσα I.. 25 ὑπὸ τοῦ ἀρχιερέως πρὸς τὴν E. Ἦν δὲ ἀνατολικὴ L. ἐνδοτέρω ναοῦ, χαλχῆ L. ἐνδοτέρου ναοῦ χ. P. et sup. lin. T. 26 περὶ δείλης μόλις M.N. ὑπ' ἀνθρώπων εἴκοσι N.T. λίθους καθιεμ. P. ἠνοιγμένη. P. 28 Οἱ λοιποὶ δὲ λυομ. L. τὴν τοῦ ναοῦ ἀσφάλειαν tr. L. τοῦ θεοῦ τὴν ἀσφάλειαν M. ἀπέφαινον ἑαυτοῖς L. 29 Μετὰ δὲ ἑορτὴν M. ἡμ. οὐ πολλαῖς ὕστερον tr. L.M. N.T. οὐ πολλαῖς ἡμ. ὕστερον tr. P. πρώτῃ καὶ εἰκοστῇ Ἀρτεμισίου L. 30 Τερατείαν L. ἱστορεῖτο L.N.P.T. 31 μετέωρα κατὰ πᾶσαν L. κυκλούμενοι L.

ναι τὰς πόλεις. Κατὰ δὲ τὴν ἑορτὴν, ἣ Πεντηκοστὴ καλεῖ- 32
ται, νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἔνδον ἱερὸν, ὥσπερ
αὐτοῖς ἔθος ἦν πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως
ἀντιλαβέσθαι ἔφασαν καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς
ἀθρόας, "Μεταβαίνομεν ἐντεῦθεν." Τὸ δὲ τούτων φοβερώ- 33
τερον· Ἰησοῦς γάρ τις υἱὸς Ἀνάνου τῶν ἰδιωτῶν ἀγροῖκος,
πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου, τὰ μάλιστα τῆς πόλεως
εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν εἰς τὴν ἑορτὴν, ἐν ᾗ σκη-
νοποιεῖσθαι πάντας ἔθος τῷ θεῷ, κατὰ τὸ ἱερὸν ἐξαπίνης
ἀναβοᾶν ἤρξατο, "Φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, 34
φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ
τὸν ναὸν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ τὸν λαὸν
πάντα." Τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ, κατὰ πάντας τοὺς 35
στενωποὺς περιῄει κεκραγώς. Τῶν δ' ἐπισήμων τινὲς δημο-
τῶν, ἀγανακτήσαντες πρὸς τὸ κακόφημον, συλλαμβάνουσι
τὸν ἄνθρωπον, καὶ πολλαῖς αἰκίζονται πληγαῖς. Ὁ δὲ οὔθ' 36
ὑπὲρ ἑαυτοῦ φθεγξάμενος, οὔτ' ἰδίᾳ πρὸς τοὺς παίοντας, ἃς
καὶ πρότερον φωνὰς βοῶν διετέλει. Νομίσαντες δὲ οἱ ἄρ-
χοντες, ὅπερ ἦν, δαιμονιώτερον εἶναι τὸ κίνημα τοῦ ἀνδρὸς,
ἀνάγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον, ἔνθα 37
μάστιξι μέχρις ὀστέων ξαινόμενος οὔθ' ἱκέτευσεν, οὔτ' ἐδά-
κρυσεν· ἀλλ' ὡς ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρ-
εγκλίνων, πρὸς ἑκάστην ἀπεκρίνατο πληγήν, "Αἰ αἰ Ἱερο-
σολύμοις." Τοῦ δὲ Ἀλβίνου διερωτῶντος, οὗτος γὰρ ἔπαρ- 38
χος ἦν, 'τίς εἴη, καὶ πόθεν, καὶ διὰ τί ταῦτα φθέγγοιτο;'
πρὸς ταῦτα μὲν οὐδ' ὁτιοῦν ἀπεκρίνατο· τὸν δ' ἐπὶ τῇ πόλει 39
θρῆνον εἶρων οὐ διέλειπε, μέχρι καταγνοὺς μανίαν ὁ Ἀλβῖνος

32 τὸ εἴσω ἱερὸν M. ἦν εἰς τὰς λειτ. L. πρὸς τὰς λειτ. omis. ἦν P. ἔφασαν ἀντιλαβέσθαι tr. L.M.N.T. ταῦτα καὶ φωνῆς M.E. 33 Μεταβαίνωμεν E. υἱὸς Ἀνανίου P. πόλεως εἰρηνευούσης L. ἑορτὴν ἐπεὶ σκηνοπ. M.N.T. ἐξαπίνης φωνὴ ἀπὸ τῶν M. φωνὴ ἀπ' ἀνατολῆς desunt P. 34 πάντα τὸν λαὸν tr. L. 36 εἶναι deest P. παρὰ Ῥωμαίων N. 37 ὀστέων ξεόμενος οὔθ' L. ὀστ. ξενόμενος οὔθ' P. παρακλίνων P. 38 Ἀλβίνου ἐρωτῶντος M. ἦν ἔπαρχος τίς τε εἴη L. 39 οὐ διέλιπεν M.

ἀπέλυσεν αὐτόν. Ὁ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον οὔτε προσήει τινὶ τῶν πολιτῶν, οὔτ' ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν ὥσπερ εὐχὴν μεμελετηκώς, "Αἲ αἲ Ἱεροσολύμοις,"
40 ἐθρήνει. Οὔτε δέ τινι τῶν τυπτόντων αὐτὸν ὀσημέραι κατηρᾶτο, οὔτε τοὺς τροφῆς μεταδιδόντας εὐλόγει· μία δὲ πρὸς
41 πάντας ἦν ἡ σκυθρωπὴ κληδὼν ἀπόκρισις. Μάλιστα δ' ἐν ταῖς ἑορταῖς ἐκεκράγει, καὶ τοῦτο ἐφ' ἑπτὰ ἔτη, καὶ μῆνας πέντε εἴρων, οὔτ' ἠμβλύνθη τὴν φωνὴν, οὔτε ἔκαμεν, μέχρις οὗ κατὰ τὴν πολιορκίαν ἔργα τὰς κληδόνας ἰδὼν ἀνεπαύσατο·
42 περιϊὼν γὰρ ἐπὶ τοῦ τείχους "Αἲ αἲ" πάλιν τῇ πόλει καὶ
43 τῷ λαῷ καὶ τῷ ναῷ διαπρύσιον ἐβόα. Ὡς δὲ τελευταῖον προσέθηκεν "Αἲ αἲ δὲ καὶ ἐμοί," λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς, καὶ πλήξας αὐτὸν παραχρῆμα κτείνει· φθεγγόμενος δ' ἔτι τὰς κληδόνας ἐκείνας τὴν ψυχὴν ἀφῆκεν.

44 4. Ταῦτά τις ἐννοῶν εὑρήσει τὸν μὲν θεὸν ἀνθρώπων κηδόμενον, καὶ παντοίως προσημαίνοντα τῷ σφετέρῳ γένει τὰ σωτήρια, τοὺς δ' ὑπ' ἀνοίας καὶ κακῶν αὐθαιρέτων ἀπολλυμέ-
45 νους· ὅπου γε Ἰουδαῖοι καὶ τὸ ἱερὸν μετὰ τὴν καθαίρεσιν τῆς Ἀντωνίας τετράγωνον ἐποίησαν, ἀναγεγραμμένον ἐν τοῖς λογίοις ἔχοντες, 'ἁλώσεσθαι τὴν πόλιν καὶ τὸν ναὸν, ἐπειδὰν
46 τὸ ἱερὸν γένηται τετράγωνον.' Τὸ δὲ ἐπάραν αὐτοὺς μάλιστα πρὸς τὸν πόλεμον, ἦν χρησμὸς ἀμφίβολος ὁμοίως ἐν τοῖς ἱεροῖς εὑρημένος γράμμασιν, ὡς 'κατὰ τὸν καιρὸν ἐκεῖνον
47 ἀπὸ τῆς χώρας τις αὐτῶν ἄρξει τῆς οἰκουμένης.' Τοῦτο οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον, καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν. Ἐδήλου δ' ἄρα τὴν Οὐεσπασιανοῦ τὸ λόγιον ἡγεμονίαν, ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος.
48 Ἀλλὰ γὰρ οὐ δυνατὸν ἀνθρώποις τὸ χρεὼν διαφυγεῖν, οὐδὲ

40 τῶν τυπτόντων τινὶ tr. M. ὀσημέραι deest P. 41 τοῦτο ἑπτὰ ἔτη καὶ πέντε μῆνας L. ἠβλύνθη M. ἤμβλυνεν P. ἔργον τῆς κληδόνος L. ἔργα τῆς κληδόνος P. ἔργῳ τοὺς κληδόνας E. 42 ἀπὸ τοῦ τείχους P. διαπρυσίως L. 43 φθεγγομένην δ' ἔτι N.P.T. ἐκείνας deest P.
45 ἐποιήσαντο ἀναγ. E. λογίοις οἷς ἔχοντες P. 46 εὑρημένοις M.
47 Τοῦτο μὲν ὡς L. ἄρα περὶ τὴν E. ἄρα τὴν περὶ M.N.P.T.

προορωμένοις. Οἱ δὲ καὶ τῶν σημείων, ἃ μὲν ἔκριναν πρὸς ἡδονὴν, ἃ δὲ ἐξουθένησαν, μέχρις οὗ τῇ τε ἁλώσει τῆς πατρίδος, καὶ τῷ σφῶν αὐτῶν ὀλέθρῳ διηλέγχθησαν τὴν ἄνοιαν.

CAP. VI.

1. Ῥωμαῖοι δὲ, τῶν μὲν στασιαστῶν καταπεφευγότων εἰς τὴν πόλιν, καιομένου δὲ αὐτοῦ τε τοῦ ναοῦ, καὶ τῶν περὶξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν, καὶ θέμενοι τῆς ἀνατολικῆς πύλης ἄντικρυς, ἔθυσάν τε αὐταῖς αὐτόθι, καὶ τὸν Τίτον μετὰ μεγίστων εὐφημιῶν ἀπέφηναν αὐτοκράτορα. Ταῖς δὲ ἁρπαγαῖς οὕτως ἐνεπλήσθησαν οἱ στρατιῶται πάντες, ὥστε κατὰ τὴν Συρίαν πρὸς ἥμισυ τῆς πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι. Τῶν δὲ ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ ἱερέων διακαρτερούντων, παῖς διψήσας ἱκέτευε τοὺς φύλακας τῶν Ῥωμαίων δοῦναι δεξιὰν αὐτῷ, καὶ τὸ δίψος ἐξωμολογεῖτο. Τῶν δὲ τῆς ἡλικίας καὶ τῆς ἀνάγκης οἰκτον λαβόντων καὶ δόντων δεξιὰς, καταβὰς αὐτός τε πίνει, καὶ ὃ φέρων ἦκεν ἀγγεῖον πλήσας ὕδατος ᾤχετο φεύγων ἄνω πρὸς τοὺς σφετέρους. Τῶν δὲ φυλάκων καταλαβεῖν μὲν οὐδεὶς ἴσχυσε, πρὸς δὲ τὴν ἀπιστίαν ἐβλασφήμουν. Καὶ ἐκεῖνος ‘οὐδὲν, ἔφη, παραβεβηκέναι τῶν συνθηκῶν· λαβεῖν γὰρ δεξιὰν οὐ τοῦ μένειν παρ᾽ αὐτοῖς, ἀλλὰ τοῦ καταβῆναι μόνον καὶ λαβεῖν ὕδωρ, ἅπερ ἀμφότερα πεποιηκὼς, πιστὸς ἔδοξεν εἶναι.’ Τὸ μὲν δὴ πανούργημα, διὰ τὴν ἡλικίαν μάλιστα τοῦ παιδὸς, ἀπεθαύμαζον οἱ πλανηθέντες. Πέμπτῃ δὲ ἡμέρᾳ λιμώττοντες οἱ ἱερεῖς καταβαίνουσι, καὶ πρὸς Τίτον ἀναχθέντες ὑπὸ τῶν φυλάκων, ἱκέτευον τυχεῖν σωτηρίας. Ὁ δὲ ‘τὸν μὲν τῆς συγγνώμης καιρὸν αὐτοῖς παρῳχηκέναι, φήσας,

48 Ὁ δὲ καὶ τῶν M. ἐξουθένισαν E. ἐξουδένωσαν L. μέχρις ὅτε ἁλώσει M.N. μέχρις οὗ ἁλώσει T. καὶ τῶν σφῶν M.N. καὶ σφῶν L. ὀλέθρῳ deest M. διηλέχθησαν M. 1 αὐτοῦ τοῦ ναοῦ L. 2 ἄντικρυς, θύσαντες αὐταῖς L. ἄντ. ἔθυσάν τε ἐν ταῖς N. 4 ἐξομολογεῖτο P. 5 δόντων δεξιὰν L. φέρων ἦγεν P. φεύγων πρὸς L.E. σφετέρους ἄνω. L. 7 οὐ τοῦ μένειν. Hic desunt multa folia, et saltum facimus ad verba Ἀνέθηκε δὲ ἐνταῦθα Lib. 7. cap. 5. ad fin. N. καὶ τοῦ λαβεῖν L. πιστὸς εἶναι L. 8 Τὸ δὴ πανούρ. T. 9 λιμώττωντες P.

οἴχεσθαι δὲ δι' ὃν εὐλόγως ἂν αὐτοὺς ἔσωζε, πρέπειν δὲ τοῖς ἱερεῦσι τῷ ναῷ συναπολέσθαι,' κελεύει κολάσαι τοὺς ἄνδρας.

11 2. Οἱ δὲ περὶ τοὺς τυράννους ὡς τῷ τε πολέμῳ πανταχόθεν ἐκρατοῦντο, καὶ περιτετειχισμένοις διαφυγεῖν οὐδαμόθεν
12 ἦν, προσκαλοῦνται τὸν Τίτον εἰς λόγους. Ὁ δὲ διὰ τὸ φιλάνθρωπον φύσει τὸ γοῦν ἄστυ περισῶσαι προαιρούμενος, καὶ τῶν φίλων ἐναγόντων, ἤδη γὰρ μετριάζειν τοὺς λῃστὰς ὑπελάμβανον, ἵσταται κατὰ τὸ πρὸς δύσιν μέρος τοῦ ἔξωθεν
13 ἱεροῦ. Ταύτῃ γὰρ ὑπὲρ τὸν ξυστὸν ἦσαν πύλαι, καὶ γέφυρα συνάπτουσα τῷ ἱερῷ τὴν ἄνω πόλιν· αὕτη τότε μέση τῶν
14 τυράννων ἦν καὶ τοῦ Καίσαρος. Τὸ δὲ πλῆθος ἑκατέροις βύζην ἐφειστήκει· Ἰουδαῖοι μὲν περὶ Σίμωνα καὶ Ἰωάννην, μετέωροι συγγνώμης ἐλπίδι· Ῥωμαῖοι δὲ Καίσαρι, καρα-
15 δοκοῦντες αὐτῶν τὴν ἀξίωσιν. Παραγγείλας δὲ τοῖς στρατιώταις Τίτος, θυμοῦ τε καὶ βελῶν μένειν ἐγκρατεῖς, καὶ τὸν ἑρμηνέα παραστησάμενος, ὅπερ ἦν τεκμήριον τοῦ κρατεῖν,
16 πρῶτος ἤρξατο λέγειν· "Ἆρα γε ἤδη κεκόρεσθε τῶν τῆς πατρίδος κακῶν, ἄνδρες, οἱ μήτε τῆς ἡμετέρας δυνάμεως, μήτε τῆς ἑαυτῶν ἀσθενείας ἔννοιαν λαβόντες, ὁρμῇ δὲ ἀσκέπτῳ καὶ μανίᾳ τόν τε δῆμον καὶ τὴν πόλιν καὶ τὸν ναὸν ἀπολωλε-
17 κότες, ἀπολούμενοι δὲ καὶ αὐτοὶ δικαίως, οἳ πρῶτον μὲν, ἀφ' οὗ Πομπήϊος εἷλεν ὑμᾶς κατὰ κράτος, οὐκ ἐπαύσασθε νεωτεροποιΐας, ἔπειτα καὶ φανερὸν ἐξηνέγκατε πρὸς Ῥωμαίους
18 πόλεμον; Ἆρά γε πλήθει πεποιθότες; Καὶ μὴν ἐλάχιστον ὑμῖν μέρος ἀντήρκεσε τοῦ Ῥωμαίων στρατιωτικοῦ. Πίστει τοιγαροῦν συμμάχων; Καὶ τί τῶν ἔξω τῆς ἡμετέρας ἡγεμο-

10 οἴχεσθαι δι' ὃν P. εὐλόγως αὐτοὺς P. 11 ὡς τῷ πολέμῳ L. ὡς τότε πολ. P. πολέμῳ παντόθεν T. 12 Ὁ δὲ καὶ διὰ τὸ L.M.T. ὑπελάμβανεν L.M. κατὰ μέρος τὸ πρὸς δύσιν L. 13 τὸ ξυστὸν P. 14 βύσδην P.T. ἐφεστήκει L.P.T. συγγνώμης καὶ ἐλπίδι M. καραδοκοῦντες αὐτῷ τὴν L. 16 ὦ ἄνδρες P. τῆς ἡμετ. τῆς δυνάμεως T.E. 17 εἶλεν ἡμας M. νεωτεροποιίαις M. καὶ φανερῶς M. 18 Καὶ τῇ τῶν ἔξω L.

νίας ἐθνῶν ἔμελλεν αἱρήσεσθαι Ἰουδαίους πρὸ Ῥωμαίων; Ἀλλ' ἀλκῇ σωμάτων; Καὶ μὴν ἴστε Γερμανοὺς δουλεύοντας 19
ἡμῖν. Ὀχυρότητι δὲ τειχῶν; Καὶ τί μεῖζον ὠκεανοῦ τείχους κώλυμα, ὃν πεπιβεβληκότες Βρεττανοὶ τὰ Ῥωμαίων ὅπλα προσκυνοῦσι; Καρτερίᾳ ψυχῆς καὶ πανουργίᾳ στρα- 20
τηγῶν; Ἀλλὰ μὴν ἤδειτε καὶ Καρχηδονίους ἁλόντας. Τοιγαροῦν ὑμᾶς ἐπήγειρε κατὰ Ῥωμαίων ἡ Ῥωμαίων φιλανθρωπία· οἳ πρῶτον μὲν ὑμῖν τήν τε χώραν ἔδομεν νέμεσθαι, καὶ 21
βασιλεῖς ὁμοφύλους ἐπεστήσαμεν, ἔπειτα τοὺς πατρίους νόμους ἐτηρήσαμεν, καὶ ζῆν οὐ μόνον καθ' ἑαυτούς, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἐπετρέψαμεν, ὡς ἐβούλεσθε· τὸ δὲ μέ- 22
γιστον, δασμολογεῖν τε ὑμῖν ἐπὶ τῷ θεῷ, καὶ ἀναθήματα συλλέγειν ἐπετρέψαμεν, καὶ τοὺς ταῦτα φέροντας οὔτε ἐνουθετήσαμεν οὔτε ἐκωλύσαμεν, ἵν' ἡμῶν γένησθε πλουσιώτεροι πολέμιοι, καὶ παρασκευάσησθε τοῖς ἡμετέροις χρήμασι καθ' ἡμῶν. Ἔπειτα τηλικούτων ἀγαθῶν ἀπολαύοντες, ἐπὶ τοὺς 23
παρασχόντας ἠνέγκατε τὸν κόρον, καὶ δίκην τῶν ἀτιθασσεύτων ἑρπετῶν τοῖς σαίνουσι τὸν ἰὸν ἐναφήκατε. Ἔστω γοῦν· 24
κατεφρονήσατε τῆς Νέρωνος ῥᾳθυμίας, καὶ καθάπερ ῥήγματα ἢ σπάσματα, τὸν ἄλλον χρόνον κακοήθως ἠρεμοῦντες, ἐν τῇ μείζονι νόσῳ διεφάνητε καὶ πρὸς ἐλπίδας ἀναιδεῖς καὶ ἀμέτρους ἐξετείνατε τὰς ἐπιθυμίας. Ἦκεν ὁ πατὴρ ὁ ἐμὸς εἰς 25
τὴν χώραν, οὐ τιμωρησόμενος ὑμᾶς τῶν κατὰ Κέστιον, ἀλλὰ νουθετήσων. Δέον γοῦν, εἴπερ ἐπ' ἀναστάσει τοῦ ἔθνους παρῆν, ἐπὶ τὴν ῥίζαν ὑμῶν δραμεῖν, καὶ ταύτην ἐκπορθεῖν τὴν πόλιν εὐθέως· ὁ δὲ Γαλιλαίαν ἐδῄου καὶ τὰ πέριξ, ἐπιδιδοὺς 26
ὑμῖν χρόνον εἰς μεταμέλειαν. Ἀλλ' ὑμῖν ἀσθένεια τὸ φιλάνθρωπον ἐδόκει καὶ ἐκ τῆς ἡμετέρας πραότητος τὴν τόλμαν

20 Ἀλλὰ μὴν ἤδη τε καὶ L.M. 21 πρῶτον ὑμῖν P. ἀλλὰ καὶ τοὺς M.P.T.E. 22 οὔτε ἐκωλύσαμεν desunt L. ἵν' ἡμῖν M.P.T. πολέμιοι deest M.P.T. παρεσκευάσησθε P. 23 ἀτιθάσσων L. ἀντιθασεύτων M. τοῖς σένουσι P. 24 ἔστω οὖν L. κατεφρονήσατε Νέρωνος M. ἀναιδεῖς ἀμέτρως M. ἀναιδείας ἀμέτρους P. ἀναιδεῖς ἀμέτρους T. 25 ταύτην πορθεῖν L. εὐθέως· οὐδέ Γαλ. P. 26 εἰς μετάνοιαν. ἀλλ' ὑμῖν E.

27 ἐπεθρέψατε. Νέρωνος οἰχομένου, τοῦτο, ὅπερ ἐχρῆν τοὺς πονηροτάτους, ἐποιήσατε, ταῖς ἐμφυλίοις ἡμῶν ταραχαῖς ἐπεθαρρήσατε, καὶ χωρισθέντων εἰς τὴν Αἴγυπτον ἐμοῦ τε καὶ τοῦ πατρὸς, εἰς παρασκευὰς τοῦ πολέμου κατεχρήσασθε
28 τοῖς καιροῖς· καὶ οὐκ ἠδέσθητε ταράσσειν αὐτοκράτορας γεγενημένους, οὓς καὶ στρατηγοὺς φιλανθρώπους ἐπειράσατε. Προσφυγούσης γοῦν ἡμῖν τῆς ἡγεμονίας, καὶ τῶν μὲν κατὰ ταύτην ἠρεμούντων πάντων, πρεσβευομένων δὲ καὶ συνηδομένων
29 τῶν ἔξωθεν ἐθνων, πάλιν οἱ Ἰουδαῖοι πολέμιοι· καὶ πρεσβεῖαι μὲν ὑμῶν πρὸς τοὺς ὑπὲρ Εὐφράτην ἐπὶ νεωτερισμῷ, περίβολοι δὲ τειχῶν ἀνοικοδομούμενοι καινοὶ, στάσεις δὲ καὶ τυράννων φιλονεικίαι, καὶ πόλεμος ἐμφύλιος, μόνα τοῖς οὕτω
30 πονηροῖς πρέποντα. Ἦκον ἐπὶ τὴν πόλιν ἐγὼ, παρὰ τοῦ πατρὸς ἄκοντος λαβὼν σκυθρωπὰ παραγγέλματα. Τὸν δῆ-
31 μον ἀκούσας εἰρηνικὰ φρονεῖν, ἤσθην· ὑμᾶς παύσασθαι πρὸ πολέμου παρεκάλουν, μέχρι πολλοῦ πολεμούντων ἐφειδόμην, δεξιὰς αὐτομόλοις δέδωκα, καταφυγοῦσι πίστιν ἐτήρησα, πολλοὺς αἰχμαλώτους ἠλέησα, τοὺς ἐπείγοντας βασανίσας ἐκώ-
32 λυσα, τείχεσιν ὑμετέροις μηχανὰς ἄκων προσήγαγον, ἀεὶ φοβοῦντας τοὺς στρατιώτας ἐφ' ὑμῖν κατέσχον, καθ' ἑκάστην νίκην
33 ὡς ἡττώμενος ὑμᾶς εἰς εἰρήνην προεκαλεσάμην. Τοῦ ἱεροῦ πλησίον γενόμενος, πάλιν ἑκὼν ἐξελαθόμην τῶν τοῦ πολέμου νόμων· φείσασθαι δὲ παρεκάλουν τῶν ἰδίων ὑμᾶς ἁγίων, καὶ
34 σῶσαι τὸν ναὸν ἑαυτοῖς, διδοὺς ἄδειάν τε ἐξόδου καὶ πίστιν σωτηρίας, εἰ δ' ἐβούλεσθε, καὶ μάχης καιρὸν ἐν ἄλλῳ τόπῳ. Πάντων ὑπερείδετε, καὶ τὸν ναὸν ἰδίαις χερσὶν ἐνεπρήσατε.
35 Ἔπειτα, μιαρώτατοι, προκαλεῖσθέ με πρὸς λόγους νῦν ; Ἵνα

27 ἐμφυλίοις ὑμῶν L. τοῦ πολεμεῖν κατεχρ. M. τοῖς καιροῖς desunt M. 28 πάντων ἠρεμούντων tr. L. πάντων deest P. δὲ συνηδομένων M. πάλιν Ἰουδαῖοι L. 29 τυράννων καὶ tr. L. μόνα τὰ τοῖς L. 30 Ἐπὶ ἦκον ἐπὶ τὴν P. ἐγὼ ἐπὶ τὴν πόλιν tr. L. ἄκοντος deest T. 31 παύσασθε πολέμου P. ἔδωκα L. καταφυγοῦσι πίστεις L.M.T. βασανίσας ἐκόλασα, τείχ. M.P.T. προσῆγον P. 33 φείσασθε, παρεκάλουν L. τῶν ἁγίων ὑμᾶς τῶν ἰδίων L. 34 εἰ δὲ βούλεσθε L.P. εἰ δὲ βούλεσθαι M. εἰ δὲ βούλησθε T.E. ἄλλῳ τε τόπῳ L. 35 προσκαλεῖσθέ με εἰς L. προσκαλεῖσθε πρὸς P. προσκαλεῖσθέ με πρὸς T.

τί σώσητε τοιοῦτον, οἷον ἀπόλωλεν; Οἵας ὑμᾶς αὐτοὺς ἀξι- 36
οῦτε μετὰ τὸν ναὸν σωτηρίας; Ἀλλὰ καὶ νῦν μετὰ τῶν
ὅπλων ἑστήκατε, καὶ οὐδ' ἐν ἐσχάτοις ὑποκρίνεσθε γοῦν ἱκέ-
τας. Ὦ ταλαίπωροι, τίνι πεποιθότες; οὐ νεκρὸς μὲν ὑμῶν ὁ
δῆμος, οἴχεται δὲ ὁ ναὸς, ὑπ' ἐμοὶ δὲ ἡ πόλις, ἐν χερσὶ δὲ
ταῖς ἐμαῖς ἔχετε τὰς ψυχὰς, εἶθ' ὑπολαμβάνετε δόξαν ἀν-
δρείας τὸ θανατᾶν; Οὐ μὴν ἐγὼ φιλονεικήσω πρὸς τὴν ἀπό- 37
νοιαν ὑμῶν. Ῥίψασι δὲ τὰ ὅπλα, καὶ παραδοῦσι τὰ σώ-
ματα, χαρίζομαι τὸ ζῆν· ὥσπερ ἐν οἰκίᾳ πρᾴος δεσπότης τὰ
μὲν ἀνήκεστα κολάσας, τὰ δὲ λοιπὰ σώζων ἐμαυτῷ."

3. Πρὸς δὲ ταῦτα ἀποκρίνονται, 'δεξιὰν μὲν μὴ δύνασθαι 38
παρ' αὐτοῦ λαβεῖν, ὁμωμοκέναι γὰρ, μηδέποτε τοῦτο ποιή-
σειν. Ἔξοδον δ' ἠτοῦντο διὰ τοῦ περιτειχίσματος μετὰ
γυναικῶν καὶ τέκνων· ἀπελεύσεσθαι γὰρ εἰς τὴν ἔρημον, καὶ
καταλείψειν αὐτῷ τὴν πόλιν.' Πρὸς ταῦτα ἀγανακτήσας Τί- 39
τος, εἰ τύχην ἐαλωκότων ἔχοντες αἱρέσεις αὐτῷ προτείνουσιν
νενικηκότων, κηρύξαι μὲν ἐκέλευσεν εἰς αὐτοὺς, 'μήτε αὐτομο-
λεῖν ἔτι, μήτε δεξιὰν ἐλπίζειν· φείσεσθαι γὰρ οὐδενός· ἀλλὰ 40
ἁπάσῃ δυνάμει μάχεσθαι, καὶ σώζειν ἑαυτοὺς, ὅπως ἂν δύναιντο·
πάντα γὰρ αὐτὸς ἤδη πράξειν πολέμου νόμῳ.' Τοῖς δὲ στρα- 41
τιώταις ἐμπιπράναι καὶ διαρπάζειν ἐκέλευσε τὴν πόλιν. Οἱ δ' 42
ἐκείνην μὲν ἐπέσχον τὴν ἡμέραν, τῇ δὲ ὑστεραίᾳ τό τε ἀρ-
χεῖον καὶ τὴν Ἄκραν καὶ τὸ βουλευτήριον καὶ τὸν Ὀφλᾶν
καλούμενον ὑφῆψαν, καὶ προέκοψε τὸ πῦρ μέχρι τῶν Ἑλέ-
νης βασιλείων, ἃ δὴ κατὰ μέσην τὴν Ἄκραν ἦν. Ἐκαίοντο 43
δὲ οἵ τε στενωποὶ, καὶ αἱ οἰκίαι νεκρῶν ὑπὸ τοῦ λιμοῦ διε-
φθαρμένων πλήρεις.

35 ἀξιοῦτε deest M. 36 ὑποκρίνεσθαι M. ἱκέτας deest P. ὑπ' ἐμὲ δὲ L. ἐμαῖς ἔχεται M. ὑπελαμβάνετε L. τὸ δυσθανατοῦν P. 37 καὶ παραδώσασι L. 38 Πρὸς ταῦτα M.P.T. μήποτε τοῦτο P. ἀπελεύσεσθε P. 39 νενικηκότων προτείνουσι tr. L. μήτε δεξιὰς L. 40 φείσασθαι γὰρ L.M. ἂν δύνωνται M.P.T. 41 ἐμπιπρᾶν ex ras. T. ἀρπάζειν ἐπέτρεψε τὴν M. διαρπ. ἐπέτρεψε τὴν P.T. 42 μὲν ἔπασχον τὴν M. Ἄκραν τό τε βουλ. L. ἔφηψαν P. 43 οἱ στενωποὶ L.

44 4. Κατὰ ταύτην τὴν ἡμέραν οἵ τε Ἰζάτου βασιλέως υἱοὶ καὶ ἀδελφοί, πρὸς οἷς πολλοὶ τῶν ἐπισήμων δημοτῶν ἐκεῖ
45 συνελθόντες, ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς. Ὁ δὲ, καίτοι πρὸς πάντας τοὺς ὑπολοίπους διωργισμένος, οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς ἄνδρας. Καὶ τότε μὲν ἐν φρουρᾷ πάντας εἶχε· τοὺς δὲ τοῦ βασιλέως παῖδας καὶ συγγενεῖς δήσας, ὕστερον εἰς Ῥώμην ἀνήγαγε, πίστιν ὁμήρων παρέξοντας.

CAP. VII.

1 1. Οἱ στασιασταὶ δ' ἐπὶ τὴν βασιλικὴν ὁρμήσαντες αὐλὴν, εἰς ἣν δι' ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἀπέθεντο, τούς τε Ῥωμαίους ἀπ' αὐτῆς τρέπονται, καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς ὀκτακισχιλίους
2 καὶ τετρακοσίους, τὰ χρήματα διήρπασαν. Ἐζώγρησαν δὲ καὶ Ῥωμαίων δύο, τὸν μὲν ἱππέα, τὸν δὲ πεζόν· καὶ τὸν μὲν πεζὸν ἀποσφάξαντες εὐθέως ἔσυραν περὶ ὅλην τὴν πόλιν,
3 ὥσπερ ἐν ἑνὶ σώματι πάντας Ῥωμαίους ἀμυνόμενοι. Ὁ δὲ ἱππεὺς ὠφέλιμόν τι αὐτοῖς πρὸς σωτηρίαν ὑποθήσεσθαι λέγων, ἀνάγεται πρὸς Σίμωνα· παρ' ᾧ μηδὲν εἰπεῖν ἔχων, Ἀρ-
4 δάλᾳ τινὶ τῶν ἡγεμόνων παραδίδοται κολασθησόμενος. Ὁ δὲ αὐτοῦ ὀπίσω τὼ χεῖρε δήσας, καὶ ταινίᾳ τοὺς ὀφθαλμοὺς,
5 ἀντικρὺ τῶν Ῥωμαίων προήγαγεν ὡς καρατομήσων· φθάνει δ' ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγὼν, ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ Ἰουδαῖος. Τοῦτον διαφυγόντα ἐκ τῶν πολε-
6 μίων ἀνελεῖν μὲν οὐχ ὑπέμεινε Τίτος, 'ἀνάξιον δὲ Ῥωμαίων εἶναι στρατιώτην κρίνας, ὅτι ζῶν ἐλήφθη,' τά τε ὅπλα ἀφείλετο, καὶ τοῦ τάγματος ἐξέβαλεν, ἅπερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

44 οἵ τε Ἰζᾶται M. οἵ τε Ἰεζάτου P. οἵ τε υἱοὶ τοῦ βασ. Ἰεζὰν L. πολλοὶ deest L. ἱκέτευον L. 45 δὲ βασιλέως L. εἰς Ῥώμην ὕστερον tr. L. 1 βασιλικὴν οἰκίαν ὁρμήσαντες, εἰς L. 2 εὐθέως ἀποσφάξαντες tr. L. ἔσυρον L. περὶ τὴν πόλιν ὅλην tr. L. ἐπὶ τὴν πόλιν ὅλην P. ὅλην deest T. ὥσπερ ἑνὶ M.T. 3 ὑποθέσθαι λέγων L. 4 τὰς χεῖρας δήσας L.M. καὶ τενίᾳ τοὺς P. 5 διαφυγόντα μὲν ἐκ L.M. ἐκ πολεμίων L. ἀνελεῖν οὐχ L.M.

2. Τῇ δὲ ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς 7
κάτω πόλεως, τὰ μέχρι τοῦ Σιλωὰμ πάντα ἐνέπρησαν· καὶ
τοῦ μὲν ἄστεος ἥδοντο δαπανωμένου, τῶν δὲ ἁρπαγῶν δι-
ημάρτανον, ἐπειδὴ πάνθ' οἱ στασιασταὶ προκενοῦντες ἀνεχώ-
ρουν εἰς τὴν ἄνω πόλιν· ἦν γὰρ αὐτοῖς μετάνοια μὲν οὐδεμία 8
τῶν κακῶν, ἀλαζονεία δὲ ὡς ἐπ' ἀγαθοῖς. Καιομένην γοῦν
ἀφορῶντες τὴν πόλιν, ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν
τελευτὴν προσδέχεσθαι ἔλεγον, πεφονευμένου μὲν τοῦ δήμου,
κεκαυμένου δὲ τοῦ ναοῦ, φλεγομένου δὲ τοῦ ἄστεος, μηδὲν
καταλιπόντες τοῖς πολεμίοις. Οὐ μὴν ὅ γε Ἰώσηπος ἐν 9
ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τῶν λειψάνων τῆς πόλεως
ἔκαμνεν· ἀλλὰ πολλὰ μὲν πρὸς τὴν ὠμότητα καὶ τὴν ἀσέ-
βειαν εἰπὼν, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν οὐδὲν
τοῦ χλευασθῆναι πλέον ἀπηνέγκατο. Ἐπεὶ δὲ οὔτε παρα- 10
δοῦναι διὰ τὸν ὅρκον ἑαυτοὺς ὑπέμενον, οὔτε πολεμεῖν ἐξ ἴσου
Ῥωμαίοις ἔθ' οἷοί τε ἦσαν, ὥσπερ εἱρκτῇ περιειλημμένοι, τό
τε τοῦ φονεύειν ἔθος ἐκίνει τὰς δεξιὰς, σκιδνάμενοι κατὰ τὰ 11
ἔμπροσθεν τῆς πόλεως, τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομο-
λεῖν ὡρμημένους. Ἡλίσκοντο δὲ πολλοὶ, καὶ πάντας ἀπο-
σφάττοντες, ὑπὸ γὰρ ἐνδείας οὐδὲ φυγεῖν ἴσχυον, ἐρρίπτουν
αὐτῶν κυσὶ τοὺς νεκρούς. Ἐδόκει δὲ πᾶς τρόπος ἀπωλείας 12
τοῦ λιμοῦ κουφότερος, ὥστε καὶ Ῥωμαίοις ἀπηλπικότες ἤδη
τὸν ἔλεον ὅμως προσέφευγον, καὶ φονεύουσι τοῖς στασια-
σταῖς ἑκόντες ἐνέπιπτον. Τόπος τε ἐπὶ τῆς πόλεως οὐδεὶς 13
γυμνὸς ἦν, ἀλλὰ ἅπας λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως, καὶ
πεπλήρωτο νεκρῶν ἢ διὰ στάσιν ἢ διὰ λιμὸν ἀπολωλότων.

3. Ἔθαλπε δὲ τούς τε τυράννους, καὶ τὸ σὺν αὐτοῖς λῃ- 14
στρικὸν ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς καταφεύ-

7 τοῦ Σιλωὰ M.P.T. Σιλωὰ ἐνέπρησαν P. ἐπειδὴ πάντοθ' οἱ M. 8 μετάνοια οὐδαμῶς ὡς ἐπ' ἀγαθοῖς M. προσδέχεσθαι τὴν τελευτὴν tr. M. P.T. πεφονευμένου τοῦ L. καταλείποντες P. Hic incipit recentior scriptura et ad usque C. 8. §. 22. ad voc. τῆς ἀνάγκης continuatur T. 10 ὑπέμεναν M. τὸ δὲ τοῦ φον. L. 11 σκιδνάμενοι δὲ κατὰ L. καὶ πάντες ἀποσ. L. ἐνδείας οὔτε φεύγειν L. ἐρρίπτουν δὲ αὐτῶν L. 13 πᾶς λιμοῦ L.P. ἅπας ἢ λιμοῦ E. 14 ἐσχάτη ἡ περὶ

γοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι. Μετὰ δὲ τὴν παντελῆ τῆς πόλεως ἅλωσιν, ἀναζευξάντων τῶν Ῥωμαίων προ-
15 ελθόντες, ἀποδράσεσθαι ἐπεχείρουν. Τὸ δ' ἦν ἄρα ὄνειρος αὐτοῖς· οὔτε γὰρ τὸν θεὸν, οὔτε Ῥωμαίους λήσειν ἔμελλον. Τηνικαῦτά γε μὴν τοῖς ὑπογείοις πεποιθότες, αὐτοὶ πλείονα
16 τῶν Ῥωμαίων ἐνεπιμπράσαν. Καὶ τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς διώρυχας ἔκτεινόν τε ἀνέδην καὶ ἐσύλων· καὶ ἂν εἴ τινος εὕροιεν προφὴν, ἁρπάζοντες αἵματι πε-
17 φυρμένην κατέπινον. Ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς. Δοκοῦσι δ' ἄν μοι, μὴ φθασθέντες ὑπὸ τῆς ἁλώσεως, δι' ὑπερβολὴν ὠμότητος γεύσασθαι καὶ τῶν νεκρῶν.

CAP. VIII.

1 1. Καῖσαρ δὲ ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα χωμάτων τὴν ἄνω πόλιν περίκρημνον οὖσαν, διανέμει τοῖς ἔργοις τὴν δύνα-
2 μιν Λώου μηνὸς εἰκάδι. Χαλεπὴ δ' ἦν τῆς ὕλης ἡ κομιδὴ, πάντων, ὡς ἔφην, τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν στάδίους ἐψιλωμένων εἰς τὰ πρότερον χώματα. Τῶν μὲν οὖν τεσσάρων ταγμάτων ἠγείρετο τὰ ἔργα κατὰ τὸ πρὸς δύσιν κλίμα
3 τῆς πόλεως, ἄντικρυς τῆς βασιλικῆς αὐλῆς· τὸ δὲ συμμαχικὸν πλῆθος, καὶ ὁ λοιπὸς ὄχλος, κατὰ τὸν ξυστὸν, καὶ τὴν γέφυραν, καὶ τὸν Σίμωνος πύργον, ὃν ᾠκοδόμησε πρὸς Ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον.

4 2. Κατὰ ταύτας τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγεμόνες, κρύφα συνελθόντες, ἐβουλεύσαντο περὶ παραδόσεως σφῶν αὐτῶν, καὶ πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον, ἱκέτευον
5 δοῦναι δεξιὰν αὐτοῖς. Ὁ δὲ καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας, ἀποσπασθέντων τῶν Ἰδουμαίων, οἳ πολὺ τοῦ πολέ-

ἀναζ. Ῥωμαίων M.P.T. προσελθόντες M.T. ἀποδράσασθαι M. 15 ὑπεπίμπρασαν L. 16 τοὺς διώρυχας M. τὰς διώρυγας L. ἀναίδην καὶ L.E. 17 Δοκοῦσίν τε ἂν L.P. μὴ φθαρέντες ὑπὸ L.M. μὴ φθαρθέντες ὑπὸ P. μὴ φθαρέντας ὑπὸ T. 1 πόλιν περίκνημον T. 2 τὰ πρότερα χώματα M.T. τῆς πόλεως κλίμα tr. L. 3 ξυστὸν ἐξ οὗ καὶ τὴν L.P.E. 4 ἐβουλεύσατο M. ἱκετεύων P. 5 ἀποσπασθέντων Ἰδουμαίων M.P.T. οἱ πολλοὶ τοῦ T.

μου μέρος ἦσαν, βραδέως μὲν, ἀλλ' οὖν κατανεύει τε τὴν σωτηρίαν αὐτοῖς, καὶ τοὺς ἄνδρας ἀνέπεμψε. Παρασκευαζομένων δ' ἀποχωρεῖν αἰσθάνεται Σίμων, καὶ πέντε μὲν τοὺς ἀπελθόντας πρὸς Τίτον εὐθέως ἀναιρεῖ· τοὺς δὲ ἡγεμόνας, ὧν ἐπισημότατος ἦν ὁ τοῦ Σωσᾶ Ἰάκωβος, συλλαβὼν εἴρ-γνυσι· τὸ δὲ πλῆθος τῶν Ἰδουμαίων, ἀμηχανοῦν διὰ τὴν ἀφαίρεσιν τῶν ἡγεμόνων, οὐκ ἀφύλακτον εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανεν. Οὐ μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς τὰς αὐτομολίας ἴσχυον, ἀλλὰ καίτοι πλείστων φονευομένων, πολὺ πλείους οἱ διαφεύγοντες ἦσαν. Ἐδέχοντο δὲ Ῥωμαῖοι πάντας, τοῦ τε Τίτου διὰ πραότητα τῶν προτέρων ἀμελήσαντος παραγγελμάτων, καὶ αὐτοὶ κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι, καὶ κέρδους ἐλπίδι· τοὺς γὰρ δημοτικοὺς καταλιπόντες μόνους, τὸν ἄλλον ὄχλον ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον, πλήθει τε τῶν πιπρασκομένων, καὶ ὀλιγότητι τῶν ὠνουμένων. Καίπερ δὲ προκηρύξας μηδένα μόνον αὐτομολεῖν, ὅπως καὶ τὰς γενεὰς ἐξαγάγοιεν, ὅμως καὶ τούτους ἐδέχετο. Ἐπέστησε μέντοι τοὺς διακρινοῦντας ἀπ' αὐτῶν, εἴ τις εἴη κολάσεως ἄξιος. Καὶ τῶν μὲν ἀπεμποληθέντων ἄπειρον τὸ πλῆθος ἦν· οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς διαφῆκε Καῖσαρ, ᾗ φίλον ἦν ἑκάστῳ.

3. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ τῶν ἱερέων τις Θεβουθὶ παῖς, Ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ Καίσαρος, ἐφ' ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ λυχνίας δύο ταῖς κατὰ τὸν ναὸν κειμέναις παραπλησίας, τραπέζας τε καὶ κρατῆρας

βραδ. μὲν ἦκον, ἀλλ' οὖν P. ἐνέπεμψε M.T. [8 πρὸς τοὺς αὐτομολητὰς ἴσχ. L. 9 τοῦ δὲ Τίτου M.T. καὶ αὐτοὶ κόρον L. καὶ αὐτῶν κόρῳ M.T. 10 τοὺς δ' ἂν δημοτ. M. τοὺς δ' ἂρ δημ. T. 11 ὅπως καὶ γενεὰς M.P.T.E. διακρίνοντας L. 12 ἀπεμπωληθέντων P. τὸ πλῆθος desunt P. ὑπερτετρακισμυρίοις M. 13 Θεβουτεὶ M.T. Θεβουθεὶ P. ὄνομα Ἰησοῦς tr. L. περὶ σωτηρίας. In his verbis finit Lib. 6. P. 14 λυχ. δύο τῶν κ. τ. ν. κειμένων L. λυχ. τῶν κ. τ. ν. κειμένων M.T.

15 καὶ φιάλας, πάνθ' ὁλόχρυσα καὶ στιβαρώτατα. Παραδί-
δωσι δὲ καὶ τὰ καταπετάσματα, καὶ τὰ ἐνδύματα τῶν ἀρ-
χιερέων σὺν τοῖς λίθοις, καὶ πολλὰ τῶν πρὸς τὰς ἱερουργίας
16 σκευῶν ἄλλα. Συλληφθεὶς δὲ καὶ ὁ γαζοφύλαξ τοῦ ἱεροῦ
Φινέας ὄνομα, τούς τε χιτῶνας καὶ τὰς ζώνας ἐπέδειξε τῶν
17 ἱερέων, πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ πρὸς τὰς χρείας
ἀπέκειτο τοῦ καταπετάσματος, σὺν οἷς κιννάμωμόν τε πολὺ
καὶ κασσίαν, καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες
18 ἐθυμίων ὁσημέραι τῷ θεῷ. Παρεδόθη δὲ ὑπ' αὐτοῦ πολλὰ
καὶ τῶν ἄλλων κειμηλίων, κόσμος τε ἱερὸς οὐκ ὀλίγος, ἅπερ
αὐτῷ βίᾳ ληφθέντι τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.
19 4. Συντετελεσμένων δὲ ἤδη καὶ τῶν χωμάτων ἑβδόμῃ
Γορπιαίου μηνὸς ἐν ὀκτωκαίδεκα ἡμέραις, Ῥωμαῖοι μὲν
προσῆγον τὰς μηχανάς. Τῶν δὲ στασιαστῶν οἱ μὲν ἀπε-
γνωκότες ἤδη τὴν πόλιν, ἀνεχώρουν τοῦ τείχους εἰς τὴν
20 Ἄκραν, οἱ δ' ἐγκατεδύοντο τοῖς ὑπονόμοις, πολλοὶ δὲ δια-
στάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἐλεπόλεις. Ἐκρά-
τουν δὲ καὶ τούτων Ῥωμαῖοι, πλήθει τε καὶ βίᾳ, καὶ τὸ μέ-
21 γιστον, εὐθυμοῦντες ἀθύμων ἤδη καὶ παρειμένων. Ὡς δὲ
περιερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων
τυπτόμενοι τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν
22 ἀμυνομένων, δέος δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρότερον
τῆς ἀνάγκης· πρὶν γὰρ ὑπερβῆναι τοὺς πολεμίους, ἐνάρκων
23 τε καὶ μετέωροι πρὸς φυγὴν ἦσαν. Ἦν δ' ἰδεῖν τοὺς πάλαι
σοβαροὺς καὶ τοῖς ἀσεβήμασιν ἀλαζόνας τότε ταπεινοὺς καὶ
τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίπερ ἐν πονηροτάτοις τὴν
24 μεταβολήν. Ὥρμησαν μὲν οὖν ἐπὶ τὸ περιτείχισμα δρα-
μόντες, ὥσασθαί τε τοὺς φρουροὺς, καὶ διακόψαντες ἐξελ-
θεῖν. Ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς ἑώρων οὐδαμοῦ — διέ-

ὁλόχρυσα καὶ Post hac voces deest membrana L. 15 πολλὰ τῶν τῶν πρὸς M. 16 δὲ ὁ γαζοφύλαξ M.T. 17 ἃ πρὸς χρείας E. κι-
νάμω. τε π. κ. κασίων M.T. 22 τῆς ἀνάγκης Hic denuo incipit ve-
tus scriptura Γ. 23 Ἦν δὲ ἰδεῖν M. 24 ὥσασθαι τοὺς M.

φυγον γὰρ ὅπη τινὶ συνεβούλευσεν ἡ ἀνάγκη — προσθέοντες 25
δὲ οἱ μὲν ὅλον ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελ-
λον, οἱ δ' ἐμβεβληκέναι τοὺς Ῥωμαίους, οἱ δ' ἤδη τε πλησίον
εἶναι ζητοῦντας αὐτούς, ἕτεροι δὲ καὶ ἀφορᾶν ἐπὶ τῶν πύρ- 26
γων πολεμίους ἔλεγον πλάζοντος τὰς ὄψεις τοῦ δέους, ἐπὶ
στόμα πεσόντες ἀνῴμωξαν τὴν ἑαυτῶν φρενοβλάβειαν, καὶ
καθάπερ ὑποκεκομμένοι τὰ νεῦρα τῆς φυγῆς ἠπόρουν. Ἔνθα 27
δὴ μάλιστ' ἄν τις καταμάθοι τήν τε τοῦ θεοῦ δύναμιν ἐπὶ
τοῖς ἀνοσίοις, καὶ τὴν Ῥωμαίων τύχην· οἱ μὲν γὰρ τύραννοι
τῆς ἀσφαλείας ἐγύμνωσαν ἑαυτοὺς, καὶ ἐκ τῶν πύργων κατέ-
βησαν ἑκόντες, ἐφ' ὧν βίᾳ μὲν οὐδέποτ' ἀλῶναι μόνῳ δ' ἐδύ- 28
ναντο λιμῷ. Ῥωμαῖοι δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις
τείχεσι καμόντες παρέλαβον τύχῃ τὰ μὴ δυνατὰ τοῖς ὀργά-
νοις· παντὸς γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς 29
πύργοι, περὶ ὧν ἀνωτέρω δεδηλώκαμεν.

5. Καταλιπόντες δὴ τούτους, μᾶλλον δὲ ὑπὸ τοῦ θεοῦ 30
καταβληθέντες ἀπ' αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν ὑπὸ Σι-
λωὰμ φάραγγα καταφεύγουσιν. Αὖθις δὲ ὀλίγον ἀνακύ-
ψαντες ἐκ τοῦ δέους, ὥρμησαν ἐπὶ τὸ τῇδε περιτείχισμα.
Χρησάμενοι δὲ ταῖς τόλμαις ἀγεννεστέραις τῆς ἀνάγκης — 31
κατεάγησαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμφο-
ραῖς — ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται, καὶ σκεδασθέντες ὑπ'
ἀλλήλων κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ τῶν 32
τειχῶν κρατήσαντες, τάς τε σημαίας ἔστησαν ἐπὶ τῶν πύρ-
γων, καὶ μετὰ κρότου καὶ χαρᾶς ἐπαιάνιζον ἐπὶ τῇ νίκῃ, πολὺ
τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος εὑρηκότες. Ἀναι-
μωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες ἠπίστουν, καὶ μη- 33

συνεβούλευεν T. ἀνάγκη, προσελθόντες δὲ M. ἀνάγ. προθέοντες δὲ E. 26 ἕτεροι δ' ἀφορᾶν M.E. πλάζοντος τὰς ψυχὰς τοῦ M. ἀνώμωζον T. ἀνοίμωζον M. 27 ἑκόντες ἀφ' ὧν M. 28 τοσαύταις περὶ M. τείχεσι deest M. et T. sed in huj. marg. adscrip. est. τὰ μὴ δυνάμενα τοῖς In his vocibus incipit denuo L. 29 γὰρ ἰσχυροὶ μηχ. L. 30 καταβλ. ὑπ' αὐτῶν L. ὑπὸ τῆς Σιλωὰμ L. ὑπὸ Σιλωὰ M.T. 31 τὴν ἰσχὺν ἤδη tr. L. 32 ἀρχῆς τὸ τέλος κουφότερον εὑρηκότες L. 33 ἠπίστουν καὶ ἠπόρηντο. M.

δένα βλέποντες ἀντίπαλον, ἀήθως ἠπόρηντο. Εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις, τούς τε καταλαμβανομένους ἐφόνευον ἀνέδην, καὶ τῶν συμφευγόντων τὰς οἰκίας αὐτάνδρους
34 ὑπεπίμπρασαν. Πολλὰ δὲ κεραΐζοντες, ὁπόθ' ἔνδον παρέλθοιεν ἐφ' ἁρπαγὴν, γενεὰς ὅλας νεκρῶν κατελάμβανον, καὶ
35 τὰ δωμάτια πλήρη τῶν τοῦ λιμοῦ πτωμάτων. Ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες, κεναῖς χερσὶν ἐξήεσαν. Οὐ μὴν οἰκτείροντες τοὺς οὕτως ἀπολωλότας ταυτὸ καὶ πρὸς τοὺς ζῶντας
36 ἔπασχον· ἀλλὰ τὸν ἐντυχόντα διελαύνοντες, ἀπέφραξαν μὲν τοὺς στενωποὺς νεκροῖς, αἵματι δὲ ὅλην τὴν πόλιν κατέκλυ-
37 σαν, ὡς πολλὰ τῶν φλεγομένων σβεσθῆναι τῷ φόνῳ. Καὶ οἱ μὲν κτείνοντες ἐπαύσαντο πρὸς ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ τὸ πῦρ ἐπεκράτει. Φλεγομένοις δ' ἐπανέτειλεν Ἱεροσολύμοις ἡμέρα Γορπιαίου μηνὸς ὀγδόη, πόλει τοσαύταις χρησαμένῃ
38 συμφοραῖς κατὰ τὴν πολιορκίαν, ὅσοις ἀπὸ τῆς κτίσεως ἀγαθοῖς κεχρημένη πάντως ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξία κατ' ἄλλο τι τῶν τηλικούτων ἀτυχημάτων, ἢ τὸ γενεὰν τοιαύτην ἐνεγκεῖν, ὑφ' ἧς ἀνετράπη.

CAP. IX.

1 1. Παρελθὼν δὲ Τίτος εἴσω τά τε ἄλλα τῆς ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ τύραννοι
2 κατὰ φρενοβλάβειαν ἀπέλιπον. Κατιδὼν γοῦν τό τε ναστὸν αὐτῶν ὕψος, καὶ τὸ μέγεθος ἑκάστης πέτρας, τήν τε ἀκρίβειαν τῆς ἁρμονίας, καὶ ὅσοι μὲν εὖρος, ἡλίκοι δὲ ἦσαν τὴν
3 ἀνάτασιν, "Σὺν θεῷ γ' ἐπολεμήσαμεν," ἔφη, "καὶ θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων Ἰουδαίους καθελὼν, ἐπεὶ χεῖρές τε ἀνθρώπων ἢ μηχαναὶ τί πρὸς τούτους τοὺς πύργους δύνανται;"
4 Τότε μὲν οὖν πολλὰ τοιαῦτα διελέχθη πρὸς τοὺς φίλους· τοὺς δὲ τῶν τυράννων δεσμώτας, οἳ κατελήφθησαν ἐν τοῖς

ἐφόνευον ἀναίδην L. 36 στενωποὺς νεκρῶν, αἵματι L. 37 μηνὸς Ζ πόλει τοσαύτῃ L. 38 πάντως ἐπίφθονος L. τῶν τοιούτων ἀτυχημάτων M. 1 καὶ τῶν πύργων desunt M. καταφρενοβλαβίαν L. 3 αὐτῶν τὸ ὕψος M. τὴν ἀνάστασιν L.M. 4 πολλὰ deest L. ἐπὶ τοῖς φρουρ. M.

φρουρίοις, ἀνῆκεν. Αὖθις δὲ τὴν ἄλλην ἀφανίζων πόλιν, 5
καὶ τὰ τείχη κατασκάπτων, τούτους τοὺς πύργους κατέλιπε
μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ᾗ συστρατιώτιδι χρησάμενος
ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων.

2. Ἐπεὶ δὲ οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, 6
πολὺ δ' ἔτι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει Καῖ-
σαρ, μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντισχόντας κτεί-
νειν, τὸ δὲ λοιπὸν πλῆθος ζωγρεῖν. Οἱ δὲ μετὰ τῶν παρηγ- 7
γελμένων τό τε γηραιὸν καὶ τοὺς ἀσθενεῖς ἀνῄρουν· τὸ δὲ
ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες, ἐγκατέκλει-
σαν τῷ τῶν γυναικῶν περιτειχίσματι· καὶ φρουρὸν μὲν ἐπέ- 8
στησε Καῖσαρ ἕνα τῶν ἀπελευθέρων, Φρόντωνα δὲ τῶν φί-
λων ἐπικρινοῦντα τὴν ἀξίαν ἑκάστῳ τύχην. Ὁ δὲ τοὺς μὲν 9
στασιώδεις καὶ λῃστρικοὺς πάντας, ὑπ' ἀλλήλων ἐνδεικνυμέ-
νους, ἀπέκτεινε· τῶν δὲ νέων τοὺς ὑψηλοτάτους καὶ καλοὺς
ἐπιλέξας ἐτήρει τῷ θριάμβῳ. Τοῦ δὲ λοιποῦ πλήθους τοὺς 10
ὑπὲρ ἑπτακαίδεκα ἔτη δήσας ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον
ἔργα, πλείστους δ' εἰς τὰς ἐπαρχίας διεδωρήσατο Τίτος,
φθαρησομένους ἐν τοῖς θεάτροις σιδήρῳ καὶ θηρίοις. Οἱ δὲ 11
ἐντὸς ἑπτακαίδεκα ἐτῶν ἐπράθησαν. Ἐφθάρησαν δὲ αὐτῶν
ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις ὑπ' ἐνδείας χίλιοι πρὸς
τοῖς μυρίοις, οἱ μὲν ὑπὸ μίσους τῶν φυλάκων μὴ μεταλαμ-
βάνοντες τροφῆς, οἱ δὲ οὐ προσιέμενοι διδομένην· πρὸς δὲ τὸ
πλῆθος ἦν ἔνδεια καὶ σίτου.

3. Τῶν μὲν οὖν αἰχμαλώτων πάντων, ὅσα καθ' ὅλον ἐλή- 12
φθη τὸν πόλεμον, ἀριθμὸς ἐννέα μυριάδες καὶ ἑπτακισχίλιοι
συνήχθη· τῶν δ' ἀπολομένων κατὰ πᾶσαν τὴν πολιορκίαν
μυριάδες ἑκατὸν καὶ δέκα. Τούτων τὸ πλέον ὁμόφυλον μέν, 13
ἀλλ' οὐκ ἐπιχώριον· ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν
Ἀζύμων ἑορτὴν συνεληλυθότες, ἐξαπίνης τῷ πολέμῳ περιε-

6 πολὺ δέ τι πλῆ. M.T.E. περιόντων ἐφαίνετο L. μόνους τοὺς M. χεῖρας ἀνίσχοντας M. 7 τῶν γυναικείων T. 9 πάντας deest L. 11 ἐτῶν ἐπράχθησαν. L. φυλάκων μήτε μεταλ. L. προσιέμενοι δεδομημένην L.M. ἔνδεια σίτου. M. 12 τῶν δ' ἀπολλυμένων L. τῶν δ' ἀπολουμένων E.

σχέθησαν, ὥστε τὸ μὲν πρῶτον αὐτοῖς τὴν στενοχωρίαν
14 γενέσθαι λοιμώδη φθοράν, αὖθις δὲ καὶ λιμὸν ὠκύτερον. Ὅτι
δ' ἐχώρει τοσούτους ἡ πόλις, δῆλον ἐκ τῶν ἐπὶ Κεστίου συν-
αριθμηθέντων, ὃς, τὴν ἀκμὴν τῆς πόλεως διαδηλῶσαι Νέρωνι
βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους, παρεκάλεσε τοὺς ἀρ-
15 χιερεῖς, εἴ πως δυνατὸν εἴη τὴν πληθὺν ἐξαριθμήσασθαι· οἱ δὲ
ἐνστάσης ἑορτῆς — Πάσχα καλεῖται — καθ' ἣν θύουσι μὲν ἀπὸ
ἐννάτης ὥρας μέχρις ἑνδεκάτης, ὥσπερ δὲ φρατρία περὶ ἑκά-
στην γίνεται θυσίαν οὐκ ἔλασσον ἀνδρῶν δέκα, μόνον γὰρ
οὐκ ἔξεστι δαίνυσθαι, πολλοὶ δὲ καὶ σὺν εἴκοσιν ἀθροίζονται·
16 τῶν μὲν οὖν θυμάτων εἴκοσι πέντε μυριάδας ἠρίθμησαν, πρὸς
δὲ ἑξακισχίλια καὶ πεντακόσια. Γίνονται δ' ἀνδρῶν, ἵν' ἑκά-
στου δέκα δαιτυμόνας θῶμεν, μυριάδες ἑβδομήκοντα καὶ δια-
17 κόσιαι, καθαρῶν ἁπάντων καὶ ἁγίων· οὔτε γὰρ λεπροῖς, οὔτε
γονορροίοις, οὔτε γυναιξὶν ἐπεμμήνοις, οὔτε τοῖς ἄλλως με-
μιασμένοις ἐξῆν τῆσδε τῆς θυσίας μεταλαμβάνειν· ἀλλ' οὐδὲ
τοῖς ἀλλοφύλοις, ὅσοι κατὰ θρησκείαν παρῆσαν.
18 4. Πολὺ δὲ τοῦτο πλῆθος ἔξωθεν συλλέγεται· τότε γε
μὴν ὥσπερ εἰς εἱρκτὴν ὑπὸ τῆς εἱμαρμένης πᾶν συνεκλείσθη
τὸ ἔθνος, καὶ ναστὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκυκλώ-
19 σατο. Πᾶσαν γοῦν ἀνθρωπίνην καὶ δαιμόνιον φθορὰν ὑπερ-
βάλλει τὸ πλῆθος τῶν ἀπολωλότων. Ἐπὶ γοῦν τῶν φανε-
ρῶν οὓς μὲν ἀνεῖλον, οὓς δ' ᾐχμαλωτίσαντο Ῥωμαῖοι, οὓς δ'
ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ τὸ ἔδαφος ἀναρρηγνύντες
20 ὅσοις μὲν ἐνετύγχανον ἔκτεινον. Εὑρέθησαν δὲ καὶ ἐκεῖ
νεκροὶ πλείους δισχιλίων, οἱ μὲν ὑπὸ σφῶν αὐτῶν, οἱ δ' ὑπ'
21 ἀλλήλων, τὸ πλέον δ' ὑπὸ τοῦ λιμοῦ διεφθαρμένοι. Δεινὴ
δὲ ὑπήντα τοῖς ἐπεισπίπτουσιν ὀδμὴ τῶν σωμάτων, ὡς πολ-

14 τῶν ὑπὸ Κεστίου M. 15 ἑορτῆς ἡ Πάσχα L. φατρία M.T. θυσία οὐκ T. 16 τῶν μὲν θυμάτων M.T. πρὸς δὲ πεντακισχίλια ἑξακόσια γίνονται ἀνδρῶν· ἵν' M.T. ἑκάστου δαιτυμόνας L. 17 οὔτε γονορροίοις desunt L. τοῖς ἄλλοις μεμ. L.M. τοῖς ἀλλοτρίοις οἱ κατὰ L. 18 τούτων πλῆθος L. 19 πᾶσαν οὖν ἀνθ. L. δαιμονίαν ex cor. T. φθορὰν ὑποβάλλει τὸ M. τοὺς ἐν τοῖς ὑπον. L. ἀνηρεύνων, τὸ T. ἔκτειναν L. 20 τὸ πλέον, οἱ δ' ὑπὸ L. 21 τοῖς ὑποσκήπτουσιν ὀδμὴ L.

λοὺς μὲν ἀναχωρεῖν εὐθέως, τοὺς δὲ ὑπὸ πλεονεξίας εἰσδύεσθαι, νεκροὺς σεσωρευμένους ἐμπατοῦντας· πολλὰ γὰρ τῶν 22
κειμηλίων ἐν ταῖς διώρυξιν εὑρίσκετο, καὶ πᾶσαν θεμιτὴν τὴν ὁδὸν ἐποίει τὸ κέρδος. Ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ τῶν τυράννων· οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐπαύσαντο τῆς ὠμότητος. Ἀπετίσατό γε μὴν ὁ θεὸς ἀμφοτέρους ἀξίως· καὶ Ἰωάννης 23
μὲν, λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπονόμοις, ἣν πολλάκις ὑπερηφάνησε δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἱκέτευσε· Σίμων δὲ, πολλὰ διαμαχήσας πρὸς τὴν ἀνάγκην, ὡς 24
διὰ τῶν ἑξῆς δηλώσομεν, ἑαυτὸν παραδίδωσιν. Ἐφυλάχθη δὲ ὁ μὲν τῷ θριάμβῳ σφάγιον, ὁ δὲ Ἰωάννης δεσμοῖς αἰωνίοις. Ῥωμαῖοι δὲ τάς τε ἐσχατιὰς τοῦ ἄστεος ἐνέπρησαν, καὶ τὰ τείχη κατέσκαψαν.

CAP. X.

1. Ἑάλω μὲν οὕτως Ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς Οὐε- 1
σπασιανοῦ ἡγεμονίας, Γορπιαίου μηνὸς ὀγδόῃ. Ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος 2
μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεὺς, καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήϊος, καὶ ἐπὶ τούτοις σὺν Ἡρῴδῃ Σόσσιος ἑλόντες ἐτήρησαν τὴν πόλιν. Πρὸ δὲ τούτων ὁ τῶν 3
Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτὴν μετὰ ἔτη τῆς κτίσεως χίλια τετρακόσια ἑξήκοντα ὀκτὼ καὶ μῆνας ἕξ. Ὁ δὲ πρῶτος κτίσας ἦν Χαναναίων δυνάστης, ὁ τῇ πατρίῳ 4
γλώσσῃ κληθεὶς βασιλεὺς δίκαιος· ἦν γὰρ δὴ τοιοῦτος. Διὰ τοῦτο ἱεράσατό τε τῷ θεῷ πρῶτος, καὶ τὸ ἱερὸν πρῶτος δειμάμενος, Ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσε, Σόλυμα καλουμένην πρότερον. Τὸν μὲν δὴ τῶν Χαναναίων λαὸν ἐκ- 5

πολλοὺς ἀναχωρεῖν L σεσωρευμένους νεκροὺς tr. L. 22 εὑρίσκεται M. ἀνήγονται M. πολλοὶ δεσμῶται tr. L. ἐπαύσατο M. 23 ἦν, καὶ πολλάκις ὑπερηφανήσας M. ἦν πολλάκις ὑπερηφάνης L. παρὰ Ῥωμ. δεξιὰν M.T. ἱκέτευε E. 24 διαμαχήσας πολλὰ tr. L. τὰς ἐσχατίας L. 1 οὕτως τὰ Ἱεροσ. L. 2 Ἀσωχαῖος γὰρ T. ὁ Πομπήιος T. Πομπήιος, ἐπὶ E. 3 ὀκτὼ μῆνας ἕξ. T.E. 4 γὰρ τοιοῦτος L. ἱερὸν δειμάμενος M.T.

βαλὼν ὁ τῶν Ἰουδαίων βασιλεὺς Δαβίδης κατοικίζει τὸν ἴδιον· καὶ μετ' αὐτὸν ἔτεσι τετρακοσίοις ἑβδομήκοντα ἑπτὰ, 6 μησὶν ἓξ, ὑπὸ Βαβυλωνίων κατασκάπτεται. Ἀπὸ δὲ Δαβίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν Ἰουδαῖος, μέχρι τῆς ὑπὸ Τίτου γενομένης κατασκαφῆς, ἔτη χίλια καὶ 7 ἑκατὸν ἑβδομήκοντα ἐννέα. Ἀπὸ δὲ τῆς πρώτης κτίσεως ἔτη μέχρι τῆς ἐσχάτης ἁλώσεως δισχίλια ἑκατὸν ἑβδομή- 8 κοντα καὶ ἑπτά. Ἀλλὰ γὰρ οὔθ' ἡ ἀρχαιότης, οὔθ' ὁ βαθὺς πλοῦτος, οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης ἔθνος, οὔθ' ἡ μεγάλη δόξα τῆς θρησκείας ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῇ. Τοιοῦτον μὲν δὴ τὸ τέλος τῆς Ἱεροσολύμων πολιορκίας.

5 Δαυΐδ L.M.T. et sic infra. μετὰ τοῦτον ἔτεσι M.T. ἑβδομήκοντα ἑπτὰ L. 6 Τίτου γεγενημένης L. χίλια ἑκατὸν L. 7 ἑβδομήκοντα ἑπτά. L. 8 ὁ πλοῦτος ὁ βαθὺς T. ἤρκεσε πρὸς M.T.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Ζ.

ARGUMENTUM LIB. VII.

1. Ὡς κατεσκάφη πᾶσα ἡ πόλις Ἱεροσολύμων, πλὴν τριῶν πύργων. 2. Ὡς Τίτος ἐν Καισαρείᾳ Φιλίππου παντοίας θεωρίας ἐπιτελεῖ. Περὶ Σίμωνος τοῦ τυράννου. 3. Ὅπως Τίτος τὴν γενέθλιον ἡμέραν τοῦ ἀδελφοῦ καὶ πατρὸς ἄγων πολλοὺς τῶν Ἰουδαίων ἀνάλωσεν. 4. Ὅπως Οὐεσπασιανὸν ἐδέξατο ἡ Ῥώμη. 5. Περὶ τοῦ ποταμοῦ Σαββατικοῦ, καὶ ὅπως Ἀντιοχεῖς κατὰ Ἰουδαίων προσελθόντες Τίτῳ παρηκούσθησαν. 6. Περὶ Μαχαιροῦντος· καὶ ὡς τὸ φρούριον ἄλλους τε τόπους αἱρεῖ Λουκίλιος Βάσσος. 7. Περὶ συμφορᾶς Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως· περί τε τῶν Ἀλανῶν. 8. Περὶ Μασάδας· καὶ ὡς Σίλβας εἰς τὴν φρουρίου πολιορκίαν ἐτράπετο. 9. Ὅπως οἱ κατὰ τὸ φρούριον, πλὴν δύο γυναικῶν καὶ παιδίων πέντε, πάντες ἑαυτοὺς ἀπέσφαξαν. 10. Ὅπως καὶ κατὰ τὴν Ἀλεξάνδρειαν τῶν σικαρίων συμφυγόντων πολλοὶ μὲν ἐκινδύνευσαν. 11. Περὶ Ἰωνάθου σικαρίων ἑνὸς ἐν Κυρήνῃ.

CAP. I.

1. Ἐπεὶ δὲ οὔτε φονεύειν οὔτε διαρπάζειν εἶχεν ἡ στρα- 1
τιὰ, πάντων τοῖς θυμοῖς ἐπιλιπόντων, — οὐ γὰρ δή γε φει-
δοῖ τινὸς ἔμελλον ἀφέξεσθαι δρᾶν ἔχοντες — κελεύει Καῖσαρ 2
ἤδη τήν τε πόλιν ἅπασαν καὶ τὸν νεὼν κατασκάπτειν, πύρ-
γους μὲν, ὅσοι τῶν ἄλλων ὑπερανειστήκεσαν, καταλιπόντας,
Φασάηλον, Ἱππικὸν, Μαριάμμην, τεῖχος δὲ ὅσον ἦν ἐξ ἑσπέ-

[1] ἐπιλειπόντων L. ἀφέξασθαι L.M.E. [2] ὑπερανεστήκεσαν L.M.E. καταλιπόντες L. τείχους δ' ὅσον L.

3 ρας τὴν πόλιν περιέχον· τοῦτο μὲν, ὅπως εἴη τοῖς ὑπολειφθησομένοις φρουροῖς στρατόπεδον, τοὺς πύργους δὲ, ἵνα τοῖς ἔπειτα σημαίνωσιν, οἵας πόλεως, καὶ τίνα τρόπον ὀχυ-
4 ρᾶς, ἐκράτησεν ἡ Ῥωμαίων ἀνδραγαθία. Τὸν δ' ἄλλον ἅπαντα τῆς πόλεως περίβολον οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες, ὡς μηδὲ πώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρα-
5 σχεῖν τοῖς προσελθοῦσι. Τοῦτο μὲν οὖν τέλος ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας Ἱεροσολύμοις ἐγένετο, λαμπρᾷ τε πόλει καὶ παρὰ πᾶσιν ἀνθρώποις διαβοηθείσῃ.

6 2. Καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν ταγμάτων τὸ δέκατον, καί τινας ἴλας ἱππέων καὶ λόχους πε-
7 ζῶν· πάντα δὲ ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς, ἐπαινέσαι τε σύμπασαν ἐπόθει τὴν στρατιὰν ἐπὶ τοῖς κατωρθωμένοις, καὶ
8 τὰ προσήκοντα γέρα τοῖς ἀριστεύσασιν ἀποδοῦναι. Ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέσην τὴν πρότερον παρεμβολὴν βήματος, καταστὰς ἐπὶ τούτῳ μετὰ τῶν ἡγεμονικωτάτων, εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ ἔλεγε, ' χάριν μὲν πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ἣ χρώμενοι διατε-
9 λοῦσιν. Ἐπῄνει δὲ τῆς ἐν παντὶ πολέμῳ πειθαρχίας, ἣν ἐν πολλοῖς καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ μὲν πατρίδι καὶ δι' αὐτῶν τὸ κράτος αὔξοντες,
10 φανερὸν δὲ πᾶσιν ἀνθρώποις καθιστάντες, ὅτι μήτε πλῆθος πολεμίων, μήτε χωρίων ὀχυρότητες, ἢ μεγέθη πόλεων, ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι τόλμαι, καὶ θηριώδεις ἀγριότητες,
11 δύναιντ' ἄν ποτε τὴν Ῥωμαίων ἀρετὴν διαφυγεῖν, καὶ ἐὰν εἰς
12 πολλά τινες τὴν τύχην εὕρωνται συναγωνιζομένην. Καλὸν μὲν οὖν, ἔφη, καὶ τῷ πολέμῳ τέλος αὐτοὺς ἐπιθεῖναι, πολλῷ χρόνῳ γενομένῳ· μηδὲ γὰρ εὔξασθαί τι τούτων ἄμεινον, ὅτ'

3 φρουρεῖν στρατόπεδον L. ἵνα τοὺς μητέπειτα L. τρόπον ἐχυρᾶς T. οὕτως, ἐκράτησεν M.T.E. 4 ὡς μηδέποτε M. 6 τινας εἴλας L. ἐπόθει στρατιὰν E. 7 γέρρα τοῖς L. 8 κατὰ μέσον τὴν L. ἐπὶ τοῦτο μετὰ L. τῶν ἡγεμόνων εἰς M.T. ἐπήκοον ἵν' ἁπάσῃ M. μὲν ἔφη πολλὴν L. 9 κατὰ τὰς μάχας ἀνδρείᾳ L. κράτος ἄξοντες M. 10 ἀλόγιστοι ὁρμαὶ καὶ M.T. 11 δύναιτ' ἂν T. κἂν πολλὰ τινὲς L. εὕρηνται συναγωνισαμένην L. 12 πολλῷ γε χρόνῳ L.

εἰς αὐτὸν καθίσταντο. Τούτου δὲ κάλλιον αὐτοῖς, καὶ λαμ- 13
πρότερον ὑπάρχειν, ὅτι τοὺς ἡγησομένους καὶ τῆς Ῥωμαίων
ἀρχῆς ἐπιτροπεύσοντας, αὐτῶν χειροτονησάντων εἵς τε τὴν 14
πατρίδα προπεμψάντων, ἄσμενοι πάντες προσίενται, καὶ τοῖς
ὑπ' αὐτῶν ἐγνωσμένοις ἐμμένουσι, χάριν ἔχοντες τοῖς ἑλομέ-
νοις. 'Θαυμάζειν μὲν οὖν, ἔφη, πάντας καὶ ἀγαπᾶν, εἰδὼς, 15
ὅτι τοῦ δυνατοῦ τὴν προθυμίαν οὐδεὶς ἔσχε βραδυτέραν· τοῖς
μέντοι διαπρεπέστερον ἀγωνισαμένοις ὑπὸ ῥώμης πλείονος,
καὶ τὸν μὲν ἑαυτῶν βίον ἀριστείαις κεκοσμηκόσι, τὴν δὲ αὖ- 16
τοῦ στρατιὰν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιη-
κόσιν, ἔφη, τὰ γέρα, καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μη-
δένα τῶν πλέον πονεῖν ἑτέρου θελησάντων τῆς δικαίας ἀμοι-
βῆς ἁμαρτήσεσθαι. Πλείστην γὰρ αὐτῷ τούτου γενέσθαι 17
τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν τὰς ἀρετὰς τιμᾶν
τῶν συστρατευομένων, ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.'

3. Εὐθέως οὖν ἐκέλευσεν ἀναγινώσκειν τοῖς ἐπὶ τούτῳ τε- 18
ταγμένοις, ὅσοι τι λαμπρὸν ἦσαν ἐν πολέμῳ κατωρθωκότες.
Καὶ κατ' ὄνομα καλῶν, ἐπῄνει τε παριόντας, ὡς ἂν ὑπερευ-
φραινόμενός τις ἐπ' οἰκείοις κατορθώμασι, καὶ στεφάνους 19
ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ, καὶ δόρατα μακρὰ
χρυσᾶ, καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν
ἑκάστου τάξιν ἤλλαττεν εἰς τὸ κρεῖττον. Οὐ μὴν ἀλλὰ καὶ 20
ἐκ τῶν λαφύρων ἄργυρον, καὶ χρυσὸν, ἐσθῆτάς τε, καὶ τῆς
ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. Πάντων δὲ τετι- 21
μημένων, ὅπως ἂν αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρα-
τιᾷ ποιησάμενος εὐχὰς, ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ, τρέ-
πεταί τε πρὸς θυσίας ἐπινικίους· καὶ πολλοῦ βοῶν πλήθους 22
τοῖς βωμοῖς παρεστηκότος, καταθύσας ἅπαντας, τῇ στρατιᾷ

13 τὴν Ῥωμαίων ἀρχὴν L. ἐπιτροπεύσαντας M. 15 τὸν μὲν αὐτῶν βίον L.M.T. 17 τούτου γενήσεσθαι τὴν M.T.E. 18 Εὐθὺς οὖν L. τοὺς ἐπὶ τοῦτο τεταγμένους M. τοῖς ἐπὶ τούτῳ τεταγμένοις L. et pri. ma. T. sed sec. ma. τοῦτο. ἐν τῷ πολέμῳ L. παρόντας, ὡς ἂν E. 19 στεφάνους περιετίθει L. καὶ δόρατα μακρὰ χρυσᾶ desunt omnia M. μακρὰ καὶ χρυσᾶ L. ἐξ ἀργύρου πεποιημένας tr. M. 21 ἕκαστος αὐτῶν L. πολλὴν κ. εὐφημίαν L. 22 καὶ πολὺ βοῶν L. περιεστηκότων, καταθ. L. ἅπαντα, τῇ M. στρατιᾷ δίδωσιν L.

διαδίδωσιν εἰς εὐωχίαν. Αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας, τὴν μὲν ἄλλην στρατιὰν διαφίησιν, ἣ καλῶς
23 ἔχειν ἑκάστους ἀπιέναι· τῷ δεκάτῳ δὲ τάγματι τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακὴν, οὐκέτ' αὐτοὺς ἐπὶ τὸν Εὐ-
24 φράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. Μεμνημένος δὲ τοῦ δωδεκάτου τάγματος, ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξήλασεν, ἦν γὰρ τὸ παλαιὸν ἐν Ῥαφαναίαις, εἰς δὲ τὴν Μελι-
25 τηνὴν καλουμένην ἀπέστειλε· παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας ἔστι καὶ Καππαδοκίας. Δύο δὲ ἠξίωσεν αὐτῷ μέχρι τῆς εἰς Αἴγυπτον ἀφίξεως, τὸ πέμπτον καὶ τὸ
26 πεντεκαιδέκατον, παραμένειν. Καὶ καταβὰς ἅμα τῷ στρατῷ πρὸς τὴν ἐπὶ τῇ θαλάττῃ Καισάρειαν, εἰς ταύτην τό τε πλῆθος τῶν λαφύρων ἀπέθετο, καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι· τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν ὁ χειμὼν ἐκώλυσεν.

CAP. II.

1 1. Καθ' ὃν δὲ καιρὸν Τίτος Καῖσαρ τοῖς Ἱεροσολύμοις πολιορκῶν προσήδρευεν, ἐν τούτῳ νεὼς φορτίδος Οὐεσπασιανὸς ἐπιβὰς ἀπὸ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον διέβαινεν.
2 Ἐντεῦθεν δὲ πλέων ἐπὶ τριηρῶν, καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθὼν, εὐκταίως αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται, καὶ ἐκεῖθεν ἀπὸ Κερκύρας ἐπ' ἄκραν Ἰαπυγίαν, ὅθεν ἤδη κατὰ γῆν ἐποιεῖτο τὴν
3 πορείαν. Τίτος δὲ ἀπὸ τῆς ἐπὶ θαλάττῃ Καισαρείας ἀναζεύξας εἰς τὴν Φιλίππου καλουμένην Καισάρειαν ἧκε, συχνόν
4 τ' ἐν αὐτῇ χρόνον ἐπέμενε, παντοίας θεωρίας ἐπιτελῶν. Καὶ

καλῶς εἶχεν ἑκάστους M. ἀπεῖναι· τῷ L. 23 τὴν Ἱεροσολ. T. ἐπέστρεψε M. οὐκέτι τούτους L. ὑπὸ τὸν Εὐφράτην M.E. et pri. ma. T. 25 Μελίτην L.M.T. Μελιτινὴν E. αὐτῶν μέχρι τῆς T.E. 26 ἐκώλυε. T.E. 1 Καθὸ δὲ καιρὸν M. καθὸ δὲ καιροῦ T. Καῖσαρ Ἱεροσολ. T. προσήδρευεν ἐπὶ νεὼς L. εἰς τὴν Ῥόδον διέβαλεν L. 2 Ἰωνίας ἐπὶ τὴν L. Κερκύρας ἀπῆρεν ἐπ' ἄκραν L. 3 ἐπὶ θαλάττης L. ἦκει συχνόν τε M. et pri. ma. T. ἦκεν καὶ συχνὸν L. ἐπέμεινε L.M.T.

πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἱ μὲν θηρίοις παραβληθέντες, οἱ δὲ κατὰ πληθὺν ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πολεμίοις. Ἐνταῦθα καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπύθετο, τοῦτον γενομένην τὸν τρόπον.

2. Σίμων οὗτος, Ἱεροσολύμων πολιορκουμένων, ἐπὶ τῆς 5
ἄνω πόλεως ὤν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἡ Ῥωμαίων στρατιὰ γενομένη πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς 6
πιστοτάτους παραλαβὼν, καὶ σὺν αὐτοῖς λιθοτόμους τε καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασιν καθίησιν ἑαυτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων. Καὶ μέχρι 7
μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προεχώρουν δι' αὐτοῦ· τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης, ταύτην ὑπενόμευον, ἐλπίδι τοῦ πορρωτέρω δυνήσεσθαι προελθόντες, ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν ἀποσώζεσθαι. Ψευδῆ δὲ τὴν ἐλπίδα διήλεγχεν ἡ 8
πεῖρα τῶν ἔργων· ὀλίγον τε γὰρ μόλις προέβαινον οἱ μεταλλεύοντες, ἥ τε τροφὴ, καίτοι ταμιευομένοις, ἔμελλεν ἐπιλείψειν. Τότε δὴ τοίνυν, ὡς δι' ἐκπλήξεως ἀπατῆσαι τοὺς 9
Ῥωμαίους δυνησόμενος, λευκοὺς ἐνδιδύσκει χιτωνίσκους, καὶ πορφυρᾶν ἐμπερονησάμενος χλανίδα, κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν, ἐκ γῆς ἀνεφάνη. Τὸ μὲν 10
οὖν πρῶτον τοῖς ἰδοῦσι θάμβος προσέπεσε, καὶ κατὰ χώραν ἔμενον· ἔπειτα δ' ἐγγυτέρω προσελθόντες, 'ὅστις ἐστὶν,' ἤροντο. Καὶ τοῦτο μὲν οὐκ ἐδήλου Σίμων αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττεν. Καὶ ταχέως πρὸς αὐτὸν 11
δραμόντων, ἦκε Τερέντιος Ῥοῦφος· οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς κατελέλειπτο. Πυθόμενος δὲ παρ' αὐτοῦ πᾶσαν 12
τὴν ἀλήθειαν, τὸν μὲν ἐφύλαττε δεδεμένον, Καίσαρι δὲ, ὅπως

4 γινομένην L. 5 οὗτος τῶν Ἱεροσολ. L. 6 διαρκῆ L.M. διαρκῆ κἀκείνοις ἅπασιν desunt quæ interjacent omnia M. ἡμέρας ἔτι δυναμένην L. ἀφανῶν deest L. 7 ὑπενόμευεν L. ἐν ἀσφαλείᾳ L.M. 8 ἔμελλεν ἀπολείψειν L.M.T. 9 λευκοὺς ἐνδὺς χιτ. ex cor. T. χλαμύδα κατ' αὐτὸν L. ἐκ τῆς γῆς L.M.T. 10 ὅστις τε ἤροντο L. 11 δὲ τοὺς ἡγεμόνας L. 12 Πυθόμενός τε M.T.E. Καίσαρί τε ὅπως L. Καίσαρι δὲ ὅπως τε M.E.

εἴη συνειλημμένος, ἐδήλου. Σίμωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος, ὧν πικρῶς αὐτὸς ἐτυράννησεν,
13 ὑπὸ τοῖς μάλιστα μισοῦσι πολεμίοις ἐποίησεν ὁ θεὸς, οὐ βίᾳ γενόμενον αὐτοῖς ὑποχείριον, ἀλλ' ἑαυτὸν ἑκουσίως εἰς τὴν τιμωρίαν περιβαλόντα, δι' ὧν πολλοὺς αὐτὸς ὠμῶς ἀπέκτεινε, ψευδεῖς αἰτίας ἐπιφέρων τῆς πρὸς Ῥωμαίους μεταβολῆς.
14 Οὐ γὰρ διαφεύγει πονηρία θεοῦ χόλον, οὐδὲ ἀσθενὴς ἡ δίκη· χρόνῳ δὲ μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας, καὶ χείρω τὴν τιμωρίαν ἐπιφέρει τοῖς πονηροῖς, ὅτι καὶ προσεδόκησαν
15 αὐτῆς ἀπηλλάχθαι, μὴ παραυτίκα κολασθέντες. Ἔγνω τοῦτο καὶ Σίμων εἰς τὰς Ῥωμαίων ὀργὰς ἐμπεσών. Ἡ δὲ ἐκείνου γῆθεν ἄνοδος πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος ὑπ' ἐκείνας τὰς ἡμέρας ἐν τοῖς ὑπονόμοις φωραθῆναι παρε-
16 σκεύασε. Καίσαρι δὲ εἰς τὴν παράλιον ἐπανελθόντι Καισάρειαν, Σίμων προσήχθη δεδεμένος· καὶ ἐκεῖνον μὲν, εἰς ὃν ἐπιτελεῖν ἐν Ῥώμῃ παρεσκευάζετο θρίαμβον, προσέταξε φυλάττειν.

CAP. III.

1 1. Διατρίβων δὲ αὐτόθι τὴν τοῦ ἀδελφοῦ γενέθλιον ἡμέραν ἐπιφανῶς ἑώρταζε, πολὺ καὶ τῆς τῶν Ἰουδαίων κολάσεως
2 εἰς τὴν ἐκείνου τιμὴν ἀνατιθείς. Ὁ γὰρ ἀριθμὸς τῶν ἔν τε ταῖς πρὸς τὰ θηρία μάχαις, καὶ τῶν καταπιμπραμένων, ἔν τε ταῖς ἀλληλοκτονίαις ἀναιρουμένων, πεντακοσίους ἐπὶ τοῖς δισ-
3 χιλίοις ὑπερέβαλε. Πάντα μέντοι Ῥωμαίοις ἐδόκει ταῦτα, μυρίοις αὐτῶν ἀπολλυμένων τρόποις, ἐλάττων κόλασις εἶναι. Μετὰ τοῦτο Καίσαρ εἰς Βηρυτὸν ἦκεν· ἡ δὲ ἔστιν ἐν τῇ
4 Φοινίκῃ πόλις, Ῥωμαίων ἄποικος. Καὶ ἐνταῦθα χρονιωτέραν ἐποιήσατο τὴν ἐπιδημίαν, πλείονι χρώμενος τῇ λαμπρότητι περὶ τὴν τοῦ πατρὸς ἡμέραν γενέθλιον, ἔν τε ταῖς

13 εἰς τιμωρίαν M. παραβάλλοντα M. περιβαλόντα T. δι' ὃν πολλοὺς L.T. δι' ὃ πολλοὺς E. 14 οὐκ ἀσθενὴς ἡ δ. L. οὐδ' ἀσθενήσει δ. E. 16 παράλιον παρελθόντι L. Καισάρειαν Hic incipit recentior scriptura et ad usque cap. 4. §. 2. ad voc. τῶν περὶ continuatur T. θρίαμβον ἔταξε L. 2 ἔν τε τῆς πρὸς τ. θ. μάχης M.T. 3 Πᾶν μέντοι M. Ῥωμαίων ἐδόκει L. 4 τὴν ἀποδημίαν M.

τῶν θεωριῶν πολυτελείαις, καὶ κατὰ τὴν ἄλλην ἐπίνοιαν τῶν ἄλλων ἀναλωμάτων. Τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸν αὐτὸν τρόπον, ὡς πρόσθεν, ἀπώλλυτο.

2. Γενέσθαι δὲ συνέβη περὶ τὸν καιρὸν τοῦτον καὶ τοῖς ἐν Ἀντιοχείᾳ τῶν Ἰουδαίων ὑπολιπομένοις ἐγκλήματα καὶ κίνδυνον ὀλέθρου, τῆς πόλεως ἐπ' αὐτοὺς τῶν Ἀντιοχέων ἐκταραχθείσης, διά τε τὰς ἐν τῷ παρόντι διαβολὰς αὐτοῖς ἐπενεχθείσας, καὶ διὰ τὰ προϋπηργμένα χρόνῳ πρόσθεν οὐ πολλῷ. Περὶ ὧν ἀναγκαῖόν ἐστι διὰ συντόμων προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων εὐπαρακολούθητον ποιήσωμαι τὴν διήγησιν.

3. Τὸ γὰρ Ἰουδαίων γένος πολὺ μὲν κατὰ πᾶσαν τὴν οἰκουμένην παρέσπαρται τοῖς ἐπιχωρίοις· πλεῖστον δὲ τῇ Συρίᾳ κατὰ τὴν γειτνίασιν ἀναμεμιγμένον, ἐξαιρέτως ἐπὶ τῆς Ἀντιοχείας ἦν πολύ, διὰ τὸ τῆς πόλεως μέγεθος, μάλιστα δὲ αὐτοῖς ἀδεᾶ τὴν ἐκεῖ κατοίκησιν οἱ μετ' Ἀντίοχον βασιλεῖς παρέσχον. Ἀντίοχος μὲν γὰρ, ὁ κληθεὶς Ἐπιφανὴς, Ἱεροσόλυμα πορθήσας, τὸν ναὸν ἐσύλησεν· οἱ δὲ μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες τῶν ἀναθημάτων, ὅσα χαλκᾶ πεποίητο, πάντα τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ἀπέδοσαν, εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνεχώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως τοῖς Ἕλλησι μετέχειν. Τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς προσφερομένων, εἵς τε τὸ πλῆθος ἐπέδωκαν, καὶ τῇ κατασκευῇ, καὶ τῇ πολυτελείᾳ τῶν ἀναθημάτων τὸ ἱερὸν ἐξελάμπρυναν. Ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος Ἑλλήνων, καὶ ἐκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο. Καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνεκεκήρυκτο, νεωστὶ δὲ εἰς τὴν Συρίαν Οὐεσπασιανὸς κατεπεπλεύκει, τὸ δὲ κατὰ τῶν Ἰουδαίων παρὰ

6 ὑπολειπομένοις L.M.T. Ἀντιοχαίων T. διὰ τὰ ὑπηγμένα M. διὰ τὰ ὑπηργμένα T. 7 ἐστιν ἐν συντόμῳ M.T. ποιήσομαι M.T. 9 ἐξαιρέτως δ' ἐπὶ M.T.E. 10 τὸν νεὼν ἐσύλ. M.T. πεποίηντο E. Ἰουδαίοις ἀπέγνωσαν sed in marg. ead. ma. ἀπέδοσαν L. αὐτῶν ἀναχθέντες, καὶ L. 11 εἵς τε πλῆθος L. μετέδωκαν M. καὶ τῇ κατασκευῇ Hic denuo incipit Cod. P. 12 θρησκίαις T.

13 πᾶσιν ἤκμαζε μῖσος, τότε δή τις Ἀντίοχος εἷς ἐξ αὐτῶν τὰ μάλιστα διὰ τὸν πατέρα τιμώμενος — ἦν γὰρ ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων, — τοῦ δήμου τῶν Ἀντιοχέων ἐκκλη-
14 σιάζοντος, εἰς τὸ θέατρον παρελθών, τόν τε πατέρα τὸν αὐτοῦ καὶ τοὺς ἄλλους ἐνεδείκνυτο κατηγορῶν, ὅτι νυκτὶ μιᾷ καταπρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν, καὶ παρεδίδου ξένους Ἰουδαίους τινάς, ὡς κεκοινωνηκότας τῶν βεβουλευμέ-
15 νων. Ταῦτα δ' ἀκούων ὁ δῆμος τὴν ὀργὴν οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας πῦρ εὐθὺς ἐκέλευον κομίζειν, καὶ
16 παραχρῆμα πάντες ἐπὶ τοῦ θεάτρου κατεφλέγησαν· ἐπὶ δὲ τὸ πλῆθος ὥρμηντο τῶν Ἰουδαίων, ἐν τῷ τάχιον ἐκείνους τιμωρίᾳ περιβαλεῖν τὴν αὐτῶν πατρίδα σώζειν νομίζοντες. Ἀντίοχος δὲ προσεπέτεινε τὴν ὀργὴν, περὶ μὲν τῆς αὐτοῦ
17 μεταβολῆς, καὶ τοῦ μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη, τεκμήριον ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν, ὥσπερ νόμος ἐστὶ τοῖς Ἕλλησιν. Ἐκέλευε δὲ καὶ τοὺς ἄλλους ταὐτὸ ποιεῖν ἀναγκάζειν· φανερὸς γὰρ γενήσεσθαι τῷ μὴ θέλειν τοὺς ἐπιβε-
18 βουλευκότας. Χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων, ὀλίγοι μὲν ὑπέμειναν· οἱ δὲ μὴ βουληθέντες ἀνῃρέθησαν. Ἀντίοχος δὲ στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβὼν, χαλεπὸς ἐφειστήκει τοῖς αὐτοῦ πολίταις, ἀργεῖν τὴν ἑβδόμην
19 οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος πάντα πράττειν, ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις· οὕτω τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν, ὡς μὴ μόνον ἐπ' Ἀντιοχείας καταλυθῆναι τὴν ἑβδομάδα ἀργεῖν ἡμέραν, ἀλλ' ἐκεῖθεν ἀρξαμένου τοῦ πράγματος, καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ὁμοίως, βραχύν τινα χρόνον.

20 4. Τοιούτων δὴ τοῖς ἐπὶ τῆς Ἀντιοχείας Ἰουδαίοις τῶν κατ' ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων, δευτέρα πάλιν

13 ἐκκλησιασθέντων, εἰς L. ἐκκλησιαζόντων P. 14 διεγνώκεσαν M.T. 15 Ταῦτα ἀκούων P. πῦρ εὐθέως M. κατεφλέγεισαν T. 16 ὥρμητο τῶν M.P. Ἀντίοχος προεπέτεινε T. 17 τεκμήριον παρέχειν L. τεκ. μὲν παρέχειν P. ἐκέλευσε M. γὰρ γεγενήσθαι τῷ L. 18 ἐφεστήκει L. ἀργὴν τὴν M. ἀργὴν ἑβδ. P. 19 ἀργὴν ἡμέραν E. καὶ ταῖς L.M.P.T. ἄλλαις διαδοθῆναι πόλεσιν M.T. 20 τοιοῦτον δὴ L.

συμφορὰ προσέπεσε· περὶ ἧς ἀφηγεῖσθαι ἐπιχειρήσαντες, καὶ ταῦτα διεξήλθομεν. Ἐπεὶ γὰρ συνέβη καταπρησθῆναι 21
τὴν τετράγωνον ἀγορὰν, ἀρχεῖά τε καὶ γραμματοφυλάκιον, καὶ τὰς βασιλικὰς, μόλις τε τὸ πῦρ ἐκωλύθη μετὰ πολλῆς βίας ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον, ταύτην Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει. Καὶ τοὺς Ἀντιοχεῖς, εἰ 22
καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπεχθῶς, τάχιστα τῇ διαβολῇ παρὰ τὴν ἐκ τοῦ συμβεβηκότος ταραχὴν ὑπαχθέντας, πολὺ μᾶλλον ἐκ τῶν προϋπηργμένων τοῖς ὑπ' αὐτοῦ λεγομένοις πιστεύειν παρεσκεύασεν, ὡς μόνον οὐκ ἐπ' αὐτοὺς 23
τὸ πῦρ ἐνιέμενον ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας· καὶ καθάπερ ἐμμανεῖς γεγενημένοι μετὰ πολλοῦ τινος οἴστρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο. Μόλις δὲ αὐτῶν ἐδυνήθη τὰς 24
ὁρμὰς ἐπισχεῖν Κνέος Κολλήγας τις, πρεσβευτὴς, ἀξιῶν ἐπιτρέψαι Καίσαρι δηλωθῆναι περὶ τῶν γεγονότων. Τὸν γὰρ 25
ἡγεμονεύοντα τῆς Συρίας Καισέννιον Παῖτον ἤδη μὲν Οὐεσπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. Ποιούμενος δ' ἐπιμελῆ τὴν ζήτησιν ὁ Κολλήγας, ἐξεῦρε τὴν 26
ἀλήθειαν, καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ' Ἀντιόχου λαβόντων Ἰουδαίων οὐδεὶς οὐδ' ἐκοινώνησεν, ἅπαν δὲ τὸ ἔργον ἔπραξαν ἄνθρωποί τινες ἀλιτήριοι διὰ χρεῶν ἀνάγκας, νομίζοντες, εἰ 27
τὴν ἀγορὰν καὶ τὰ δημόσια καταπρήσειαν γράμματα, τῆς ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν. Ἰουδαῖοι μὲν οὖν ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἔτι καραδοκοῦντες, ἐν φόβοις χαλεποῖς ἀπεσάλευον.

CAP. IV.

1. Τίτος δὲ Καῖσαρ, τῆς περὶ τοῦ πατρὸς ἀγγελίας αὐτῷ 1

ἐπιχειρήσαντες ἀφηγεῖσθαι tr. L.M.T. διεξέλθομεν P. 21 γραμματοφυλάκειον M.T. χαρτοφυλάκιον L. μόλις τὸ P. 22 ἀπεχθῶς πρὸς αὐτοὺς tr. P. τάχιστα ἂν τῇ L. τάχισταν τῇ P. 23 γεγεννημένοι P. πολλοῦ τινὲς οἴστρου L. 24 ἠδυνήθη T. ἐπισχεῖν νέος Κολ. T. ἐπ. νέος ὢν Κολ. P. πρεσβυτὴς, ἀξιῶν L. 25 Κεσσένιον Πέτον L. Καισσένιον Πέτον P. Καισέννιον Πέτον T. 26 τὴν ἀναζήτησιν P. λαβόντων Ἰουδ' ὑπ' Ἀντιόχου tr. L. ἀλλιτήριοι T. διὰ χρειῶν M.T. 27 ἐπεσάλευον P.T.E. 1 τῆς τε περὶ τοῦ L.

κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν ἐπῆλθε, μάλιστα δὲ ἡ Ῥώμη μετὰ πολλῆς 2 αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῶν περὶ αὐτοῦ φροντίδων ὡς 3 ἥδιστον ἦν ἀπηλλαγμένος. Οὐεσπασιανὸν γὰρ, ἔτι μὲν καὶ μακρὰν ἀπόντα, πάντες οἱ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἄφιξιν αὐτοῦ νομίζοντες, καὶ πάσης ἀνάγκης ἐλευ- 4 θέραν τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. Τῇ τε γὰρ βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μεταβολαῖς συμφορῶν εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα, γήρως σεμνότητι καὶ πράξεων ἀκμῇ πολεμικῶν κεκοσμημένον, ᾧ τὴν ὑπεροχὴν πρὸς μόνην ἠπίσταντο τὴν τῶν ἀρχομένων 5 σωτηρίαν ἐσομένην. Καὶ μὴν ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν αὐτὸν ἔσπευδε· τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφορῶν ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς εὐετηρίας πεπι- 6 στευκώς. Ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς αὐτὸν ἀφεώρα· μάλιστα γὰρ οὗτοι τῶν κατωρθωμένων αὐτῷ πολέμων ἐγί- 7 νωσκον τὸ μέγεθος. Τῆς ἀπειρίας δὲ τῶν ἄλλων ἡγεμόνων καὶ τῆς ἀνανδρίας πεπειραμένοι, πολλῆς μὲν αἰσχύνης αὐτοὺς ἐπεθύμουν ἀπηλλάχθαι, τὸν μόνον δὲ καὶ σώζειν αὐτοὺς καὶ 8 κοσμεῖν δυνάμενον ἀπολαβεῖν ηὔχοντο. Τοιαύτης δὲ εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης, τοῖς μὲν κατὰ τὰς ἀξιώσεις προέχουσι τῶν ἀνδρῶν οὐκ ἔτ' ἀνεκτὸν ἦν ἀναμένειν, ἀλλὰ ποῤῥω- 9 τάτω τῆς Ῥώμης αὐτῷ προεντυχεῖν ἔσπευδον. Οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς ἐντεύξεως τὴν ἀναβολὴν, ἀλλ' οὕτως ἐξεχέοντο πάντες ἀθρόοι, καὶ πᾶσιν εὐπορώτερον καὶ ῥᾷον ἐδόκει τοῦ μένειν τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν

ταῖς περὶ τὴν L. μάλιστα δὲ ἐπῆλθε ἡ Ῥω. T. 2 περὶ αὐτὸν φρ. L. Hic denuo incipit vetus script. T. ἥδιστον ἀπηλλαγμένος L. et pri. ma. sed ἦν postea sup. lin. scripto T. 4 εὐκτέον ἦν P. ἀκμῇ πολεμικῶς T. 5 συμφορῶν ὑπελάμβανον L.P. συμ. ὑπελάμβανεν M. 6 ἐγίγνωσκον L.M. 7 ἀνανδρείας P.

τότε πρῶτον ἐν ἑαυτῇ λαβεῖν ὀλιγανθρωπίας αἴσθησιν ἰδίαν· ἦσαν γὰρ ἐλάττους τῶν ἀπιόντων οἱ μένοντες. Ἐπεὶ δὲ προσιὼν ἠγγέλλετο, καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκάστους ἐδήλουν οἱ προελθόντες, ἅπαν ἤδη τὸ λοιπὸν πλῆθος ἅμα γυναιξὶ καὶ παισὶν ἐπὶ ταῖς παρόδοις ἐξεδέχετο, καὶ καθ' οὓς γένοιτο παριὼν πρὸς τὴν ἡδονὴν τῆς θέας καὶ τὸ μειλίχιον αὐτοῦ τῆς ὄψεως παντοίας ἠφίεσαν φωνὰς, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἄξιον ἡγεμόνα τῆς Ῥώμης ἀνακαλοῦντες. Ἅπασα δὲ ἡ πόλις ὡς νεὼς ἦν, στεφανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. Μόλις δὲ ὑπὸ πλήθους τῶν περὶ αὐτὸν ἱσταμένων δυνηθεὶς εἰς τὸ βασίλειον ἐλθεῖν, αὐτὸς μὲν τοῖς ἔνδον θεοῖς θυσίας τῆς ἀφίξεως χαριστηρίους ἐπετέλει. Τρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν, καὶ κατὰ φυλὰς, καὶ γένη, καὶ γειτονίας ποιούμενοι τὰς ἑστιάσεις, ηὔχοντο τῷ θεῷ σπένδοντες, αὐτόν τ' ἐπὶ πλεῖστον χρόνον Οὐεσπασιανὸν ἐπιμεῖναι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ παισὶν αὐτοῦ, καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γινομένοις, φυλαχθῆναι τὸ κράτος ἀναναγώνιστον. Ἡ μὲν οὖν Ῥωμαίων πόλις, οὕτως Οὐεσπασιανὸν ἐκδεξαμένη προθύμως, εὐθὺς εἰς πολλὴν εὐδαιμονίαν ἐπεδίδου.

2. Πρὸ δὲ τούτων τῶν χρόνων, ἐν οἷς Οὐεσπασιανὸς μὲν περὶ Ἀλεξάνδρειαν ἦν, Τίτος δὲ τῇ τῶν Ἱεροσολύμων προσήδρευε πολιορκίᾳ, πολὺ μέρος Γερμανῶν ἐκινήθη πρὸς ἀπόστασιν, οἷς καὶ Γαλατῶν οἱ πλησίον συμφρονήσαντες, κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς συνέθεσαν, ὡς καὶ τῆς Ῥωμαίων ἀπαλλαξόμενοι δεσποτείας. Ἐπῆρε δὲ αὐτοὺς Γερμανοὺς ἅψασθαι τῆς ἀποστάσεως καὶ τὸν πόλεμον ἐξενεγκεῖν πρῶτον μὲν ἡ φύσις, οὖσα λογισμῶν ἔρημος ἀγαθῶν, καὶ μετὰ μικρᾶς ἐλπίδος ἑτοίμως ῥιψοκίνδυνος· ἔπειτα δὲ καὶ μῖσος τὸ

9 αἴσθησιν ἡδεῖαν· E. 10 οἱ προσελθόντες T. ἐπὶ τοῖς παραδόξοις ἐξεδ. L. 11 οὓς γίνοιτο M.T. παριὼν, οὗτοι πρὸς P. Ῥώμης ἀποκαλοῦντες P.E. 13 Προτρέπεται δὲ τὰ P. 15 Ἡ μὲν Ῥωμ. L.T. 16 τούτων ἔτι τῶν E. οἱ πλεῖστοι συμφ. P. συμφωνήσαντες, κοινῇ L. ἀπαλλαξάμενοι M. 17 δὲ τοὺς Γερμανοὺς P. et ex ras. T. πρώτη μὲν ἡ M.T.

πρὸς τοὺς κρατοῦντας, ἐπεὶ μόνοις ἴσασι Ῥωμαίοις τὸ γένος αὐτῶν δουλεύειν βεβιασμένον. Οὐ μὴν ἀλλὰ μάλιστά γε
19 πάντων ὁ καιρὸς αὐτοῖς θάρσος ἐνεποίησεν. Ὁρῶντες γὰρ τὴν Ῥωμαίων ἀρχὴν ταῖς συνεχέσι τῶν αὐτοκρατόρων ἀλλαγαῖς ἐν ἑαυτῇ τεταραγμένην, πᾶν τε μέρος τῆς ὑπ' αὐτοῖς οἰκουμένης πυνθανόμενοι μετέωρον εἶναι καὶ κραδαίνεσθαι,
20 τοῦτον σφίσιν αὐτοῖς ἄριστον ὑπὸ τῆς ἐκείνων κακοπραγίας καὶ στάσεως καιρὸν φήθησαν παραδεδόσθαι. Ἐνῆγον δὲ τὸ βούλευμα, καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἐτύφουν Κλασσικός τις καὶ Οὐϊτέλλιος, τῶν παρ' αὐτοῖς ὄντες ἡγεμόνων,
21 οἳ δῆλον μὲν ὡς ἐκ μακροῦ ταύτης ἐφίεντο τῆς νεωτεροποιΐας, ὑπὸ τοῦ καιροῦ δὲ θαρσῆσαι προαχθέντες, τὴν αὐτῶν γνώμην ἐξέφηναν· ἔμελλον δὲ προθύμως διακειμένοις τὴν πεῖραν τοῖς
22 πλήθεσι προσφέρειν. Πολλοῦ δὴ μέρους ἤδη τῶν Γερμανῶν τὴν ἀπόστασιν ἀνωμολογηκότος, καὶ τῶν ἄλλων οὐκ ἂν δίχα φρονησάντων, ὥσπερ ἐκ δαιμονίου προνοίας Οὐεσπασιανὸς πέμπει γράμματα Πετιλίῳ Κερεαλίῳ τὸ πρότερον ἡγεμόνι Γερμανίας γενομένῳ, τὴν ὕπατον διδοὺς τιμὴν, καὶ κελεύων
23 ἄρξοντα Βρεττανίας ἀπιέναι. Πορευόμενος οὖν ἐκεῖνος ὅποι προσετέτακτο, καὶ τὰ περὶ τὴν ἀπόστασιν τῶν Γερμανῶν πυθόμενος, ἤδη συνειλεγμένοις αὐτοῖς ἐπιπεσὼν καὶ παραταξάμενος, πολύ τε πλῆθος αὐτῶν ἀναιρεῖ κατὰ τὴν μάχην, καὶ
24 τῆς ἀνοίας παυσαμένους ἠνάγκασε σωφρονεῖν. Ἔμελλον δὲ, καὶ ἐκείνου μὴ θᾶττον εἰς τοὺς τόπους παραβαλόντος, δίκην οὐκ εἰς μακρὰν ὑφέξειν· ἡνίκα γὰρ πρῶτον ἡ περὶ τῆς ἀπο-
25 στάσεως αὐτῶν ἀγγελία τῇ Ῥώμῃ προσέπεσε, Δομετιανὸς Καῖσαρ πυθόμενος, οὐχ ὡς ἂν ἕτερος ἐν τούτῳ τῆς ἡλικίας —

18 δουλεύειν βιασαμένοις M.T.E. ἀλλά γε μάλιστα tr. P. πάντων ὁ Καῖσαρ αὐτοῖς M. 19 τῆς ὑπ' αὐτὴν ex cor. L. τῆς ὑπ' αὐτῆς M. οἰκουμένης πυθόμενοι M.T. 20 ἄριστον αὐτοῖς tr. L. Κασσικός ex cor. M. Οὔτιλλος M. Οὐίτιλλος P. Οὐιτίλλιος T. ὄντες deest P. 22 Πολλοῦ δὲ μέρους L.M.T. τὴν ἀποστασίαν P. ἀνωμολογκότες L. γράμματα πρὸς Βεντιδίῳ Κερ. L. γρ. Βεντιδίῳ Κερ. M.P.T. Γερμανίας ἀπιέναι M. ἄρξαντα P.E. 23 ἠνάγκασε φρονεῖν T. 24 παραβάλλοντος sed os ex cor. L. πρῶτον deest P. περὶ deest L.P.T. τῇ Ῥωμαίων προσέπεσε M.

νέος γὰρ ἦν ἔτι παντάπασι — τηλικοῦτον ἄρασθαι μέγεθος πραγμάτων ὤκνησεν· ἔχων δὲ πατρόθεν ἔμφυτον τὴν ἀνδραγαθίαν, καὶ τελειοτέραν τὴν ἄσκησιν τῆς ἡλικίας πεποιημένος, ἐπὶ τοὺς βαρβάρους εὐθὺς ἤλαυνεν. Οἱ δὲ πρὸς τὴν 26
φήμην τῆς ἐφόδου καταπεσόντες, ἐπ' αὐτῷ σφᾶς αὐτοὺς ἐποιήσαντο μετὰ φόβου, κέρδος εὑράμενοι τὸ χωρὶς συμφορῶν ὑπὸ τὸν αὐτὸν πάλιν ζυγὸν ὑπαχθῆναι. Πᾶσιν οὖν ἐπι- 27
θεὶς τοῖς περὶ τὴν Γαλατίαν τάξιν τὴν προσήκουσαν Δομετιανὸς, ὡς μηδ' αὖθις ἄν ποτε ῥᾳδίως ἔτι τὰ ἐκεῖ ταραχθῆναι, λαμπρὸς καὶ περίβλεπτος, ἐπὶ κρείττοσι μὲν τῆς ἡλικίας, πρέπουσι δὲ τῷ πατρὶ κατορθώμασιν, εἰς τὴν Ῥώμην ἀνέζευξεν.

3. Τῇ δὲ προειρημένῃ Γερμανῶν ἀποστάσει κατὰ τὰς 28
αὐτὰς ἡμέρας καὶ Σκυθικὸν τόλμημα πρὸς Ῥωμαίους συνέδραμεν. Οἱ γὰρ καλούμενοι Σκυθῶν Σαρμάται, πολὺ πλῆ- 29
θος ὄντες, ἄδηλοι μὲν τὸν Ἴστρον ἐπεραιώθησαν εἰς τὴν Μυσίαν, ἔπειτα δὲ πολλῇ βίᾳ, καὶ χαλεποὶ διὰ τὸ παντάπασιν ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες, πολλοὺς μὲν τῶν 30
ἐπὶ τῆς φρουρᾶς Ῥωμαίων ἀναιροῦσι, καὶ τὸν πρεσβευτὴν τὸν ὑπατικὸν Φοντήϊον Ἀγρίππαν ὑπαντιάσαντα καρτερῶς μαχόμενον κτείνουσι, τὴν δὲ ὑποκειμένην χώραν ἅπασαν κατέτρεχον, ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. Οὐεσπα- 31
σιανὸς δὲ τὰ γεγενημένα καὶ τὴν πόρθησιν τῆς Μυσίας πυθόμενος, Ῥούβριον Γάλλον ἐκπέμπει, δίκην ἐπιθήσοντα τοῖς Σαρμάταις. Ὑφ' οὗ πολλοὶ μὲν αὐτῶν ἐν ταῖς μάχαις ἀπέ- 32
θανον, τὸ δὲ περισωθὲν μετὰ δέους εἰς τὴν οἰκείαν διέφυγε. Τούτῳ δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρατηγὸς, καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας προενόησε. Πλείοσι γὰρ καὶ μεί- 33

25 τηλικοῦτον ὁρᾶσθαι μ. L. ἔμφυτον ἀνδραγ. P. 26 μετὰ τοῦ φόβου P.T.E. εὑρόμενοι L. 27 οὖν ἐπιτιθεὶς L. 28 Τῇ δὲ Γερμανῶν L. καὶ σκυθρωπὸν τόλμημα T. 29 εἰς τὴν ἐπὶ τάδε πολλῇ L.P. πολλῇ δὲ βίᾳ L.P. πολλῇ τε βίᾳ E. παντάπασιν ἄπιστον τῆς P. 30 μὲν τοὺς ἐπὶ τῆς T. Ῥωμαίων προσπεσόντες ἀναιροῦσιν L. τὸν πρεσβυτὴν L.P. Φροντήϊον L.M.P. ὑπαντιάσαντα καὶ καρτερῶς L.P. 31 Γούβριον M.P.T. Γρούβιον L. 32 διέφευγε M. Τοῦτο δὲ τῷ P.

ζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς βαρβάροις τὴν διάβασιν τελέως ἀδύνατον. Ὁ μὲν οὖν περὶ τὴν Μυσίαν πόλεμος ταχεῖαν οὕτως ἔλαβε τὴν κρίσιν.

CAP. V.

1 1. Τίτος δὲ Καῖσαρ χρόνον μέν τινα διέτριψεν ἐν Βηρυτῷ, καθὰ προειρήκαμεν. Ἐκεῖθεν δ' ἀναζεύξας, καὶ δι' ὧν ἤει πόλεων τῆς Συρίας, ἐν πάσαις θεωρίας τε συντελῶν πολυτελεῖς, καὶ τῶν Ἰουδαίων τοῖς αἰχμαλώτοις εἰς ἐπίδειξιν τῆς ἑαυτῶν ἀπωλείας ἀποχρώμενος, θεᾶται κατὰ τὴν πορείαν
2 ποταμοῦ φύσιν ἀξίαν ἱστορηθῆναι. Ῥεῖ μὲν γὰρ μέσος Ἀρκαίας τῆς Ἀγρίππα βασιλείας καὶ Ῥαφαναίας, ἔχει δὲ θαυμαστὴν ἰδιότητα. Πολὺς γὰρ ὢν, ὅτε ῥεῖ, καὶ κατὰ τὴν φορὰν οὐ σχολαῖος, ἔπειτα δὲ πᾶς ἐκ τῶν πηγῶν ἐπιλείπων ἓξ ἡμερῶν ἀριθμὸν, ξηρὸν παραδίδωσιν ὁρᾶν τὸν τό-
3 πον· εἶθ', ὥσπερ οὐδεμιᾶς γενομένης μεταβολῆς, ὅμοιος κατὰ τὴν ἑβδόμην ἐκδίδωσι, καὶ ταύτην ἀεὶ τὴν τάξιν ἀκριβῶς τετήρηται διαφυλάττων. Ὅθεν δὴ καὶ Σαββατικὸν αὐτὸν κεκλήκασιν, ἀπὸ τῆς ἱερᾶς τῶν Ἰουδαίων ἑβδόμης οὕτως ὀνομάσαντες.

4 2. Ὁ δὲ τῶν Ἀντιοχέων δῆμος ἐπεὶ πλησίον ὄντα Τίτον ἐπυνθάνοντο, μένειν μὲν ἐντὸς τειχῶν ὑπὸ χαρᾶς οὐχ ὑπέμενον, ἔσπευδον δ' ἐπὶ τὴν ὑπάντησιν, καὶ τριάκοντα σταδίων ἐπὶ πλέον προῆλθον, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναίκων
5 πλῆθος ἅμα παισὶ, τῆς πόλεως ἐκχεόμενοι. Καὶ ἐπειδήπερ ἐθεάσαντο προσιόντα παρὰ τὴν ὁδὸν ἑκατέρωθεν παρακαταστάντες, τάς τε δεξιὰς προέτεινον προσαγορεύοντες, καὶ
6 παντοίοις ἐπιφημίσμασι χρώμενοι συνεπέστρεφον. Συνεχὴς

1 διέτριβεν ἐν πόλει Βηρυτῷ L. τοὺς αἰχμαλώτους εἰς P. ἀπωλείας καταχρώμενος E. 2 Ῥεῖ γὰρ L. ῥέει μὲν γὰρ T. μέσος Σαρκαίας L. μέσος Ἀρκέας M.P.T. Ἀγρίππου M. πολύς τε γὰρ L. ῥεῖ, κατὰ P. ἔπειτα δὲ τὰς ἐκ L. 3 ὅμοιον κατὰ M. ὁμοίως κατὰ P. 4 μένειν ἐντὸς P. ὑπὸ τῆς χαρᾶς M. καὶ γυναίων M.T.E. παισὶ καὶ τῆς L. 5 παραστάντες τάς τε L. συνυπέστρεφον L.M.T.

δὲ ἦν αὐτῶν παρὰ πάσας ἅμα τὰς εὐφημίας δέησις, ἐκβαλεῖν τῆς πόλεως τοὺς Ἰουδαίους. Τίτος μὲν οὖν οὐδὲν ἐνέδωκε πρὸς ταύτην τὴν δέησιν, ἀλλ' ἡσυχῇ τῶν λεγομένων ἐπήκουεν. Ἐπ' ἀδήλῳ δὲ τῷ 'τί φρονεῖ; καὶ τί ποιήσει;' πολὺς 7
καὶ χαλεπὸς τοῖς Ἰουδαίοις ὁ φόβος ἦν· οὐδὲ γὰρ ἐπέμεινεν ἐν Ἀντιοχείᾳ Τίτος, ἀλλ' εὐθὺς ἐπὶ τὸ Ζεῦγμα, τὸ κατὰ τὸν Εὐφράτην, συνέτεινε τὴν πορείαν· ἔνθα δὴ καὶ παρὰ τοῦ 8
Πάρθων βασιλέως Βολογέσου πρὸς αὐτὸν ἦκον, στέφανον χρυσοῦν ἐπὶ τῇ κατὰ τῶν Ἰουδαίων νίκῃ κομίζοντες. Ὃν δεξάμενος εἱστία τοὺς βασιλικούς, καὶ ἐκεῖθεν εἰς τὴν Ἀντιόχειαν ἐπανέρχεται. Τῆς δὲ βουλῆς καὶ τοῦ δήμου τῶν Ἀν- 9
τιοχέων πολλὰς ποιησαμένων δεήσεις, ἐλθεῖν εἰς τὸ θέατρον αὐτῶν, ἐν ᾧ πᾶν τὸ πλῆθος ἠθροισμένον ἐξεδέχετο, φιλανθρώπως ὑπήκουσε. Πάλιν δὲ αὐτῶν σφόδρα λιπαρῶς ἐγκει- 10
μένων, καὶ συνεχῶς δεομένων ἐξελάσαι τῆς πόλεως τοὺς Ἰουδαίους, εὔστοχον ἐποιήσατο τὴν ἀπόκρισιν, εἰπών, "Ἀλλ' ἤ 11
γε πατρὶς αὐτῶν εἰς ἣν ἐκβαλεῖν ἐχρῆν τοὺς Ἰουδαίους ἀνήρηται, καὶ δεξαιτ' ἂν οὐδεὶς αὐτοὺς ἔτι τόπος." Ἐπὶ δευτέ- 12
ραν οὖν Ἀντιοχεῖς τρέπονται δέησιν, τῆς προτέρας ἁμαρτόντες· τὰς γὰρ χαλκᾶς ἠξίουν δέλτους ἀνελεῖν αὐτὸν, ἐν αἷς γέγραπται τὰ δικαιώματα τῶν Ἰουδαίων. Οὐ μὴν οὐδὲ 13
τοῦτο Τίτος ἐπένευσεν αὐτοῖς, ἀλλ' ἐάσας πάντα κατὰ χώραν τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ὡς πρότερον ἔχειν, εἰς Αἴγυπτον ἀπηλλάττετο. Καὶ κατὰ τὴν πορείαν τοῖς Ἱερο- 14
σολύμοις προσελθών, καὶ τὴν λυπρὰν ἐρημίαν βλεπομένην ἀντιθεὶς τῇ ποτὲ τῆς πόλεως λαμπρότητι, καὶ τὸ μέγεθος τῶν ἐρρηγμένων κατασκευασμάτων, καὶ τὸ πάλαι κάλλος εἰς 15

6 πάσας τὰς εὐφ. L. πόλεως Ἰουδαίους M.T. μὲν οὐδὲν M. πρὸς τὴν δέησιν L. 7 ἀδήλῳ δὲ τὸ τί L.M.P.T.E. ὑπέμεινεν P. 9 τοῦ δήμου desunt M. et T. sed in huj. marg. adscripta sunt. δεήσεις εἰσελθεῖν L αὐτὸν εἰς τὸ θέατρον, ἐν L. εἰς τὸ θέατρον αὐτὸν, ἐν P. ἐν ᾧ τὸ πλῆθος M. 10 Πάλιν δ' αὐτὸν P. τὴν ἀπολογίαν εἰπών L. 11 ἦν ἐμβαλεῖν M.E. ἐχρῆν ἂν τοὺς L. ἐχρῆν ὄντας P. 12 προτέρας ἀποστάντες· τὰς γὰρ T. τὸ δικαίωμα P. 13 πρότερον εἶχον L.P 14 καὶ τὴν λυπηρὰν P.

μνήμην βαλλόμενος, ὥκτειρε τῆς πόλεως τὸν ὄλεθρον, οὐχ ὥσπερ ἄλλος ἄν τις αὐχῶν, ὅτι τηλικαύτην οὖσαν καὶ τοσαύ-
16 την εἶλε κατὰ κράτος· ἀλλὰ πολλάκις ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως ὑπάρξασι, καὶ ταύτην ἐπὶ τῇ πόλει τὴν τιμωρίαν γενέσθαι παρασκευάσασιν, οὕτως ἔκδηλος ἦν, οὐκ ἂν ἐθελήσας ἐκ τῆς συμφορᾶς τῶν κολασθέντων γενέσθαι
17 τῆς ἀρετῆς αὐτοῦ τὴν ἐπιφάνειαν. Τοῦ δὲ πολλοῦ πλούτου τῆς πόλεως ἔτι καὶ ἐν τοῖς ἐρειπίοις οὐκ ὀλίγον μέρος ἀνευρίσκετο· τὰ μὲν γὰρ πολλὰ ἀνέσκαπτον οἱ Ῥωμαῖοι, τὰ πλείω δ' ἐκ μηνύσεως τῶν αἰχμαλώτων ἀνηροῦντο, χρυσόν τε καὶ ἄργυρον, καὶ τὰ τῆς ἄλλης τιμιώτατα κατασκευῆς, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀδήλους τοῦ πολέμου τύχας κατὰ γῆς ἀποτεθησαυρίκεσαν.

18 3. Τίτος δὲ τὴν προκειμένην ποιούμενος πορείαν ἐπ' Αἴγυπτον, καὶ τὴν ἔρημον ᾗ τάχιστα διανύσας, ἦκεν εἰς Ἀλεξάνδρειαν· καὶ πλεῖν ἐπὶ τῆς Ἰταλίας διεγνωκὼς, δυοῖν αὐτῷ
19 ταγμάτων συνηκολουθηκότων, ἑκάτερον ὅθεν περ ἀφῖκτο πάλιν ἀπέστειλεν, εἰς μὲν τὴν Μυσίαν τὸ πέμπτον, εἰς Παν-
20 νονίαν δὲ τὸ πεντεκαιδέκατον. Τῶν αἰχμαλώτων δὲ τοὺς μὲν ἡγεμόνας Σίμωνα καὶ Ἰωάννην, τόν τε ἄλλον ἀριθμὸν ἑπτακοσίους ἄνδρας ἐπιλέξας μεγέθει τε καὶ κάλλει σωμάτων ὑπερβάλλοντας, προσέταξεν εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα κομίζεσθαι, βουλόμενος αὐτοὺς ἐν τῷ θριάμβῳ παραγαγεῖν.
21 Τοῦ πλοῦ δὲ αὐτῷ κατὰ νοῦν ἀνυσθέντος, ὁμοίως μὲν ἡ Ῥώμη περὶ τὴν ὑποδοχὴν εἶχε καὶ τὰς ὑπαντήσεις, ὥσπερ ἐπὶ τοῦ
22 πατρός. Λαμπρότερον δὲ ἦν Τίτῳ καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν καὶ δεχόμενος. Τῷ δὲ πλήθει τῶν πολιτῶν δαιμόνιόν τινα τὴν χαρὰν παρεῖχεν, τὸ βλέπειν αὐτοὺς ἤδη τοὺς

15 μνήμην λαβόμενος, M. ἄν τις ἄλλος αὐχῶν M. ἄν τις αὐχῶν omisso ἄλλος P. καὶ τοσαύτην desunt M. 16 τὴν ἐρημίαν γενέσθαι L. sed in marg. ead. ma. τιμωρίαν. ἂν θελήσας L.P.T. ἀρετῆς τὴν ἐπιφάνειαν P.T. ἀρετῆς αὐτοῦ ἐπιφάνειαν E. 17 τοῦτο δὲ πολλοῦ P. ἄλλης τὰ τιμιώτατα L. ἀποτεθησαυρισκεσαν sic P. 19 πάλιν deest P. 20 τοὺς ἡγεμόνας L. Ἰωάννην τῶν τε ἄλλον M. 21 πλοῦ δ' αὐτοῦ κατὰ L. 22 Λαμπρότατον δὲ E. παρείχετο, βλέπειν L.P.

τρεῖς ἐν ταὐτῷ γεγονότας. Οὐ πολλῶν δὲ ἡμερῶν διελθου- 23
σῶν, ἕνα καὶ κοινὸν ἔγνωσαν τὸν ἐπὶ τοῖς κατωρθωμένοις ποι-
ήσασθαι θρίαμβον, καίπερ ἑκατέρῳ τῆς βουλῆς ἴδιον ψηφι-
σαμένης. Προδιασαφηθείσης δὲ τῆς ἡμέρας, ἐφ' ἧς ἔμελλεν 24
ἡ πομπὴ γενήσεσθαι τῶν ἐπινικίων, οὐδεὶς οἶκοι καταλέλειπτο
τῆς ἀμέτρου πληθύος ἐν τῇ πόλει. Πάντες δὲ ὅπη καὶ στῆ- 25
ναι μόνον ἦν οἷον προεληλυθότες, τοὺς τόπους κατειλήφεσαν,
ὅσον τοῖς ὀφθησομένοις μόνον εἰς πάροδον ἀναγκαίαν κατα-
λιπόντες.

4. Τοῦ δὲ στρατιωτικοῦ παντὸς ἔτι νύκτωρ κατὰ λόχους 26
καὶ τάξεις ὑπὸ τοῖς ἡγεμόσι προεξωδευκότος, καὶ περὶ θύρας
ὄντος, οὐ τῶν ἄνω βασιλείων, ἀλλὰ πλησίον τοῦ τῆς Ἴσιδος
ἱεροῦ — ἐκεῖ γὰρ ἀνεπαύοντο τῆς νυκτὸς ἐκείνης οἱ αὐτοκρά- 27
τορες — περὶ αὐτὴν ἀρχομένην ἤδη τὴν ἕω προΐασιν Οὐεσπα-
σιανὸς καὶ Τίτος, δάφνῃ μὲν ἐστεφανωμένοι, πορφυρᾶς δὲ
ἐσθῆτας πατρίους ἀμπεχόμενοι, καὶ παρίασιν εἰς τοὺς Ὀκτα-
ουΐας περιπάτους· ἐνταῦθα γὰρ ἥ τε βουλὴ καὶ τὰ τέλη τῶν 28
ἀρχόντων, οἵ τε ἀπὸ τῶν τιμημάτων ἱππεῖς, τὴν ἄφιξιν αὐ-
τῶν ἀνέμενον. Πεποίητο δὲ βῆμα πρὸ τῶν στοῶν, δίφρων 29
αὐτοῖς ἐλεφαντίνων ἐπ' αὐτοῦ κειμένων, ἐφ' οὓς παρελθόντες
ἐκαθέσθησαν, καὶ τὸ στρατιωτικὸν εὐθέως ἐπευφήμει, πολ-
λὰς αὐτοῖς τῆς ἀρετῆς μαρτυρίας ἀποδιδόντες ἅπαντες· καὶ 30
ἐκεῖνοι χωρὶς ὅπλων ἦσαν ἐν ἐσθήσεσι σηρικαῖς, ἐστεφανωμέ-
νοι δάφναις. Δεξάμενος δὲ αὐτῶν τὴν εὐφημίαν Οὐεσπα-
σιανὸς, ἔτι βουλομένων λέγειν, τὸ τῆς σιγῆς ἐποιήσατο σύμ-
βολον. Καὶ πολλῆς ἐκ πάντων ἡσυχίας γενομένης, ἀναστὰς, 31
καὶ τῷ περιβλήματι τὸ πλέον τῆς κεφαλῆς μέρος ἐπικαλυ-
ψάμενος, εὐχὰς ἐποιήσατο τὰς νενομισμένας, ὁμοίως δὲ καὶ
Τίτος ηὔξατο. Μετὰ δὲ τὰς εὐχὰς εἰς κοινὸν ἅπασιν Οὐε- 32

ἐν αὐτῷ γεγονότας M. 24 πομπὴ γενέσθαι L. 25 καταλείποντες P.
26 ἡγεμόσι διεξωδευκότος L. ἀλλὰ καὶ πλησίον L.M. περιερχομένην αὐ-
τὴν ἤδη L. περὶ δὲ αὐτὴν ἀρχ. ἤδη M. προσίασιν L. προήασιν P.
29 ἐφ' οὗ pri. ma. sed sec. οὓς T. 30 ἦσαν ἐσθήσεσι L.P.T.E. ἔτι
deest T. 31 ἀποκαλυψάμενος L.M.T.

σπασιανὸς βραχέα διαλεχθεὶς, τοὺς μὲν στρατιώτας ἀπέλυσεν ἐπὶ τὸ νενομισμένον ἄριστον αὐτοῖς ὑπὸ τῶν αὐτοκρατό-
33 ρων εὐτρεπισθέν· πρὸς δὲ τὴν πύλην αὐτὸς ἀνεχώρει, τὴν ἀπὸ τοῦ πέμπεσθαι δι' αὐτῆς ἀεὶ τοὺς θριάμβους τῆς προσ-
34 ηγορίας ἀπ' αὐτῶν τετυχυῖαν. Ἐνταῦθα τροφῆς προαπογεύονται, καὶ τὰς θριαμβικὰς ἐσθῆτας ἀμφιεσάμενοι, τοῖς τε παριδρυμένοις τῇ πύλῃ θύσαντες θεοῖς, ἔπεμπον τὸν θρίαμβον, διὰ τῶν θεάτρων διεξελαύνοντες, ὅπως εἴη τοῖς πλήθεσιν ἡ θέα ῥᾴων.

35 5. Ἀμήχανον δὲ κατὰ τὴν ἀξίαν εἰπεῖν τῶν θεαμάτων ἐκείνων τὸ πλῆθος, καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασιν, οἷς ἄν τις ἐπινοήσειεν, ἢ τεχνῶν ἔργοις, ἢ πλούτου μέρεσιν, ἢ
36 φύσεως σπανιότησι· σχεδὸν γὰρ ὅσα τοῖς πώποτ' ἀνθρώποις εὐδαιμονήσασιν ἐκτήθη κατὰ μέρος, ἄλλα παρ' ἄλλοις θαυμαστὰ καὶ πολυτελῆ, ταῦτ' ἐπὶ τῆς ἡμέρας ἐκείνης ἀθρόα
37 τῆς Ῥωμαίων ἡγεμονίας ἔδειξε τὸ μέγεθος. Ἀργύρου γὰρ καὶ χρυσοῦ καὶ ἐλέφαντος ἐν παντοίαις ἰδέαις κατασκευασμάτων ἦν ὁρᾶν, οὐχ ὥσπερ ἐν πομπῇ κομιζόμενον πλῆθος, ἀλλ',
38 ὡς ἂν εἴποι τις, ῥέοντα ποταμόν· καὶ τὰ μὲν ἐκ πορφύρας ὑφάσματα τῆς σπανιοτάτης φερόμενα, τὰ δ' εἰς ἀκριβῆ ζωγραφίαν πεποικιλμένα τῇ Βαβυλωνίων τέχνῃ· λίθοι τε δια-
39 φανεῖς, οἱ μὲν χρυσοῖς ἐμπεπλεγμένοι στεφάνοις, οἱ δὲ κατ' ἄλλας ποιήσεις, τοσοῦτοι παρηνέχθησαν, ὥστε μαθεῖν, ὅτι
40 μάτην εἶναί τι τούτων σπάνιον ὑπειλήφαμεν. Ἐφέρετο δὲ καὶ θεῶν ἀγάλματα τῶν παρ' αὐτοῖς μεγέθεσι θαυμαστὰ, καὶ κατὰ τὴν τέχνην οὐ παρέργως πεποιημένα· καὶ τούτων οὐδὲν,
41 ὅ τι μὴ τῆς ὕλης τῆς πολυτελοῦς. Ζώων τε πολλαὶ φύσεις παρήγοντο, κόσμον οἰκεῖον ἁπάντων περικειμένων. Ἦν δὲ

32 ἀπέλυσεν ὑπὸ τὸν M. ἀπέστειλεν ἐπὶ τὸν L. ηὐτρεπίσθαι L. εὐτρεπίζεσθαι P. 33 τετυχυίας L.P. 34 τροφῆς τε πρ. E. προαγεύονται L. προσαγεύονται M. προσαπογεύονται P. ἀμφιασάμενοι P.T. θεάτρων συνεξελαύνοντες L.P. θέα ῥᾴων. P. 35 θεαμάτων τὸ πλῆθος M. ἅπασιν ἦν ἄν τις M. 37 Ἀργύρου τε γὰρ E. 38 σπανιωτάτης P.T. 40 τούτων μηδὲν ὅτι L. πεποιημένα. Ζώων τε desunt quæ interjacent, sed in marg. ma. rec. adscripta sunt T. 41 παρήγοντο καὶ κόσμον L.

καὶ τὸ κομίζον ἕκαστα τούτων ἀνθρώπων πλῆθος ἁλουργαῖς
ἐσθήσεσι καὶ διαχρύσοις κεκοσμημένον· οἵ τ' εἰς αὐτὸ τὸ 42
πομπεύειν διακριθέντες ἐξαίρετον εἶχον καὶ καταπληκτικὴν
περὶ αὐτοὺς τοῦ κόσμου τὴν πολυτέλειαν. Ἐπὶ τούτοις
οὐδὲ τῶν αἰχμαλώτων ἦν ἰδεῖν ὄχλον ἀκόσμητον· ἀλλ' ἡ τῶν 43
ἐσθήτων ποικιλία, καὶ τὸ κάλλος αὐτῆς τὴν ἀπὸ τῆς κακώ-
σεως τῶν σωμάτων ἀηδίαν ἔκλεπτε τῆς ὄψεως. Θαῦμα δὲ ἐν
τοῖς μάλιστα παρεῖχεν ἡ τῶν φερομένων πηγμάτων κατα-
σκευή· καὶ γὰρ διὰ μέγεθος ἦν δεῖσαι τῷ βεβαίῳ τῆς φορᾶς 44
ἀπιστήσαντα. Τριώροφα γὰρ αὐτῶν πολλὰ καὶ τετρώ-
ροφα πεποίητο, καὶ τῇ πολυτελείᾳ τῇ περὶ τὴν κατασκευὴν
ἦν ἡσθῆναι μετ' ἐκπλήξεως· καὶ γὰρ ὑφάσματα πολλοῖς διά- 45
χρυσα περιεβέβλητο, καὶ χρυσὸς καὶ ἐλέφας οὐκ ἀποίητος
πᾶσι περιεπεπήγει. Διὰ πολλῶν δὲ μιμημάτων ὁ πόλεμος,
ἄλλως εἰς ἄλλα μεμερισμένος, ἐναργεστάτην ὄψιν ἑαυτοῦ
παρεῖχεν· ἦν γὰρ ὁρᾶν χώραν μὲν εὐδαίμονα δῃουμένην, ὅλας 46
δὲ φάλαγγας κτεινομένας πολεμίων, καὶ τοὺς μὲν φεύγοντας,
τοὺς δὲ εἰς αἰχμαλωσίαν ἀγομένους, τείχη δὲ ὑπερβάλλοντα
μεγέθει μηχαναῖς ἐρειπόμενα, καὶ φρουρίων ἁλισκομένας ὀχυ-
ρότητας, καὶ πόλεων πολυανθρώπων περιβόλους κατ' ἄκρας 47
ἐχομένους, καὶ στρατιὰν ἔνδον τειχῶν εἰσχεομένην, καὶ πάντα
φόνου πληθύοντα τόπον, καὶ τῶν ἀδυνάτων χεῖρας ἀνταίρειν
ἱκεσίας, πῦρ τε ἐνιέμενον ἱεροῖς, καὶ κατασκαφὰς οἴκων ἐπὶ
τοῖς δεσπόταις, καὶ μετὰ πολλὴν ἐρημίαν καὶ κατηφείαν 48
ποταμοὺς ῥέοντας οὐκ ἐπὶ γῆν γεωργουμένην, οὐδὲ ποτὸν
ἀνθρώποις ἢ βοσκήμασιν, ἀλλὰ διὰ τῆς ἔτι πανταχόθεν
φλεγομένης· ταῦτα γὰρ Ἰουδαῖοι πεισομένους αὐτοὺς τῷ

ἐσθῆσι καὶ P. 42 εἰς ταὐτὸ τὸ πομ. P. εἰς αὐτὸ πομ. T. οὐδὲ τὸν αἰχμάλωτον P. et ex cor. T. 43 σωμάτων ἀειδίαν P.E. θαῦμα δ' ἐν αὐτοῖς μάλ. P. 44 φορᾶς ἅπαν ἀπιστήσαντα M. φορᾶς ἁπαντήσαντα E. et T. sed in huj. marg. ead. ma. ἀπιστήσαντα. τετρόροφα L.M.T. τετροώροφα P. καὶ τετρώροφα πολλὰ tr. E. 45 περιβέβλητο L.P. ἄλλος εἰς ἄλλα ex cor. T. ὄψιν αὐτοῦ P. 46 κτηνομένας P. 47 πολυανθρώπους L. ἄκρας ἐρχομένους L. φόνου πλήθοντα P. et ex ras. T. ἱκεσίαις P. 48 ἐρημίαν καὶ κατηφῆ L.T. ἐρημίαν κατηφῆ M.F. φλεγομένης γῆς· ταῦτα L.

πολέμῳ παρέδοσαν. Ἡ τέχνη δὲ καὶ τῶν κατασκευασμάτων ἡ μεγαλουργία τοῖς οὐκ εἰδόσι τὰ γινόμενα τότε ἐδείκνυεν ὡς παροῦσι. Τέτακτο δ' ἐφ' ἑκάστῳ τῶν πηγμάτων ὁ τῆς ἁλισκομένης πόλεως στρατηγὸς, ὃν τρόπον ἐλήφθη. Πολλαὶ δὲ καὶ νῆες εἵποντο. Λάφυρα δὲ τὰ μὲν ἄλλα χύδην ἐφέρετο. Διέπρεπε δὲ πάντων τὰ καταληφθέντα τῷ ἐν Ἱεροσολύμοις ἱερῷ· χρυσῆ τε τράπεζα τὴν ὁλκὴν πολυτάλαντος, καὶ λυχνία χρυσοῦ μὲν ὁμοίως πεποιημένη· τὸ δὲ ἔργον ἐξήλλακτο τῆς κατὰ τὴν ἡμετέραν χρῆσιν συνηθείας. Ὁ μὲν γὰρ μέσος ἦν κίων ἐκ τῆς βάσεως πεπηγὼς, λεπτοὶ δ' ἀπ' αὐτοῦ μεμήκυντο καυλίσκοι, τριαίνης σχήματι παραπλησίαν τὴν θέσιν ἔχοντες, λύχνον ἕκαστος αὐτῶν ἐπ' ἄκρων κεχαλκευμένος. Ἑπτὰ δὲ ἦσαν οὗτοι, τῆς παρὰ τοῖς Ἰουδαίοις ἑβδομάδος τὴν τιμὴν ἐμφανίζοντες. Ὅ τε νόμος ὁ τῶν Ἰουδαίων ἐπὶ τούτοις ἐφέρετο τῶν λαφύρων τελευταῖος. Ἐπὶ τούτοις παρῆσαν πολλοὶ, νίκης ἀγάλματα κομίζοντες. Ἐξ ἐλέφαντος δὲ ἦν πάντων καὶ χρυσοῦ ἡ κατασκευή. Μεθ' ἃ Οὐεσπασιανὸς ἤλαυνε πρῶτος, καὶ Τίτος εἵπετο, Δομετιανὸς δὲ παρίππευεν, αὐτός τε διαπρεπῶς κεκοσμημένος, καὶ τὸν ἵππον παρέχων θέας ἄξιον.

6. Ἦν δὲ τῆς πομπῆς τὸ τέλος ἐπὶ τὸν νεὼν τοῦ Καπιτωλίου Διὸς, ἐφ' ὃν ἐλθόντες ἔστησαν· ἦν γὰρ παλαιὸν πάτριον περιμένειν, μέχρις ἂν τὸν τοῦ στρατηγοῦ τῶν πολεμίων θάνατον ἀπαγγείλῃ τις. Σίμων οὗτος ἦν ὁ Γιώρα, τότε πεπομπευκὼς ἐν τοῖς αἰχμαλώτοις· βρόχῳ δὲ περιβληθεὶς εἰς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐσύρετο τόπον, αἰκιζομένων αὐτὸν ἅμα τῶν ἀγόντων. Νόμος δ' ἐστὶ Ῥωμαίοις ἐκεῖ κτεί-

49 τῶν σκευασμάτων L. τοῖς οὐκ ἰδοῦσι T. γινόμενα omisso τὰ L. M.T. 50 τὰ ἐγκαταληφθέντα E. τῶν Ἱεροσολύμοις ἱερῶν P. 51 χρυσῆ μὲν L. 52 πεπηγὼς deest L. λευκοὶ δ' ἀπ' αὐτοῦ P. μεμύκηντο καυλ. P. ἐπ' ἄκρον T. κεχαλκευμένον M. 54 Μεθ' ἃς Οὐεσπ. L. πρῶτος ἤλαυνε tr. M. δὲ περιίππευεν L.P.T.E. 55 ἐπὶ τῷ νεῷ P. ἂν τοῦ στρατηγοῦ L. 56 ἐν τοῖς αἰχμαλώτοις Hic incipit recentior scriptura et ad usque Cap. 6. §. 23. ad voc. παραλλήλους continuatur. T.

νειν τοὺς ἐπὶ κακουργίᾳ θάνατον κατεγνωσμένους. Ἐπεὶ δ' 57
ἀπηγγέλθη τέλος ἔχειν, καὶ πάντες εὐφήμησαν, ἤρχοντο τῶν
θυσιῶν, ἃς ἐπὶ ταῖς νομιζομέναις καλλιερήσαντες εὐχαῖς, ἀπή-
εσαν εἰς τὸ βασίλειον. Καὶ τοὺς μὲν αὐτοὶ πρὸς εὐωχίαν 58
ὑπεδέχοντο, τοῖς δ' ἄλλοις ἅπασιν εὐπρεπεῖς κατὰ τὸ οἰκεῖον
αἱ τῆς ἑστιάσεως ἦσαν παρασκευαί. Ταύτην γὰρ τὴν ἡμέ- 59
ραν ἡ Ῥωμαίων πόλις ἑώρταζεν, ἐπινίκιον μὲν τῆς κατὰ τῶν
πολεμίων στρατείας, πέρας δὲ τῶν ἐμφυλίων κακῶν, ἀρχὴν δὲ
τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων.

7. Μετὰ δὲ τοὺς θριάμβους, καὶ τὴν βεβαιοτάτην τῆς 60
Ῥωμαίων ἡγεμονίας κατάστασιν Οὐεσπασιανὸς ἔγνω τέμενος
Εἰρήνης κατασκευάσαι· ταχὺ δὲ δὴ μάλα, καὶ πάσης ἀνθρω-
πίνης κρεῖττον ἐπινοίας ἐτετελείωτο. Τῇ γὰρ ἐκ τοῦ πλού- 61
του χορηγίᾳ δαιμονίῳ χρησάμενος, ἔτι καὶ τοῖς ἔκπαλαι
κατωρθωμένοις, γραφῆς τε καὶ πλαστικοῖς ἔργοις αὐτὸ κατε-
κόσμησε· πάντα γὰρ εἰς ἐκεῖνον τὸν νεὼν συνήχθη καὶ κατε- 62
τέθη, δι' ὧν τὴν θέαν ἄνθρωποι πρότερον περὶ πᾶσαν ἐπλα-
νῶντο τὴν οἰκουμένην, ἕως ἄλλο παρ' ἄλλοις ἦν κείμενον,
ἰδεῖν ποθοῦντες. Ἀνέθηκε δὲ ἐνταῦθα καὶ τὰ ἐκ τοῦ ἱεροῦ 63
τῶν Ἰουδαίων χρυσᾶ κατασκευάσματα, σεμνυνόμενος ἐπ' αὐ-
τοῖς. Τὸν δὲ νόμον αὐτῶν, καὶ τὰ πορφυρᾶ τοῦ σηκοῦ
καταπετάσματα, προσέταξεν ἐν τοῖς βασιλείοις ἀποθεμένους
φυλάττειν.

CAP. VI.

1. Εἰς δὲ τὴν Ἰουδαίαν πρεσβευτὴς Λουκίλιος Βάσσος 1
ἐκπεμφθεὶς, καὶ τὴν στρατιὰν παρὰ Κερεαλίου Οὐϊτελλιανοῦ
παραλαβὼν, τὸ μὲν ἐν τῷ Ἡρωδείῳ φρούριον προσηγάγετο

57 τέλος ἔχων L.P.E. 59 ἑόρταζεν P. πολεμίων στρατίας M.P.T. πέρας δὲ τῆς τῶν L.M.P.T. 60 τὴν βεβαιότητα τὴν τῆς P. 61 χορηγείᾳ T. κατορθωμένοις P. γραφῇ τε καὶ E. 62 ὡς ἄλλο παρ' E. 63 Ἀνέθηκε δὲ ἐνταῦθα Hic incipit denuo Cod. N. σεμνυνόμενος ἐπ' αὐτὸν δὲ νόμον N. σηκοῦ σκεύη προσέταξεν L. 1 τὴν τῶν Ἰουδαίων πρεσβ. N. Λούκιος Βάσσος L.M.N.T. τὴν στρατηγίαν L.P. παρὰ Κερελλίου L. Οὐεστιλλιανοῦ L. Οὐετιλιανοῦ M.N. Οὐιτιλιανοῦ T. Ἡρωδίῳ N.

2 μετὰ τῶν ἐχόντων. Μετὰ ταῦτα δὲ πᾶν ὅσον ἦν στρατιωτικὸν συναγαγὼν — πολὺ δὲ ἦν κατὰ μέρη διῃρημένον — καὶ τῶν ταγμάτων τὸ δέκατον, ἔγνω στρατεύειν ἐπὶ Μαχαιροῦντα· πάνυ γὰρ ἦν ἀναγκαῖον ἐξαιρεθῆναι τὸ φρούριον, μὴ διὰ τὴν ὀχυρότητα πολλοὺς εἰς ἀπόστασιν ἐπαγάγηται.
3 Καὶ γὰρ τοῖς κατέχουσι βεβαίαν ἐλπίδα σωτηρίας, καὶ τοῖς ἐπιοῦσιν ὄκνον καὶ δέος ἡ τοῦ χωρίου φύσις ἦν παρασχεῖν ἱκανωτάτη· αὐτὸ μὲν γὰρ τὸ τετειχισμένον πετρώδης ὄχθος ἐστὶν, εἰς μήκιστον ὕψος ἐγηγερμένος, ὡς εἶναι καὶ διὰ τοῦτο
4 δυσχείρωτος. Μεμηχάνηται δὲ ὑπὸ τῆς φύσεως εἶναι μηδὲ προσιτός· φάραγξι γὰρ πάντοθεν ἀσύνοπτον ἐχούσαις τὸ βάθος περιτετάφρευται, μήτε περαθῆναι ῥᾳδίως δυναμέναις,
5 καὶ χωσθῆναι παντάπασιν ἀμηχάνοις. Ἡ μὲν γὰρ ἀπὸ τῆς ἑσπέρας περιτέμνουσα παρατείνει σταδίους ἑξήκοντα, πέρας αὐτῆς τὴν Ἀσφαλτῖτιν ποιουμένη λίμνην. Κατὰ τοῦτο δέ πη καὶ αὐτὸς ὁ Μαχαιροῦς τὴν ὑψηλοτάτην ἔχει κορυφὴν
6 ὑπερανίσχουσαν. Αἱ δὲ ἀπὸ τῆς ἄρκτου καὶ μεσημβρίας φάραγγες μεγέθει μὲν ἀπολείπονται τῆς προειρημένης, ὁμοίως
7 δ' εἰσὶν ἀμήχανοι πρὸς ἐπιχείρησιν. Τῆς δὲ πρὸς τὴν ἀνατολὴν φάραγγος τὸ μὲν βάθος οὐκ ἔλαττον ἑκατὸν εὑρίσκεται πηχῶν, τέρμα δὲ γίνεται πρὸς ὄρος ἀπαντικρὺ κείμενον Μαχαιροῦντος.

8 2. Ταύτην τοῦ τόπου κατιδὼν τὴν φύσιν βασιλεὺς Ἰουδαίων Ἀλέξανδρος, πρῶτος ἐπ' αὐτοῦ τειχίζει φρούριον, ὃ μετὰ ταῦτα Γαβίνιος Ἀριστοβούλῳ πολεμῶν καθεῖλεν.
9 Ἡρῴδῃ δὲ βασιλεύοντι παντὸς ἔδοξε μᾶλλον ἐπιμελείας ἄξιον εἶναι, καὶ κατασκευῆς ὀχυροτάτης, μάλιστα καὶ διὰ τὴν τῶν Ἀράβων γειτνίασιν· κεῖται γὰρ ἐν ἐπικαίρῳ πρὸς τὴν ἐκεί-

2 Μετὰ δὲ ταῦτα N. εἰς ἀποστασίαν P. 3 ἱκανωτάτη· τὸ μὲν γὰρ τετει. N.T. et M. sed in hoc post γὰρ hiatus est rasura factus. 4 μηδὲ προσβατός· T.E. μηδε προσιοντος omnia sine accentu P. ἔχουσαι τὸ L. μήτε πειραθῆναι L. χωσθῆναι πάντοθεν ἀμηχάνοις L. 7 Τῆς δὲ τῆς πρὸς ἀνατ. P. πήχεων L.M.N.P.T. 8 πρῶτος ἀπ' αὐτοῦ M. 9 ἐπιμελείας μᾶλλον tr. M.T. κατασκευῆς ἰσχυροτάτης L. κ. ὀχυρωτάτης T.

νων γῆν ἀποβλέπον. Μέγαν μὲν οὖν τόπον τείχεσι καὶ 10
πύργοις περιβαλὼν πόλιν ἐνταῦθα κατῴκισεν, ἐξ ἧς ἄνοδος
εἰς αὐτὴν ἔφερε τὴν ἀκρώρειαν. Οὐ μὴν ἀλλὰ καὶ περὶ αὐ- 11
τὴν ἄνω τὴν κορυφὴν τεῖχος ἐδείματο, καὶ πύργους ἐπὶ ταῖς
γωνίαις ἑκατὸν ἐξήκοντα πηχῶν ἀνέστησε. Μέσον δὲ τοῦ
περιβόλου βασίλειον ᾠκοδομήσατο, μεγέθει τε καὶ κάλλει
τῶν οἰκήσεων πολυτελές. Πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑπο- 12
δοχὴν ὕδατος, καὶ χορηγίαν ἄφθονον, ἐν τοῖς ἐπιτηδειοτάτοις
τῶν τόπων κατεσκεύασεν, ὥσπερ πρὸς τὴν φύσιν ἀμιλληθείς,
ἵνα αὐτὸς τὸ κατ' ἐκείνην τοῦ τόπου δυσάλωτον ὑπερβάληται
ταῖς χειροποιήτοις ὀχυρώσεσιν. Ἔτι γὰρ καὶ βελῶν πλῆ- 13
θος καὶ μηχανημάτων ἐγκατέθετο, καὶ πᾶν ἐπενόησεν ἑτοιμά-
σασθαι τὸ παρασχεῖν δυνάμενον τοῖς ἐνοικοῦσι μηκίστης
πολιορκίας καταφρόνησιν.

3. Ἐπεφύκει δ' ἐν τοῖς βασιλείοις πήγανον ἄξιον τοῦ 14
μεγέθους θαυμάσαι· συκῆς γὰρ οὐδεμιᾶς ὕψους καὶ πάχους
ἀπελείπετο. Λόγος δὲ ἦν ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ
διαρκέσαι· καὶ ἂν ἐπὶ πλεῖστον ἴσως ἔμεινεν, ἐξεκόπη δὲ ὑπὸ
τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων. Τῆς φάραγγος 15
δὲ τῆς κατὰ τὴν ἄρκτον περιεχούσης τὴν πόλιν Βαάρας ὀνο-
μάζεταί τις τόπος, καὶ φύει ῥίζαν ὁμωνύμως λεγομένην αὐτῷ.
Αὕτη φλογὶ μὲν τὴν χροιὰν ἔοικε, περὶ δὲ τὰς ἑσπέρας σέλας 16
ἀπαστράπτουσα· τοῖς δ' ἐπιοῦσι καὶ βουλομένοις λαβεῖν αὐ-
τὴν οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει, καὶ οὐ πρότερον 17
ἵσταται, πρὶν ἄν τις οὖρον γυναικὸς, ἢ τὸ ἔμμηνον αἷμα χέῃ
κατ' αὐτῆς· οὐ μὴν ἀλλὰ καὶ τότε τοῖς ἁψαμένοις πρόδηλός
ἐστι θάνατος, εἰ μὴ τύχῃ τις αὐτὴν ἐκείνην ἐπενεγκάμενος τὴν
ῥίζαν ἐκ τῆς χειρὸς ἀπηρτημένην. Ἁλίσκεται δὲ καὶ καθ' 18

ἀποβλέπων P. 10 Μέγα μὲν T. 11 πήχεων T.E. 12 δεξαμέ-
νας P. ὑπερβάλληται T. 13 Ἔτι τε γὰρ M.N.T.E. ἐνοικοῦσι μήκει
τῆς πολ. L. 14 Ἐπεφύη δ' ἐν L. βασιλείοις καὶ πήγανον P.E. ἐπε-
λείπετο M. ἐλείπετο N.P. καὶ ἐπὶ πλεῖστον L. 15 πόλιν Βαὰρ L.
τόπος φύει ῥίζαν L.N.P. τόπος φύει τε ῥ. E. τόπος καὶ φύει τε ῥ. T.
αὐτῷ αὐτῆ. φλογὶ P. 16 τὴν χροὰν L. τοῖς ἐπιοῦσι M.N.T.

ἕτερον τρόπον ἀκινδύνως, ὅς ἐστι τοιόσδε. Κύκλῳ πᾶσαν αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ κρυπτόμενον τῆς ῥίζης βρα-
19 χύτατον. Εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι κύνα, καὶ ἐκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος, ἡ μὲν ἀνασπᾶται ῥαδίως, θνήσκει δ' εὐθὺς ὁ κύων, ὥσπερ ἀντιδοθεὶς τοῦ μέλλοντος τὴν
20 βοτάνην ἀναιρήσεσθαι. Φόβος γὰρ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. Ἔστι δὲ μετὰ τοσούτων κινδύνων διὰ μίαν
21 ἰσχὺν περισπούδαστος. Τὰ γὰρ καλούμενα δαιμόνια — ταῦτα δὲ πονηρῶν ἐστιν ἀνθρώπων πνεύματα — τοῖς ζῶσιν εἰσδυόμενα καὶ κτείνοντα τοὺς βοηθείας μὴ τυγχάνοντας, αὕτη τα-
22 χέως ἐξελαύνει, κἂν προσενεχθῇ μόνον τοῖς νοσοῦσι. Ῥέουσι δὲ καὶ θερμῶν ὑδάτων πηγαὶ κατὰ τὸν τόπον, πολὺ τὴν γεῦσιν ἀλλήλων διαφέρουσαι· πικραὶ μὲν γὰρ αὐτῶν τινές εἰσιν,
23 αἱ δὲ γλυκύτητος οὐδὲν ἀπολείπουσαι. Πολλαὶ δὲ καὶ ψυχρῶν ὑδάτων ἀναδόσεις οὐ μόνον ἐν τῷ χθαμαλωτέρῳ τὰς πηγὰς παραλλήλους ἔχουσιν, ἀλλ' ὡς ἂν καὶ μᾶλλόν τις θαυμάσειε· σπήλαιόν γάρ τι πλησίον ὁρᾶται, κοιλότητι μὲν οὐ
24 βαθύ, τῇ πέτρᾳ δὲ προεχούσῃ σκεπόμενον· ταύτης ἄνωθεν ὡσανεὶ μαστοὶ δύο ἀνέχουσιν, ἀλλήλων ὀλίγῳ διεστῶτες, καὶ ψυχροτάτην μὲν ἄτερος πηγήν, ἄτερος δὲ θερμοτάτην ἐκδί-
25 δωσιν· αἱ μισγόμεναι ποιοῦσι λουτρὸν ἥδιστον, παιώνιόν τε νοσημάτων, πολλῷ δὲ μάλιστα νεύρων ἄκεσιν. Ἔχει δὲ ὁ τόπος καὶ θείου καὶ στυπτηρίας μέταλλα.

26 4. Βάσσος δὲ πάντῃ περισκεψάμενος τὸ χωρίον, ἔγνω ποιεῖσθαι τὴν πρόσοδον, χωννὺς τὴν φάραγγα τὴν πρὸς ταῖς ἀνατολαῖς. Καὶ τῶν ἔργων εἴχετο, σπουδὴν ποιούμενος ἢ τάχος ἐξάραι τὰ χώματα, καὶ δι' αὐτῶν ῥαδίαν ποιῆσαι τὴν

18 ὅστις ἐστι τοιόσδε M. 19 ὁρμήσαντος, εἰ μὲν M. εὐθέως L. 20 Φόβος δ' οὐδεὶς E. 21 ταῦτα δ' ἐπὶ πονηρῶν ἀνθρώπων ἐστὶ L. μὴ τυχόντας, αὕτη L. 22 ἀπολείπουσι L.N.E. 23 παραλλήλως L. M.N. ἔχουσαι P. et ex cor. T. Hic incipit denuo vetus scriptura T. σπήλαιον μὲν γάρ τι M. σπήλαιόν τι E. 24 ἄνω ὡσανεὶ M. ὀλίγων M. 25 παιώνειόν τε M. πολλῷ δὲ μᾶλλον L.M. 26 πάντῃ deest L.N.P.T. καὶ τῶν ἄλλων ἔργων L. ἢ τάχος P. ἐξάραι τὸ χῶμα καὶ δι' αὐτοῦ L.P.

πολιορκίαν. Οἱ δ' ἔνδον ἀπειλημμένοι τῶν Ἰουδαίων, αὐτοὶ 27
καθ' ἑαυτοὺς ἀπὸ τῶν ξένων διακριθέντες, ἐκείνους μὲν ἠνάγκα-
σαν, ὄχλον ἄλλως εἶναι νομίζοντες, ἐν τῇ κάτω πόλει παρα-
μένειν, καὶ τοὺς κινδύνους προεκδέχεσθαι. Τὸ δ' ἄνω φρού- 28
ριον αὐτοὶ καταλαβόντες εἶχον, καὶ διὰ τὴν ἰσχὺν τῆς ὀχυ-
ρότητος, καὶ προνοίᾳ τῆς σωτηρίας αὐτῶν· τεύξεσθαι γὰρ
ἀφέσεως ὑπελάμβανον, εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσειαν.
Πείρᾳ δὲ πρότερον ἐβούλοντο τὰς ὑπὲρ τοῦ διαφεύξεσθαι 29
τὴν πολιορκίαν ἐλπίδας ἐλέγξαι. Διὰ τοῦτο καὶ προθύμως
ἐποιοῦντο τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι
συμπλεκόμενοι, πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν Ῥω-
μαίων ἀνῄρουν. Ἀεὶ δὲ τοῦ κρατεῖν ὁ καιρὸς ἐβράβευεν 30
ἑκατέροις τὸ πλέον· τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς ἀφυλακτοτέ-
ρους προσπέσοιεν, τοῖς δὲ ἐπὶ τῶν χωμάτων προειδομένοις, εἰ
τὴν ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένως. Ἀλλ' οὐκ ἐν 31
τούτοις ἔμελλε γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας· ἔργον
δέ τι πραχθὲν ἐκ συντυχίας παράλογον τῆς παραδόσεως τοῦ
φρουρίου τὴν ἀνάγκην ἐπέστησε τοῖς Ἰουδαίοις. Ἦν ἐν τοῖς 32
πολιορκουμένοις νεανίας τολμῆσαί τε θρασὺς καὶ κατὰ χεῖρα
δραστήριος, Ἐλεάζαρος ὄνομα. Ἐγεγόνει δὲ οὗτος ἐν ταῖς 33
ἐκδρομαῖς ἐπιφανὴς, τοὺς πολλοὺς ἐξιέναι καὶ κωλύειν τὴν
χῶσιν παρακαλῶν, καὶ κατὰ τὰς μάχας πολλὰ καὶ δεινὰ τοὺς
Ῥωμαίους διατιθεὶς, τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκτρέχειν 34
ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ παρέχων
τὴν ἀναχώρησιν τῷ τελευταῖος ἀπιέναι. Καὶ δή ποτε τῆς 35
μάχης διακριθείσης, καὶ γεγονυίας ἀμφοτέρων ἀναχωρήσεως,
αὐτὸς ἅτε δὴ περιφρονῶν, καὶ νομίζων οὐκ ἂν ἔτι τῶν πολε-
μίων οὐδένα τότε μάχης ἄρξειν, μείνας τῶν πυλῶν ἔξω, τοῖς 36

28 αὐτοὶ καταλαμβάνοντες L. εἶχον, διὰ τὴν P. τῆς ἰσχυρότητος καὶ N.T. καὶ πρόνοιαν M. ἐγχειρήσειαν L.P. 29 πρότερον ἐβουλεύοντο L. διαφεύξασθαι L.N. καὶ προθύμους T. 30 τὸ κρατεῖν P. ἐβράβευεν ἐν ἑκατ. L. ἀφυλακτοτέροις L. προϊδομένοις, εἰ N. εἰ προειδόμενοι E. πεφραμένως N.P.E. 32 τολμῇ τε θρασὺς L. 33 Γεγόνει N.P.T. δ' αὐτὸς ἐν ταῖς L. 34 ὑπεκτρέχειν M. τὸ τελευτ. P. τελευτ. ἀπεῖναι M.N.T.

ἐπὶ τοῦ τείχους διελάλει, καὶ πᾶς πρὸς ἐκείνους τὴν διάνοιαν
ἦν. Ὁρᾷ δὲ τὸν καιρὸν τοῦ Ῥωμαϊκοῦ τις στρατοπέδου
37 Ῥοῦφος, γένος Αἰγύπτιος· καὶ μηδενὸς ἂν προσδοκήσαντος
ἐξαίφνης ἐπιδραμὼν, σὺν αὐτοῖς ἁράμενος αὐτὸν τοῖς ὅπλοις,
ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόντας ἔκπληξις, φθάνει
38 τὸν ἄνδρα μεταθεὶς πρὸς τὸ Ῥωμαίων στρατόπεδον. Τοῦ
δὲ στρατηγοῦ κελεύσαντος γυμνὸν διαλαβεῖν αὐτὸν, καὶ κατα-
στήσαντας εἰς τὸ φανερώτατον τοῖς ἐκ τῆς πόλεως ἀποβλέ-
39 πουσι μάστιξιν αἰκίζεσθαι, σφόδρα τοὺς Ἰουδαίους τὸ περὶ
τὸν νεανίαν πάθος συνέχεεν, ἀθρόα τε ἡ πόλις ἀνώμωξε, καὶ
40 θρῆνος ἦν μείζων ἢ καθ' ἑνὸς ἀνδρὸς συμφοράν. Τοῦτο συν-
ιδὼν ὁ Βάσσος κατὰ τῶν πολεμίων ἀρχὴν ἐποιήσατο στρα-
τηγήματος, καὶ βουληθεὶς αὐτῶν ἐπιτεῖναι τὸ περιαλγὲς, ἵνα
βιασθῶσιν ἀντὶ τῆς σωτηρίας τοῦ ἀνδρὸς ποιήσασθαι τοῦ
41 φρουρίου παράδοσιν, τῆς ἐλπίδος οὐ διήμαρτεν. Ὁ μὲν γὰρ
προσέταξε κατατηγνύναι σταυρὸν, ὡς αὐτίκα κρεμῶν τὸν
Ἐλεάζαρον· τοῖς δὲ ἀπὸ τοῦ φρουρίου τοῦτο θεασαμένοις
ὀδύνη τε πλείων προσέπεσε, καὶ διωλύγιον ἀνώμωζον, οὐκ
42 ἀνασχετὸν εἶναι τὸ πάθος βοῶντες. Ἐνταῦθα δὴ τοίνυν
Ἐλεάζαρος ἱκέτευεν αὐτοὺς, μήτ' αὐτὸν περιϊδεῖν ὑπομείναντα
θανάτων τὸν οἰκτιστον, καὶ σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρα-
σχεῖν τῇ Ῥωμαίων εἴξαντας ἰσχύϊ καὶ τύχῃ, μετὰ πάντας
43 ἤδη κεχειρωμένους. Οἱ δὲ καὶ πρὸς τοὺς ἐκείνου λόγους
κατακλώμενοι, καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων, ἦν γὰρ
ἐκ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας, παρὰ
44 τὴν αὐτῶν φύσιν εἰς οἶκτον ἐνέδωκαν· καί τινας ἐξαποστεί-
λαντες κατὰ τάχος, διελέγοντο ποιεῖσθαι τὴν παράδοσιν τοῦ
φρουρίου, ἀξιοῦντες, ἵνα ἀδεεῖς ἀπαλλάττωνται κομισάμενοι

36 πρὸς ἐκείνοις L.P. ὁρᾷ δὲ αὐτόν τις τοῦ Ῥωμαϊκοῦ M. 37 μετα-
θεὶς εἰς L. μετατιθεὶς πρὸς P. τὸ Ῥωμαϊκὸν στρα. P. 38 καταστή-
σαντος M. 39 σφόδρα δὲ τοὺς P. τό τε περὶ τὸν L. ἀθρόα δὲ ἡ
M.E. 41 καταπήγνυσθαι L.E. κρεμνῶν τὸν L.P. τοὺς δ' ἀπὸ τοῦ
L.P. τοῦτο θεασαμένους P. θεασαμένους τοῦτο L. ἀνώμοζον L.N.P.
42 θάνατον τὸν L.E. 43 τὴν αὐτὴν φύσιν N. 44 καί τινες P.

τὸν Ἐλεάζαρον. Δεξαμένων δὲ τῶν Ῥωμαίων καὶ τοῦ 45
στρατηγοῦ ταῦτα, τὸ πλῆθος τῶν ἐν τῇ κάτω πόλει, τὴν
γεγενημένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυθόμενοι σύμβασιν, αὐτοὶ
κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδράναι. Τὰς πύλας δὲ 46
αὐτῶν ἀνοιξάντων, παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων
πρὸς τὸν Βάσσον ἦκε μήνυσις, εἴτ' οὖν τῆς σωτηρίας αὐτοῖς
φθονησάντων, εἴτε καὶ διὰ δέος, μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι
τῆς ἐκείνων ἀποδράσεως. Οἱ μὲν οὖν ἀνδρειότατοι τῶν ἐξ- 47
ιόντων ἔφθασαν διεκπαίσασθαι, καὶ διαφυγεῖν· τῶν δ' ἔνδον
καταληφθέντων ἄνδρες μὲν ἀνῃρέθησαν ἐπὶ τοῖς χιλίοις ἑπτα-
κόσιοι, γύναια δὲ καὶ παῖδες ἠνδραποδίσθησαν. Τὰς δὲ πρὸς 48
τοὺς παραδόντας τὸ φρούριον ὁμολογίας οἰόμενος δεῖν ὁ
Βάσσος διαφυλάττειν, αὐτούς τε ἀφίησι καὶ τὸν Ἐλεάζαρον
ἀπέδωκεν.

5. Ταῦτα δὲ διοικησάμενος, ἠπείγετο τὴν στρατιὰν ἄγων 49
ἐπὶ τὸν προσαγορευόμενον Ἰάρδην δρυμόν· πολλοὶ γὰρ εἰς
αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι, τῶν κατὰ τὰς πολιορκίας πρό-
τερον ἔκ τε Ἱεροσολύμων καὶ Μαχαιροῦντος ἀποδράντων.
Ἐλθὼν οὖν ἐπὶ τὸν τόπον, καὶ γνοὺς τὴν ἀγγελίαν οὐκ 50
ἐψευσμένην, πρῶτον μὲν τοῖς ἱππεῦσιν ἅπαν κυκλοῦται τὸ
χωρίον, ὅπως τοῖς διεκπαίεσθαι τολμῶσι τῶν Ἰουδαίων ἄπο-
ρος ἡ φυγὴ γίνηται διὰ τοὺς ἱππέας· τοὺς δὲ πεζοὺς ἐκέ- 51
λευσε δενδροτομεῖν τὴν ὕλην, εἰς ἣν καταπεφεύγεσαν. Καθί-
στανται δὲ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ Ἰουδαῖοι τοῦ δρᾶν τι
γενναῖον, ὡς ἐκ τοῦ παραβόλως ἀγωνισάσθαι τάχα ἂν καὶ
διαφυγόντες. Ἀθρόοι δὴ καὶ μετὰ βοῆς αἴξαντες, ἐνέπιπ- 52
τον τοῖς κεκυκλωμένοις. Οἱ δὲ αὐτοὺς ἐδέχοντο καρτερῶς,

45 νύκτα μαθόντες N. 46 σωτηρίας αὐτῶν φθον. L.M. σωτ. αὐτῶν φθονεσάντων P. εἴτε διὰ δέος N. 47 διεκπέσασθαι N.E. et pri. ma. T. καὶ διέφυγον· τῶν E. καταλειφθέντων L. ἑπτακοσίοις L. 48 δεῖν deest N.T. 49 ἐπείγετο P. 50 διεκπέεσθαι N. γίνεται διὰ M. 51 ἐκέλευε M.N. ἐκ παραβόλου ἀγωνίσασθαι L.M.N. ἐκ παραλόγου ἀγω. P. ἐκ τοῦ παραβόλου ἀγω. T. ἐκπαραβόλως ἀγωνισάμενοι E. καὶ διαφύγοιεν. E. 52 Ἀθρόοι δὲ L. desunt P. τοῖς κεκλωμένοις L.

καὶ πολλῇ τῶν μὲν ἀπονοίᾳ, τῶν δὲ φιλονεικίᾳ χρωμένων,
53 χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προέβη, τέλος δὲ
αὐτῆς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις. Ῥωμαίων μὲν
γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν, ὀλίγους τε τρωθῆναι·
54 τῶν Ἰουδαίων δ' ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ἀλλ'
ὄντες οὐκ ἐλάττους τρισχιλίων πάντες ἀπέθανον, καὶ στρα-
55 τηγὸς αὐτῶν Ἰούδας ὁ Ἰαείρου παῖς, περὶ οὗ πρότερον εἰρή-
καμεν, ὅτι τάξεως ἡγούμενός τινος ἐν τῇ πολιορκίᾳ τῶν Ἱε-
ροσολύμων κατά τινας διαδὺς τῶν ὑπονόμων ἔλαθεν ἀπο-
δράς.

56 6. Περὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ,
καὶ Λιβερίῳ Μαξίμῳ — οὗτος δὲ ἦν ἐπίτροπος, — κελεύων
πᾶσαν γῆν ἀποδόσθαι τῶν Ἰουδαίων. Οὐ γὰρ κατῴκισεν
57 ἐκεῖ πόλιν, ἰδίαν αὐτῷ τὴν χώραν φυλάττων· ὀκτακοσίοις δὲ
μόνοις, ἀπὸ τῆς στρατιᾶς διαφειμένοις, χωρίον ἔδωκεν εἰς κα-
τοίκησιν, ὃ καλεῖται μὲν Ἀμμαοῦς, ἀπέχει δὲ τῶν Ἱεροσολύ-
58 μων σταδίους ἑξήκοντα. Φόρον δὲ τοῖς ὁπουδήποτ' οὖσιν
Ἰουδαίοις ἐπέβαλε, δύο δραχμὰς ἕκαστον κελεύσας ἀνὰ πᾶν
ἔτος εἰς τὸ Καπιτώλιον φέρειν, ὥσπερ πρότερον εἰς τὸν ἐν
Ἱεροσολύμοις νεὼν συνετέλουν. Καὶ τὰ μὲν Ἰουδαίων τότε
τοιαύτην εἶχε κατάστασιν.

CAP. VII.

1 1. Ἤδη δὲ ἔτος τέταρτον Οὐεσπασιανοῦ διέποντος τὴν
ἡγεμονίαν, συνέβη τὸν βασιλέα τῆς Κομμαγηνῆς Ἀντίοχον
μεγάλαις συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν, ἀπὸ τοιαύτης
2 αἰτίας. Καισέννιος Παῖτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε καθ-
εστηκὼς, εἴτ' οὖν ἀληθεύων, εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον
ἔχθραν — οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέγχθη — γράμματα

53 τέλος δὲ αὐτοῖς οὐχ P.E. 54 διέφυγεν, ἀλόντες οὐκ L.M.P. καὶ ὁ στρατηγὸς T. et sec. ma. M. ὁ τοῦ Ἀρὶ L. ὁ τοῦ Ἀρεῖ M.N.P.T. 55 ὑποδράς. L.N.T. 56 ἐπέστελλε L. ἰδίαν αὐτῶν τὴν M.N. P.T. 57 διαφιεμένοις L.N.T.E. σταδίους τριάκοντα. Φόρον L.N.P.T. 58 ὁπουδηποτοῦν οὖσιν P. 1 Κομμαγινῆς P. πανυκεσίᾳ P. 2 Κεσσένιος Πέτος L.P. Κεσένιος Πέτος M.N.T. et sic infra.

πρὸς Καίσαρα διεπέμψατο, λέγων 'τὸν Ἀντίοχον μετὰ τοῦ 3
παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθή-
κας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον· δεῖν οὖν 4
προκαταλαβεῖν αὐτοὺς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρ-
ξασθαι πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν.
Ἔμελλε δὲ Καῖσαρ τοιούτου μηνύματος αὐτῷ προσπεσόντος
μὴ περιορᾶν. Καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ 5
πρᾶγμα μείζονος ἄξιον προνοίας. Τὰ γὰρ Σαμόσατα, τῆς
Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸν Εὐφράτην,
ὥστε εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον διενενόητο, ῥᾳστην 6
μὲν τὴν διάβασιν, βεβαίαν δὲ τὴν ὑποδοχήν.' Πιστευθεὶς
οὖν ὁ Παῖτος, καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέ-
ρειν, οὐκ ἐμέλλησεν· ἐξαίφνης δὲ, τῶν περὶ τὸν Ἀντίοχον 7
οὐδὲν προσδοκώντων, εἰς τὴν Κομμαγηνὴν ἐνέβαλε, τῶν μὲν
ταγμάτων ἄγων τὸ ἕκτον, καὶ πρὸς τουτῷ λόχους καί τινας
ἴλας ἱππέων. Συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ, τῆς μὲν 8
Χαλκιδικῆς λεγομένης Ἀριστόβουλος, τῆς Ἐμέσης δὲ καλου-
μένης Σόεμος. Ἦν δὲ αὐτοῖς τὰ περὶ τὴν εἰσβολὴν ἀναν-
ταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε χεῖρας 9
ἀνταίρειν. Ἀντίοχος δὲ, τῆς ἀγγελίας ἀδοκήτως προσπε-
σούσης, πολέμου μὲν οὐδ' ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν·
ἔγνω δὲ, πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ σχήματος κατα- 10
λιπὼν, μετὰ γυναικὸς καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμε-
νος καθαρὸν Ῥωμαίοις ἑαυτὸν ἀποδείξαι τῆς ἐπενηνεγμένης
αἰτίας. Καὶ προελθὼν ἀπὸ τῆς πόλεως ἑκατὸν σταδίους 11
πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον, ἐν αὐτῷ καταυλίζεται.

2. Παῖτος δ' ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταληψομέ- 12
νους ἀποστέλλει, καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν· αὐτὸς δὲ
μετὰ τῆς ἄλλης δυνάμεως ἐπ' Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν.

4 Ἔμελλε Καῖσαρ P. 5 Κομμ. μετέστη πόλις P. 6 πιστευθεὶς οὖν Π. M.N. πιστευθεὶς ὁ Π. P. οὐκ ἐμέλησεν L. 7 οὐδὲ προσδοκ. E. προσδοκόντων L.M.P. πρὸς τοῦτο λόχους L.N.P.E. τινας εἴλας N. 8 τῆς μὲν Χαλκίδης P. καλούμενος Σόλιμος P. καλούμενος Σόεμος E. 9 Ἀντίοχος δὲ ἀγγελίας E. 10 καταλείπων P. ὑπενηνεγμένης M.

13 Οὐ μὴν ὁ βασιλεὺς οὐδ' ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαί τι
πρὸς Ῥωμαίους πολεμικὸν, ἀλλὰ τὴν αὐτοῦ τύχην ὀδυρόμε-
14 νος ὅ τι δέοι παθεῖν ὑπέμενε· νέοις δὲ, καὶ πολέμων ἐμπεί-
ροις, καὶ ῥώμῃ σωμάτων διαφέρουσιν, οὐ ῥᾴδιον ἦν τοῖς παι-
σὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν. Τρέπονται οὖν
15 πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. Σφοδρᾶς δὲ τῆς
μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης, αὐτοὶ τὴν ἀν-
δρίαν διαπρεπῆ παρέσχον, καὶ μηδὲν ἐλαττωθείσῃ τῇ σφετέρᾳ
16 δυνάμει, ἑσπέρας διελύθησαν. Ἀντιόχῳ δὲ οὐδ' ἐπὶ τῇ μάχῃ
τοῦτον κεχωρηκυίᾳ τὸν τρόπον, μένειν ἀνεκτὸν ἐδόκει· λαβὼν
δὲ τὴν γυναῖκα καὶ τὰς θυγατέρας, μετ' ἐκείνων ἐποιεῖτο φυ-
γὴν εἰς Κιλικίαν, καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰ-
17 κείων στρατιωτῶν κατέκλασεν. Ὡς γὰρ ἀπεγνωσμένης ὑπ'
αὐτοῦ τῆς βασιλείας ἀπέστησαν, καὶ πρὸς τοὺς Ῥωμαίους
18 μετεβάλοντο· καὶ πάντων πρόδηλος ἦν ἀπόγνωσις. Πρὶν
οὖν τελέως ἐρημωθῆναι τῶν συμμάχων, τοῖς περὶ τὸν Ἐπι-
φανῆ σώζειν αὐτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον. Καὶ
γίνονται δέκα σύμπαντες ἱππεῖς οἱ μετ' αὐτοῦ τὸν Εὐφράτην
19 διαβάντες, ἔνθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν Πάρ-
θων Βολογέσην κομισθέντες, οὐχ ὡς φυγάδες ὑπερηφανήθη-
σαν, ἀλλ' ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν πάσης
τιμῆς ἠξιώθησαν.

20 3. Ἀντιόχῳ δὲ εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας ἑκα-
τοντάρχην Παῖτος ἐπιπέμψας, δεδεμένον αὐτὸν εἰς Ῥώμην
21 ἀπέστειλεν. Οὐεσπασιανὸς δὲ οὐχ ὑπέμεινεν οὕτω πρὸς αὐ-
τὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλ-
λον αἰδῶ λαβεῖν, ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν ἀπαραί-

13 μὴν οὖν ὁ βασ. N. 14 πρὸς τὴν ἀλκὴν sed τὴν ex adj. M. 15 ἡμέραν γενομένην P. παρεῖχον, καὶ L. ἑσπέρᾳ L.M.N.P.T. 16 ἐποιεῖτο τὴν φυγὴν L.M. ἐποιεῖτο φυγεῖν P. εἰς τὴν Κιλικίαν M. 17 ὡς γὰρ κατεγνωσμένης P.T. μετεβάλλοντο T.E. καὶ τούτων πάντων M. καὶ τούτων N.T. ἦν ἡ ἀπόγνωσις ex cor. antiqua M. 18 τοὺς περὶ τὸν T. σώζειν αὐτοῖς ἐκ M. μετ' αὐτὸν τὸν L. μετ' αὐτῶν τὸν M. N.T. Εὐφράτην διαλαβόντες N.P.T. 21 οὕτως οὐχ ὑπέμεινεν tr. P. βασιλέα, παλαιᾶς ἄξιον P.

τητον ὀργὴν διαφυλάττειν. Κελεύει δὴ καθ' ὁδὸν ἔτ' ὄντος 22
αὐτοῦ τῶν δεσμῶν ἀφαιρεθῆναι, καὶ παρέντα τὴν εἰς Ῥώμην
ἄφιξιν, τὸ νῦν ἐν Λακεδαίμονι διάγειν· δίδωσί τε μεγάλας
αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον, ἀλλὰ
καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. Ταῦτα τοῖς περὶ τὸν Ἐπι- 23
φανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιό-
σιν, ἀνείθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος.
Ἐλπὶς δὲ καὶ αὐτοῖς τῶν παρὰ Καίσαρος διαλλαγῶν ἐγέ-
νετο, Βολογέσου περὶ αὐτῶν ἐπιστείλαντος· οὐδὲ γὰρ εὐ- 24
δαιμονοῦντες ὑπέμενον ἔξω τῆς Ῥωμαίων ζῆν ἡγεμονίας.
Δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς τὴν ἄδειαν, εἰς Ῥώμην
παρεγένοντο· τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ τῆς Λακεδαίμονος
εὐθὺς ἐλθόντος, πάσης ἀξιούμενοι τιμῆς κατέμενον ἐνταῦθα.

4. Τὸ δὲ τῶν Ἀλανῶν ἔθνος, ὅτι μέν εἰσι Σκύθαι περὶ τὸν 25
Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες, πρότερον δή-
που δεδηλώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες
εἰς τὴν Μηδίαν, καὶ προσωτέρω ταύτης ἔτι καθ' ἁρπαγὴν 26
ἐμβαλεῖν, τῷ βασιλεῖ τῶν Ὑρκανῶν διαλέγονται· τῆς παρό-
δου γὰρ οὗτος δεσπότης ἐστὶν, ἣν ὁ βασιλεὺς Ἀλέξανδρος
πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. Καὶ ἐκείνου τὴν εἴσοδον 27
αὐτοῖς παρασχόντος, ἀθρόοι καὶ μηδὲν προυποπτεύσασι τοῖς
Μήδοις ἐπιπεσόντες, χώραν πολυάνθρωπον καὶ παντοίων
ἀνάμεστον βοσκημάτων διήρπαζον, μηδενὸς αὐτοῖς τολμῶντος
ἀνθίστασθαι. Καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας Πάκορος 28
ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφυγὼν, τῶν μὲν ἄλλων
ἁπάντων παρακεχωρήκει, μόλις δὲ παρ' αὐτῶν ἐρρύσατο τήν
τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχμαλώτους γενομένας, ἑκα-
τὸν δοὺς τάλαντα. Μετὰ πολλῆς οὖν ῥαστώνης ἀμαχεὶ 29

22 Κελεύει δὲ καθ' ὁδὸν ὄντος L. τῶν δεσμῶν ἀφαιρεθέντα N.P.E. τὸν δέσμον ἀφαιρεθῆναι T. εἰς τὴν Ῥώμην N.P.T.E. δίδωσι δὲ μεγ. L. ἔχοι δίαιταν L.P. 23 Ἐπιφάνην N. ἀνέθησαν αἱ L. Βουλογέσου P. 24 Καίσαρος ἡμέρας αὐτοῖς M. 25 Μαιώτην P. πρότερόν που δεδ. L. N.P.T. εἰς τὴν Μήδειαν P. 26 ἁρπαγὴν ἐμβάλλειν L. δεσπότης ἦν, ἣν M. 27 παντοίων ἀνάμεσον β. L. 28 ὁ βασιλεὺς τῆς P.

ποιούμενοι τὰς ἁρπαγὰς, μέχρι τῆς Ἀρμενίας προῆλθον,
30 πάντα λεηλατοῦντες. Τηριδάτης δὲ αὐτῆς ἐβασίλευεν, ὃς
ὑπαντιάσας αὐτοῖς, καὶ ποιησάμενος μάχην, παρὰ μικρὸν ἦλ-
θεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως. Βρόχον γὰρ
αὐτῷ τις πόρρωθεν περιβαλὼν ἔμελλεν ἐπισπάσειν, εἰ μὴ τῷ
31 ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας ἔφθη διαφυγεῖν. Οἱ
δὲ καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριωθέντες, τὴν μὲν χώ-
ραν ἐλυμήναντο· πολὺ δὲ πλῆθος ἀνθρώπων καὶ τῆς ἄλλης
λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν, πάλιν εἰς τὴν οἰ-
κείαν ἐκομίσθησαν.

CAP. VIII.

1 1. Ἐπὶ δὲ τῆς Ἰουδαίας Βάσσου τελευτήσαντος, Φλα-
ούϊος Σίλβας διαδέχεται τὴν ἡγεμονίαν· καὶ τὴν μὲν ἄλλην
ἅπασαν ὁρῶν τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρού-
ριον ἀφεστηκὸς, ἐστράτευσεν ἐπὶ τοῦτο πᾶσαν τὴν ἐν τοῖς
2 τόποις δύναμιν συναγαγών. Καλεῖται δὲ τὸ μὲν φρούριον
Μασάδα, προειστήκει δὲ τῶν κατειληφότων αὐτὸ σικαρίων
δυνατὸς ἀνὴρ Ἐλεάζαρος, ἀπόγονος Ἰούδα τοῦ πείσαντος
Ἰουδαίων οὐκ ὀλίγους, ὡς πρότερον δεδηλώκαμεν, μὴ ποιεῖ-
σθαι τὰς ἀπογραφὰς, ὅτε Κυρήνιος τιμητὴς εἰς τὴν Ἰουδαίαν
3 ἐπέμφθη. Τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς ὑπα-
κούειν Ῥωμαίων θέλοντας, καὶ πάντα τρόπον ὡς πολεμίοις
προσεφέροντο, τὰς μὲν κτήσεις ἁρπάζοντες, καὶ περιελαύ-
4 νοντες, ταῖς δὲ οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες· οὐδὲν γὰρ ἀλ-
λοφύλων αὐτοὺς ἔφασκον διαφέρειν, οὕτως ἀγεννῶς τὴν περι-
μάχητον Ἰουδαίοις ἐλευθερίαν προεμένους, καὶ δουλείαν αἱ-
5 ρεῖσθαι τὴν ὑπὸ Ῥωμαίοις ἀνωμολογηκότας. Ἦν δὲ ἄρα

30 Τιριδάτης N.P. αὐτῷ περιβαλών τις ἔμελλεν P. 31 τὴν χώραν L.N.P.T. τῶν βασιλέων N.T. οἰκείαν ἀνεκομίσθησαν P. 1 Φλούβιος M. Φλούιος N.P. ὁρῶν ἅπασαν tr. L.P. φρούριον ἀνθεστηκὸς M. ἐπὶ τούτῳ N. 2 τὸ φρούριον L. προιστήκει P. κατειληφότων αὐτῷ P. Ἰουδαίους οὐκ ὀλίγους P. Κυρίνιος P. et ex cor. T. 3 ἐπὶ τοὺς ὑπακούουσιν Ῥωμ. L. Ῥωμαίοις θέλ. M. προσεφέροντο, καὶ τὰς N. καὶ περιελαύνοντες desunt L. 4 ἔφασαν διαφέρειν L. προϊεμένους M.N. T.E. ὑπὸ Ῥωμαίους L. ἀνωμολογηκότες P.

τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμότητος καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον· σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν. Οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν, 6 καὶ τοῦ πρὸς Ῥωμαίους συνήραντο πολέμου, τὰ παρ' ἐκείνων δὲ τολμήματα χείρω πρὸς αὐτοὺς ἐγένετο. Καὶ ἐπὶ τῷ 7 ψεύδεσθαι πάλιν τὴν πρόφασιν ἐξελεγχόμενοι, μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. Ἐγένετο γάρ πως ὁ χρόνος ἐκεῖνος παντοδαπῆς ἐν τοῖς Ἰουδαίοις πονηρίας πολυφόρος, ὡς μηδὲν κακίας ἔργον ἄπρακτον παραλιπεῖν, μηδ' εἴ τις ἐπινοίᾳ διαπλάττειν ἐθελήσειεν, ἔχειν ἄν τι καινότερον ἐξευρεῖν. Οὕτως ἰδίᾳ τε καὶ 8 κοινῇ πάντες ἐνόσησαν, καὶ πρὸς ὑπερβάλλειν ἀλλήλους ἔν τε ταῖς πρὸς τὸν θεὸν ἀσεβείαις, καὶ ταῖς εἰς τοὺς πλησίον ἀδικίαις, ἐφιλονείκησαν, οἱ μὲν δυνατοὶ τὰ πλήθη κακοῦντες, οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς ἀπολλύναι σπεύδοντες. Ἦν γὰρ 9 ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν, τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν. Πρῶτοι μὲν οὖν οἱ σικάριοι τῆς παρανομίας, καὶ τῆς πρὸς τοὺς συγγενεῖς ἤρξαντο ὠμότητος, μήτε λόγον ἄρρητον εἰς ὕβριν, μήτ' ἔργον ἀπείραστον εἰς ὄλεθρον τῶν ἐπιβουλευθέντων παραλείποντες. Ἀλλὰ καὶ τούτους Ἰωάννης ἀπέδειξεν ἑαυτοῦ μετριωτέρους· 10 οὐ γὰρ μόνον ἀνῄρει πάντας, ὅσοι τὰ δίκαια καὶ συμφέροντα συνεβούλευον, καθάπερ ἐχθίστοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσφερόμενος· ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα 11 μυρίων ἐνέπλησε κακῶν, ὁποῖα πράξειν ἔμελλεν ἄνθρωπος ἤδη καὶ τὸν θεὸν ἀσεβεῖν τετολμηκώς. Τράπεζάν τε γὰρ ἄθεσ- 12 μον παρετίθετο, καὶ τὴν νενομισμένην καὶ πάτριον ἐξεδιήτησεν ἁγνείαν, ἵνα ᾖ μηκέτι θαυμαστὸν, εἰ τὴν πρὸς ἀνθρώπους

5 πρόφασις τοῦτο tr. L. 6 Ῥωμαίους συνείροντο L. πολέμου, καὶ παρ' M.N.P. 7 Ἐγένοντο γὰρ L. παντοδαπῆς τοῖς ex ras. T. καταλειπεῖν P. καταλιπεῖν E. 8 πάντες ἐνενόησαν L. πρὸς ὑπερβαλεῖν M. N.T.E. κἂν ταῖς εἰς L. οἱ μὲν οὖν δυνατοὶ N. 9 Πρῶτον οὖν P. ἤρξαν ὠμότητος L.M.N.T. παραλιπόντες M.N.T. παραλειπόντες Γ. 10 καθάπερ ἐχθροῖς μάλ. L. καθ' αἰχθίστοις μάλ. P. 11 ἐνέπλησαν P. κακῶν οἷα πρ. L.N.

ἡμερότητα καὶ κοινωνίαν οὐκ ἐτήρησεν, ὁ τῆς πρὸς θεὸν ἀσε-
13 βείας οὕτω καταμανείς. Πάλιν τοίνυν ὁ Γιώρα Σίμων τί
κακὸν οὐκ ἔδρασεν; Ἡ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχετο
14 σωμάτων, οἳ τοῦτον ἀνέδειξαν τύραννον; Ποία δὲ αὐτοὺς φι-
λία, ποία δὲ συγγένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους
οὐχὶ θρασυτέρους ἐποίησε; Τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους
κακῶς ποιεῖν ἀγεννοῦς ἔργον εἶναι πονηρίας ὑπελάμβανον,
λαμπρὰν δὲ φέρειν ἐπίδειξιν ἡγοῦντο τὴν ἐν τοῖς οἰκειοτά-
15 τοις ὠμότητα. Παρημιλλήσατο δὲ καὶ τὴν τούτων ἀπό-
16 νοιαν ἡ τῶν Ἰδουμαίων. Ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς
ἀρχιερέας κατασφάξαντες, ὅπως μηδὲ μέρος τι τῆς πρὸς τὸν
θεὸν εὐσεβείας διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι
πολιτικοῦ σχήματος ἐξέκοψαν, καὶ τὴν τελεωτάτην εἰσήγα-
17 γον διὰ πάντων ἀνομίαν. Ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων
γένος ἤκμαζεν, οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν.
Πᾶν γὰρ κακίας ἔργον ἐξεμιμήσαντο, μηδ' εἴ τι πρότερον
προϋπαρχθὲν ἡ μνήμη παραδέδωκεν αὐτοὶ παραλιπόντες ἀζή-
18 λωτον· καίτοι τὴν προσηγορίαν αὐτοῖς ἀπὸ τῶν ἐπ' ἀγαθῷ
ζηλουμένων ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων,
διὰ τὴν αὐτῶν θηριώδη φύσιν, ἢ τὰ μέγιστα τῶν κακῶν
19 ἀγαθὰ νομίζοντες. Τοιγαροῦν προσῆκον ἕκαστοι τὸ τέλος
εὕροντο, τοῦ θεοῦ τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βρα-
βεύσαντος. Ὅσας γὰρ ἀνθρώπου δύναται φύσις κολάσεις
20 ὑπομεῖναι, πᾶσαι κατέσκηψαν εἰς αὐτούς, μέχρι καὶ τῆς
ἐσχάτης τοῦ βιοῦ τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις
αἰκίαις ἀποθανόντες. Οὐ μὴν ἀλλὰ φαίη τις ἂν αὐτοὺς
ἐλάττω παθεῖν ὧν ἔδρασαν· τὸ γὰρ δικαίως ἐπ' αὐτῶν οὐ
21 προσῆν. Τοὺς δὲ ταῖς ἐκείνων ὠμότησι περιπεσόντας οὐ τοῦ

12 θεὸν εὐσεβείας L.M. 13 ὁ τοῦ Γιώρα L. ἔδρασεν; ὁποίας N. ἀπέσχοντο σωμ. οἱ τ. ἀναδείξαντες ex rec. cor. T. σωμάτων εἰ τοῦτον L. 14 ποία δ' εὐγένεια L.P. πονηρίας εἶναι tr. L.N.P.T. ὑπέλαβον L. οἰκειωτάτοις P. 15 Ἰδουμαίων μανία. Ἐκεῖνοι L.P. et ex rec. adj. T. 16 μέρος ἔτι τῆς L.P. πρὸς θεὸν E. 17 ἤκμασεν L.N.P.T. ἔργοις ἐπαληθεύουσαν P. μηδ' ὅτι πρ. L. μηδέτι πρ. P. πρότερον προυπάρχον ἡ L. παραλειπόντες P. 19 τὸ τέλος ἕκαστοι tr. L. εὕραντο M.N. 20 ἀλλὰ καὶ φαίη E.

παρόντος ἂν εἴη καιροῦ κατὰ τὴν ἀξίαν ὀδύρεσθαι. Πάλιν οὖν ἐπάνειμι πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

2. Ἐπὶ γὰρ τὸν Ἐλεάζαρον, καὶ τοὺς κατέχοντας σὺν 22
αὐτῷ τὴν Μασάδαν σικαρίους ὁ τῶν Ῥωμαίων στρατηγὸς ἦκε τὰς δυνάμεις ἄγων. Καὶ τῆς μὲν χώρας ἁπάσης εὐθὺς ἐκράτει, φρουρὰς ἐν τοῖς ἐπικαιροτάτοις αὐτῆς μέρεσιν ἐγκαταστήσας. Τεῖχος δὲ περιέβαλε κύκλῳ περὶ πᾶν τὸ φρού- 23
ριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ ῥᾴδιον διαφυγεῖν, καὶ διανέμει τοὺς φυλάξοντας. Αὐτὸς δὲ καταστρατοπε- 24
δεύει τόπον, ὡς μὲν πρὸς τὴν πολιορκίαν ἐπιτηδειότατον ἐκλαβών, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τῷ πλησίον ὄρει συνήγγιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων δύσκολον. Οὐ γὰρ ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο, καὶ σὺν 25
μεγάλῃ ταλαιπωρίᾳ τῶν ἐπὶ τούτῳ τεταγμένων Ἰουδαίων, ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώγιμον εἰς τὸ στρατόπεδον, τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀναδιδόντος. Ταῦτ' οὖν προ- 26
οικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορκίαν ἐτράπετο, πολλῆς ἐπιτεχνήσεως καὶ ταλαιπωρίας δεομένην, διὰ τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος.

3. Πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μῆκος ὑψηλὴν παν- 27
ταχόθεν περιερρώγασι βαθεῖαι φάραγγες κάτωθεν ἐξ ἀοράτου τέρματος κρημνώδεις, καὶ πάσῃ βάσει ζώων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ δύο τόπους τῆς πέτρας εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. Ἔστι δὲ τῶν ὁδῶν ἡ μὲν ἀπὸ τῆς 28
Ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνίσχοντα, καὶ πάλιν ἀπὸ τῆς δύσεως, ᾗ ῥᾷον πορευθῆναι. Καλοῦσι δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες καὶ τοῖς συνεχέσιν ἐλιγ-

22 Ἐπεὶ γὰρ P. στρατηγὸς ἦκτο τὰς L.P. 23 καὶ διαμένειν τοὺς M.N.T. φυλάξαντας T. 24 καταστρα. τὸν τόπον L. 25 τροφὴ μόνη N.T. ταλαιπορίᾳ P. ἐπὶ τοῦτο P. στρατόπεδον. Ταῦτ' οὖν M. 26 δεομένης L.P. 27 ὑψηλὴν πάντωθεν M. φάραγγες καὶ κάτωθεν P. κρημνώδεις δ' ὁδοὶ καὶ πάσῃ M. εὐμαρῆ παρηκούσης. M. 28 ἡ μὲν τῶν ὁδῶν tr. P. στενότητι παρεικάσαντες L.

29 μοῖς· κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχὰς, καὶ πολλάκις εἰς αὐτὴν ἀναστρέφουσα, καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνο-
30 μένη μόλις ψαύει τοῦ πρόσω. Δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα τὸν ἕτερον τῶν ποδῶν ἐρείδεσθαι. Ἔστι δὲ πρόδηλος ὄλεθρος· ἑκατέρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε, τῇ φοβερότητι πᾶσαν εὐτολμίαν ἐκπλῆξαι δυνάμε-
31 νον. Διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριάκοντα κορυφὴ τὸ λοιπόν ἐστιν, οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ' ὥστ'
32 εἶναι κατ' ἄκρας ἐπίπεδος. Ἐπὶ ταύτῃ πρῶτος μὲν ὁ ἀρχιερεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης, καὶ προσηγόρευσε Μασάδαν. Ὕστερον δὲ Ἡρώδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο
33 σπουδῆς ἡ τοῦ χωρίου κατασκευή. Τεῖχός τε γὰρ ἦγειρε περὶ πάντα τὸν κύκλον τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα, λευκοῦ μὲν λίθου πεποιημένον, ὕψος δὲ δώδεκα, καὶ πλάτος ὀκτὼ πήχεις ἔχον, τριάκοντα δὲ αὐτῷ καὶ ἑπτὰ πύργοι πεντηκονταπήχεις ἀνειστήκεσαν, ἐξ ὧν ἦν εἰς οἰκήματα διελθεῖν περὶ
34 πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα. Τὴν γὰρ κορυφὴν πίονα, καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν, ἀνῆκεν εἰς γεωργίαν ὁ βασιλεὺς, ἵνα, εἴ ποτε τῆς ἔξω τροφῆς ἀπορία γένοιτο, μηδὲ ταύτῃ κάμοιεν οἱ τὴν αὐτῶν σωτηρίαν τῷ φρουρίῳ πεπι-
35 στευκότες. Καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ κατὰ τὴν ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας
36 τειχῶν, πρὸς δὲ τὴν ἄρκτον ἐγκλίνον. Τοῦ δὲ βασιλείου τὸ τεῖχος ἦν ὕψει μέγα καὶ καρτερὸν, πύργους ἔχον ἐξηκονταπήχεις ἐγγωνίους τέτταρας. Ἥ τε τῶν οἰκημάτων ἔνδον
37 καὶ στοῶν καὶ βαλανείων κατασκευὴ παντοία καὶ πολυτελὴς

29 αὐτὴν ἀνατρέχουσα L. 30 παραλὰξ P. ἕτερον τοῖν ποδοῖν E. Ἔστι δὲ καὶ τῷ παρολισθάνειν πρόδηλος M.E. 31 ὡς εἶναι E. ἐπίπεδον L.N.P.T. 32 πρῶτον μὲν L. σπουδῆς τοῦ χωρίου L. 33 περὶ τὸν πάντα κ. M. ἑπταστάδιον ὄντα P. ὕψος δώδεκα L. πήχεις ἔχων P. πύργοι καὶ ἑπτὰ tr. L. ἀνεστήκεσαν L. εἰς οἰκοδομήματα διελθεῖν L. πᾶν τεῖχος P. 34 κορυφὴν πλείονα καὶ L. τῆς ἔξωθεν τροφῆς P. ἀπορία γένηται M. 35 τὴν ὑπὸ τῆς M. πρὸς τὴν ἄρκτον M.N. ἐκκλίνον P. 36 πύργους ἔχων P. ἐκγωνίους P.

ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑφεστηκότων, τοίχων δὲ καὶ τῶν ἐν τοῖς οἰκήμασιν ἐδαφῶν λίθου στρώσει πεποικιλμένων. Πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων ἄνω τε 38
καὶ περὶ τὸ βασίλειον, καὶ πρὸ τοῦ τείχους πολλοὺς καὶ μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις, φυλακτῆρας ὑδάτων, μηχανώμενος εἶναι χορηγίαν, ὅση τῶν ἐκ πηγῶν ἐστι 39
χρωμένοις. Ὀρυκτὴ δὲ ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς ἄκραν τὴν κορυφὴν ἀνεφέρετο, τοῖς ἔξωθεν ἀφανής. Οὐ μὴν οὐδὲ 40
ταῖς φαναραῖς ὁδοῖς ἦν οἷόν τε χρήσασθαι ῥᾳδίως πολεμίους. Ἡ μὲν γὰρ ἑφα διὰ τὴν φύσιν, ὡς προείπομεν, ἐστὶν ἄβατος· τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ τὸ στενότατον 41
πύργῳ διετείχισεν, ἀπέχοντι τῆς ἄκρας πηχῶν οὐκ ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν, οὔτε ῥᾴδιον ἐλεῖν. Δυσέξοδος δὲ καὶ τοῖς μετ' ἀδείας βαδίζουσιν ἐπε- 42
ποίητο· οὕτω μὲν οὖν πρὸς τὰς τῶν πολεμίων ἐφόδους φύσει τε καὶ χειροποιήτως τὸ φρούριον ὠχύρωτο.

4. Τῶν δ' ἔνδον ἀποκειμένων παρασκευῶν ἔτι μᾶλλον ἄν 43
τις ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν. Σῖτός τε γὰρ ἀπέκειτο πολὺς καὶ πολὺν χρόνον ἀρκεῖν ἱκανώτατος, οἶνός τε πολὺς ἦν καὶ ἔλαιον· ἔτι δὲ παντοῖος ὀσπρίων καρ- 44
πὸς καὶ φοίνικες ἐσεσώρευντο. Πάντα δὲ εὗρεν ὁ Ἐλεάζαρος τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγκρατὴς δόλῳ γενόμενος, ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων ἀποδέοντα, καίτοι σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν ἑκατὸν ἦν χρόνος ἐτῶν· ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς περιλει- 45
φθέντας τῶν καρπῶν εὗρον ἀδιαφθόρους. Αἴτιον δ' οὐκ ἂν ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς, ὕψει τῶν περὶ τὴν ἄκραν, πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ κράσεως. Εὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ 46

37 τοίχων τε καὶ L. 39 τῶν ἐκ τῶν πηγῶν L. κορυφὴν ἀνέφεν τοῖς L.P. 40 ῥαδίως τοὺς πολεμίους sic T. προείπαμεν N. 41 τὸ δ' ἀπὸ τῆς P. κατὰ τὸ (eraso ν) στεν. πύργον M. κατὰ τὸ στενώτατον πύργῳ P. 43 ἔνδον παρακειμένων L. τὴν διανομήν. P. χρόνον εἰπεῖν ἱκαν. N. 44 παντοίων ὑσπρίων M. δόλῳ γεγενημένος L.

βασιλέως ἀποτεθησαυρισμένον, ὡς ἀνδράσιν ἀρκεῖν μυρίοις, ἀργός τε σίδηρος καὶ χαλκὸς, ἔτι δὲ καὶ μόλυβδος, ἄτε δὴ
47 τῆς παρασκευῆς ἐπὶ μεγάλαις αἰτίαις γενομένης. Λέγεται γὰρ ἑαυτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον εἰς ἀποφυγὴν ἑτοιμάζειν, διπλοῦν ὑφορώμενον κίνδυνον· τὸν μὲν παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον τοὺς πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι· τὸν μείζω δὲ καὶ χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπά-
48 τρας. Αὕτη γὰρ τὴν αὐτῆς γνώμην οὐκ ἐπεῖχεν, ἀλλὰ πολλάκις Ἀντωνίῳ λόγους προσέφερε, τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δὲ αὐτῇ τὴν βασιλείαν τῶν Ἰουδαίων
49 δεομένη. Καὶ μᾶλλον ἄν τις ἐθαύμασεν, ὅτι μηδέπω τοῖς προστάγμασιν Ἀντώνιος ὑπηκηκόει, κακῶς ὑπὸ τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χαρίσασθαι
50 προσεδόκησε. Διὰ τοιούτους μὲν φόβους Ἡρώδης Μασάδαν κατασκευασάμενος, ἔμελλε Ῥωμαίοις ἀπολείψειν ἔργον τοῦ πρὸς Ἰουδαίους πολέμου τελευταῖον.

51 5. Ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τόπον ὁ τῶν Ῥωμαίων, ὡς προείπομεν, ἡγεμὼν, καὶ τοῦ μή τινα ἀποδράναι πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνεχείρει τῇ πολιορκίᾳ, μόνον εὑρὼν ἕνα τόπον ἐπιβολὴν χωμά-
52 των δέξασθαι δυνάμενον. Μετὰ γὰρ τὸν διατειχίζοντα πύργον τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν εἴς τε τὸ βασίλειον καὶ τὴν ἀκρώρειαν, ἣν τις ἐξοχὴ πέτρας εὐμεγέθης τῷ πλάτει καὶ πολὺ προκύπτουσα τοῦ δὲ ὕψους τῆς Μασάδας τριακο-
53 σίους πήχεις ὑποκάτω, Λευκὴν δὲ αὐτὴν ὠνόμαζον. Ἐπὶ ταύτην οὖν ἀναβὰς, καὶ κατασχὼν αὐτὴν, ὁ Σίλβας ἐκέλευσε τὸν στρατὸν χοῦν ἐπιφέρειν. Τῶν δὲ προθύμως καὶ μετὰ

46 ἀποτεθησαυρισμένων P. μόλυβος L. μόλιβος N.P.T. αἰτίαις γεναμένης P. 47 γὰρ αὐτὸ τὸν P. εἰς ὑποφυγὴν M.N.P. βασιλεῖς L. τὸ μεῖζον δὲ L. et ex cor. T. τὸ μείζω δὲ N.P. βασιλειούσης N. 49 ὑπακηκόει M.N.P.T. περὶ τοῦ μὴ χαρίσασθαι —— usque ad κατασκευασάμενος desunt omnia P. 50 Μασάδαν κατεσκευασμένος L.N.T. 51 προείπαμεν L.N.P. ἀποδρᾶν P. ἐνεχείρη τῇ M. 53 ἐκέλευε τὸν L.M. προθύμως μετὰ P.

πολλῆς χειρὸς ἐργασαμένων, στερεὸν εἰς διακοσίους πήχεις ὑψώθη τὸ χῶμα. Οὐ μὴν οὔτε βέβαιον οὔτε αὔταρκες ἐδό- 54
κει τοῦτο τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν εἰς ἐπιβάθραν, ἀλλ' ἐπ' αὐτοῦ βῆμα λίθων μεγάλων συνηρμοσμένων ἐποιήθη, πεντήκοντα πηχῶν εὖρός τε καὶ ὕψος. Ἦν δὲ τῶν ἄλλων 55
τε μηχανημάτων ἡ κατασκευὴ παραπλησία τοῖς ὑπὸ μὲν Οὐεσπασιανοῦ πρότερον, μετὰ ταῦτα δὲ ὑπὸ Τίτου πρὸς τὰς πολιορκίας ἐπινοηθεῖσι· καὶ πύργος ἑξηκοντάπηχυς συν- 56
ετελέσθη, σιδήρῳ καταπεφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς ὀξυβέλεσι καὶ πετροβόλοις βάλλοντες οἱ Ῥωμαῖοι τοὺς ἀπὸ τοῦ τείχους μαχομένους ταχέως ἀνέστειλαν, καὶ προκύπτειν ἐκώλυσαν. Ἐν ταυτῷ δὲ καὶ κριὸν ὁ Σίλβας μέγαν κατα- 57
σκευασάμενος, συνεχεῖς ποιεῖσθαι κελεύσας τῷ τείχει τὰς ἐμβολάς, μόλις μὲν ἀλλ' οὖν ἀναρρήξας τι μέρος αὐτοῦ, κατήρειψε. Φθάνουσι δὲ οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησά- 58
μενοι τεῖχος ἕτερον, ὃ μηδ' ὑπὸ τῶν μηχανημάτων ἔμελλεν ὅμοιόν τι πείσεσθαι· μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα 59
τῆς ἐμβολῆς ὑπεκλύειν δυνάμενον, τοιῷδε τρόπῳ κατεσκεύασαν. Δοκοὺς μεγάλας ἐπὶ μῆκος προσεχεῖς ἀλλήλαις κατὰ τὴν τομὴν συνέθεσαν· δύο δὲ ἦσαν τούτων στίχοι παράλλη- 60
λοι τοσοῦτον διεστῶτες, ὅσον εἶναι πλάτος τείχους, καὶ μέσον ἀμφοῖν τὸν χοῦν ἐνεφόρουν. Ὅπως δὲ μηδὲ ὑγουμέ-
νου τοῦ χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς ἐπικαρσίαις τὰς κατὰ μῆκος κειμένας διέδεον. Ἦν οὖν ἐκείνοις 61
μὲν οἰκοδομίᾳ τὸ ἔργον παραπλήσιον. Τῶν μηχανημάτων δὲ αἱ πληγαὶ φερόμεναι πρὸς εἰκὸς ἐξελύοντο, καὶ τῷ σάλῳ

ἐργαζομένων L.P. 54 πηχῶν μὲν εὖρος L. 55 Ἦν δὲ ἄλλων E. ὑπὸ Οὐεσπ. M. ἐπινοηθείσα M.N.T. 56 ἑξηκονταπήχης L. ἑξηκοντα-
πήχεις N.P.T. ἑξηκ. συνετέθη σιδήρῳ E. Ῥωμαῖοι καὶ τοὺς M. 57 Ἐνταῦθα δὲ καὶ E. μέγαν ὁ Σίλβας tr. L. συνεχεῖς δὲ L. κελεύσας τῷ τείχει ποιεῖσθαι tr. L. κελ. ποιεῖσθαι τῷ τ. tr. N.T. αὐτοῦ deest P. κατέρριψε L. κατήριψε P. 59 δοκοὺς μεγάλους L. 60 τούτων deest P. στοίχοι παράλ. ex cor. T. ὅπως μηδὲ ὑγ. L. ὅπως δὲ μὴ ὑγ. E. ἑτέροις δοκοῖς L.M. 61 μὲν οἰκονομία τὸ N. ἔργον παραπλησία. L.M. πρὸς τὸ εἰκὸς M. πρὸς εἶκον· ex cor. T.

62 συνίζανον ἐποίουν αὐτὸ στεριφώτερον. Τοῦτο συνιδὼν ὁ Σίλβας πυρὶ μᾶλλον αἱρήσειν ἐνόμισε τὸ τεῖχος, καὶ τοῖς στρατιώταις προσέταττε λαμπάδας αἰθομένας ἀθρόοις εἰσακοντίζειν. Τὸ δὲ, οἷα δὴ ξύλων τὸ πλέον πεποιημένον, ταχὺ τοῦ πυρὸς ἀντελάβετο, καὶ τῇ χαυνότητι πυρωθὲν διὰ
63 βάθους φλόγα πολλὴν ἐξεπύρσευσεν. Ἀρχομένου μὲν οὖν ἔτι τοῦ πυρὸς, βορρᾶς ἐμπνέων τοῖς Ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ ἀποστρέφων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα· καὶ σχεδὸν ἤδη τῶν μηχανημάτων, ὡς συμφλεγησομένων,
64 ἀπεγνώκεσαν. Ἔπειτα δὲ αἰφνίδιον νότος μεταβαλὼν, καθάπερ ἐκ δαιμονίου προνοίας, καὶ πολὺς ἐναντίος πνεύσας, τῷ τείχει φέρων αὐτὴν προσέβαλε, καὶ πᾶν ἤδη διὰ βάθους
65 ἐφλέγετο. Ῥωμαῖοι μὲν οὖν τῇ παρὰ τοῦ θεοῦ συμμαχίᾳ κεχρημένοι, χαίροντες εἰς τὸ στρατόπεδον ἀπηλλάττοντο, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις διεγνωκότες· καὶ τὰς φυλακὰς νύκτωρ ἐπιμελεστέρας ἐποιήσαντο, μή τινες αὐτῶν λάθωσιν ἀποδράντες.

66 6. Οὐ μὴν οὔτ' αὐτὸς Ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλαβεν, οὔτ' ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἔμελλεν ἐπιτρέψειν. Ὁρῶν δὲ τὸ μὲν τεῖχος ὑπὸ τοῦ πυρὸς ἀνακαιόμενον, ἄλλον δὲ οὐδένα
67 σωτηρίας τρόπον οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον Ῥωμαῖοι δράσειν αὐτοὺς καὶ τέκνα καὶ γυναῖκας αὐτῶν, εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς αὐτῷ τιθέμενος, θάνατον κατὰ πάντων ἐβου-
68 λεύσατο. Καὶ τοῦτο κρίνας ἐκ τῶν παρόντων ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συναγαγὼν, τοιούτοις ἐπὶ τὴν
69 πρᾶξιν λόγοις παρεκάλει· "Πάλαι διεγνωκότας ἡμᾶς, ἄνδρες ἀγαθοὶ, μήτε Ῥωμαίοις, μήτ' ἄλλῳ τινὶ δουλεύειν, ἢ θεῷ, μόνος γὰρ οὗτος ἀληθής ἐστι καὶ δίκαιος ἀνθρώπων δε-

ἐποίουν δ' αὐτὸ M. στεριφότερον ex cor. T. 62 ἐνόμιζε L.M. N.T. ἐσακοντίζειν P. ξύλῳ τὸ M. πολλὴν ἐξεπόρευσεν. L. 63 οὖν deest L.M.P. ἀποστρέφων εἰς ἐκείνους L. συμφλογησομένων ἀπέγνωσαν P. 64 πολὺς ἐναντίον P. 65 ἡμέραν μὲν ἐπιχ. M. ἐπέχειν τοὺς πολεμίους P. 66 πυρὸς ἀναλούμενον, ἄλλον L.P. ἐπινοῶν, ἔμελλον δὲ P. 67 γυναῖκας, εἰ P. ὀφθαλμοὺς αὐτῶν τιθ. L.P.E. 68 τοῦτον κρίνας M. 69 διεγνωκότες P. γὰρ αὐτὸς ἀληθὴς L.

σπότης, ἦκε νῦν καιρὸς, ἐπαληθεῦσαι κελεύων τὸ φρόνημα τοῖς ἔργοις. Πρὸς ὃν ἑαυτοὺς μὴ καταισχύνωμεν, πρότερον μηδὲ 70
δουλείαν ἀκίνδυνον ὑπομείναντες, νυνὶ δὲ μετὰ δουλείας ἐλό-
μενοι τιμωρίας ἀνηκέστους, εἰ ζῶντες ὑπὸ Ῥωμαίοις ἐσόμεθα.
Πρῶτοί τε γὰρ πάντων ἀπέστημεν, καὶ πολεμοῦμεν αὐτοῖς 71
τελευταῖοι. Νομίζω δὲ καὶ παρὰ θεοῦ ταύτην ἡμῖν δεδόσθαι
χάριν, τοῦ δύνασθαι καλῶς καὶ ἐλευθέρως ἀποθανεῖν, ὅπερ
ἄλλοις οὐκ ἐγένετο παρ' ἐλπίδα κρατηθεῖσιν. Ἡμῖν δὲ πρό- 72
δηλος μέν ἐστιν ἡ γενησομένη μεθ' ἡμέραν ἅλωσις· ἐλευθέρα
δὲ ἡ τοῦ γενναίου θανάτου μετὰ τῶν φιλτάτων αἵρεσις.
Οὔτε γὰρ τοῦτο ἀποκωλύειν οἱ πολέμιοι δύνανται, πάντως
εὐχόμενοι ζῶντας ἡμᾶς παραλαβεῖν, οὔθ' ἡμεῖς ἐκείνους ἔτι
νικᾶν μαχόμενοι. Ἔδει μὲν γὰρ εὐθὺς ἴσως ἐξ ἀρχῆς, ὅτε 73
τῆς ἐλευθερίας ἡμῖν ἀντιποιεῖσθαι θελήσασι πάντα καὶ παρ'
ἀλλήλων ἀπέβαινε χαλεπὰ καὶ παρὰ τῶν πολεμίων χείρω,
τῆς τοῦ θεοῦ γνώμης στοχάζεσθαι, καὶ γινώσκειν, ὅτι τὸ πά-
λαι φίλον αὐτῷ φῦλον Ἰουδαίων ἀπωλείαν κατέγνωστο.
Μένων γὰρ εὐμενὴς, ἢ μετρίως γοῦν ἡμῖν ἀπηχθημένος, οὐκ 74
ἂν τοσούτων μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον, προήκατο δὲ
τὴν ἱερωτάτην αὐτοῦ πόλιν πυρὶ καὶ κατασκαφαῖς πολεμίων.
Ἡμεῖς δὲ ἄρα καὶ μόνοι τοῦ παντὸς Ἰουδαίων γένους ἠλπί- 75
σαμεν περιέσεσθαι τὴν ἐλευθερίαν φυλάξαντες, ὥσπερ ἀνα-
μάρτητοι πρὸς τὸν θεὸν γενόμενοι, καὶ μηδεμιᾶς μετασχόντες,
οἷ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν; Τοιγαροῦν ὁρᾶτε, πῶς ἡμᾶς 76
ἐλέγχει μάταια προσδοκήσαντας, κρείττονα τῶν ἐλπίδων τὴν
ἐν τοῖς δεινοῖς ἀνάγκην ἐπαγαγών· οὔτε γὰρ ἡμᾶς ἡ τοῦ
φρουρίου φύσις ἀνάλωτος οὖσα πρὸς σωτηρίαν ὠφέλησεν,

ἦκει νῦν L. 70 μηδὲ δειλίαν ἀκίν. ex cor. M. νῦν δὲ μετὰ L.P. 71 Πρῶτοι γὰρ L. ταύτην δεδόσθαι L.N.P.T. καλῶς ἐλευθέρως L.N.P.T. 72 Ἡμῖν δὲ ὑπόδηλος P.E. ἐλευθερία δὲ L. φιλτάτων ἀναίρεσις L. γὰρ ταῦτα ἀποκ. M.N.T. 73 ἀρχῆς, τὸ τῆς L. ἀρχῆς ὅτι τῆς E. ἐλευθερίας ἡμῶν ἀντιπ. M. ἀπωλείᾳ M. et in marg. T. deest N.P.T. κατέγνωστο μὲν, ὢν γὰρ P. 74 οὐκ ἂν τοσοῦτον T. περιιδεν P. αὐτῷ πόλιν L. 75 μετασχόντες ἁμαρτίας, οἱ E. παρανομίας in marg. T. 76 πῶς ὑμᾶς M. ἀνάγκην ἐπάγων· L. οὔτε γὰρ ἡ τοῦ P. ὠφέλησεν P.

77 ἀλλὰ καὶ τροφῆς ἀφθονίαν καὶ πλῆθος ὅπλων, καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν περιττεύουσαν, ὑπ' αὐτοῦ περιφανῶς
78 τοῦ θεοῦ τὴν ἐλπίδα τῆς σωτηρίας ἀφῃρήμεθα. Τὸ γὰρ πῦρ, εἰς τοὺς πολεμίους φερόμενον, οὐκ αὐτομάτως ἐπὶ τὸ κατασκευασθὲν τεῖχος ὑφ' ἡμῶν ἀνέστρεψεν· ἀλλ' ἔστι ταῦτα χόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς ὁμοφύλους
79 ἐτολμήσαμεν, ὑπὲρ ὧν μὴ τοῖς ἐχθίστοις Ῥωμαίοις δίκας, ἀλλὰ τῷ θεῷ δι' ἡμῶν αὐτῶν ὑπόσχωμεν. Αὗται δ' εἰσὶν
80 ἐκείνων μετριώτεραι. Θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι, καὶ παῖδες δουλείας ἀπείρατοι, μετὰ δὲ αὐτοὺς ἡμεῖς εὐγενῆ χάριν ἀλλήλοις παράσχωμεν, καλὸν ἐντάφιον τὴν
81 ἐλευθερίαν φυλάξαντες. Πρότερον δὲ καὶ τὰ χρήματα καὶ τὸ φρούριον πυρὶ διαφθείρωμεν· λυπηθήσονται γὰρ Ῥωμαῖοι, σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σωμάτων κρατήσαν-
82 τες, καὶ τοῦ κέρδους ἁμαρτόντες. Τὰς τροφὰς μόνας ἐάσωμεν· αὗται γὰρ ἡμῖν τεθνηκόσι μαρτυρήσουσιν, ὅτι μὴ δι' ἔνδειαν ἐκρατήθημεν, ἀλλ', ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον ἑλόμενοι πρὸ δουλείας.

83 7. Ταῦτα Ἐλεάζαρος ἔλεγεν, οὐ μὴν κατ' αὐτὸ ταῖς γνώμαις προσέπιπτε τῶν παρόντων· ἀλλ' οἱ μὲν ἔσπευδον ὑπακούειν, καὶ μόνον οὐχ ἡδονῆς ἐνεπίμπλαντο, καλὸν εἶναι τὸν
84 θάνατον νομίζοντες· τοὺς δὲ αὐτῶν μαλακωτέρους γυναικῶν καὶ γενεᾶς οἶκτος εἰσῄει· πάντως δὲ καὶ τῆς ἑαυτῶν προδήλου τελευτῆς, εἰς ἀλλήλους ἀποβλέποντες τοῖς δακρύοις τὸ
85 μὴ βουλόμενον τῆς γνώμης ἐσήμαινον. Τούτους ἰδὼν Ἐλεάζαρος ἀποδειλιῶντας, καὶ πρὸς τὸ μέγεθος τοῦ βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους, ἔδεισε, μή ποτε καὶ τοὺς ἐρρωμένως τῶν λόγων ἀκούσαντας αὐτοὶ συνεκθηλύνωσι ποτνιώμενοι

78 ἀνέστρεφεν E. 79 θεῷ ἡμῶν αὐτῶν N.T. 81 τὸ φρούριον καὶ τὰ χρήματα tr. M.N.T. διαφθείρομεν L. μηδὲ τῶν ἡμετ. P. κρατήσοντες P.E. ἁμαρτῶντες P. 82 μὴ κατ' ἔνδειαν L.P. θάνατον εἱλόμεθα M.T. θάν. εἱλάμεθα N.E. θάν. εἱλάμενοι P. 83 προέπιπτε M. ὑπακούειν deest M. καὶ μονονουχὶ L. ἐμπίπλαντο L.P. ἐμπίμπλαντο N.T. 84 εἴς τε ἀλλήλους M. et sec. ma. T. τοῖς δάκρυσι τὸ in marg. T. 85 συνεκθηλύνουσι P.

καὶ δακρύοντες. Οὔκουν ἀνῆκε τὴν παρακέλευσιν, ἀλλ' ἑαυ- 86
τὸν ἐπεγείρας, καὶ πολλοῦ λήματος πλήρης γενόμενος, λαμ-
προτέροις ἐνεχείρει λόγοις περὶ ψυχῆς ἀθανασίας, μέγα τε
σχετλιάσας καὶ τοῖς δακρύουσιν ἀτενὲς ἐμβλέψας, "Ἡ 87
πλεῖστον," εἶπεν, "ἐψεύσθην, νομίζων ἀνδράσιν ἀγαθοῖς τῶν
ὑπὲρ τῆς ἐλευθερίας ἀγώνων συναίρεσθαι, ζῆν καλῶς ἢ τεθνά-
ναι διεγνωκόσιν. Ὑμεῖς δὲ ἦτε τῶν τυχόντων οὐδὲν εἰς ἀρε- 88
τὴν οὐδ' εἰς εὐτολμίαν διαφέροντες, οἵ γε καὶ τὸν ἐπὶ μεγί-
στων ἀπαλλαγῇ κακῶν φοβεῖσθε θάνατον· δέον ὑπὲρ τούτου
μήτε μελλῆσαι, μήτε σύμβουλον ἀναμεῖναι. Πάλαι γὰρ εὐθὺς 89
ἀπὸ τῆς πρώτης αἰσθήσεως παιδεύοντες ἡμᾶς οἱ πάτριοι καὶ
θεῖοι λόγοι διετέλουν, ἔργοις τε καὶ φρονήμασι τῶν ἡμετέ-
ρων προγόνων αὐτοὺς βεβαιούντων, ὅτι συμφορὰ τὸ ζῆν
ἐστιν ἀνθρώποις, οὐχὶ θάνατος. Οὗτος μὲν γὰρ ἐλευθερίαν 90
διδοὺς ψυχαῖς, εἰς τὸν οἰκεῖον καὶ καθαρὸν ἀφίησι τόπον
ἀπαλλάσσεσθαι πάσης συμφορᾶς ἀπαθεῖς ἐσομένας. Ἕως
δὲ εἰσὶν ἐν σώματι θνητῷ δεδεμέναι, καὶ τῶν τούτου κακῶν
συναναπίμπλανται, τὸ ἀληθέστατον εἰπεῖν, τεθνήκασι· κοι- 91
νωνία γὰρ θείῳ πρὸς θνητὸν ἀπρεπής ἐστι. Μέγα μὲν οὖν
δύναται ψυχὴ καὶ σώματι συνδεδεμένη· ποιεῖ γὰρ αὐτῆς ὄρ-
γανον αἰσθανόμενον ἀοράτως αὐτὸ κινοῦσα, καὶ θνητῆς φύ-
σεως περαιτέρω προάγουσα ταῖς πράξεσιν. Οὐ μὴν ἀλλ' 92
ἐπειδὰν ἀπολυθεῖσα τοῦ καθέλκοντος αὐτὴν βάρους ἐπὶ γῆν
καὶ προσκρεμαμένου, χῶρον ἀπολάβῃ τὸν οἰκεῖον, τότε δὴ
μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου μετέχει δυνάμεως,
ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις ὄμμασιν, ὥσπερ αὐτὸς ὁ
θεός. Οὐδὲ γὰρ, ἕως ἐστιν ἐν σώματι, θεωρεῖται· πρόσεισι 93
γὰρ ἀφανῶς, καὶ μὴ βλεπομένη πάλιν ἀπαλλάττεται, μίαν
μὲν αὕτη φύσιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι γινο-

πολλοῦ λήμματος L.N.P.T. καὶ τοῖς δάκρυσιν L.M.P.E. 87 συν-
αιρεῖσθαι L.M.N.P.T. 88 Ἡμεῖς δὲ οὔτε τῶν P. οὐδ' εὐτολμίαν L.
M.P. καὶ τῶν ἐπὶ P. κακῶν φοβεῖσθαι N. 89 εὐθὺς ὑπὸ P.E. φρο-
νήματι P. 90 συνεμπίμπλανται ex cor. T. 91 Μέγα οὖν P. 92 ἀόρα-
τος μὲν οὖσα P. 93 ὡς ἐστιν ἐν L. ἀπαλλάττεται P.

94 μένη μεταβολῆς. Ὅτου γὰρ ἂν ψυχὴ προσάψηται, τοῦτο
ζῇ καὶ τέθηλεν· ὅτου δὲ ἂν ἀπαλλαγῇ, μαρανθὲν ἀποθνή-
95 σκει. Τοσοῦτον περίεστιν αὐτῇ ἀθανασίας. Ὕπνος δὲ τεκ-
μήριον ὑμῖν ἔστω τῶν λόγων ἐναργέστατον, ἐν ᾧ ψυχαὶ, τοῦ
σώματος αὐτὰς μὴ περισπῶντος, ἡδίστην μὲν ἔχουσιν ἀνά-
96 παυσιν ἐφ' ἑαυτῶν γενόμεναι· θεῷ δὲ ὁμιλοῦσαι κατὰ συγ-
γένειαν πάντῃ μὲν ἐπιφοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προ-
97 θεσπίζουσι. Τί δὲ δεῖ δεδιέναι θάνατον, τὴν ἐν ὕπνῳ γινο-
μένην ἀνάπαυσιν ἀγαπῶντας; Πῶς δὲ οὐκ ἀνόητόν ἐστι, τὴν
ἐν τῷ ζῆν ἐλευθερίαν διώκοντας, τῆς ἀϊδίου φθονεῖν ἑαυτοῖς;
98 Ἔδει μὲν οὖν ἡμᾶς, οἴκοθεν πεπαιδευμένους, ἄλλοις εἶναι
παράδειγμα τῆς πρὸς θάνατον ἑτοιμότητος. Οὐ μὴν ἀλλ'
εἰ καὶ τῆς παρὰ τῶν ἀλλοφύλων δεόμεθα πίστεως, βλέψωμεν
99 εἰς Ἰνδοὺς τοὺς σοφίαν ἀσκεῖν ὑπισχνουμένους. Ἐκεῖνοί τε
γὰρ, ὄντες ἄνδρες ἀγαθοὶ, τὸν μὲν τοῦ ζῆν χρόνον, ὥσπερ
ἀναγκαίαν τινὰ τῇ φύσει λειτουργίαν, ἀκουσίως ὑπομένουσι.
100 Σπεύδουσι δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ μηδενὸς
αὐτοὺς κατεπείγοντος κακοῦ, μηδὲ ἐξελαύνοντος, πόθῳ τῆς
ἀθανάτου διαίτης, προλέγουσι μὲν τοῖς ἄλλοις, ὅτι μέλλου-
101 σιν ἀπιέναι, καὶ ἔστιν ὁ κωλύσων οὐδείς· ἀλλὰ πάντες αὐτοὺς
εὐδαιμονίζοντες, πρὸς τοὺς οἰκείους ἕκαστοι διδόασιν ἐπιστο-
λάς. Οὕτω βεβαίαν καὶ ἀληθεστάτην ταῖς ψυχαῖς τὴν μετ'
102 ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασιν. Οἱ δὲ ἐπειδὰν ἐπα-
κούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες,
ὅπως δὴ καὶ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυ-
103 χὴν, ὑμνούμενοι τελευτῶσι. Ῥᾴον γὰρ ἐκείνους εἰς τὸν
θάνατον οἱ φίλτατοι προπέμπουσιν, ἢ τῶν ἄλλων ἀνθρώπων
ἕκαστος τοὺς πολίτας εἰς μηκίστην ἀποδημίαν· καὶ σφᾶς μὲν
αὐτοὺς δακρύουσιν, ἐκείνους δὲ μακαρίζουσιν, ἤδη τὴν ἀθάνα-

94 ψυχὴ προσψαύσῃ P. αὐτῇ περίεστιν tr. L.M.N.T. 95 ἐν ᾧ
ψυχαῖς P. αὐτὰς περισπῶντος L.P. γινόμεναι P. 97 Τί δὴ δεῖ N.T.
γενομένην L. 98 μὲν οὖν ὑμᾶς L.P. 100 αὐτοὺς ἐπείγοντος L.N.
μέλλουσιν ἀπέναι M.N.P. 101 ἀλλήλων δίαιταν L. 102 ἀκού-
σωσι L. παραδιδόντες L. ἀποκρίνουσι L.N. 103 ἕκαστοι τοὺς M.
N.T.

τον τάξιν ἀπολαμβάνοντας. Ἆρ' οὖν οὐκ αἰδούμεθα χεῖρον 104
Ἰνδῶν φρονοῦντες, καὶ διὰ τῆς αὐτῶν ἀτολμίας τοὺς πατρίους
νόμους, οἳ πᾶσιν ἀνθρώποις εἰς ζῆλον ἥκουσιν, αἰσχρῶς ὑβρί-
ζοντες; Ἀλλ' εἴ γε καὶ τοὺς ἐναντίους ἐξ ἀρχῆς λόγους 105
ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν ἀνθρώποις ἐστὶ τὸ
ζῆν, συμφορὰ δὲ ὁ θάνατος, ὁ γοῦν καιρὸς ἡμᾶς παρακαλεῖ
φέρειν εὐκαρδίως αὐτὸν, θεοῦ γνώμῃ καὶ κατ' ἀνάγκας τελευ-
τήσαντας. Πάλαι γὰρ, ὡς ἔοικε, κατὰ τοῦ κοινοῦ παντὸς 106
Ἰουδαίων γένους, ταύτην ἔθετο τὴν ψῆφον ὁ θεός· ὥστε
ἡμᾶς τοῦ ζῆν ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι
κατὰ τρόπον. Μὴ γὰρ αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς αἰ- 107
τίας, μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις, ὅτι πάντας ἡμᾶς ὁ
πρὸς αὐτοὺς πόλεμος διέφθειρεν· οὐ γὰρ ἐκείνων ἰσχύϊ ταῦτα
συμβέβηκεν, ἀλλὰ κρειττων αἰτία γενομένη τὸ δοκεῖν ἐκείνοις
νικᾶν παρέσχηκεν. Ποίοις γὰρ ὅπλοις Ῥωμαίων τεθνήκασιν 108
οἱ Καισάρειαν Ἰουδαῖοι κατοικοῦντες; Ἀλλὰ οὐδὲ μελλή-
σοντας αὐτοὺς ἐκείνων ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην
ἑορτάζοντας, τὸ πλῆθος τῶν Καισαρέων ἐπιδραμὸν, μηδὲ 109
χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ καὶ τέκνοις κατέσφαξαν,
οὐδὲ αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ μόνους ὡς ἡμᾶς ἡγοῦντο
πολεμίους τοὺς ἀφεστηκότας. Ἀλλὰ φήσει τις, ὅτι Και- 110
σαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς παρ' αὐτοῖς, καὶ τοῦ καιρ-
οῦ λαβόμενοι τὸ παλαιὸν μῖσος ἀπεπλήρωσαν. Τί οὖν
τοὺς ἐν Σκυθοπόλει φῶμεν; Ἡμῖν γὰρ ἐκεῖνοι διὰ τοὺς Ἕλ- 111
ληνας πολεμεῖν ἐτόλμησαν, ἀλλ' οὐ μετὰ τῶν συγγενῶν ἡμῶν
Ῥωμαίους ἀμύνεσθαι. Πολὺ τοίνυν ὤνησεν αὐτοὺς ἡ πρὸς
ἐκείνους εὔνοια καὶ πίστις· ὑπ' αὐτῶν μέντοι πανοικεσίᾳ 112
πικρῶς κατεφονεύθησαν, ταύτην τῆς συμμαχίας ἀμοιβὴν ἀπο-
λαβόντες. Ἃ γὰρ ἐκείνους ὑφ' ἡμῶν ἐκώλυσαν, ταῦθ' ὑπέ-

τάξιν ἀπολαύοντας. L. 105 ἐστιν ἀνθρώποις tr. L. 106 τοῦ ζῆν desunt L. 107 ἀνάπτεται L. χαρίζεσθε Ῥωμαίοις L. κρεῖττον αἰτία P. νικᾶν ἐκείνοις δοκεῖν tr. E. 108 ἑβδόμην ἑορτὴν τὸ P. 109 ἐπιδραμὼν P. ἀνταιροῦντας P. 110 Ἀλλὰ τί φήσει L. 111 γὰρ ἐκεῖ διὰ τοὺς N. et pri. ma. T. συγγενῶν ὑμῶν N. 112 ταύτης τῆς L.N.P.T.E. ἀπολαβόντες ἀμοιβὴν tr. P. ἀμοιβὴν ἀπολαύοντες M. ἐκείνους ἀφ' ἡμῶν M. ἐκ. ἐφ' ἡμῶν N.

113 μειναν, ὡς αὐτοὶ δράσαι θελήσαντες. Μακρὸν ἂν εἴη νῦν ἰδίᾳ περὶ ἑκάστων λέγειν. Ἴστε γὰρ, ὅτι τῶν ἐν Συρίᾳ πόλεων οὐκ ἔστιν ἥτις τοὺς παρ' αὐτῇ κατοικοῦντας Ἰουδαίους
114 οὐκ ἀνήρηκεν, ἡμῖν πλέον, ἢ Ῥωμαῖοι, ὄντας πολεμίους. Ὅπου γε Δαμασκηνοὶ μηδὲ πρόφασιν εὔλογον πλάσαι δυνηθέντες, φόνου μιαρωτάτου τὴν αὐτῶν πόλιν ἐνέπλησαν, ὀκτακισχιλίους πρὸς τοῖς μυρίοις Ἰουδαίους ἅμα γυναιξὶ καὶ γενεαῖς
115 ἀποσφάξαντες. Τὸ δὲ ἐν Αἰγύπτῳ πλῆθος τῶν μετ' αἰκίας ἀνῃρημένων ἔξ που μυριάδας ὑπερβαλεῖν ἐπυνθανόμεθα. Καὶ ἐκεῖνοι μὲν ἴσως ἐπ' ἀλλοτρίας γῆς οὐδὲν ἀντίπαλον εὑράμε-
116 νοι τοῖς πολεμίοις οὕτως ἀπέθανον· τοῖς δὲ ἐπὶ τῆς οἰκείας τὸν πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις ἅπασί τε τὴν ἐλπίδα νίκης ἐχυρᾶς παρασχεῖν δυναμένοις οὐχ ὑπῆρξε· Καὶ γὰρ ὅπλα, καὶ τείχη, καὶ φρουρίων δυσάλωτοι κατασκευαὶ, καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ τῆς ἐλευθερίας κινδύνους ἄτρεστον,
117 πάντας πρὸς τὴν ἀπόστασιν ἐπέρρωσεν. Ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέσαντα καὶ ταῖς ἐλπίσιν ἡμᾶς ἐπάραντα, μειζόνων ἀρχὴ κακῶν ἐφάνη. Πάντα γὰρ ἦλω, καὶ πάντα τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ εἰς τὴν ἐκείνων εὐκλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν παρασκευασαμένων σωτηρίαν εὐτρεπι-
118 σθέντα. Καὶ τοὺς μὲν ἐν ταῖς μάχαις ἀποθνήσκοντας εὐδαιμονίζειν προσῆκεν· ἀμυνόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ
119 προέμενοι τεθνήκασι. Τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων τίς οὐκ ἂν ἐλεήσειεν; Ἢ τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ ταὐτὰ παθεῖν ἐκείνοις ἀποθανεῖν; Ὧν οἱ μὲν στρεβλού-
120 μενοι, καὶ πυρὶ καὶ μάστιξιν αἰκιζόμενοι τεθνήκασιν· οἱ δὲ ἀπὸ θηρίων ἡμίβρωτοι πρὸς δευτέραν αὐτοῖς τροφὴν ζῶντες

113 εἴη ἰδίᾳ M. οὐκ ἀνήρη P. ἢ Ῥωμαίοις L.M.N.T. 114 ὀκτακισχιλίοις P. 115 ὑπερβάλλειν L.P. εὑρόμενοι L. 116 τῶν δ' ἐπὶ τῆς L.N. τὸν δ' ἐπὶ τῆς P. τῆς οἰκίας L. ἀραμένων N. ἅπασί τε τῶν ἐλ. L.P. ἅπασι τῆς ἐλ. M. ἅπασί τε τοῖς ἐλ. N.T. ὀχυρᾶς L. δυναμένων L.P. δυνάμεων E. 117 κακῶν ἐνεφάνη M. κ. ἀνεφάνη N.P. 118 προσῆκον M.N.T. 119 γενομένων τίς οὐκ ἂν οὐκ ἐπειχθείη desunt quæ interjacent L. ἐλεήσειεν; τίς οὐκ N.P.T. πρὸς τοῦ P.

ἐφυλάχθησαν, γέλωτα καὶ παιδιὰν τοῖς πολεμίοις παρασχόντες. Ἐκείνων μὲν οὖν ἀθλιωτάτους ὑποληπτέον τοὺς ἔτι ζῶντας, οἳ πολλάκις εὐχόμενοι τὸν θάνατον λαβεῖν οὐκ ἔχουσι. Ποῦ δὲ ἡ μεγάλη πόλις ἡ τοῦ παντὸς Ἰουδαίων 121
γένους μητρόπολις, ἡ τοσούτοις μὲν ἐρυμνὴ τειχῶν περιβόλοις, τοσαῦτα δὲ αὐτῆς φρούρια καὶ μεγέθη πύργων προβεβλημένη, μόλις δὲ χωροῦσα τὰς εἰς τὸν πόλεμον παρα- 122
σκευάς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν ἔχουσα τῶν ὑπὲρ αὐτῆς μαχομένων; Ποῦ γέγονεν ἡμῖν ἡ τὸν θεὸν ἔχειν οἰκιστὴν πεπιστευμένη; Πρόρριζος ἐκ βάθρων ἀνήρπασται, καὶ μόνον 123
αὐτῆς μνημεῖον ἀπολέλειπται τὸ τῶν ἀνῃρηκότων αὐτὴν στρατόπεδον ἔτι τοῖς λειψάνοις ἐποικοῦν. Πρεσβύται δὲ δύστη- 124
νοι τῇ σποδῷ τοῦ τεμένους παρακάθηνται, καὶ γυναῖκες ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ τῶν πολεμίων τετηρημέναι. Ταῦτα τίς ἐν νῷ βαλλόμενος ἡμῶν καρτερήσει τὸν ἥλιον ὁρᾶν, καὶ ἂν δύνηται ζῆν ἀκινδύνως; Τίς οὕτω τῆς πατρίδος 125
ἐχθρὸς, ἢ τίς οὕτως ἄνανδρος καὶ φιλόψυχος, ὡς μὴ καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι μετανοεῖν; Ἀλλ' εἴθε πάντες ἐτεθνήκει- 126
μεν, πρὶν τὴν ἱερὰν ἐκείνην πόλιν χερσὶν ἰδεῖν κατασκαπτομένην πολεμίων, πρὶν τὸν ναὸν τὸν ἅγιον οὕτως ἀνοσίως ἐξορωρυγμένον. Ἐπεὶ δὲ ἡμᾶς οὐκ ἀγεννὴς ἐλπὶς ἐβουκόλη- 127
σεν, ὡς τάχα που δυνήσεσθαι πολεμίους ὑπὲρ αὐτῆς ἀμύνεσθαι, φρούδη δὲ γέγονε νῦν, καὶ μόνους ἡμᾶς ἐπὶ τῆς ἀνάγκης καταλέλοιπε, σπεύσωμεν καλῶς ἀποθανεῖν· ἐλεήσωμεν 128
ἡμᾶς αὐτοὺς, καὶ τὰ τέκνα, καὶ τὰς γυναῖκας, ἕως ἡμῖν ἔξεστι παρ' ἡμῶν αὐτῶν λαβεῖν τὸν ἔλεον. Ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν, καὶ τοὺς ἐξ αὐτῶν ἐγεννήσαμεν, καὶ τοῦτον οὐδὲ

120 καὶ παίγνιον τοῖς P. μὲν ἀθλιωτάτους L. 121 περιβόλοις τειχῶν tr. M. 122 τοσαύτας δὲ Post hac voces deest membrana usque ad voces (Cap. 9. §. 1.) πράξειν ἠπείγοντο L. 123 μνημεῖον ἀπολείπεται τῶν P. μν. ἀπολείπεται τὸ τῶν M.N. ὑπολέλειπται E. τῶν ἀνῃρημένων P. αὐτὴν στρατόπεδον desunt P. ἐπὶ τοῖς λειψ. P. 124 τῇ σπονδῷ M. βαλλόμενος ἤττων καρ. N. καὶ δύναται ζῆν M. καὶ δύνηται ζ. N. 126 ἐξωρυγμένον P. 127 δυνήσεσθαι τοὺς π. M.N. ἀμύνασθαι P. 128 ἐλεήσομεν M.E.

129 τοῖς εὐδαιμονοῦσίν ἐστι διαφυγεῖν. Ὕβρις δὲ καὶ δουλεία, καὶ τὸ βλέπειν γυναῖκας εἰς αἰσχύνην ἀγομένας μετὰ τέκνων, οὐκ ἔστιν ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ ταῦτα διὰ τὴν αὐτῶν δειλίαν ὑπομένουσιν, οἱ παρὸν πρὸ αὐτῶν ἀπο-
130 θανεῖν μὴ θελήσαντες. Ἡμεῖς δὲ ἐπ' ἀνδρείᾳ μέγα φρονοῦντες Ῥωμαίων ἀπέστημεν, καὶ τὰ τελευταῖα νῦν ἐπὶ σω-
131 τηρίᾳ προκαλουμένων ἡμᾶς, οὐχ ὑπηκούσαμεν. Τίνι τοίνυν οὐκ ἔστιν ὁ θυμὸς αὐτῶν πρόδηλος, εἰ ζώντων ἡμῶν κρατήσουσιν; Ἄθλιοι μὲν οἱ νέοι τῆς ῥώμης τῶν σωμάτων εἰς πολλὰς αἰκίας ἀρκέσοντες· ἄθλιοι δὲ οἱ παρηβηκότες, φέρειν
132 τῆς ἡλικίας τὰς συμφορὰς οὐ δυναμένης. Ὄψεταί τις γυναῖκα πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται τέκνου, πατέρα βοῶντος χεῖρας δεδεμένον· ἀλλ' ἕως εἰσὶν ἐλεύθεραι καὶ ξίφος
133 ἔχουσι, καλὴν ὑπουργίαν ἡμῖν ὑπουργησάτωσαν. Ἀδούλωτοι μὲν ὑπὸ τῶν πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ μετὰ τέκνων καὶ γυναικῶν τοῦ ζῆν συνεξέλθωμεν. Ταῦθ' ἡμᾶς οἱ νόμοι κελεύουσι, ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες ἱκετεύουσι.
134 Τούτων τὴν ἀνάγκην θεὸς ἀπέσταλκε, τούτων Ῥωμαῖοι τὰ ἐναντία θέλουσι, καὶ μή τις ἡμῶν πρὸ τῆς ἁλώσεως ἀποθάνῃ
135 δεδοίκασι. Σπεύσωμεν οὖν, ἀντὶ τῆς ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύσεως, ἔκπληξιν τοῦ θανάτου καὶ θαῦμα τῆς τόλμης καταλιπεῖν."

CAP. IX.

1 1. Ἔτι γε βουλόμενον αὐτὸν παρακαλεῖν πάντες ὑπετέμνοντο, καὶ πρὸς τὴν πρᾶξιν ἠπείγοντο, ἀνεπισχέτου τινὸς ὁρμῆς πεπληρωμένοι· καὶ δαιμονῶντες ἀπῆσαν, ἄλλος πρὸ
2 ἄλλου φθάσαι γλιχόμενος, καὶ ταύτην ἐπίδειξιν εἶναι τῆς ἀνδρείας καὶ τῆς εὐβουλίας νομίζοντες, τὸ μή τις ἐν ὑστάτοις γενόμενος ὀφθῆναι· τοσοῦτος αὐτοῖς γυναικῶν καὶ παιδίων

εὐδαιμονοῦσιν ἔνεστι sec. ma. T. ου εἰ 129 αὐτῶν δεμλιαν sic ead. ma. M. αὐτῶν δειλείαν E. οἱ παρὰ πρὸ M. 132 δεδεμένου N.P.T. ὑπουργείτωσαν E. 135 θανάτου θαυμαστῆς τόλ. N. καταλείπειν P. 1 Ἔτι βουλόμ. P. ἤπειγον ἀνεπισ. M.E. Hic denuo incipit L. πρὸς ἄλλου L. γυναικῶν τε καὶ L.

καὶ τῆς αὐτῶν σφαγῆς ἔρως ἐνέπεσεν. Καὶ μὴν οὐδ' ὥσπερ 3
ἄν τις ᾠήθη τῇ πράξει προσιόντες ἠμβλύνθησαν, ἀλλ' ἀτενῆ
τὴν γνώμην διεφύλαξαν, οἵαν ἔσχον τῶν λόγων ἀκροώμενοι,
τοῦ μὲν οἰκείου καὶ φιλοστόργου πάθους ἅπασι παραμένον-
τος, τοῦ λογισμοῦ δὲ ὡς τὰ κράτιστα βεβουλευκότος τοῖς 4
φιλτάτοις ἐπικρατοῦντος. Ὁμοῦ γὰρ ἡσπάζοντο γυναῖκας
περιπτυσσόμενοι, καὶ τέκνα προσηγκαλίζοντο, τοῖς ὑστάτοις
φιλήμασιν ἐμφυόμενοι καὶ δακρύοντες. Ὁμοῦ δὲ, καθάπερ 5
ἀλλοτρίαις χερσὶν ὑπουργούμενοι, συνετέλουν τὸ βούλευμα·
τὴν ἐπίνοιαν ὧν πείσονται κακῶν ὑπὸ τοῖς πολεμίοις γενόμε-
νοι, παραμύθιον τῆς ἐν τῷ κτείνειν ἀνάγκης ἔχοντες. Καὶ 6
πέρας οὐδεὶς τηλικούτου τολμήματος ἧττων εὑρέθη· πάντες
δὲ διὰ τῶν οἰκειοτάτων διεξῆλθον. Ἆθλιοι τῆς ἀνάγκης, οἷς
αὐτοχειρὶ γυναῖκας τὰς αὐτῶν καὶ τέκνα κτεῖναι κακῶν ἔδοξεν
εἶναι τὸ κουφότατον. Οὗτοι δὴ τοίνυν τὴν ἐπὶ τοῖς πε- 7
πραγμένοις ὀδύνην οὐκέτι φέροντες, καὶ τοὺς ἀνηρημένους νομί-
ζοντες ἀδικεῖν, καὶ ἐὰν βραχὺν αὐτοῖς ἔτι χρόνον ἐπιζήσωσι,
ταχὺ μὲν τὴν κτῆσιν ἅπασαν εἰς ταὐτὸ σωρεύσαντες πῦρ εἰς
αὐτὴν ἐνέβαλον· κλήρῳ δ' ἐξ αὐτῶν ἑλόμενοι δέκα τοὺς ἁπάν- 8
των σφαγεῖς ἐσομένους, καὶ γυναικί τις αὐτὸν καὶ παισὶ κει-
μένοις παραστρώσας, καὶ τὰς χεῖρας περιβαλών, παρεῖχον
ἑτοίμους τὰς σφαγὰς τοῖς τὴν δύστηνον ὑπουργίαν ἐκτελοῦ-
σιν. Οἱ δὲ ἀτρέπτως πάντας φονεύσαντες τὸν αὐτὸν ἐπ' 9
ἀλλήλοις τοῦ κλήρου νόμον ὥρισαν, ἵνα ὁ λαχὼν τοὺς ἐννέα
κτείνας ἑαυτὸν ἐπὶ πᾶσιν ἀνέλῃ. Πάντες οὕτως ἐθάρρουν 10
ἑαυτοῖς, μήτ' εἰς τὸ δρᾶν μήτ' εἰς τὸ παθεῖν ἄλλος ἄλλου
διαφέρειν. Καὶ τέλος οἱ μὲν τὰς σφαγὰς ὑπέθεσαν, ὁ δὲ 11

3 οὐδὲ ὅπερ ἂν L.N.T. προσιόντος L. ἠμβλύθησαν N. 4 ἐμφυρό-
μενοι L. 5 ὧν πήσονται N. 6 ἧττον εὑρέθη P. οἰκειοτ. ἐξῆλθον P.
τὸ κουφότερον M. 7 ὀδύνην ἔτι φέρ. L.M.N.T. ὀδύνην ἐπιφέρ. P.
ἀδικεῖν εἰ καὶ βραχὺν L.N.P.T. χρόνον ἐπιζήσουσι L. χρόνον αὐτοὶ ἐπι-
ζήσουσι M. ἐνέβαλλον M.T.E. 8 τις αὐτῶν καὶ P. χεῖρας ἐπιβα-
λών L. παρεῖχεν M. 9 Οἱ δ' ἀτρέστως L.M.T. ἐπ' ἀλλήλους L. τοῦ
κλήρου νόμους L. τοῦ κληρονόμον N. 10 οὕτω πάντες tr. M. ἑαυτοῖς
ἐθάρρουν tr. L. εἰς δρᾶν P. et pri. ma. T. ἄλλον ἄλλου P.E.

εἰς καὶ τελευταῖος, τὸ πλῆθος τῶν κειμένων περιαθρήσας, μή
που τις ἔτι ἐν πολλῷ φόνῳ τῆς αὐτοῦ λείπεται χειρὸς δεόμε-
νος, ὡς ἔγνω πάντας ἀνηρημένους, πῦρ μὲν πολὺ τοῖς βασι-
12 λείοις ἐνίησιν· ἀθρόᾳ δὲ τῇ χειρὶ δι' αὐτοῦ πᾶν ἐλάσας τὸ
ξίφος, πλησίον τῶν οἰκείων κατέπεσε. Καὶ οἱ μὲν ἐτεθνή-
κεσαν ὑπειληφότες οὐδὲν ἔχον ψυχὴν ὑποχείριον ἐξ αὐτῶν
13 Ῥωμαίοις καταλιπεῖν. Ἔλαθε δὲ γυνὴ πρεσβύτις καὶ συγ-
γενὴς ἑτέρα τις Ἐλεαζάρου, φρονήσει καὶ παιδείᾳ πλείστων
14 γυναικῶν διαφέρουσα, καὶ πέντε παιδία τοῖς ὑπονόμοις, οἳ
ποτὸν ἦγον ὕδωρ διὰ γῆς, ἐγκατακρυβῆναι, τῶν ἄλλων πρὸς
τῇ σφαγῇ τὰς διανοίας ἐχόντων, οἳ τὸν ἀριθμὸν ἦσαν ἑξ-
ήκοντα πρὸς τοῖς ἐννακοσίοις, γυναικῶν ἅμα καὶ παίδων αὐ-
τοῖς συναριθμουμένων. Καὶ τὸ πάθος ἐπράχθη πεντεκαι-
δεκάτῃ Ξανθικοῦ μηνός.

15 2. Οἱ δὲ Ῥωμαῖοι, μάχην ἔτι προσδοκῶντες, ὑπὸ τὴν ἕω
διασκευασάμενοι, καὶ τὰς ἀπὸ τῶν χωμάτων ἐφόδους ταῖς
16 ἐπιβάθραις γεφυρώσαντες, προσβολὴν ἐποίουν. Βλέποντες
δὲ οὐδένα τῶν πολεμίων, ἀλλὰ δεινὴν πανταχόθεν ἐρημίαν,
καὶ πῦρ ἔνδον καὶ σιωπὴν, ἀπόρως εἶχον τὸ γεγονὸς συμβα-
λεῖν· καὶ τέλος ὡς εἰς ἄφεσιν βολῆς ἠλάλαξαν, εἴ τινα τῶν
17 ἔνδον προκαλέσαιντο. Τῆς δὲ βοῆς αἴσθησις γίνεται τοῖς
γυναίοις, καὶ ἐκ τῶν ὑπονόμων ἀνάδυσαι, τὸ πραχθὲν ὡς εἶχε
πρὸς τοὺς Ῥωμαίους ἐμήνυον, πάντα τῆς ἑτέρας, ὡς ἐλέχθη
18 τε καὶ τίνα τρόπον ἐπράχθη, σαφῶς ἐκδιηγουμένης. Οὐ μὴν
ῥᾳδίως αὐτῇ προσεῖχον τῷ μεγέθει τοῦ τολμήματος ἀπι-
στοῦντες, ἐπεχείρουν τε τὸ πῦρ σβεννύναι, καὶ ταχέως ὁδὸν
19 δι' αὐτοῦ τεμόντες, τῶν βασιλείων ἐντὸς ἐγένοντο. Καὶ τῷ
πλήθει τῶν πεφονευμένων ἐπιτυχόντες, οὐχ ὡς ἐπὶ πολεμίοις

11 περιαθροίσας M. ἔγνων L. πολὺ deest L.E. 12 τὸ ξίφος
ἅπαν δι' αὐτοῦ ἐλάσας tr. M. ἐτεθνήκεισαν M. ὑπειλ. οὐδεμίαν ψυχὴν
M.E. ὑπ. οὐδεμίαν ἔχειν ψυχὴν P. καταλείπειν P. 13 καὶ συγγε-
νεῖς P. ἑταίρά τις L. 14 πρὸς τοῖς πεντακοσίοις L. 15 τὰς ἐπι-
βάθρας L. προσβολὴν ἐποιοῦντο L. 16 προσκαλέσαιντο M. 17 ἀνα-
δύσασαι E. εἶχε τοῖς Ῥωμαίοις M. ἐλέχθη καὶ P.E. 18 ἐπεχείρουν
τε καὶ τὸ M. ἐπεχείρουν δὲ τὸ ex cor. T. ταμόντες P.

ἥσθησαν, τὴν δὲ γενναιότητα τοῦ βουλεύματος, καὶ τὴν ἐν τοσούτοις ἄτρεπτον ἐπὶ τῶν ἔργων ἐθαύμασαν τοῦ θανάτου καταφρόνησιν.

CAP. X.

1. Τοιαύτης δὲ τῆς ἁλώσεως γενομένης, ἐπὶ μὲν τοῦ φρου- 1
ρίου καταλείπει φυλακὴν ὁ στρατηγὸς, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀπῆλθεν εἰς Καισάρειαν. Οὐδὲ γὰρ ὑπελείπετό 2
τις τῶν κατὰ τὴν χώραν πολεμίων, ἀλλ' ἤδη πᾶσα διὰ μακροῦ τοῦ πολέμου κατέστραπτο, πολλοῖς καὶ τῶν ἀπωτάτω κατοικούντων αἴσθησιν καὶ κίνδυνον παράσχοντος. Ἔτι δὲ καὶ περὶ Ἀλεξάνδρειαν τὴν ἐν Αἰγύπτῳ μετὰ ταῦτα 3
συνέβη πολλοὺς Ἰουδαίων ἀποθανεῖν. Τοῖς γὰρ ἐκ τῆς στάσεως τῶν σικαρίων ἐκεῖ διαφυγεῖν δυνηθεῖσιν οὐκ ἀπέχρη τὸ σώζεσθαι· πάλιν δὲ καινοτέροις ἐνεχείρουν πράγμασι, καὶ 4
πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον τῆς ἐλευθερίας ἀντιποιεῖσθαι, καὶ Ῥωμαίους μὲν μηδὲν κρείττους ἑαυτῶν ὑπολαμβάνειν, θεὸν δὲ μόνον ἡγεῖσθαι δεσπότην. Ἐπεὶ δὲ αὐτοῖς 5
τῶν οὐκ ἀφανῶν τινες Ἰουδαίων ἀντέβαινον, τοὺς μὲν ἀπέσφαξαν, τοῖς δὲ ἄλλοις ἐνέκειντο πρὸς τὴν ἀπόστασιν παρακαλοῦντες. Ὁρῶντες δὲ αὐτῶν τὴν ἀπόνοιαν οἱ πρωτεύοντες 6
τῆς γερουσίας, οὐκ ἔτ' ἀσφαλὲς αὐτοῖς ἐνόμιζον περιορᾶν, ἀλλὰ πάντας ἀθροίσαντες εἰς ἐκκλησίαν τοὺς Ἰουδαίους, ἤλεγχον τὴν ἀπόνοιαν τῶν σικαρίων, πάντων αἰτίους ἀποφαίνοντες ἐκείνους τῶν κακῶν. 'Καὶ νῦν, ἔφασαν, αὐτοὺς, 7
ἐπείπερ οὐδὲ πεφευγότες τῆς σωτηρίας ἐλπίδα βεβαίαν ἔχουσι — γνωσθέντας γὰρ ὑπὸ Ῥωμαίων εὐθὺς ἀπολεῖσθαι — τῆς αὐτοῖς προσηκούσης συμφορᾶς ἀναπιμπλάναι τοὺς μηδενὸς τῶν ἁμαρτημάτων μετασχόντας.' Φυλάξασθαι τοίνυν 8
τὸν ἐξ αὐτῶν ὄλεθρον τὸ πλῆθος παρεκάλουν, καὶ περὶ αὐτῶν πρὸς Ῥωμαίους ἀπολογήσασθαι τῇ τούτων παραδόσει.

3 πολλοὺς Ἰουδαίους L. 4 ἐπεχείρουν M.P. κρείττονας M. 5 τινες Ἰουδαῖοι L. τινες οἱ Ἰουδαῖοι P. 6 ἀσφαλὲς αὐτοὺς ἐν. M. 7 γνωσθέντες γὰρ P.T.E. ἀπολεῖσθαι καὶ τῆς M. ἀναπιμπλᾶν αὐτοὺς μηδενὸς L. 8 τῶν ἐξ αὐτῶν P.

9 Συνιδόντες οὖν τοῦ κινδύνου τὸ μέγεθος, ἐπείσθησαν τοῖς λε-
γομένοις, καὶ μετὰ πολλῆς ὁρμῆς ἐπὶ τοὺς σκαρίους αἴξαν-
10 τες, συνήρπαζον αὐτούς. Τῶν δὲ ἐξακόσιοι μὲν εὐθὺς ἐάλω-
σαν, ὅσοι δ' εἰς τὴν Αἴγυπτον καὶ τὰς ἐκεῖ Θήβας διέφυγον,
οὐκ εἰς μακρὰν συλληφθέντες ἐπανήχθησαν. Ἐφ' ὧν οὐκ
ἔστιν ὃς οὐ τὴν καρτερίαν, καὶ τὴν εἴτε ἀπόνοιαν εἴτε τῆς
11 γνώμης ἰσχὺν χρὴ λέγειν, οὐ κατεπλάγη. Πάσης γὰρ ἐπ'
αὐτοὺς βασάνου καὶ λύμης τῶν σωμάτων ἐπινοηθείσης, ἐφ' ἓν
τοῦτο μόνον, ὅπως αὐτῶν Καίσαρα δεσπότην ὁμολογήσωσιν,
οὐδεὶς ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν, ἀλλὰ πάντες ὑπερτέ-
ραν τῆς ἀνάγκης τὴν αὐτῶν γνώμην διεφύλαξαν, ὥσπερ ἀναι-
σθήτοις σώμασι, χαιρούσῃ μονονουχὶ τῇ ψυχῇ τὰς βασά-
12 νους καὶ τὸ πῦρ δεχόμενοι. Μάλιστα δὲ ἡ τῶν παίδων ἡλι-
κία τοὺς θεωμένους ἐξέπληξεν· οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη
Καίσαρα δεσπότην ἐξονομάσαι. Τοσοῦτον ἄρα τῆς τῶν
σωμάτων ἀσθενείας ἡ τῆς τόλμης ἰσχὺς ἐπεκράτει.

13 2. Λοῦπος τότε διῴκει τὴν Ἀλεξάνδρειαν, καὶ περὶ τοῦ
κινήματος τούτου Καίσαρι κατὰ τάχος ἐπέστειλεν. Ὁ δὲ
τῶν Ἰουδαίων τὴν ἀκατάπαυστον ὑφορώμενος νεωτεροποιΐαν,
14 καὶ δείσας, μὴ πάλιν εἰς ἓν ἀθρόοι συλλεγῶσι, καί τινας αὐ-
τοῖς συνεπισπάσωνται, προσέταξε τῷ Λούπῳ τὸν ἐν τῇ
Ὀνίου καλούμενον νεὼν καθελεῖν τῶν Ἰουδαίων. Ὁ δέ ἐστιν
ἐν Αἰγύπτῳ, καὶ διὰ τοιαύτην αἰτίαν ᾠκίσθη τε καὶ τὴν ἐπί-
15 κλησιν ἔλαβεν. Ὀνίας Σίμωνος υἱὸς εἷς τῶν ἐν Ἱεροσολύ-
μοις ἀρχιερέων, φεύγων Ἀντίοχον τὸν Συρίας βασιλέα πολε-
16 μοῦντα τοῖς Ἰουδαίοις, ἦκεν εἰς Ἀλεξάνδρειαν. Καὶ δεξαμέ-
νου Πτολεμαίου φιλοφρόνως αὐτὸν διὰ τὴν πρὸς Ἀντίοχον
ἀπέχθειαν, ἔφη σύμμαχον αὐτῷ ποιήσειν τὸ τῶν Ἰουδαίων
17 ἔθνος, εἰ πεισθείη τοῖς ὑπ' αὐτοῦ λεγομένοις. Ποιήσειν δὲ

9 Συνιδόντες δὲ τοῦ L. Οἱ δὲ συνιδόντες τοῦ M. Συνιδόντες τοῦ N.P.T. ἐπείσθησαν αὐτοῖς καὶ μετὰ M. 10 ἐάλωσαν εὐθὺς tr. L. γνώμης τὴν ἰσχὺν L.N.P.T.E. 11 ἐπ' αὐτοῦ M. ὅπως αὐτῷ Καίσ. P. σώμασι χαίρουσι μονονουχὶ L.P. 12 τις ἐνικήθη M. ἐπονομάσαι M. 13 Λοῦπος L.N.T. et sic infra, et aliquando P. τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν M. 14 καὶ δειλιάσας μὴ πάλιν M. Ὀνίου καλουμένῃ νεὼν E. Ἰουδαίων· ἡ δ' ἐστιν L.N. 15 Ἀντίοχον τῆς Συρίας N.T.E.

τὰ δυνατὰ τοῦ βασιλέως ὁμολογήσαντος, ἠξίωσεν ἐπιτρέπειν αὐτῷ νεών τε που τῆς Αἰγύπτου κατασκευάσασθαι, καὶ τοῖς πατρίοις ἔθεσι θεραπεύειν τὸν θεόν· οὕτω γὰρ Ἀντιόχῳ μὲν 18 ἔτι μᾶλλον ἐκπολεμώσεσθαι τοὺς Ἰουδαίους, τὸν ἐν Ἱεροσολύμοις νεὼν πεπορθηκότι· πρὸς αὐτὸν δὲ εὐνοϊκώτερος ἕξειν, καὶ πολλοὺς ἐπ' ἀδείᾳ τῆς εὐσεβείας ὡς αὐτὸν συλλεγήσεσθαι.'

3. Πεισθεὶς Πτολεμαῖος τοῖς λεγομένοις, δίδωσιν αὐτῷ 19 χώραν ἑκατὸν ἐπὶ τοῖς ὀγδοήκοντα σταδίους ἀπέχουσαν Μέμφεως. Νόμος δὲ οὗτος Ἡλιουπολίτης καλεῖται. Ἔνθα 20 φρούριον κατασκευασάμενος Ὀνίας, τὸν μὲν ναὸν οὐχ ὅμοιον ᾠκοδόμησε τῷ ἐν Ἱεροσολύμοις, ἀλλὰ πύργῳ παραπλήσιον, λίθων μεγάλων εἰς ἑξήκοντα πήχεις ἀνεστηκότα. Τοῦ βω- 21 μοῦ δὲ τὴν κατασκευὴν πρὸς τὸν οἶκοι ἐξεμιμήσατο, καὶ τοῖς ἀναθήμασιν ὁμοίως ἐκόσμησε, χωρὶς τῆς περὶ τὴν λυχνίαν κατασκευῆς. Οὐ γὰρ ἐποίησε λυχνίαν· αὐτὸν δὲ χαλκευσά- 22 μενος τὸν λύχνον χρυσοῦν ἐπιφαίνοντα σέλας, χρυσῆς ἀλύσεως ἐξεκρέμασε. Τὸ δὲ τέμενος πᾶν ὀπτῇ πλίνθῳ περιετετείχιστο, πύλας ἔχον λιθίνας. Ἀνῆκε δὲ καὶ χώραν πολλὴν 23 ὁ βασιλεὺς εἰς χρημάτων πρόσοδον, ὅπως εἴη καὶ τοῖς ἱερεῦσιν ἀφθονία, καὶ τῷ θεῷ πολλὰ τὰ πρὸς τὴν εὐσέβειαν. Οὐ 24 μὴν Ὀνίας ἐξ ὑγιοῦς γνώμης ταῦτα ἔπραττεν, ἀλλ' ἦν αὐτῷ φιλονεικία πρὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαίους, ὀργὴν τῆς φυγῆς ἀπομνημονεύοντι· καὶ τοῦτο τὸ ἱερὸν ἐνόμιζε κατασκευάσας εἰς αὐτὸ περισπάσειν ἀπ' ἐκείνων τὸ πλῆθος. Ἐγεγόνει δέ τις καὶ παλαιὰ πρόρρησις ἔτεσί που πρόσθεν 25 ἑξακοσίοις· Ἡσαΐας ὄνομα τῷ προαγορεύσαντι τοῦδε τοῦ

18 εὐνοϊκωτέρως ἥξειν L.M.N.P.E. ἀδείᾳ εὐσεβείας P.E. εὐσεβείας ἐπ' αὐτὸν L.N.T. εὐσ. ὡς ἐπ' αὐτὸν M. 19 ἐπὶ τοῖς ἑκατὸν tr. L. σταδίων ἀπ. N.T. σταδίοις M.P.E. 20 Φρούριον ἔνθα tr. P. τῶν ἐν Ἱεροσ. N. 21 τὸν οἰκεῖον L. 22 χαλκευσάμενος λύχνον L.P. περιτετείχιστο M.P.T. πύλας ἔχων L. πύλας ἔχον sed ex cor. M.T. πύλας ἔχοντι N.P.E. 23 Ἀνῆκε δὲ χώραν L. 24 πρὸς τοῖς ἐν τοῖς Ἱερ. Ἰουδαίοις N. Καὶ τοῦτο ἱερὸν E. Καίτοι τὸ ἱερὸν M.N.T. κατεσκευασμένον εἰς αὐτὸ M. 25 δὲ καὶ παλαιὰ M. προσαγορεύσαντι L. προαγορεύοντι M.

ναοῦ τὴν ἐν Αἰγύπτῳ γενησομένην ὑπ' ἀνδρὸς Ἰουδαίου κατασκευήν. Τὸ μὲν οὖν ἱερὸν οὕτως ἐπεποίητο.

26 4. Λοῦπος δὲ ὁ τῆς Ἀλεξανδρείας ἡγεμὼν τὰ παρὰ Καί-
σαρος λαβὼν γράμματα, καὶ παραγενόμενος εἰς τὸ ἱερὸν, καί
27 τινα τῶν ἀναθημάτων ἐκφορήσας, τὸν ναὸν ἀπέκλεισε. Λού-
που δὲ μετὰ βραχὺ τελευτήσαντος, Παυλῖνος διαδεξάμενος
τὴν ἡγεμονίαν, οὔτε τῶν ἀναθημάτων οὐθὲν κατέλιπε· πολλὰ
γὰρ διηπείλησε τοῖς ἱερεῦσιν, εἰ μὴ πάντα προκομίσειαν·
οὔτε προσιέναι τῷ τεμένει τοὺς θρησκεύειν βουλομένους ἀφῆ-
28 κεν· ἀλλ' ἀποκλείσας τὰς πύλας ἀπρόσιτον αὐτὸ παντελῶς
ἐποίησεν, ὡς μηδ' ἴχνος ἔτι τῆς εἰς τὸν θεὸν θεραπείας ἐν τῷ
τόπῳ καταλιπεῖν. Χρόνος ἦν εἰς τὴν ἀπόκλεισιν τοῦ ναοῦ
γεγονὼς ἀπὸ τῆς κατασκευῆς ἔτη τρία καὶ τεσσαράκοντα καὶ
τριακόσια.

CAP. XI.

1 1. Ἥψατο δὲ καὶ τῶν περὶ Κυρήνην πόλεων ἡ τῶν σικα-
ρίων ἀπόνοια, καθάπερ νόσος. Διαπεσὼν γὰρ εἰς αὐτὴν
Ἰωνάθης, πονηρότατος ἄνθρωπος, καὶ τὴν τέχνην ὑφάντης,
οὐκ ὀλίγους τῶν ἀπόρων ἀνέπεισε προσέχειν αὐτῷ, καὶ προή-
γαγεν εἰς τὴν ἔρημον, σημεῖα καὶ φάσματα δείξειν ὑπισχνού-
μενος. Καὶ τοὺς μὲν ἄλλους ἐλάνθανε ταῦτα διαπραττόμε-
νος καὶ φενακίζων, οἱ δὲ τοῖς ἀξιώμασι προέχοντες τῶν ἐπὶ
τῆς Κυρήνης Ἰουδαίων τὴν ἔξοδον αὐτοῦ καὶ παρασκευὴν τῷ
τῆς Πενταπόλεως Λιβύης ἡγεμόνι Κατύλλῳ προσαγγέλλου-
3 σιν. Ὁ δὲ ἱππέας τε καὶ πεζοὺς ἀποστείλας ῥᾳδίως ἐκράτη-
σεν ἀνόπλων· καὶ τὸ μὲν πλέον ἐν χερσὶν ἀπώλετο, τινὲς δὲ
4 καὶ ζωγρηθέντες ἀνήχθησαν πρὸς τὸν Κάτυλλον. Ὁ δὲ
ἡγεμὼν τοῦ βουλεύματος Ἰωνάθης τότε μὲν διέφυγε· πολλῆς

Ἰουδαίου τὴν κατασκευήν. L.P. 26 καί τινα τῶν ἀναθημάτων Hinc usque ad fin. recentior scriptura est N. 27 οὐδὲν κατέλιπε L. οὐδὲν κατελείπετο P. 28 αὐτὸν παντελῶς L.M. τῆς εἰς θεὸν L.N.E. καταλείπειν P. ἔτη τριακόσια καὶ τεσσαράκοντα. M. 1 τῶν πρὸς Κυρήνην M. 2 Καὶ τοὺς μεγάλους ἐλάνθανε P. Hinc usque ad fin. recentior scriptura est L. καὶ φαινακίζων P. ἐπὶ τῆς Κυρίνης P. Ἰουδαίων ἔξοδον T. 3 πρὸς Κάτυλλον M.N.

δὲ καὶ λίαν ἐπιμελοῦς ἀνὰ πᾶσαν τὴν χώραν ζητήσεως γινομένης, ἦλω. Καὶ πρὸς τὸν ἡγεμόνα ἀναχθεὶς ἑαυτῷ μὲν ἐμηχανᾶτο τῆς τιμωρίας ἀπαλλαγήν, τῷ Κάτυλλῳ δὲ ἔδωκεν ἀφορμὴν ἀδικημάτων· ὁ μὲν γὰρ τοὺς πλουσιωτάτους τῶν Ἰουδαίων ἔλεγε καταψευδόμενος διδάσκαλους αὐτῷ τοῦ βουλεύματος γεγονέναι.

2. Προθύμως δὲ τὰς διαβολὰς ἐκεῖνος ἐξεδέχετο, καὶ τῷ πράγματι πολὺν ὄγκον περιετίθει, μεγάλα προστραγῳδῶν, ἵνα δὴ δόξειε καὶ αὐτὸς Ἰουδαϊκόν τινα πόλεμον κατωρθωκέναι. Τὸ δὲ δὴ τούτου χαλεπώτερον· πρὸς γὰρ τῷ πιστεύειν ῥᾳδίως, ἔτι καὶ διδάσκαλος ἦν τῶν σικαρίων τῆς ψευδολογίας. Κελεύσας γοῦν αὐτὸν ὀνομάσαι τινὰ τῶν Ἰουδαίων Ἀλέξανδρον, ᾧ πάλαι προσκεκρουκὼς φανερὸν ἐξενηνόχει τὸ μῖσος, τήν τε γυναῖκα τὴν ἐκείνου Βερνίκην ταῖς αἰτίαις συνεμπλέξας, τούτους μὲν πρῶτον ἀνεῖλεν· ἐπὶ δὲ αὐτοῖς ἅπαντας τοὺς εὐπορίᾳ χρημάτων διαφέροντας ὁμοῦ τρισχιλίους ἐφόνευσεν ἄνδρας. Καὶ ταῦτα πράττειν ἐνόμιζεν ἀσφαλῶς, ὅτι τὰς οὐσίας αὐτῶν εἰς τὰς τοῦ Καίσαρος προσόδους ἀνελάμβανεν.

3. Ὅπως δὲ μηδ' ἀλλαχοῦ τινες τῶν Ἰουδαίων ἐλέγξωσιν αὐτοῦ τὴν ἀδικίαν, ποῤῥωτέρω τὸ ψεῦδος ἐξέτεινε· καὶ πείθει τὸν Ἰωνάθην καί τινας τῶν ἅμα ἐκείνῳ συνειλημμένων, νεωτερισμοῦ κατηγορίαν ἐπιφέρειν τοῖς ἐν Ἀλεξανδρείᾳ τε καὶ Ῥώμῃ τῶν Ἰουδαίων δοκιμωτάτοις. Τούτων εἷς τῶν ἐξ ἐπιβουλῆς αἰτιαθέντων ἦν Ἰώσηπος, ὁ ταῦτα συγγραψάμενος. Οὐ μὴν κατ' ἐλπίδα τῷ Κατύλλῳ τὸ σκεύωρημα προεχώρησεν· ἦκε μὲν γὰρ εἰς τὴν Ῥώμην, τοὺς περὶ τὸν Ἰωνάθην ἄγων

4 γενομένης L.M. 5 ἡγεμόνα Κάτυλλον ἀναχθεὶς N.E. πλουσιοτάτους P. 6 μεγάλως προστρ. M. ἵνα δόξειε L. ἵνα δὴ δόξῃ M.T. ἵνα δόξῃε P. Ἰουδαϊκὸν πόλεμον N.E. 7 Τότε δὴ τούτου L. γὰρ τὸ πιστεύειν L. ἦν τοῖς σικαρίοις M. 8 Βερνίκην ταῖς αἰτίαις desunt P. συμπλέξας L.M.P. et sec. ms. T. 9 ταῦτα πράττων L.M. 10 τινας τὸν ἅμα P. συνειλειμένων N. συνειδότων L. νεωτερ. κατὰ ταύτην ἐπιφέρειν L. 11 ἐπιβουλῆς αἱρεθέντων ἦν L. τῷ δακτύλῳ τὸ σκεύωρημα L.

δεδεμένους, καὶ πέρας ᾤετο τῆς ἐξετάσεως εἶναι, τὴν ἐπ' αὐτοῦ
13 καὶ δι' αὐτοῦ γενομένην ψευδολογίαν. Οὐεσπασιανὸς δὲ, τὸ πρᾶγμα ὑποπτεύσας, ἀναζητεῖ τὴν ἀλήθειαν, καὶ γνοὺς ἄδικον τὴν αἰτίαν τοῖς ἀνδράσιν ἐπενηνεγμένην, τοὺς μὲν ἀφίησι τῶν ἐγκλημάτων Τίτου σπουδάσαντος, δίκην δ' ἐπέθηκεν Ἰωνάθῃ τὴν προσήκουσαν. Ζῶν γὰρ κατεκαύθη, πρότερον αἰκισθείς.

14 4. Κατύλλῳ δὲ τότε μὲν ὑπῆρξε διὰ τὴν πραότητα τῶν
15 αὐτοκρατόρων μηδὲν πλέον ὑπομεῖναι καταγνώσεως· οὐκ εἰς μακρὰν δὲ νόσῳ καταληφθεὶς πολυτρόπῳ καὶ δυσιάτῳ χαλεπῶς ἀπαλλάττεται, οὐ τὸ σῶμα μόνον κολαζόμενος, ἀλλ' ἦν
16 ἡ τῆς ψυχῆς αὐτῷ νόσος βαρυτέρα. Δείμασι γὰρ ἐξεταράττετο, καὶ συνεχῶς ἀνεβόα, βλέπειν εἴδωλα τῶν ὑπ' αὐτοῦ πεφονευμένων ἐφεστηκότα. Καὶ κατέχειν ἑαυτὸν οὐ δυνάμενος, ἐξήλλετο τῆς εὐνῆς, ὡς βασάνων αὐτῷ καὶ πυρὸς προσ-
17 φερομένων. Τοῦ δὲ κακοῦ πολλὴν ἀεὶ τὴν ἐπίδοσιν λαμβάνοντος, καὶ τῶν ἐντέρων αὐτῷ κατὰ διάβρωσιν ἐκπεσόντων, οὕτως ἀπέθανεν, οὐδενὸς ἧττον ἑτέρου τῆς προνοίας τοῦ θεοῦ τεκμήριον γενόμενος, ὅτι τοῖς πονηροῖς δίκην ἐπιτίθησιν.

18 5. Ἐνταῦθα τῆς ἱστορίας ἡμῖν τὸ πέρας ἐστὶν, ἣν ἐπηγγειλάμεθα μετὰ πάσης ἀκριβείας παραδώσειν τοῖς βουλομένοις μαθεῖν, τίνα τρόπον οὗτος ὁ πόλεμος Ῥωμαίοις πρὸς Ἰου-
19 δαίους ἐπολεμήθη. Καὶ πῶς μὲν ἠρμήνευται, τοῖς ἀναγνωσομένοις κρίνειν ἀπολελείφθω· περὶ τῆς ἀληθείας δὲ οὐκ ἂν ὀκνήσαιμι θαρρῶν λέγειν, ὅτι μόνης ταύτης παρὰ πᾶσαν τὴν γραφὴν ἐστοχασάμην.

12 ἐξετάσεως καὶ τὴν L. 14 δὲ τὸ μὲν L. μηδὲν πλείων P. 15 καταλειφθεὶς N. χαλεπῶς ἀπήλαττεν P. 16 συνεχῶς ἐβόα L.M.T. 18 βουλομένοις· μεθ' ἣν τινα L. ἐπολεμώθη P. πᾶσαν τὴν ἀναγραφὴν L.M.P.

INDEX VOCUM GRÆCARUM.

Ἀβασανίστως i. 32, 3.
ἀβάσκανοι i. 9, 4
ἀβέβηλον iv. 4, 3.
ἀγένεια i. 18, 3.
ἀγέραστος vi. 2, 5.
ἅγια τα ii. 16, 2. ii. 19, 6. iv. 3, 10.
ἀγνώμων ἀξίωσις ii. 10, 3.
ἀγυρτικαὶ λογοποιΐαι iv. 6, 3.
ἀγχόμαλον vi. 2, 6.
ἀγωνία iv. 2, 1.
ἀγώνισμα i. 11, 4. i. 15. 3. i. 17, 5. i. 28, 5
ἀγωνοθετεῖν vi. 2, 5.
ἄδεια iv. 8, 2.
ἀδελφοκτονία i. 31, 2.
ἀδηρίτως iii. 2, 4.
ἀδιαλείπτως iii. 7, 23. iii. 10, 8. iv. 1, 10
ἀδόκητον ii. 19, 7
ἀδοκήτως i. 16, 5. iii. 6, 1.
ἀδοξεῖν ii. 16, 4. v. 9, 4.
ἀδοίλωτος vii. 8, 7.
ἀδρότερα τάγματα ii. 20, 7.
ἀδυσώπητον vi. 2, 10.
ἀετὸς i. 33, 2. et 3. v. 2, 1.
ἀζήλωτον vii. 8, 1.
ἀθέατος v. 5, 5.
ἀθέμιτον i. 33, 2. iv. 3, 12. vi. 3, 4
ἄθεσμος vii. 8, 1.
ἄθυρμα iv. 4, 3.
αἰδεῖσθαι Proœm. 3.
αἰθριώτατος i. 21, 7.
αἰκία βασάνων iii. 8, 33.
αἰκίαι ἀρνήσεως iv. 6, 3.
αἰκιζομαι iv. 8, 3. vi. 5, 3.
αἴξας vii. 10, 1.
αἱρετισταὶ ii. 8, 4.
αἴσθησις vii. 4, 1.
αἰφνίδιον iv. 8, 4.
ἀκατάσχετος ii. 12, 1.
ἀκατιαιτίατος i. 24, 8. ii. 14, 8. iv. 3, 10.
ἀκέραιος v. 6, 4.
ἀκήρυκτος πόλεμος i. 13, 9. ii. 2, 5.
ἀκμαὶ iv. 3, 1.
ἀκμαῖος vii. 8, 4.
ἀκμὴ θέρους i. 17, 1.
ἀκμὴ χειμῶνος i. 14, 2.
ἀκμητὶ i. 16, 2.
ἀκοινώνητος iii. 10, 2.
ἀκονᾶν i. 26, 2.
ἄκολος v. 10, 3.
ἀκρασία ii. 15, 4.
ἀκρασία ποδῶν i. 1, 2.
ἀκρασία χειρῶν v. 3, 4.
ἄκρατος i. 22, 5. ii. 9, 3. ii. 16, 4. v. 5, 7.
ἀκρατόφορος v. 13, 6.
ἀκρατῶς i. 18, 2. iv. 1, 6.
ἀκριβοῦν i. 33, 2.
ἄκριτος iii. 9, 1. v. 3, 1.
ἀκροτομῆσαι ii. 10, 1.
ἀλαλαγμὸς iii. 7, 25.
ἀλάστωρ i. 30, 6.
ἀλεεινὴ iii. 9, 1.
ἀλεωρὰ iii. 1, 8.
ἀλιτήριος i. 25, 1. iv. 3, 10. vii. 3, 4
ἀλόγιστος iii. 7, 32. iv. 3, 1. vii. 1, 2.
ἀμάραι v. 13, 7.
ἀμβλύνειν vi. 5, 3. vii. 9, 1.
ἀμέλει ii. 17, 10. iv. 7, 1.
ἀμεριμνία i. 32, 2.
ἀμίαντος vi. 2, 1.
ἄμιλλα v. 12, 2.
ἄμυνα i. 2, 6. ii. 10, 1. ii. 12, 5. ii. 13, 5.
ἀμύνασθαι i. 16, 6. v. 3, 5.
ἀμφηγνυμένον iv. 10, 5.
ἀμφιβολία iii. 9, 5.
ἀμφίκυρτος v. 4, 1.
ἀναβλύζειν iv. 8, 3.
ἀναβολὴ vii. 4, 1.
ἀναδόσεις ὑδάτων vii. 6, 3.
ἀνάδυσις i. 31, 4.
ἀναίμακτος v. 9, 4.
ἀναιμωτὶ iv. 1, 6.
ἀναισθητῶν part. iv. 3, 10.

ἀνακαλέσασθαι i. 19, 3.
ἀνακοπὴ ii. 13, 7.
ἀνακύπτειν i. 8, 9. i. 16, 2. i. 23, 5. ii. 16, 4.
ἀνακύπτειν vi. 8, 5.
ἀναλαμβάνειν σφάλματα iii. 5, 6. v. 4, 4.
ἀνάλογον i. 21, 13. i. 22, 5.
ἀναλόγως vi. 1, 6.
ἀναμένων καιροὺς iii. 5, 1.
ἀνανεούμενος i. 14, 4.
ἀνανεύειν iii. 10, 9.
ἀνανοσεῖν v. 6, 1.
ἀνανταγώνιστον vii. 4, 1.
ἀναπαλαίειν iv. 1, 6.
ἀναπνοαὶ ii. 8, 8. v. 2, 4.
ἀναρρήγνυναι ii. 4, 1.
ἀναρριπίζεσθαι ii. 13, 6.
ἀναρριπτεῖν κίνδυνον iv. 3, 14.
ἀναρροιζεῖν iii. 1, 9.
ἀναστᾶν iii. 1, 8.
ἀνάστασις vi. 6, 2.
ἀνάτασις i. 10, 9. vi. 9, 1.
ἀναφανδὸν iv. 3, 10. iv. 4, 1. iv. 4, 6.
ἀναχαιτίζειν ii. 16, 4. v. 9, 4.
ἀνδριζόμενος vi. 1, 5.
ἀνδρομήκης v. 5, 4.
ἀνέδην i. 4, 7. i. 22, 5. i. 32, 2. ii. 15, 5. ii. 18, 8. iv. 2, 2. v. 3, 1. vi. 8, 5.
ἀνιθεὶς i. 2, 4.
ἀνειλούμενοι i. 7, 4. iv. 1, 4.
ἀνενεγκὼν i. 11, 8.
ἀνεξικακία i. 32, 2. iv. 3, 10.
ἀνεπίσχετος vii. 9, 1.
ἀνέργαστος σῖτος v. 10, 2.
ἀνερροίζουν iii. 1, 9.
ἀνευφήμουν ii. 21, 4. iv. 2, 5.
ἀνήκεστον πάθος ii. 12, 3. ii. 15, 3.
ἀνηκέστως ii. 14, 5. ii. 16, 4.
ἀνήνυτον i. 21, 12. ii. 11, 6. ii. 18, 4.
ἀνθυποκρίνεσθαι i. 31, 3.
ἀνισούμενος v. 5, 1.
ἀνιστόρητοι ii. 16, 4.
ἀνοδία iv. 2, 4.
ἀνόητος i. 23, 5.
ἀνόσια ζῶα iv. 6, 3.
ἀνοχὴ i. 8, 6.
ἀνταίρειν χεῖρας vii. 8, 7.
ἀντάλλαγμα i. 18, 3.
ἀντεχόμενοι αὐτῶν iv. 5, 2.
ἀντιβασιλεύειν iv. 7, 1.
ἀντιθάλπω iv. 4, 6.
ἀντικαταλλαξάμενος iii. 7, 17.
ἀντίληψις iv. 3, 10.
ἀντιμέτωποι v. 2, 2.
ἀντίπαλον ii. 17, 9. vii. 8, 7.
ἀντιπαραταξάμενοι i. 19, 2.
ἀντιπαρηγορεῖν i. 15, 5.
ἀντιπερισπᾷν iii. 7, 16.
ἀντιποιεῖσθαι iv. 7, 1.
ἀντιπρόσωπον v. 2, 2.
ἀντιφιλονεικεῖν iv. 7, 1.
ἀνυπέρβλητος ii. 10, 4.
ἀνυπεύθυνος i. 24, 1.
ἀνυπόστατος i. 6, 5. i. 21, 13. v. 6, 3. v. 9, 3.
ἀνύσιμον v. 5, 1.
ἀνυστικώτατοι i. 17, 8. v. 9, 2.
ἀνωθεῖν iii. 1, 5.
ἀνώμαλος i. 4, 4. vi. 1, 7.
ἀνώμαλος τιμὴ i. 23, 5.
ἀξιόχρεα ἁμαρτήματα ii. 8, 8.
ἀξιόμαχος i. 4, 5.
ἀξιοπίστως i. 25, 5.
ἀπαγγελία Procem. 5.
ἀπαθέστερος v. 9, 4.
ἀπαμβλύνειν iii. 7, 34. iv. 8, 3.
ἀπανθρωπία ii. 17, 3.
ἀπαντικρὺ vii. 6, 1.
ἀπαραίτητος vii. 7, 3.
ἀπαράσσεσθαι iii. 7, 23.
ἀπαρατηρήτως iv. 3, 3.
ἀπαρρησίαστον iv. 6, 4.
ἀναστραπτεῖν vii. 6, 3.
ἀπατεὼν ii. 13, 4.
ἀπαυθαδίζεσθαι iii. 7, 11. v. 4, 4.
ἀπεγγνωκὼς v. 13, 2.
ἀπειλητὴς i. 10, 4.
ἀπείραστος vii. 8, 1.
ἀπείρατος ii. 16, 4. iii. 4, 1.
ἀπειρηκότες iii. 5, 1.
ἀπειρόκαλος iv. 1, 6.
ἀπελέγχειν ii. 16, 4. ii. 21, 7.
ἀπερείδεσθαι ii. 21, 10.
ἀπερίσκεπτον iv. 1, 6.
ἀπεχθάνεσθαι v. 9, 4.
ἀπέχω i. 30, 6.
ἀπηνεῖς ii. 8, 14.
ἁπλᾶγας ii. 14, 1. vi. 1, 8.
ἁπλότης v. 7, 4.
ἀποδειλιῶντες vii. 8, 7.

ἀποδύσασθαι i. 23, 3.
ἀποθησαυρίζειν vii. 5, 2. vii. 8, 4.
ἀποθρύπτειν iii. 7, 23.
ἀποκαραδοκεῖν iii. 7, 26.
ἀπόκρημνος i. 16, 4. iv. 1, 10.
ἀποκρούειν i. 19. 5.
ἀπολούμενος ii. 16, 4. ii. 22, 1.
ἀπολυτροῦν ii. 14, 1.
ἀπομειλίττειν i. 11, 2.
ἀπομνημονεύειν i. 11, 3.
ἀπονητὶ iv. 6, 2.
ἀπονήχομαι ii. 20, 1.
ἀποπάλλειν v. 5, 6.
ἀποπατεῖν ii. 8, 9.
ἀπορρὼξ i. 21, 3.
ἀποσκευάζειν i. 2, 1. i. 10, 1. i. 24, 4. ii. 18, 5. iv. 3, 13.
ἀποσκευάζεσθαι ἐγκλήματα i. 31, 5.
ἀποσκευὴ ii. 12, 2.
ἀποστροφὴ ii. 11, 4.
ἀποτάσσεσθαι iii. 4, 2.
ἀπότομος iii. 1, 7.
ἀποφορτίζειν i. 8, 6. i. 13, 8.
ἀποχειροτονεῖν ii. 2, 5.
ἀποψεύδεσθαι iv. 3, 5.
ἀποψηφίζεσθαι i. 10, 7.
ἄπραπτος ii. 10, 4.
ἀργὴ ψάμμος ii. 10, 2.
ἀργία ii. 9. 6.
ἀργὸς σιδηρὸς vii. 8, 4.
ἀργυρίζειν i. 15, 2. i. 26, 4.
ἀρειμάνιος ii. 16, 4. vi. 1, 5.
ἄρκυς vi. 2, 8.
ἁρμόζειν iii. 10, 8.
ἁρμονία iv. 8, 4.
ἄρρηκτος v. 9, 3.
ἀρτίως iv. 4, 3.
ἀρχιλῃσταὶ iv. 3, 3.
ἀσήμαντος vi. 1, 7.
ἄσημος vi. 1, 8.
ἄσκεπτος i. 31, 3. v. 2, 2.
ἀσκόπως iii. 3, 5.
ἀσπιδίσκαι v. 5, 7.
ἀστρατήγητος ii. 12, 4. iv. 3, 3.
ἀσύνεπτον vii. 6, 1.
ἀσχάλλειν iii. 7, 12. iii. 10, 3.
ἀσχολεῖν iii. 7, 29.
ἄτακτος γυμνασία ii. 22, 1.
ἀταμίευτος iv. 1, 6. vi. 2, 10.
ἄτευκτος v. 9, 4.
ἀτενὴς vii. 9, 1.
ἀτενίζειν v. 12, 3.
ἀτιθάσευτος vi. 6, 2.
ἄτονος i. 10, 4. i. 25, 1. iii. 6, 1. iv. 1, 5. v. 2, 2. v. 12, 1. vi. 1, 3
ἀτρεμοῦντες iii. 4, 1.
ἀτρέπτως vii. 9, 1.
αὐθαδεία iv. 2, 2.
αὐθαίρετος vi. 5, 4.
αὐθέντης ii. 12, 5.
αὐθήμερον iii. 7, 32.
αὔλειον ii. 21, 5.
αὐλὴ ii. 17, 6.
αὐλίζεσθαι ii. 14, 8. iii. 4, 1. iii. 5, 3
αὖος τῷ δέει i. 19, 5.
αὐτανδρος i. 19, 2. ii. 18, 7. iii. 7, 31. iv. 4, 7.
αὐτεξούσιος ii. 8, 6. ii. 14, 4. iii. 5, 3. iii. 7, 12.
αὐτομάτη φήμη iii. 9, 5.
αὐτοσχέδιον iii. 5, 6.
αὐτοχειρία iii. 8, 5. et 6.
αὐτοχειρὶ vii. 9, 1.
ἀφ' αἵματος i. 18, 4.
ἀφετήρια v. 6, 3. vi. 1, 3.
ἀφετήριος iii. 5, 2.
ἀφηγεῖσθαι ii. 9, 1. ii. 11, 6. ii. 17, 9.
ἀφήγησις πραγμάτων i. 11, 4.
ἀφηνιάζειν iv. 3, 2. iv. 7, 1.
ἀφορμὴ i. 10, 2. i. 26, 2. i. 26, 3. v. 9, 3. v. 9, 4
ἀχαινὴς ii. 9, 3.
ἀχαριστεῖν ii. 16, 4.
ἀχαριστία i. 12, 1.
ἄχραντος v. 5, 5.
ἄωρον iv. 9, 2.
Βαθμοὶ τελμημάτων iv. 3, 10.
βακτίζειν i. 22, 2. ii. 20, 1. iv. 3, 3.
βαρύνεσθαι iv. 3, 10.
βασανιστήριος ii. 8, 10.
βασιλειᾶν Procem. 2. i. 4, 1. ii. 4, 1. iv. 9, 9.
βάσκανοι i. 10, 6.
βουκολεῖν vii. 8, 7.
βραβεύειν i. 10, 9. iv. 4, 1. v. 12, 2. vi. 2, 6. vii. 6, 4.
βραδύτατοι παθεῖν iii. 5, 7.
βρασμοὶ i. 19, 4.

βρασσόμενον iii. 7, 28.
βράττεσθαι vi. 5, 1.
βρίθος iii. 7, 30.
βρίσειε vi. 1, 7.
βῶζην iii. 7, 31. vi. 6, 2.
Γαλπρότερος i. 28, 2.
γείσιον v. 5, 6. v. 5, 7. vi. 2, 4.
γειτνίασις vii. 3, 3.
γειτονία vii. 4, 1.
γενεαὶ ii. 18, 10.
γέρρα iii. 1, 9.
γέφυρα ii. 16, 3.
γεφύρωμα iii. 7, 28.
γλιχόμενος vii. 9, 1.
γνώριμοι ii. 9, 5. ii. 10, 3. ii. 12, 3. ii. 12, 6. ii. 19, 3. ii. 21, 5, et 6.
γονόρροιος vi. 9, 3.
γραμματοφυλακεῖον ii. 17, 6.
γυναικομανῆν i. 22, 3.
γωνιτός iii. 5, 5.
Δαιμονᾶν ii. 13, 4. vii. 9, 1.
δαίμόνιον i. 31, 3. vii. 6, 3.
δαιμόνιος i. 17, 4. i. 19, 4. iii. 10, 3. iv. 9, 2. vi. 9, 4. vii. 8, 5.
δαίμων i. 30, 7. i. 32, 2.
δαιτυμὼν vi. 9, 3.
δακτύλιος σημαντὴρ i. 33, 8. ii. 2, 4.
δαπανᾶν iii. 5, 1. iii. 7, 33.
δαψίλεια v. 5, 1.
δεδισσόμενος iv. 4, 1.
δείκηλον ii. 9, 2. ii. 10, 4.
δεισιδαιμονία i. 5, 3. ii. 9, 3. ii. 12, 2.
δελεάζοντες ii. 18, 3. ii. 19, 4.
δεξαμεναὶ v. 4, 3. vii. 6, 2.
δεξιαὶ Procem. 11. iii. 7, 32. iv. 2, 2. iv. 8, 3.
δεσπόζειν iv. 9, 11.
δεσπότεια vii. 4, 2.
δεσποτικῶς iv. 7, 1.
δηλητήρια φάρμακα i. 13, 10. i. 31, 1.
δημοτικὸς iv. 3, 12.
διάβρωσις vii. 10, 4.
διαγγελία iii. 8, 5.
διαδορατιζόμενοι v. 3, 3.
διάδυσις δρασμοῦ iii. 8, 1.
διαδωρεῖν vi. 9, 2.
διάθεσις Procem. 4. i. 3, 4.
δίαιτα ii. 8, 7. ii. 8, 10.
διακαλύπτειν i. 31, 2.
διακαρτερεῖν i. 8, 6. ii. 9, 2.
διακηρύσσω iv. 4, 2.
διακλείειν iv. 8, 5.
διακοντίζεσθαι iv. 3, 12.
διακρημνεῖν i. 2, 4.
διακρίνων Procem. 11.
διακρούειν i. 14, 2. i. 20, 3. i. 24, 5.
διακρούεσθαι i. 25, 1. iii. 8, 9. iv. 4, 3.
διαλαμβάνειν v. 5, 8.
διαλείμματα vi. 1, 3.
διαλείπω i. 30, 6.
διάλιθος i. 25, 6.
διαλλακτής i. 11, 3.
διαλύεσθαι i. 4, 4.
διαμαχήσας vi. 9, 4.
διαμισέω iv. 6, 4.
διανύσας i. 16, 2.
διανυκτερεύω iii. 9, 2.
διαπαίζειν v. 7, 4.
διαπετάνυμι v. 7, 4.
διαπίπτειν ii. 16, 4.
διαπρεπέστερον vii. 1, 2.
διαπρύσιος ii. 1, 2. ii. 14, 6. vi. 5, 3.
διαρκέσαι vii. 6, 3.
διαστασιάζω i. 10, 2. i. 11, 5.
διαστέλλειν v. 2, 2.
διασύρειν i. 24, 1.
διαταφρεύειν i. 4, 7.
διατείχισμα v. 5, 3.
διατιτρώσκω vi. 3, 1.
διατροπὴ ii. 16, 4.
διάττειν vi. 1, 8.
διαφορὰ i. 14, 4.
διάφοροι ii. 13, 3. v. 4, 3.
διάφορος i. 19, 2. ii. 13, 2. v. 4, 3.
διαφοράτατα ἁπάντων ii. 8, 9.
διαχέας ἔλεον i. 32, 4.
διεκπαίειν iii. 2, 2. iii. 10, 3. iii. 10, 9. iv. 1, 4. iv. 1, 9. iv. 8, 5. v. 2, 2. vii. 6, 4.
διεκπίπτειν v. 6, 3. vi. 2, 8. vi. 5, 1.
διελαύνειν ξίφει ii. 18, 4.
διεξελαύνειν vii. 5, 4.
διεξοδικώτερον Procem. 6.
διεργάζεσθαι iii. 7, 35.
διευτονῶν v. 12, 3.
διΐστάμενοι ii. 17, 7. v. 5, 8.
δικαιολογεῖσθαι ii. 21, 5.
δικαιολογία i. 6, 4, vii. 8, 1.
δικαιώματα vii. 5, 2.
διοδεύειν iii. 7, 32. iii. 8, 7.

διοικήσεις βασιλείας i. 33, 8.
δι' ὄχλου εἶναι ii. 13, 1.
δίστεγος v. 5, 4.
διωρία i. 32, 3.
δολιώτατος iv. 3, 13.
δόμημα v. 5, 1.
δόμησις i. 21, 6. ii. 17, 1. iii. 5, 1.
δορυφορεῖν τινα i. 20, 3.
δραματουργῶν i. 24, 1.
δρασμὸς i. 15, 1.
δρασσόμενος iii. 8, 6.
δραστήριος i. 11, 4. i. 14, 4. iv. 4, 1.
δρύφακτος iii. 1, 10. v. 5, 2. vi. 2, 4.
δυσάλωτος i. 21, 6. iii. 7, 30.
δυσανάλωτον iii. 7, 30.
δύσαρκτον ii. 6, 2.
δυσδιάθετος vii. 7, 3.
δυσδιοίκητον ii. 16, 4.
δυσερεύνητα i. 16, 5.
δυσέφικτον iii. 7, 30.
δυσήνυτον v. 12, 1.
δυσθανατήσας vi. 1, 8.
δυσθανατῶντες iv. 1, 4. iv. 4, 3. v. 9, 3. v. 12, 3. vi. 1, 8.
δυσκατάλυτοι iv. 3, 11.
δυσμεταχείριστος iv. 2, 1.
δυσσύνακτον iv. 4, 6.
δυσωπεῖν i. 2, 2. i. 6, 5. i. 14, 1. iii. 8, 6.
δυσώπημα i. 25, 5.
Ἐγγράφως i. 27, 1.
ἐγκάθετοι vi. 5, 2.
ἐγκέλευστος ii. 1, 2.
ἐγκρίνεσθαι ii. 8, 7.
ἐδώδιμον iv. 8, 4.
ἐθελούσιον vi. 2, 1.
εἴδωλα vii. 11, 4.
εἰκαῖος ii. 10, 2. ii. 10, 4. iv. 6, 3.
εἰκαίως iii. 2, 3. iv. 8, 4. v. 4, 4.
εἰκόνες ii. 9, 2. ii. 10, 3.
εἰλικρινέστατος ii. 16, 4.
εἰκὼς vii. 8, 5.
εἱμαρμένη ii. 8, 14. vi. 2, 1.
εἰρωνεία iv. 4, 4. iv. 6, 4.
εἰρωνεύεσθαι i. 10, 6. ii. 14, 7.
εἰσαφεῖναι v. 13, 1.
εἴσπραξις χρεῶν ii. 17, 6.
ἐκβοηθεῖν iii. 10, 3.
ἐκβρασθῆναι iii. 9, 3.
ἐκγυητεύειν i. 11, 3.
ἐκδεικνύμενοι ii. 8, 13.
ἐκδιαιτᾶν i. 23, 5. vii. 8, 1.
ἐκδιδύσκω ii. 14, 2.
ἐκδοχεῖον i. 15, 1. iv. 9, 4.
ἐκεχειρία ii. 17, 10. iii. 5, 1. v. 3, 1.
ἐκθορὼν i. 17, 3.
ἐκθύμως ii. 12, 7.
ἐκκηρύσσειν ii. 17, 1. ii. 21, 8.
ἐκκλέπτειν iii. 8, 1.
ἐκκοιτοῦντες vi. 2, 6.
ἐκκριθεὶς ii. 8, 8.
ἔκκρισις ii. 8, 9.
ἔκκριτος ii. 16, 2. iv. 11, 5.
ἐκκρούειν i. 3, 5.
ἔκλαμπρος v. 2, 3.
ἐκλυθεὶς i. 11, 8.
ἔκλυτος i. 19, 3.
ἐκμειλιχθεὶς iv. 9, 8.
ἐκπολεμοῦσθαι iii. 9, 2. iii. 10, 9.
ἐκπυρσεύειν iv. 10, 5. v. 4, 3. vii. 8, 5.
ἐκπυρῶται iv. 8, 2.
ἐκρήσσειν ὀργὴν i. 10, 7.
ἐκριπίζειν i. 2, 8. ii. 14, 6. ii. 16, 3.
ἐκσείω ii. 19, 2. ii. 19, 7. iv. 7, 4.
ἐκσκευάζεσθαι iv. 8, 2.
ἔκστονδος ii. 17, 3.
ἐκταφρεύειν v. 2, 2.
ἐκτόπως ii. 8, 6. iv. 5, 2.
ἐκτύπωμα v. 5, 7.
ἐκφοβεῖν i. 24, 8.
ἔκφρων i. 27, 4.
ἔλεγχος i. 31, 1. i. 32, 2. i. 32, 4. i. 33, 4.
ἐλεπόλεις ii. 19, 9. iii. 6, 2.
ἐλπίδος ψυχρότερος vi. 1, 3.
ἐμβεβροντημένοι vi. 5, 3.
ἐμβολὴ i. 12, 3. v. 2, 3. vii. 8, 5.
ἔμμηνος v. 5, 6.
ἐμπηδᾶν v. 2, 2. v. 7, 3.
ἐμπεριπλέοντες iii. 10, 9.
ἐμπερονησάμενος vii. 2, 1.
ἐμπορεύειν i. 26, 1.
ἔμφασιν ii. 14, 3. iv. 3, 13.
ἔμφρουρος ii. 19, 4. ii. 22, 2.
ἐμφύλιος ii. 21, 7.
ἐμφωλεύειν i. 16, 3. i. 32, 3.
ἐναγισμὸς i. 1, 1. i. 1, 4. i. 7, 4. vi. 2, 1

ἐναποκάμνειν iii. 6, 1.
ἐνάρετος vi. 1, 8.
ἐναυλίζειν i. 8, 6.
ἐνδείκνυσθαι ii. 7, 2. iv. 2, 5.
ἐνδελεχισμὸς i. 1, 1. vi. 2, 1.
ἔνδοξος ii. 10, 5.
ἐνδυτοῦ θώρακος v. 5, 7.
ἐνειλινδεῖσθαι iv. 9, 10.
ἐνεργὸς iii. 3, 3. iv. 9, 7.
ἐνθηλυπαθεῖν iv. 9, 10.
ἔνθους iii. 8, 3.
ἐνθυμεῖσθαι μεῖζονα i. 11, 7.
ἔννοιαν λαβόντες ii. 19, 2.
ἐνενόησεν iii. 7, 14.
ἐνεπόρπουν v. 5, 7.
ἐνσειόμενοι vi. 3, 3.
ἐνσκήπτει νόσῳ i. 3, 6.
ἐντραπέντες vii. 8, 7.
ἐντρέπεσθαι ii. 14, 6.
ἐντρέφεσθαι v. 9, 3.
ἐντυπεῖν ii. 8, 2.
ἐξαγριοῦν i. 21, 5. i. 24, 2. i. 26, 3. iv. 4, 3.
ἐξαιθριασθὲν iii. 10, 7. iv. 8, 3.
ἐξαίρετον i. 21, 2.
ἐξαιρέτως ii. 8, 4.
ἐξαίσιοι πέτραι vi. 1, 6.
ἐξακριβοῦν iv. 1, 1.
ἐξακρούεσθαι i. 2, 3.
ἐξαπίναιος i. 19, 3. iii. 6, 2.
ἐξασφαλίζω ii. 8, 7.
ἐξέδρα v. 1, 5.
ἐξεργασία Procem. 6.
ἐξερημοῦσθαι iv. 9, 7.
ἐξοκέλλειν ii. 13, 1. iv. 4, 3. iv. 6, 3.
ἐξομαλίζειν v. 3, 2.
ἐξυβρίζειν εἰς τὴν τύχην ii. 10, 1. ii. 13, 1
ἐξωλέστατος i. 32, 3.
ἐξώλης i. 32, 2.
ἐπαλαζονεύσθαι ii. 18, 4. iv. 3, 5.
ἐπαλαλάζειν iv. 1, 4. vi. 2, 10.
ἐπαληθεύειν vii. 8, 1.
ἐπάλληλος iv. 4, 6. v. 1, 5.
ἐπάλξεις iii. 1, 10. v. 4, 2.
ἐπαμύνειν i. 15, 2.
ἐπανακύπτω i. 31, 1.
ἔπαυλις ii. 4, 2. ii. 19, 9.
ἐπαυρίζων i. 21, 5.
ἐπειρωνεύειν i. 3, 6. v. 13, 1.
ἐπείσακτος iv. 11, 5.
ἐπέμμηνος vi. 9, 3.
ἐπήκοος iii. 8, 5.
ἔπηλυς iii. 10, 5. iii. 10, 10.
ἐπιβάθρα vii. 8, 5. vii. 9, 2.
ἐπιβάλλειν i. 22, 1.
ἐπιβαπτίζειν i. 27, 1. iii. 7, 15.
ἐπιβατήριοι μηχαναί iii. 7, 25.
ἐπιβιοῦς i. 33, 8.
ἐπιβοηθεῖν iv. 1, 10.
ἐπιβολὴ i. 2, 2. ii. 15, 5. v. 5, 1.
ἐπιβουλὴ i. 33, 6.
ἐπιβρίθειν iii. 7, 19. iii. 7, 23. v. 7, 4.
ἐπιγελᾶν i. 11, 8.
ἐπιδιαθήκη ii. 2, 3.
ἐπιεικῶς i. 13, 8. i. 21, 10.
ἐπιθειάζειν i. 33, 5.
ἐπικαρπία i. 16, 3. vi. 1, 5.
ἐπικάρσιος vii. 8, 5.
ἐπικατατηδῶντες iii. 10, 9.
ἐπικατασείω i. 1, 5.
ἐπικείμενος προσωπεῖον i. 24, 1.
ἐπίκριτοι iii. 5, 5.
ἐπιλογισμὸς i. 16, 7.
ἐπίμαχον i. 17, 8.
ἐπινίκιον vii. 5, 6.
ἐπινοία iii. 7, 20. iv. 6, 1.
ἐπίπεδος v. 5, 5. vii. 8, 3.
ἐπιπολαίους πληγὰς iii. 6, 1.
ἐπιπολαίως iii. 7, 22.
ἐπίπροσθεν i. 6, 3. i. 25, 4.
ἐπισείειν i. 10, 9.
ἐπισιτισμὸς iii. 5, 3.
ἐπισκοτεῖν v. 5, 8. v. 8, 2.
ἐπισπέρχειν iii. 5, 4.
ἐπιστρατευσάμενος Procem. 2.
ἐπίτασις νόσου i. 33, 1.
ἐπιτείχισμα i. 23, 1.
ἐπίτευγμα iii. 5, 6.
ἐπιτίμιον i. 16, 5. i. 30, 6.
ἐπιτροπεύειν vii. 1, 2.
ἐπιφάνεια vii. 5, 2.
ἐπιφήμισμα ibid.
ἐπιχλευάζειν iv. 6, 4.
ἐπιχωννύντων iv. 1, 7.
ἐπολισθαίνειν iii. 7, 29.
ἐργαλεῖα iii. 5, 1.
ἐργολαβεῖν i. 26, 2. ii. 14, 6.
ἐρεθίζειν ii. 16, 4. ii. 17, 3.
ἐρείπια i. 8, 6. iv. 1, 4.
ἔρευνα ii. 17, 9.

ἐριπνὺς vi. 3, 4.
ἕρμαιον i. 6, 2. iv. 6, 2.
εὐαγγέλια iv. 10, 6. iv. 11, 5.
εὐαγγελίζεσθαι iii. 10, 6.
εὔγνωμον iv. 4, 3.
εὐδαιμονίζειν vii. 8, 7.
εὐδιαθέτως iii. 5, 2.
εὐετηρία vii. 4, 1.
εὐθηνία iii. 3, 2. iv. 2, 1. iv. 8, 3. vi. 3, 5.
εὐκαρδίως vii. 8, 7.
εὔκρατος ἀρύσασθαι iii. 10, 7.
εὐλογεῖσθαι v. 9, 4.
εὐμαρὴς iii. 5, 2.
εὐνομία i. 21, 2.
εὐπαρακολούθητον vii. 3, 2.
εὐπείθεια ii. 20, 7. iii. 10, 2. v. 3, 4.
εὐπέτεια v. 6, 2.
εὐπετὲς iv. 2, 2.
εὐπραγία iii. 10, 2.
εὔρεια κατορθωμάτων iv. 9, 4.
εὔστοκον ἀπόκρισιν vii. 5, 2.
εὐστόχως iv. 8, 5.
εὐσύνοπτος i. 2, 4. iii. 1, 4. iii. 9, 7.
εὐταξία ii. 8, 10. ii. 19, 4.
εὐτονεῖν iv. 8, 4. v. 13, 7. vi. 5, 1.
εὐτονία iii. 5, 1.
εὔτονον iii. 10, 2.
εὐτόνως iv. 8, 4.
εὐφημούμενος iv. 9, 11.
ἐφοδιασθεὶς ii. 7, 1.
ἐφόδιον i. 23, 5. iv. 2, 4. vi. 1, 7. vi. 3, 3.
ἐφορμᾶν i. 14, 2.
ἐχεμυθεῖν i. 24, 1.
ἐωλότερον iv. 6, 2.
Ζωγρεῖν vi. 9, 2.
Ἡγεμονικώτατος vii. 1, 2.
ἡμίβρωτοι vii. 8, 7.
ἠττᾶσθαι δικαίου πάθους i. 2, 4.
Θανατικοὶ iii. 5, 7.
θανατᾶν iii. 7, 18. iv. 6, 2.
θειασμὸς ii. 13, 4. ii. 22, 1.
θειωδέστερον i. 18, 1.
θεμιτὸν vi. 9, 4.
θεραπεία i. 3, 6. i. 23, 5. ii. 16, 2. ii. 21, 6. iv. 9, 8.
θεραπεύειν ii. 16, 4.
θήγεσθαι v. 5, 6.
θορυβεῖν i. 16, 5. iv. 4, 3. iv. 7, 4.
θρησκευόμενον ii. 19, 2.
θρυγκὸς i. 21, 10.
θρυπτόμενοι βαδίσμασιν iv. 19, 10.
θυμηδία vii. 4, 1.
θυμοῦσθαι i. 11, 2.
θύσανοι v. 5, 7.
θυσανωτὸν ἔργον ibid.
θωράκια ii. 17, 7. v. 4, 3.
Ἰδέα iii. 10, 7.
ἱερὰ γράμματα v. 5, 7.
Ἱλυσπώμενος iii. 7, 21.
ἵμερος i. 20, 1.
ἵς vi. 3, 3.
ἱστορεῖν vi. 1, 8.
καθ' ἱστορίαν iii. 9, 7.
ἴυγξ ii. 8, 11.
Καθόλου iv. 6, 3. iv. 8, 3. v. 9, 4.
καθοσιόω i. 13, 4.
καθυμνῶν i. 31, 3.
καμπτεμισθὲς vi. 3, 4.
καίριος iv. 4, 4. vi. 1, 8.
καιροφυλακεῖν vi. 2, 2.
κακοδαιμονᾶν i. 22, 1.
κακούργημα ii. 21, 1.
καλλιερεῖν vii. 5, 6.
καραδοκεῖν iv. 5, 5. v. 1, 5. vi. 2, 5.
καρατομεῖν i. 17, 8. vi. 7, 1.
καρὼ i. 30, 5. v. 13, 3.
καρτερικὸν vi. 1, 5.
καταβοᾶν iii. 9, 1.
καταγέμειν iv. 2, 2. iv. 3, 10.
κατάγνωσις vi. 1, 5.
καταβαρθάνειν iii. 7, 33.
καταδικάζειν iii. 8, 7. iv. 4, 4.
καταδίκη iv. 5, 2.
καταδύσεις iii. 7, 36.
καταιωρεῖσθαι iii. 7, 19.
κατακερτομεῖν vi. 2, 10.
κατακοντίζειν v. 1, 4.
κατακρημνίζειν iv. 5, 1.
κατάκριτος i. 32, 5.
κατακύπτειν ii. 12, 1.
καταλήψεως νόμος iv. 2, 5.
κατάλυσις i. 28, 3. ii. 21, 2.
καταμώμενος ii. 15, 4.
κατανομιστεύσας i. 18, 4.
κάταντες iii. 7, 12.
καταντιβολεῖν i. 2, 4. i. 6, 4. i. 13, 6. i. 28, 4. v. 3, 4.

καταντλούμενοι μύροις iv. 9, 10.
καταπέλται iii. 5, 2.
καταπέτασμα v. 5, 7.
καταπῆγες vi. 5, 3.
καταπροέσθαι ii. 17, 9.
καταπτήσσειν i. 19, 4. iv. 1, 6. v. 3, 1.
κατασείσας v. 2, 5.
κατασκήπτειν vii. 8, 1.
κατασοβαρεύεσθαι iii. 1, 1.
κατασπερχόμενος iv. 2, 4.
καταστέλλειν i. 6, 6.
κατάστημα ἱερὸν i. 1, 4.
καταστολὴ ii. 8, 4.
κατασύρειν ii. 10, 2.
κατασχεδιάζω iii. 8, 9.
κατασωτεύσασθαι iv. 4, 3.
κατατείνεσθαι i. 32, 4.
καταφανὴς v. 7, 4.
κατάφρακτοι v. 9, 1.
καταφρονεῖν i. 32, 3.
καταχωνεύειν v. 13, 6.
καταχώννυσθαι iv. 1, 4. vi. 1, 6.
κατειλούμενοι iii. 7, 31.
κατειρωνεύσθαι iv. 3, 1. vii. 8, 1.
κατευδαιμονίζειν i. 33, 8.
κατηφήσαι iii. 8, 4.
κατοικτίζόμενος v. 7, 4.
κατόπιν iii. 6, 2. v. 2, 1.
κάτοπτον vi. 2, 5.
καταμειδιῶν iii. 7, 33.
καῦμα iii. 7, 32.
κέρμα ii. 14, 6.
κηδεμονικὸς i. 9, 2.
κηπεία v. 2, 2.
κληδὼν i. 1, 5. iii. 6, 2. vi. 1, 1. vi. 5, 3.
κομπάζων vi. 2, 10.
κόμπος vi. 4, 7.
κόρος iv. 8, 3. iv. 9, 10.
κορυφαῖος iii. 2, 1.
κορυφούμενος vi. 2, 9.
κόσμικος iv. 5, 2.
κραδαίνεσθαι vii. 4, 2.
κρατιστεύοντα i. 2, 8.
κωκύειν ii. 16, 2.
κωκυτὸς iii. 7, 16. iii. 7, 26. iv. 2, 4.
Λάβρος i. 33, 5. iv. 4, 5.
λαλιαὶ ii. 8, 5.
λαχανεία iv. 9, 8.
λειποτάξιον iii. 5, 7.
λειτουργία Procem. 10. v. 5, 7.
λειτουργοῦντες κατὰ τὴν λατρείαν ii. 17, 2.
λευχειμονεῖν ii. 8, 3.
λῆμα iii. 10, 4.
λῆμμα i. 15, 2.
λῆξις iv. 1, 1.
λίγυρος, λιγύριον v. 5, 7.
λιθοβόλα iii. 5, 2.
λιθοβόλοι μηχαναὶ v. 6, 2.
λιπαρῶς ἐγκείμενος vii. 5, 2.
λιτότερον v. 5, 5.
λογάδες iv. 4, 3.
λόγιοι vi. 5, 3.
λογοποιεῖν i. 18, 1. i. 23, 2. iv. 4, 3.
λογοποιΐα iv. 3, 6.
λυγιζόμενοι ii. 8, 10.
λυγμὸς vi. 2, 2.
λυμαίνεσθαι ii. 14, 1. iv. 9, 7.
λυμεὼν i. 26, 4. ii. 14, 3. iv. 3, 9.
λυπρὰ ἐρημία vii. 5, 2.
λυσσᾷν ii. 11, 4.
λωποδυσία iv. 3, 4.
λωφήσαντος χειμῶνος i. 17, 8.
Μαλακισθέντες iv. 1, 6.
μανιώδης iv. 1, 6.
μαραινόμενοι vi. 5, 1.
μασσᾶν vi. 3, 3.
μαστοὶ vii. 6, 3.
ματαΐζειν vi. 2, 10.
μεγαλόνοια i. 20, 4.
μεγαλόνουν i. 21, 5.
μεγαλόφρων i. 20, 3.
μεγαλοφρόνως ibid.
μεθ' ἡμέραν iv. 2, 5.
μειλικτήρια v. 9, 4.
μειλικτήριοι σπονδαὶ iv. 8, 3.
μειλίσσεσθαι i. 8, 5. iii. 1, 3.
μελαμβόρειον iii. 9, 3.
μελανειμονεῖν iv. 4, 3.
μελέται iii. 5, 1. iii. 5, 7.
μεμελλημένως vi. 1, 3.
μεσολαβεῖν v. 1, 5.
μεταβολὴ ii. 17, 2.
μεταγενέστερος ii. 8, 10. v. 1, 2.
μεταίχμιον v. 1, 4. vi. 1, 7.
μετακλίσεις vi. 1, 7.
μετάλλεια i. 18, 1.
μεταλλεύειν vii. 2, 1.
μετανάστης v. 9, 4.
μεταξὺ pro μετέπειτα ii. 11, 4.
μεταπείσειν i. 4, 5.

μεταρρεῖν i. 4, 5.
μετέωρος iv. 9, 2.
μετῆν iv. 2, 3.
μετοικεῖν ii. 18, 5.
μετρεῖσθαι iii. 7, 12.
μέτριοι i. 28, 1. ii. 14, 1. ii. 14, 9.
μήνιμα ii. 17, 10.
μιγάδες i. 15, 6. iii. 3, 5.
μικρόλογος i. 14, 1.
μνησικακεῖν iv. 2, 2.
ἐν μοίρᾳ πολέμου iv. 2, 1.
ἐν μοίρᾳ ἀνδραπόδου iv. 7, 1.
μολιβδὶς v. 6, 4.
μονότροπος ii. 21, 1.
μονοτρόπως v. 10, 4.
μυδῶντες iii. 10, 9.
μυεῖν μεμυκότες vi. 5, 1.
μυθεύειν iv. 8, 4. iv. 9, 7.
μῦσος i. 25, 2. i. 26, 2. i. 32, 3.
μυστήριον κακίας i. 24, 1.
Νάγμα i. 21, 7.
νάκος iii. 7, 14.
ναρκᾶν vi. 8, 4.
νάσσεσθαι i. 17, 6.
ναστὸς i. 21, 7. v. 4, 3. vi. 9, 1. vi. 9, 4.
νεανιεύεσθαι iv. 4, 3.
νεμεσᾶν i. 22, 1. i. 24, 1.
νεοδόρους βύρσας iii. 1. 10.
νεοπαγὲς iii. 7, 20.
νεοσύστατοι ii. 8, 9.
νέφος vi. 5, 3.
νεωκορεῖν v. 9, 4.
νεώκοροι i. 7, 6. v. 9, 4.
νεωτερίζειν i. 10, 4. ii. 12, 1.
νήφοντες ii. 12, 1. v. 5, 7.
νιφετὸς i. 16, 2.
νομὴ vi. 2, 9.
νοσηλεύεσθαι iv. 1, 9.
νοστιμώτερον iv. 8, 3.
νότιος iv. 1, 1.
νύττειν iii. 7, 35. vi. 1, 3.
νωθὴς i. 10, 4.
Ξαινόμενος vi. 5, 3.
ξενῶνες v. 4, 4.
ξιφήρης i. 7, 5. i. 17, 7.
ξυλεία iii. 5, 3.
Ὀβελὸς v. 5, 6.
ὄγκος iv. 5, 2. vii. 11, 2.
ὀδεύειν iii. 6, 2.
οἴησις i. 10, 9.
οἰκετικὸς iii. 5, 1.
οἶστρος vii. 3, 4.
οἴχεσθαι iv. 3, 2. v. 13, 3. vi. 6, 2.
ὀκλάζειν iii. 8, 3.
ὅλος τοῦ πάθους ἦν i. 2, 4.
ὁμολογίαι iv. 2, 2.
ὄνθος v. 13, 7.
ὀξυβελεῖς ii. 19, 9. iii. 5, 2. v. 6, 2. vii. 8, 5.
ὀξύρροπος i. 25, 3.
ὄργανον ii. 12, 2.
ὁρμητήριον iii. 7, 3. iii. 9, 2.
ὀρφανία i. 28, 2.
ὅσον οὐδέκω iv. 9, 8.
οὐραγία ii. 19, 2.
οὐραγοὶ iii. 6, 2.
ὀψίγονοι iii. 7, 17.
Παιανίζειν vi. 8, 5.
παιδειὰ iv. 3, 8.
παιζόμενον iv. 3, 8.
παιώνιον νοσημάτων vii. 6, 3.
παλαίων i. 33, 5.
παλίμπους iv. 1, 6.
παλινδρομεῖν iii. 2, 3. vi. 1, 3.
παλτοὶ i. 17, 4.
πανικὸν δεῖμα v. 2, 5. v. 7, 1.
πανοπλία ii. 22, 1. iv. 8, 4.
παραβάλλεσθαι i. 17, 6. iii. 8, 7. v. 13, 5. vi. 1, 5.
παράβολοι i. 9, 5. i. 19, 5. iv. 1, 9.
παραβόλως iv. 3, 1.
παράδεισος iv. 8, 3. vi. 1, 1.
παραδοὺς αἰῶνι i. 21, 10.
παραδύσις iii. 1, 9. iv. 8, 4.
παραίτιος iv. 3, 13.
παρακαταθήκη iii. 8, 5.
παρακοπὴ φρενῶν i. 25, 4.
παρακροτεῖν i. 19, 5. i. 31, 5. iii. 10, 2. iv. 1, 4. iv. 3, 9. iv. 3, 11.
παραλόγως iv. 1, 7.
παραλογώτατα ii. 19, 7.
παραμιλλᾶν vii. 8, 1.
παραναλίσκειν iii. 7, 13. iv. 2, 5. v. 13, 5.
παραπάλωμα iv. 5, 2.
παραπολαύειν ii. 16, 4.
παρασπονδεῖσθαι i. 19, 4.
παραστάδες v. 5, 3.
παράστημα i. 2, 4. i. 3, 2. ii. 10, 4. v. 2, 2. v. 7, 4.
παράστημα ψυχῆς ii. 18, 4. ii. 20,

7. iv. 3, 11. vi. 1, 2. vi. 1, 8.
παράταξις i. 4, 5. i. 4, 7. i. 9, 4. i. 17, 7. ii. 18, 2. iii. 5, 1. iv. 4, 1. iv. 4, 6.
παρατάσσεσθαι iii. 1, 5. iv. 6, 5. iv. 7, 4.
παραφανεὶς ii. 19, 1.
παραφθέγγεσθαι v. 8, 1.
παραφύεσθαι i. 5, 2.
παραχαράσσειν i. 26, 3.
παρεισφθείρεσθαι iv. 2, 1.
παραρροιζεῖσθαι v. 2, 2.
παρηγορία iv. 8, 3.
παρίστασθαι iv. 3, 2.
παροδεύειν v. 10, 2.
παροίχομαι iv. 2, 5.
παροξύνω iv. 7, 4.
παρρησιασταὶ ii. 14, 7.
παστοφόριον iv. 9, 12.
πατρὶς i. 12, 7. iv. 10, 2.
παχνόω i. 38, 3.
πειθαρχία vii. 1, 2.
πειθήνιος i. 19, 4. iii. 5, 7.
πεπαρμένα vi. 1, 8
περαίνεται ἡ βουλὴ iv. 9, 11.
περιαγωγαὶ iii. 5, 7.
περιαθρήσας i. 33, 7.
περιαλγὴς i. 32, 7. vii. 6, 2.
περίβλεπτος vii. 4, 2.
περιγηράσκοντες iii. 10, 8.
περιδύσας i. 4, 8.
περιεῖναι iv. 9, 9.
περιελαύνειν iii. 2, 2. iv. 2, 5. iv. 9, 10.
περιέξεσθαι v. 4, 4.
περιέπειν iii. 8, 9. iii. 9, 6.
περιεσκεμμένως i. 24, 1.
περιέχεσθαι iii. 7, 16. v. 4, 4.
περιθέω i. 28, 1.
περιΐσχει iii. 3, 1.
περικομπᾶν i. 25, 2.
περιμάχητος vii. 8, 1.
περιξαίνεσθαι iii. 9, 3.
περίοικοι Procem. 8.
περιολισθαίνειν iii. 7, 10.
περίοπτος ii. 16, 3. ii. 18, 4.
περιορᾶν vii. 10, 1.
περιουσία i. 2, 5. iii. 7, 14.
περιοχὴ v. 4, 3.
περιπείρειν iii. 7, 31. iv. 8, 4.
περιπυσσόμενος vii. 9, 1.
περισπουδαστὸς vii. 6, 3.
περίστοα v. 4, 4.
περίστυλον i. 21, 11.
περιτροπὴ iii. 8, 5.
πετροβόλοι i. 7, 3. iii. 7, 9. vii. 8, 5.
πεφραγμένως vii. 6, 4.
πήσσειν iii. 10, 6.
πιθανώτερος iv. 3, 13.
πίστις ii. 13, 3. v. 13, 3.
πιστώομαι iv. 3, 13.
πλάνοι ii. 13, 4.
πλάστιγξ iii. 7, 19.
πλεονεκτεῖν ii. 19, 2. vi. 1, 2.
πλεονέκτημα iv. 3, 10. iv. 6, 1.
πλεονεξία iv. 3, 10.
πνιγώδης iii. 9, 1.
ποδήρης v. 5, 7.
ποιηλογεῖν v. 13, 7.
ποικίλλειν iv. 4, 1. v. 5, 7.
πολέμαρχος iii. 5, 4. iii. 8, 3.
πολυάνδριον v. 1, 3. vi. 2, 3.
πολυπρόσωπος i. 28, 4.
πολυτελὴς i. 31, 2.
πομπεύειν ii. 14, 2.
πόρρωθεν ii. 21, 2.
πρεσβεῖον i. 23, 5. i. 24, 1.
προάγγελμα i. 3, 5.
προαλίζειν iii. 7, 25.
προανέχειν iv. 2, 1. v. 5, 6.
προβάλλεσθαι ii. 8, 7.
προδυσωπῆσαι ii. 14, 7.
προεξασθενεῖν iii. 7, 7.
προεξοδεύειν vii. 5, 4.
προεξομαλίζειν iii. 7, 3.
προέσθαι iv. 3, 10.
προηγουμένως i. 26, 2. ii. 4, 3.
προθεραπεύειν iii. 1, 3.
προθεσμία ii. 21, 8.
προκάλυμμα v. 3, 1.
προκληδονιζόμενος iii. 1, 3.
προκαιτοῦντες iv. 5, 1. vi. 1, 7.
προκόπτειν v. 4, 2.
προκόπτουσα νὺξ iv. 4, 6.
προκυμαία i. 21, 6.
προκύπτειν vii. 8, 5.
προλοχίσας ἐνέδραις iii. 2, 3.
προμαχῶνες v. 4, 2, et 3.
προμηθὴς i. 25, 1. i. 31, 3.
προμηθῶς i. 27, 2.
προοικονομεῖσθαι iii. 1, 3.

προξενεῖν i. 23, 5. ii. 4, 3.
προπολεμεῖν iv. 4, 4.
πρόρριζος vii. 8, 7.
προσαγλαΐζεσθαι v. 5, 2.
προσαθυμεῖν iv. 1, 6.
προσάντης ii. 19, 8. iii. 7, 5. v. 5, 6.
προσαντιβολεῖν vi. 2, 1.
προσαποσκευάζεσθαι iv. 6, 4.
προσασκοῦνται iii. 5, 7.
πρόσγειοι iv. 1, 4.
προσδιαφθείρομαι iv. 3, 2. iv. 8, 2.
προσηνὲς iii. 10, 7.
προσθάλπειν iv. 3, 10.
προσίεσθαι i. 11, 5.
προσίστασθαι i. 10, 6. i. 23, 2. iv. 6, 5.
προσιτὸς i. 16, 4. iii. 7, 7. v. 4, 1.
προσίσχει iii. 3, 1.
πρόσκαιρος ῥοπὴ v. 2, 2.
προσκρούειν i. 26, 2.
πρόσκρουσμα i. 26, 3.
προσκυροῦσα κώμη iii. 3, 5.
προσλιπαρεῖν ii. 19, 6.
προσλογοποιεῖν i. 19, 3.
πρόσοικοι i. 2, 2.
προσοιμώξας i. 17, 3.
προστάτης i. 19, 6.
προσφέρειν i. 24, 7. iii. 7, 24. v. 10, 3.
προσφαρεὶς i. 26, 1.
προσφιλονεικεῖν iii. 2, 2.
προσχεδιάζεσθαι iii. 9, 5.
πρόσωπα ἱλαρὰ vi. 7, 2.
προτέρημα i. 21, 13.
προτιμᾶν i. 23, 1.
προτομὴ i. 33, 2. iii. 7, 19.
προξενεῖν iii. 10, 10.
προῖπτος i. 18, 2.
πταῖσμα iii. 10, 2. vi. 1, 2.
πύελον i. 33, 5.
ῥᾴδιος ii. 21, 8. iii. 10, 2. iv. 1, 4. vi. 2, 1.
ῥᾳστώνη iii. 5, 7.
ῥέψαι v. 9, 3.
ῥιψοκίνδυνος vii. 4, 2.
ῥόθιον vi. 2, 8.
ῥοιζὸς iii. 7, 21. iii. 10, 3.
ῥοπὴ iii. 8, 8. iv. 6, 2. v. 2, 5.
ῥύεσθαι iii. 5, 7. vi. 2, 3.
ῥύσιον i. 14, 1. i. 19, 2.
Σάββατον ii. 17, 10. ii. 19, 2. ii. 21, 8.
σαθρὸν i. 26, 2.
σαλεύειν ii. 21, 8.
σάλος vii. 8, 5.
σεβάσμιος iv. 3, 10.
σεβόμενος i. 5, 2.
σεμνυνόμενος vii. 5, 7.
σεσηρότες v. 12, 3.
σημαῖαι ii. 9, 2.
σκαλὶς ii. 8, 9.
σκέμμα i. 24, 6. i. 25, 1. ii. 21, 8. iv. 3, 13.
σκέπη v. 2, 3. v. 6, 3.
σκευωρέω i. 31, 1.
σκευωρήμα vii. 11, 3.
σκηνὴ πανουργοτάτη ii. 21, 2.
σκήπτομαι vi. 3, 3.
σμήχεσθαι ii. 8, 3.
σοβαρὸς i. 31, 4. vi. 8, 4.
σοφίζεσθαι iii. 7, 20. iv. 2, 3.
σοφιστὴς i. 33, 1. ii. 8, 1. ii. 17, 8.
σπαθήσας i. 26, 2.
σπαράσσειν ii. 19, 2. ii. 21, 1.
σπιλάδες iii. 9, 3.
στάδιον ii. 9, 3.
σταθμὸς i. 16, 3.
σταυρὸς iii. 7, 19.
σεγανώτατος i. 24, 1.
στενοχωρούμενος iv. 3, 10.
στιβαρὸς vi. 2, 8. vi. 8, 3.
στρατήγημα i. 25, 6. iii. 5, 7. iii. 7, 11.
στρατηγικὸν τῆς γνώμης iv. 6, 3.
στρατηγικῶς ii. 16, 2.
στρατήγιον iii. 5, 2.
στρατιωτικώτερον i. 17, 7.
στρατολογεῖν i. 27, 6. v. 9, 4.
στρεβλούμενοι vii. 8, 7.
στρῶσις vii. 8, 3.
συγγένεια ἠθῶν iv. 9, 3.
συγγνωμονεῖν ii. 15, 4.
σύγκλυδες v. 1, 5. v. 10, 5.
συγκροτεῖσθαι iv. 3, 12.
συγκρούειν iv. 3, 6. iv. 4, 3.
συγχαρτικὰ iv. 10, 6.
σύγχυσις i. 31, 3. iv. 3, 1. iv. 3, 11.
συκοφαντεῖν Procem. 4.
συμβολαὶ ii. 18, 7.
συμβόλαιον ii. 17, 6.
συμβολὴ ii. 17, 7. ii. 18, 7. iv. 1, 6.

συμπαρεισφθείρεσθαι iv. 3, 3.
ἐπὶ συμφέροντί τινος i. 28, 2.
συμφορὰ iv. 1, 6.
συμφυρέντες ii. 8, 10.
συναγωγὴ vii. 3, 3.
συναλοάω iii. 10, 3.
συνανδροῦσθαι i. 23, 1.
συναπολεῖν iv. 2, 5.
συναράσσειν iii. 9, 3.
συνασπίζειν iii. 7, 28. iv. 1, 5.
συνδιέθηκε iii. 8, 8.
συνειλεῖσθαι iii. 2, 3. iv. 8, 4. v. 3, 1.
συνελαύνειν ii. 19, 3. ii. 19, 5. iii. 2, 3.
συνεξανοήγειν v. 2, 2.
συνεπαλαλάζειν iv. 5, 1.
συνεπαρθήσεσθαι Procem. 2.
συνεωσμένοι iv. 4, 1.
συνθετιζόμενοι iv. 9, 10.
συνιζάνειν vii. 8, 5.
συνίστωρ i. 30, 7.
σύννοια i. 3, 5
συνοδία ii. 21, 1,
συνομλάζειν iii. 7, 25.
συνοράω iv. 3, 13.
σύνταγμα i. 3, 2. i. 24, 8. v. 6, 2.
σύνταξις iii. 9, 2. v. 6, 3.
συντελοῦντες v. 6, 1.
σύντομος ἐπιστολὴ iv. 4, 1.
σύντονος i. 6, 2. iii. 4, 2. iv. 4, 1.
συντόνως ὁδεύειν ii. 21, 6.
συντονώτερον i. 14, 1. iii. 2, 2. v. 13, 4.
συνωσθεὶς iv. 8, 5.
συρρήγνυσθαι i. 13, 2. iii. 7, 31. v. 2, 4. vi. 1, 7.
συσπειραθέντες iv. 4, 6.
συστάδην ii. 3, 2. ii. 17, 5. ii. 18, 11.
συστραφέντες iii. 7, 31.
σφάγιον vi. 9, 4.
σφάλλεσθαι iii. 10, 2.
σχεδιάζειν i. 24, 8. ii. 22, 1. iii. 9, 6.
σχετλιάζειν ii. 21, 10. vii. 8, 7.
σχολαῖος vii. 5, 1.
σωφρονιζειν ii. 18, 7. iii. 7, 32. iii. 9, 7. iv. 2, 5.
σωφρονικὸν i. 10, 6.
σωφρονισμὸς ii. 1, 3.
Ταλαιπωρία vii. 8, 2.
ταλαντιαῖοι 5, 6, 3.
ταμιεῖον iv. 4, 3. iv. 9, 4.
ταμιεύεσθαι iii. 7, 12. iv. 3, 1. vi. 4, 5. vii. 2, 1.
τεθυμωμένος i. 16, 6.
τέλειον iv. 4, 5.
τέλμα iii. 10, 7.
τένων iv. 1, 1.
τερατεία i. 32, 3.
τερατεύεσθαι i. 26, 3. vi. 3, 3.
τεχνιτεύειν iv. 8, 4.
τῆλις ἐφθή iii. 7, 29.
τιμητὴς vii. 8, 1.
τιμωρία iv. 6, 1.
τόνος vi. 2, 8. vii. 7, 4.
τονόω i. 26, 2. iv. 1, 10. vi. 1, 3.
τραυὸν iv. 1, 1.
τραχηλίζεσθαι iv. 6, 2.
τρίστεγος v. 5, 5.
τριστοιχεὶ ii. 9, 3.
τροφεῖον i. 32, 2.
τυμβωρυχοῦντες v. 12, 3.
τυραννεῖον iv. 3, 7. v. 4, 3.
τυραννιῶν iv. 9, 3.
τύρσεις v. 4, 3.
τυφόω ii. 17, 9.
Ὑδρεία iii. 5, 3.
ὑπαίθριος iii. 7, 31.
ὕπαιθροι εὐπραγίαι i. 22, 1.
ὑπαντιάζειν iv. 1, 10.
ὕπατος τιμὴ vii. 4, 2.
ὑπειργασάμην i. 23, 2.
ὑπέκθεσις iv. 7, 2.
ὑπεκλύειν vii. 8, 5.
ὑπερδέξιος ii. 18, 11. iv. 9, 12.
ὑπερευφραινόμενος vii. 1, 3.
ὑπερηφανεῖν i. 19, 6.
ὑπέρθεσις iv. 2, 3.
ὑπέρθυρα v. 5, 3.
ὑπεριδὼν πρὸς ὀργὴν ii. 19, 5.
ὑπερίσταται v. 10, 3.
ὑπερλαμπρύνεσθαι ii. 8, 7.
ὑπέρογκος iii. 10, 2.
ὑπεροχὴ iv. 3, 10.
ὑπερπαθεῖν vi. 2, 4.
ὑπεσταλμένον ii. 1, 2.
ὑπιὼν i. 5, 2. i. 24, 1.
ὑπογράφειν ὀφθαλμοὺς iv. 9, 10.
ὑπόδειγμα ii. 16, 4.
ὑποδύσεις iii. 7, 22.
ὑποδύτην v. 5, 7.

ὑπόθεσις i. 25, 3.
ὑποικούρει i. 28, 1.
ὑπομάστιος vi. 3, 4.
πονήψαντες v. 6, 1.
ὑπόνομοι v. 3, 1.
ὑποπτήσσω v. 2, 1. v. 3, 3. v. 7, 4.
ὑποσχόμενος iii. 6, 3.
ὑπόσπονδος ii. 17, 10.
ὑποστείλασθαι αἰδημόνως i. 23, 3.
ὑποστέλλειν iv. 1, 6.
ὑποστέλλεσθαι iii. 7, 16. iii. 8, 1. iv. 1, 6.
ὑποστολὴ ii. 14, 2.
ὑποσύρεσθαι iii. 7, 29.
ὑποτέμνεσθαι iii. 7, 27. vii. 9, 1.
ὑπουργεῖν vii. 9, 1.
ὑπουργία ibid.
ὑπουργοι εἰρήνης ii. 8, 6.
ὑποφθέγγεσθαι iii. 2, 3.
ὑπτιάζεσθαι iii. 7, 29. v. 5, 6.
ὑπώρειος i. 21, 3.
ὕσπληξ iii. 5, 4.
ὑστεριζειν i. 13, 10.
ὑφιστάμενοι ii. 8, 11.
Φαρμάττειν i. 10, 1.
φειδὼ Procem. 11. vi. 2, 5.
φενακίζειν vii. 11, 1.
φερώνυμον ii. 9, 1.
φημίζειν i. 23, 2.
φθάρματα v. 10, 5.
φθείρεσθαι iv. 9, 4.
φιλοδέσποτοι iv. 3, 10.
φιλόδουλοι iv. 3, 10.
φιλοζωεῖν iii. 8, 4.
φιλοκαλεῖν iii. 5, 8.
φιλοτιμεῖν ἔριν i. 10, 5.
φιλότιμον i. 21, 2. i. 21, 5.
φιλοφρονεῖσθαι i. 20, 3. i. 31, 3. ii. 9, 5. iii. 8, 9.
φιλοφρόνησις i. 9, 5. i. 13, 4. i. 25, 6.
φιλοφροσύνη iii. 9, 1.
φιλοχρηματία v. 13, 5.
φιμόω i. 22, 3. v. 1, 5.
φλεγμονὴ i. 22, 5.
φωνᾶν i. 24, 8. iii. 8, 5.
φονικὸς vi. 4, 2.
φόρειον ii. 7, 1.
φορολογεῖν i. 11, 1. i. 26, 2. ii. 16, 4.
φορτικὸς ii. 21, 3.
φρενοβλάβεια i. 27, 5. i. 32, 2. ii. 7, 1. ii. 13, 1. vi. 8, 4.
φρίκη v. 13, 6. vi. 2, 3.
φρόνημα i. 10, 5. i. 31, 1.
φρυγανισμὸς iv. 9, 8.
φυγαδεύειν i. 33, 7. iv. 9, 3.
φύρειν i. 19, 5.
φῶρας i. 24, 1.
Χαλκεύειν ii. 22, 1. vii. 10, 3.
χαράδρα iii. 7, 14.
χαραδρώδη v. 3, 2.
χαράκωμα i. 13, 3. i. 19, 5. i. 19, 6. iii. 7, 8.
χειροποιήτως vii. 8, 3.
χερμὰς i. 17, 4. ii. 17, 5. iii. 7, 8. iii. 10, 9.
χθαμαλὸς iv. 8, 3. iv. 9, 4. v. 3, 2. v. 6. 2. vii. 6, 3.
χθαμαλοῦν iii. 6, 2.
χλιαίνεται iv. 8, 3.
χρεῖαι ii. 20, 3.
χρεὼν i. 14, 1. v. 13, 7.
χρηματίζειν ii. 18, 7.
χωνεύω i. 18, 1. iii. 7, 8. vii. 6, 4.
Ψαύειν vii. 8, 3.
ψευδοπολίχνιον iv. 9, 9.
ψιλὸς iv. 8, 2.
ψιλόω vi. 8, 1.
ψύγμα i. 24, 2.
ψύχειν ii. 15, 6.
Ὠθισμὸς ii. 15, 5.
ὠτειλαὶ iv. 6, 1.